ΒΙΒΛΙΟΘΗΚΗ
ΕΛΛΗΝΩΝ
ΠΑΤΕΡΩΝ

ΓΡΗΓΟΡΙΟΥ
ΝΥΣΣΗΣ
ΜΕΡΟΣ

63

Printed in Greece
Athens 1989

ΒΙΒΛΙΟΘΗΚΗ ΕΛΛΗΝΩΝ ΠΑΤΕΡΩΝ
ΚΑΙ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ ΣΥΓΓΡΑΦΕΩΝ

ΒΙΒΛΙΟΘΗΚΗ ΕΛΛΗΝΩΝ ΠΑΤΕΡΩΝ
ΚΑΙ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ ΣΥΓΓΡΑΦΕΩΝ

ΤΟΜΟΣ ΕΞΗΚΟΣΤΟΣ ΟΓΔΟΟΣ

ΓΡΗΓΟΡΙΟΣ ΝΥΣΣΗΣ

(ΜΕΡΟΣ Δ')

Γενικὴ Ἐπιστασία καὶ Ἐπιμέλεια
ΗΛΙΑ Δ. ΜΟΥΤΣΟΥΛΑ
Καθηγητοῦ Πανεπιστημίου Ἀθηνῶν

Ἐπιμελητής
ΙΩΑΝΝΗΣ Δ. ΜΠΟΥΓΑΤΣΟΣ
Φιλόλογος - Θεολόγος

**ΕΚΔΟΣΙΣ ΤΗΣ ΑΠΟΣΤΟΛΙΚΗΣ ΔΙΑΚΟΝΙΑΣ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ**

ΑΘΗΝΑΙ 1989

ΠΕΡΙΕΧΟΜΕΝΑ

ΓΡΗΓΟΡΙΟΣ ΝΥΣΣΗΣ

(ΜΕΡΟΣ Δ')

ΓΡΗΓΟΡΙΟΣ ΝΥΣΣΗΣ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΓΡΗΓΟΡΙΟΥ

ΕΠΙΣΚΟΠΟΥ ΝΥΣΣΗΣ

ΚΑΤΑ ΕΥΝΟΜΙΟΥ ΤΟΥ ΤΡΙΤΟΥ ΛΟΓΟΥ *

ΤΟΜΟΣ ΣΤ'

[768] 185 Τὰ μὲν οὖν ἰσχυρὰ τῶν Εὐνομίου τοιαῦτα. Ἐγὼ δὲ τῶν ἐν ἐπαγγελίᾳ δυνάμεως οὕτω σαθρῶν τε καὶ ἀνυποστάτων ἐπιδειχθέντων τῷ λόγῳ, σιωπᾶν οἶμαι δεῖν ἐπὶ τῶν ὑπολοίπων, τοῖς κατὰ τῶν ἰσχυρῶν ἐλέγχοις καὶ τῶν ἄλλων τῇ δυνάμει συναπελεγχθέντων· καθάπερ ἐπὶ τῶν πολέμων συμβαίνει, τοῦ δυνατωτέρου τῶν ἄλλων καταπεσόντος, μηκέτι τὸ λειπόμενον τῆς στρατιᾶς ἐν λόγῳ τινὶ τοῖς κεκρατηκόσι τοῦ ἰσχύοντος γίνεσθαι. Ἀλλ' οὐκ ἐᾷ σιωπᾶν τὸ κεφάλαιον τῆς βλασφημίας ἐν τοῖς ἐφεξῆς τοῦ λόγου προκείμενον· τὴν γὰρ ἐκ μὴ ὄντων εἰς τὸ εἶναι τοῦ Μονογενοῦς πάροδον, τοῦτο δὴ τὸ φρικτόν τε καὶ ἄθεον καὶ πάσης ἀσεβείας φευκτότερον δόγμα τοῦ Εὐνομίου, νῦν τῇ ἀκολουθίᾳ τοῦ λόγου κατασκευάζει. Καὶ ἐπειδὴ πᾶσι τοῖς διὰ τῆς ἀπάτης ταύτης γεγοητευμένοις ἕτοιμον ἐπὶ γλώσσης ἐστὶν εἰς κατασκευὴν τοῦ ἐκ μὴ ὄντος εἶναι[α] τὸν ἡμᾶς καὶ πᾶσαν τὴν κτίσιν ἐξ οὐκ ὄντων ποιήσαντα τὸ λέγειν εἰ ἦν, οὐ γεγέννηται[β], καὶ εἰ γεγέννηται, οὐκ ἦν, καὶ πολλὴν ἔχει **186** διὰ τούτων ἡ ἀπάτη τὴν συμμαχίαν, τῶν μικροψυχοτέρων ἐν τῇ ἐπιπολαίῳ ταύτῃ πιθανότητι στενοχωρουμένων καὶ πρὸς συγκατάθεσιν τῆς βλασφημίας ὑπαγομένων, ἀνάγκη μὴ παρελθεῖν τὴν ῥίζαν τῆς πικρίας τοῦ δόγματος, ἵνα μή, καθὼς φησιν ὁ Ἀπόστολος, ἄνω φύουσα διοχλῇ[1]. Πρῶτον δέ φημι δεῖν αὐτὸν

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ Wernerus Jaeger, Gregorii Nysseni Opera, Volumen II, Contra Eunomium, librum III et Refutationem Confessionis Eunomii σ. 185-410. Leiden E. J. Briel 1960 (J.-P. Migne τ. 45 σ. 768-908, 465-572).

1. Πρβλ. Ἑβρ. 12,15. Δευτ. 29,17.

α. Ἰουστίνου, Πρὸς Τρύφωνα Ἰουδαῖον, ΒΕΠ 3,212,2-3. PG 6,481B. Εὐσεβίου Καισαρείας, Εὐαγγελικὴ ἀπόδειξις Δ,Ι, ΒΕΠ 27,140,1. PG 22,252C. Κλήμεντος Ἀλεξανδρέως, Προτρεπτικὸς πρὸς Ἕλληνας IV, ΒΕΠ 7,49,11 ἑξ. PG. 8,161B-164B. Ἀθηναγόρα, Πρεσβεία αὐτοῦ περὶ Χριστιανῶν, ΒΕΠ 4,284, 43-285-1,2. PG. 6,900A.

β. Πρβλ. Μ. Βασιλείου, Εὐνομίου, Ἀπολογητικός, ΒΕΠ 52,148,27 ἑξ.

ἐφ' ἑαυτοῦ τὸν λόγον κατανοῆσαι δίχα τῆς πρὸς τοὺς ἐναντίους μάχης, εἶθ' οὕτως ἐπὶ τὴν ἐξέτασίν τε καὶ τὸν ἔλεγχον τῶν ἐκτεθέντων ἐλθεῖν.

Ἓν γνώρισμα τῆς ἀληθινῆς θεότητος ὁ τῆς ἁγίας Γραφῆς ὑποδείκνυσι λόγος, ὃ διὰ τῆς ἄνωθεν φωνῆς ἐδιδάχθη ὁ Μωυσῆς ἀκούσας τοῦ εἰπόντος ὅτι «ἐγώ εἰμι ὁ ὤν»[1]. Οὐκοῦν τοῦτο μόνον θεῖον εἶναι ὡς ἀληθῶς πιστεύειν οἰόμεθα δεῖν, ὃ κατὰ τὸ ἀΐδιόν τε καὶ ἀό-**[769]**ριστον ἐν τῷ εἶναι καταλαμβάνεται, καὶ πᾶν τὸ περὶ αὐτὸ θεωρούμενον ἀεὶ ὡσαύτως ἔχει, οὔτε προσγινόμενον οὔτε ἀπογινόμενον. Ὥστε εἴ τις λέγοι περὶ Θεοῦ ὅτι πρότερον μὲν ἦν νῦν δὲ οὐκ ἔστιν, ἢ ὅτι νῦν μὲν ἔστι πρότερον δὲ οὐκ ἦν, ἐπίσης ἄθεον κρίνομεν τῶν εἰρημένων ἑκάτερον· κολοβοῦται γὰρ ὁμοίως δι' ἀμφοτέρων ὁ τῆς ἀϊδιότητος λόγος καθ' ἑκάτερον μέρος ὁμοίως τῷ ἀνυπάρκτῳ περισκεπόμενος, εἴτε προθεωροίη τις τὸ μὴ ὂν τοῦ ὄντος εἴτε καταλήγειν τὸ ὂν εἰς τὸ μὴ ὂν ἀποφαίνοιτο, καὶ οὐδὲν παραμυθεῖται τὴν ἀσεβῆ περὶ τὸ θεῖον ὑπόληψιν ἐν πρώτοις ἢ τελευταίοις ἐπιθρυλούμενον τῷ Θεῷ τὸ ἀνύπαρκτον. Διὰ τοῦτο τὴν περὶ τοῦ μὴ εἶναί ποτε τὸν ὄντως ὄντα κατασκευὴν ἄρνησίν τε καὶ ἀθέτησιν τῆς ἀληθινῆς θεότητος εἶναι διοριζόμεθα[α]. Ἐπειδὴ γὰρ ὁ μὲν διὰ τοῦ φωτὸς ἑαυτὸν τῷ Μωυσεῖ δείξας ὄντα ἑαυτὸν ὀνομάζει λέγων «Ἐγώ εἰμι ὁ ὤν»[2], Ἡσαΐας δὲ καθάπερ **187** ὄργανον τοῦ ἐν αὐτῷ φθεγγομένου γενόμενος ἐκ προσώπου λέγει τοῦ ὄντος ὅτι «Ἐγὼ πρῶτος καὶ ἐγὼ μετὰ ταῦτα»[3], ὡς διὰ τούτου νοεῖσθαι καθ' ἑκατέραν ἔννοιαν ἐπὶ Θεοῦ τὸ ἀΐδιον, ὁμοίως δὲ καὶ ἡ πρὸς τὸν Μανωὲ γενομένη φωνὴ τὸ ἀπερίληπτον εἶναι διὰ τῆς τοῦ ὀνόματος σημασίας τὸ θεῖον ἐνδείκνυται, ὅτε μαθεῖν ἀξιοῦντος τοῦ Μανωὲ τὸ ὄνομα, ὡς προελθούσης εἰς ἔργον τῆς ἐπαγγελίας ἐπ' ὀνόματος δοξάσῃ τὸν εὐεργέτην, λέγει πρὸς αὐτὸν Τί τοῦτο ἐρωτᾷς; καὶ αὐτό ἐστιν θαυμαστόν[4], ὡς διὰ τούτου μαθεῖν ὅτι ἕν ἐστι σημαντικὸν τῆς θείας φύσεως ὄνομα, τὸ ἀρρήτως περὶ αὐτῆς ἡμῖν θαῦμα κατὰ ψυχὴν ἐγγινόμενον, ὡσαύτως δὲ καὶ ὁ μέγας Δαβὶδ ἐν τοῖς καθ' ἑαυτὸν λόγοις τὸ ἴσον βοᾷ, ὡς πάσης μὲν τῆς κτίσεως ὑπ' αὐτοῦ παραχθείσης εἰς γένεσιν[5], μόνου δὲ τοῦ Θεοῦ ὡσαύτως ἀεί τε ὄντος καὶ εἰσαεὶ διαμένοντος, ἐν οἷς φησι «σὺ δὲ ὁ αὐτὸς εἶ καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσι»[6] ταῦτα καὶ τὰ τοιαῦτα παρὰ τῶν θεοφορουμένων ἀκούοντες πᾶν, ὃ μὴ ἐξ ἀϊδίου ἐστίν, ὡς πρόσφατόν τε καὶ ἀλλότριον τῆς ἀληθινῆς θεότητος τοῖς εἰδωλολάτραις προσκυνεῖν καταλείπομεν. Τὸ γὰρ νῦν ὄν, πρότερον δὲ μὴ ὂν πρόσφατόν ἐστι πάντως καὶ οὐκ ἀΐδιον, τὸ δὲ πρός τι τῶν προσφάτων ὁρᾶν δαιμόνων λατρείαν ὁ Μωυσῆς ὀνομάζει λέγων Ἔθυσαν δαιμονίοις καὶ οὐ Θεῷ, θεοῖς οἷς οὐκ ᾔδεισαν

1. Ἐξ. 3,14. 2. Ἔνθ' ἀν. 3. Ἡσ. 44,6. 4. Πρβλ. Κριτ. 13,18. 5. Πρβλ. Ψαλ. 101,26. 6. Ψαλ. 101,28.

α. Μ. Ἀθανασίου, Κατὰ Ἀρειανῶν Γ, 16, ΒΕΠ 30, 236,6 ἑξ. PG 26,353C. Γρηγορίου Θεολόγου, Εἰς τὸ ἅγιον Πάσχα, ΒΕΠ 60,187,16 ἑξ.

οἱ πατέρες αὐτῶν[α], καινοὶ καὶ πρόσφατοι ἥκασιν[1]. Εἰ οὖν πᾶν τὸ πρόσφατον ἐν σεβάσματι δαιμόνων ἐστὶ λατρεία καὶ τῆς ἀληθινῆς θεότητος ἠλλοτρίωται, ὃ δὲ νῦν μὲν ἔστιν, ἀεὶ δὲ οὐκ ἦν, πρόσφατόν ἐστι καὶ
188 οὐκ ἀΐδιον, ἀναγκαίως πρὸς τὸ ὂν βλέποντες τοὺς τὸ μὴ ὂν τῷ ὄντι συνθεωροῦντας καὶ λέγοντας, ὅτι ποτὲ οὐκ ἦν, τοῖς θεραπευταῖς τῶν εἰδώλων ἐγκαταλέγομεν. Καὶ γὰρ ὁ μέγας Ἰωάννης τὸν μονογενῆ Θεὸν τῷ ἰδίῳ καταγγέλλων κηρύγματι παντοίως τὸν ἑαυτοῦ κατασφαλίζεται λόγον, ὡς μή τινα πάροδον τὴν τοῦ μὴ εἶναι ὑπόληψιν κατὰ τοῦ ὄντος λαβεῖν. Λέγει γὰρ ὅτι ἐν ἀρχῇ ἦν καὶ πρὸς τὸν Θεὸν ἦν καὶ Θεὸς ἦν καὶ φῶς ἦν καὶ ζωὴ καὶ ἀλήθεια[β] καὶ πάντα τὰ ἀγαθὰ πάντοτε ἦν καὶ οὐδὲν οὐδέποτέ τι τῶν καλῶν οὐκ ἦν ὁ πάντων τῶν ἀγα**[772]**θῶν τὸ πλήρωμα ὢν καὶ ἐν τοῖς κόλποις τοῦ Πατρὸς ὤν[2]. Εἰ τοίνυν Μωυσῆς μὲν οἷόν τινα χαρακτῆρα τῆς ἀληθινῆς θεότητος ἡμῖν νομοθετεῖ τὸ μηδὲν ἄλλο περὶ Θεοῦ γινώσκειν ἢ τοῦτο μόνον, ὅτι ἔστι (τοῦτο γὰρ ἐνδείκνυται τὸ «Ἐγώ εἰμι ὁ ὤν»[3]), Ἡσαΐας δὲ τὸ πανταχόθεν ἀόριστον τοῦ ὄντος βοᾷ τῷ κηρύγματι, μήτε δι' ἀρχῆς μήτε διὰ τέλους βλέπων τὸ ὂν ἐπὶ τοῦ Θεοῦ ὁριζόμενον (ὁ γὰρ εἰπὼν ὅτι «Ἐγὼ πρῶτος καὶ ἐγὼ μετὰ ταῦτα»[4], ἐν οὐθετέρῳ τὸν ὅρον τῆς ἀϊδιότητος ἵστησιν, ὡς μήτε πρὸς τὴν ἀρχὴν ὁρῶντας εὑρεῖν τι σημεῖον, ἀφ' οὗ ἔστι καὶ μεθ' ὃ οὐκ ἦν, μήτε πρὸς τὸ ἐφεξῆς τὴν διάνοιαν ἀνάγοντας ὅρῳ τινὶ διακόπτειν τοῦ ὄντος τὴν ἐπὶ τὸ ἀΐδιον πρόοδον), τοῦ δὲ προφήτου Δαβὶδ πρόσφατόν τε καὶ ἀλλότριον Θεὸν προσκυνεῖσθαι ἀπαγορεύοντος[5], ὧν ἑκάτερον ἐν τοῖς δόγμασίν ἐστι τῆς αἱρέσεως [ἐν μὲν τῷ μὴ ἀϊδίῳ τὸ πρόσφατον, ἐν δὲ τῷ τῆς τοῦ ἀληθινοῦ Θεοῦ φύσεως ἀπεξενῶσθαι τὸ ἀλλότριον σαφῶς ἐπιδείκνυται]· τούτων οὖν οὕτως ἐχόντων πᾶσαν τὴν διὰ τῶν σοφισμάτων
189 κατασκευὴν τὴν περὶ τοῦ μὴ εἶναί ποτε τὸν ὄντως ὄντα οὐδὲν ἄλλο ἢ παράβασιν τοῦ Χριστιανισμοῦ καὶ τροπὴν εἰς εἰδωλολατρίαν εἶναι διοριζόμεθα. Τοῦ γὰρ εὐαγγελιστοῦ διὰ τῆς θεολογίας πανταχόθεν ἐξορίσαντος τὸ μὴ ὂν ἐκ τοῦ ὄντος καὶ διὰ τῆς συνεχοῦς τοῦ ἦν ἐπαναλήψεως τὴν τοῦ μὴ εἶναι ὑπόνοιαν ἐπιμελῶς ἐξαλείψαντος, μονογενῆ δὲ Θεὸν[6] καὶ Λόγον Θεοῦ[7] καὶ Υἱὸν Θεοῦ[8] καὶ ἴσον Θεῷ καὶ πάντα τὰ τοιαῦτα κατονομάσαντος, παγίαν ἔχομεν ταύτην ἐν ἑαυτοῖς τὴν κρίσιν καὶ ἀμετάθετον, ὅτι εἰ Θεός ἐστιν ὁ μονογενὴς Υἱός, ἀεὶ χρὴ πιστεύειν αὐτὸν εἶναι, τὸν Θεὸν πεπιστευμένον. Ἀλλὰ μὴν εἰ ἀληθῶς ἔστι Θεός, καὶ ἀεὶ πάντως ἔστι οὐδέ ποτε ἐν τῷ μὴ εἶναι κατα-

---

1. Πρβλ. Δευτ. 32,17. 2. Πρβλ. Ἰω. 1,1 ἑξ. 3. Ἐξ. 3,14. 4. Ἡσ. 44,6. 5. Πρβλ. Ψαλ. 80,10. 6. Πρβλ. Ἰω. 1,18. Φιλ. 5,18. Βʹ Κορ. 4,4. Φιλ. 2,6. κ.ἀ. 7. Πρβλ. Ἰω. 1,1. Ἀποκ. 19,13. 8. Πρβλ. Ματθ. 3,17. Ρωμ. 8,32. κ.ἀ.

α. Πρβλ. Μ. Βασιλείου, Ἑρμηνεία εἰς Ἡσαΐαν, ΒΕΠ 56,233,38-234, 1-3.

β. Γρηγορίου Θεολόγου, Εἰς τὸ ἅγιον Πάσχα, ΒΕΠ 60,187,16-19.

λαμβάνεται. Θεὸς γάρ, καθὼς πολλάκις εἰρήκαμεν, εἰ νῦν ἔστι, καὶ ἀεὶ πάντως ἦν, εἰ δέ ποτε μὴ ἦν, οὐδὲ νῦν ἔστιν ὅλως. Ἀλλ' ἐπειδὴ τὸ Υἱὸν εἶναι τὸν μονογενῆ Θεὸν καὶ εἰσαεὶ διαμένειν καὶ παρὰ τῶν ἐχθρῶν τῆς ἀληθείας ὁμολογεῖται, τοῦτό φαμεν ὅτι ἐν τῷ Πατρὶ ὢν οὐ καθ' ἓν μόνον ἐστὶν ἐν αὐτῷ, ἀλλὰ κατὰ πάντα ὅσα νοεῖται ὁ Πατήρ, διὰ πάντων ἐστὶν ἐν αὐτῷ. Ὡς οὖν ἐν τῷ ἀφθάρτῳ τοῦ Πατρὸς ὢν ἄφθαρτός ἐστι καὶ ἐν τῷ ἀγαθῷ ἀγαθὸς καὶ ἐν τῷ δυνατῷ δυνατὸς καὶ ἐν ἑκάστῳ ὢν τῶν πρὸς τὸ κρεῖττον ἐν τῷ Πατρὶ νοουμένων ἐκεῖνό ἐστιν, οὕτως καὶ ἐν τῷ ἀϊδίῳ πάντως ἀΐδιος. Ἡ δὲ τοῦ Πατρὸς ἀϊδιότης ἐν τῷ μήτε ἐκ τοῦ μὴ ὄντος ἄρξασθαι μήτε εἰς τὸ μὴ ὂν καταλήγειν γνωρίζεται[α]. Οὐκοῦν ὁ πάντα τὰ τοῦ Πατρὸς ἔχων καὶ ἐν πάσῃ τῇ δόξῃ τοῦ Πατρὸς θεωρούμενος, ὥσπερ ἐν τῷ ἀτελευτήτῳ τοῦ Πατρὸς ὢν ζωῆς τέλος οὐκ ἔχει, οὕτω καὶ ἐν τῷ ἀνάρχῳ τοῦ Πατρὸς ὢν ἀρχὴν ἡμερῶν οὐκ ἔχει[1], καθώς φησιν ὁ Ἀπόστολος, ἀλλὰ καὶ ἐκ τοῦ Πατρός ἐστι καὶ ἐν τῇ ἀϊδιότητι **190** τοῦ Πατρὸς καθορᾶται, καὶ τούτῳ μάλιστα τῷ τρόπῳ τὸ διὰ πάντων τῆς εἰκόνος ἀπαράλλακτον πρὸς τὸν οὗ ἐστιν εἰκὼν θεωρεῖται, καὶ ἀληθὴς ὁ λό**[773]**γος ἐν τούτοις εὑρίσκεται ὁ εἰπὼν ὅτι «ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα»[2]. Ἀλλὰ καὶ τὸ παρὰ τοῦ Ἀποστόλου εἰρημένον οὕτως ἂν μάλιστα νοηθείη καλῶς καὶ προσφυῶς ἔχον, τὸ ἀπαύγασμα εἶναι τῆς δόξης καὶ χαρακτῆρα τῆς ὑποστάσεως τὸν Υἱόν[3]. Τοῖς γὰρ ἀδυνατοῦσιν ἐπὶ τὸ ὕψος τῆς θεογνωσίας τὸν λογισμὸν ἀγαγεῖν διὰ τῆς τῶν νοητῶν θεωρίας, τούτοις ἐκ τῶν τῇ αἰσθήσει προφαινομένων ἐμποιεῖ τινα τοῖς ἀκούουσιν ὁ Ἀπόστολος τοῦ ἀληθοῦς φαντασίαν. Ὡς γὰρ τὸ ἡλιακὸν σῶμα[β] ὅλῳ τῷ περιέχοντι κύκλῳ χαρακτηρίζεται καὶ ὁ τὸν κύκλον ἰδὼν ὅλου τοῦ κατὰ τὸ βάθος ὑποκειμένου τὴν ὑπόστασιν διὰ τοῦ φαινομένου ἀνελογίσατο, οὕτως εἶπεν ἐν τῷ μεγέθει τῆς τοῦ Υἱοῦ δυνάμεως τὸ τοῦ Πατρὸς μεγαλεῖον χαρακτηρίζεσθαι, ἵνα ὅσον τοῦτο γινώσκεται, τοσοῦτον εἶναι κἀκεῖνο πιστεύηται· καὶ πάλιν ὡς ἐκ παντὸς τοῦ ἡλιακοῦ κύκλου ἡ τοῦ φωτὸς λαμπηδὼν ἀπαυγάζεται (οὐ γὰρ τὸ μέν τι λάμπει, τὸ δὲ ἀλαμπές ἐστι τοῦ κύκλου), οὕτως ὅλη ἡ δόξα, ἥτις ἐστὶν ὁ Πατήρ, τῷ ἐξ ἑαυτῆς ἀπαυγάσματι τουτέστι τῷ ἀληθινῷ φωτὶ πανταχόθεν περιαυγάζεται· καὶ ὡς ἐκ τοῦ ἡλίου μέν ἐστιν ἡ ἀκτίς (οὐ γὰρ ἂν ἦν ἀκτίς, εἰ μὴ ἥλιος ἦν), οὐ μήν ποτε χωρὶς τῆς ἀπαυγαζομένης ἀκτῖνος ἐφ' ἑαυτοῦ νοεῖται ὁ ἥλιος, οὕτω τὸ συναφές τε καὶ ἀΐδιον τῆς ἐκ τοῦ Πατρὸς ὑπάρξεως[γ] τοῦ Μονογενοῦς

---

1. Πρβλ. Ἑβρ. 7,3. 2. Ἰω. 14,9. 3. Πρβλ. Ἑβρ. 1,3.

α. Γρηγορίου Νύσσης, Κατὰ Εὐνομίου Α', ΒΕΠ 67,94,9 ἑξ.

β. [15-27]. Πρβλ. Μ. Ἀθανασίου, Περὶ τῆς ἐν Νικαίᾳ Συνόδου, ΒΕΠ 31, 164,26 ἑξ. PG 25,457C ἑξ. Γρηγορίου Νύσσης, Εἰς τὸ Ἆσμα Ἀσμάτων, ΒΕΠ 66,139,20 ἑξ.

γ. Πρβλ. Γρηγορίου Νύσσης, Περὶ τελειότητος, ΒΕΠ 69,82,23. Μ. Ἀθανασίου, Ἔκθεσις πίστεως, ΒΕΠ 33,241,28. PG 25,208A.

παραδιδοὺς ὁ Ἀπόστολος ἀπαύγασμα δόξης τὸν Υἱὸν κατωνόμασε.

191 Τούτων οὖν ἡμῖν οὕτω διῃρημένων οὐκέτ' ἄν τις ἀμφιβάλλοι πῶς καὶ ἐκ τοῦ Πατρὸς ὁ Μονογενὴς εἶναι πεπίστευται καὶ ἀϊδίως ἔστι, κἂν δοκῇ κατὰ τὴν πρόχειρον ἔννοιαν μὴ συμβαίνειν ὁ λόγος τῷ λόγῳ ὁ ἐκ τοῦ Πατρὸς αὐτὸν εἶναι λέγων τῷ μαρτυροῦντι αὐτῷ τὸ ἀΐδιον. Εἰ δὲ χρὴ καὶ δι' ἑτέρων τὸν λόγον πιστώσασθαι, δυνατὸν ἂν γένοιτο νοῆσαι τὸ περὶ τούτου δόγμα διά τινων τῶν κατὰ τὴν αἴσθησιν ἡμῖν γνωριζομένων. Μηδεὶς δὲ ἐπηρεαζέτω τῷ λόγῳ μὴ δυναμένῳ τοιαύτην ἐν τοῖς οὖσιν εὑρεῖν εἰκόνα τοῦ ζητουμένου, ἣ διὰ πάντων ἀρκέσει δι' ἀναλογίας τινὸς καὶ ὁμοιότητος πρὸς τὴν τοῦ προκειμένου παράστασιν. Βουλόμεθα γὰρ τοὺς λέγοντας πρότερον βεβουλεῦσθαι τὸν Πατέρα, εἶθ' οὕτως ἐλθεῖν ἐπὶ τὸ γενέσθαι Πατέρα καὶ διὰ τούτου τὸ μεταγενέστερον τῷ Λόγῳ κατασκευάζοντας πεῖσαι δι' ὧν ἂν γένοιτο δυνατὸν ἡμῖν ὑποδειγμάτων μετάγειν πρὸς τὸ εὐσεβὲς τὴν διάνοιαν. Οὔτε γὰρ ἡ ἄμεσος αὕτη συνάφεια ἐκθλίβει τὴν βούλησιν τον Πατρὸς ὡς κατά τινα φύσεως ἀνάγκην ἀπροαιρέτως τὸν Υἱὸν ἐσχηκότος, οὔτε ἡ βούλησις διΐστησι τοῦ Πατρὸς τὸν Υἱὸν ὥς τι διάστημα μεταξὺ παρεμπίπτουσα, ὡς μήτε ἐκβάλλειν τοῦ δόγματος τὴν ἐπὶ τῷ Υἱῷ βούλησιν τοῦ γεννήσαντος, οἷον στενοχωρουμένην ἐν τῇ συναφείᾳ τῆς τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα ἑνότητος, μήτε μὴν τὴν ἀδιάστατον διαλύειν συνάφειαν, ὅταν ἐνθεωρῆται τῇ γεννήσει ἡ βούλησις. Τοῦτο γὰρ τῆς βαρείας ἡμῶν καὶ δυσκινήτου φύσεώς ἐστιν ἴδιον, τὸ μὴ ἐν ταὐτῷ πολλάκις παρεῖναι ἡμῖν καὶ τὸ ἔχειν τι καὶ τὸ βούλεσθαι, **[776]** ἀλλὰ νῦν μὲν βουλόμεθά τι ἔχειν ὧν οὐκ ἔχομεν, μετὰ **192** ταῦτα δὲ τυγχάνομεν ὧν τυχεῖν ἠβουλήθημεν. Ἐπὶ δὲ τῆς ἁπλῆς καὶ παντοδυνάμου φύσεως ὁμοῦ τὰ πάντα καὶ κατὰ ταὐτὸν νοεῖται, καὶ τὸ θέλειν τὸ ἀγαθὸν καὶ τὸ ἔχειν ὅπερ ἠθέλησε. Πάντοτε γὰρ ἐνεργὸν καὶ ἐνούσιον καὶ ἐνυπόστατον τῇ ἀϊδίῳ φύσει τὸ ἀγαθόν τε καὶ τὸ ἀΐδιον ἐνθεωρεῖται θέλημα, οὔτε ἀπό τινος ἰδιαζούσης ἀρχῆς ἐγγινόμενον οὔτε δίχα τοῦ θελητοῦ νοηθῆναι δυνάμενον. Οὐδὲ γὰρ ἐνδέχεται παρὰ τῷ Θεῷ ἢ τὸ ἀγαθὸν θέλημα μὴ εἶναι ἢ μὴ συνεῖναι τὸ θελητὸν τῷ βουλήματι, οὐδεμιᾶς αἰτίας οὔτε τὸ πρέπον τῷ Πατρὶ μὴ πάντοτε εἶναι [μὴ] οὔσης οὔτε πρὸς τὸ ἔχειν τὸ βουλητὸν ἐμποδιζούσης. Ἐπεὶ οὖν φύσει τὸ ἀγαθόν, μᾶλλον δὲ παντὸς ἀγαθοῦ ἐπέκεινα ὁ μονογενὴς Θεός, οὐκ ἀβούλητον δὲ τῷ Πατρὶ τὸ ἀγαθόν, φανερῶς ἀποδείκνυται διὰ τούτων ὅτι καὶ ἄμεσός ἐστι τοῦ Υἱοῦ ἡ πρὸς τὸν Πατέρα συνάφεια καὶ οὐκ ἐξωθεῖται οὐδὲ ἐξείργεται ὑπὸ τῆς ἀδιαστάτου συναφείας τὸ βούλημα τὸ τῇ ἀγαθῇ φύσει διὰ παντὸς ἐνυπάρχον. Εἰ δέ τις ἀνεπηρεάστως ἀκούει τοῦ λόγου, καὶ τοιοῦτόν τι τοῖς εἰρημένοις προσθεῖναι βούλομαι.

Ὥσπερ εἴ τις (λέγω δὲ καθ' ὑπόθεσιν) προαιρετικήν τινα τῇ φλογὶ δύναμιν δοίη, δῆλον ἂν εἴη ὅτι ὁμοῦ τῷ εἶναι ἡ φλὸξ καὶ τὴν αὐγὴν ἐκλάμπειν ἀφ' ἑαυτῆς θελήσει, θελήσασα δὲ πάντως οὐκ ἀδυ-

νατήσει, τῆς φυσικῆς δυνάμεως ἐπιτελὲς ποιούσης ὁμοῦ τῷ συστῆναι. τὴν φλόγα τὸ περὶ τὴν αὐγὴν βούλημα, ὡς ἀναντιρρήτως εἰ τοῦτο δοθείη τὸ προαιρετικῶς κινεῖσθαι τὴν φλόγα, πάντων κατὰ ταὐτὸν τὴν συνδρομὴν νοεῖσθαι, τῆς τε τοῦ πυρὸς ἐξάψεως καὶ τοῦ περὶ τὴν αὐγὴν θελήματος καὶ αὐτῆς τῆς αὐγῆς, ὡς **193** μηδὲν τῆς προαιρετικῆς κινήσεως πρὸς τὴν ὀξεῖαν τῆς αὐγῆς ὑπόστασιν ἐμποδιζούσης — οὕτως κατὰ τὸ ῥηθὲν ἡμῖν ὑπόδειγμα καὶ τῷ Πατρὶ τὸ ἀγαθὸν θέλημα συνομολογῶν οὐκ ἀποστήσεις διὰ τοῦ θελήματος τοῦ Πατρὸς τὸν Υἱόν· οὐδὲ γὰρ εἰκός ἐστι τὸ τοῦ εἶναι αὐτὸν βούλημα ἐμπόδιον τοῦ εὐθὺς εἶναι γίνεσθαι, ἀλλ' ὥσπερ ἐν τῷ ὀφθαλμῷ τό τε βλέπειν καὶ τὸ θέλειν βλέπειν τὸ μὲν φύσεώς ἐστιν ἐνέργεια, τὸ δὲ ὁρμὴ προαιρέσεως, οὐ μὴν ἀναβολὴν ἐμποιεῖ τῇ ἐνεργείᾳ τοῦ βλέπειν πρὸς αὐτὸ τοῦτο τῆς προαιρέσεως ἡ κίνησις (ἰδίᾳ γὰρ τούτων ἑκάτερον καὶ ἐφ' ἑαυτοῦ θεωρεῖται, οὐδὲν ἐμπόδιον πρὸς τὸ εἶναι τὸ ἕτερον τῷ ἑτέρῳ γινόμενον, ἀλλὰ τὰ δύο τρόπον τινὰ μετ' ἀλλήλων ἐστί, τῆς τε φυσικῆς ἐνεργείας τῇ προαιρέσει παρομαρτούσης καὶ τῆς προαιρέσεως πάλιν τοῦ κατὰ φύσιν οὐκ ἀπολιμπανομένης κινήματος)· ὡς οὖν τῷ ὀφθαλμῷ ἡ κατανόησις συμφυής ἐστι καὶ ἡ τοῦ ὁρᾶν βούλησις οὐδεμίαν ὑπέρθεσιν πρὸς αὐτὸ τὸ ὁρᾶν ἐνεποίησεν, ἀλλὰ καὶ θέλει αὐτῷ εἶναι τὴν ὅρασιν καὶ ὃ θέλει ἐστίν, οὕτω καὶ ἐπὶ τῆς ἀρρήτου καὶ ὑπὲρ πᾶσαν ἔννοιαν φύσεως πάντων ἅμα κατὰ ταὐτὸν ἐγγίνεται ἡμῖν ἡ διάνοια, τῆς τε ἀϊδίου τοῦ Πατρὸς ὑπάρξεως καὶ τοῦ περὶ τὸν Υἱὸν θελήματος καὶ αὐτοῦ τοῦ Υἱοῦ τοῦ, καθώς φησιν ὁ Ἰωάννης, ἐν τῇ ἀρχῇ ὄντος[1] καὶ οὐ μετὰ τὴν ἀρχὴν νοουμένου· ἀρχὴ δὲ τοῦ παντὸς ὁ Πατήρ. Ἀλλ' ἐν τῇ ἀρχῇ ταύτῃ καὶ ὁ Υἱὸς εἶναι κεκήρυκται ἐκεῖνο ὢν κατὰ τὴν φύσιν, ὅπερ ἐστὶν ἡ ἀρχή. Θεὸς γὰρ ἡ ἀρχὴ καὶ ὁ ἐν τῇ **[777]** ἀρχῇ ὢν Λόγος Θεός ἐστιν. Τῆς δὲ ἀρχῆς **194** τὸ ἀΐδιον ἐνδεικνυμένης καλῶς ὁ Ἰωάννης τῇ ἀρχῇ συνάπτει τὸν Λόγον ἐν αὐτῇ εἶναι λέγων τὸν Λόγον, τοῦτο ὡς οἶμαι κατασκευάζων, ἵνα μὴ φθάσῃ μόνη καθ' ἑαυτὴν ἐγγενέσθαι ἡ ἀρχὴ τῷ ἀκούσαντι, ἀλλὰ πρὶν ταύτην ἐντυπωθῆναι τῇ διανοίᾳ συγκατανοηθῇ τῇ ἀρχῇ καὶ ὁ Λόγος ὁ ἐν ἐκείνῃ ὤν, συνεισελθὼν μετ' αὐτῆς εἰς τὴν τοῦ ἀκούοντος ἔννοιαν καὶ μετὰ τῆς ἀρχῆς τῇ ἀκοῇ ἐγγενόμενος.

Οὑτωσὶ δὲ τοῦ δόγματος ἡμῖν διευκρινηθέντος καιρὸς ἂν εἴη καὶ τὸν ἐναντίον προθεῖναι καὶ θεωρῆσαι λόγον ἐκ παραλλήλου πρὸς τὰς ἡμετέρας ὑπολήψεις ἀντεξετάζοντα. Λέγει δὲ οὕτως· δύο γὰρ ὄντων, φησί, τῶν ὑφ' ἡμῶν εἰρημένων, τοῦ τε πρὸ τῆς ἰδίας γεννήσεως μὴ εἶναι τὴν οὐσίαν τοῦ Μονογενοῦς καὶ τοῦ γεννηθεῖσαν πρὸ πάντων εἶναι, οὐθέτερον τῶν εἰρημένων ἐλέγχει ψεῦδος. Οὔτε γὰρ ὡς πρὸ τῆς ἀνωτάτω

1. Πρβλ. Ἰω. 1,1.

γεννήσεως καὶ συστάσεως ἣν εἰπεῖν ἐτόλμησεν, ἀντιπιπτούσης τῆς τοῦ Πατρὸς φύσεως καὶ τῆς τῶν σωφρονούντων κρίσεως. Τίς γὰρ ἂν καὶ παραδέξαιτο σωφρονῶν Υἱὸν ὄντα καὶ γεννητὸν πρὸ τῆς ἀνωτάτω γεννήσεως, μὴ δεομένου γεννήσεως πρὸς τὸ εἶναι ὅ ἐστι τοῦ χωρὶς γεννήσεως ὄντος. Εἰ μὲν οὖν ἀληθεύει τὸν διδάσκαλον ἡμῶν μηδὲν ἠγωνίσθαι λέγων πρὸς τὰς ἀντιθέσεις, εἰδεῖεν ἂν πάντες ὅσοι τοῖς λόγοις ἐκείνου καθωμιλήκασιν. Ἐγὼ δὲ (μικρὸν γὰρ εἰς ἀπόδειξιν κακίας τὸν ἔλεγχον τῆς περὶ ταῦτα συκοφαντίας εἶναι λογίζομαι) καταλιπὼν τὸ δεῖξαι μὴ ἀνεξέταστον παρεωρᾶσθαι **195** τὸ μέρος τοῦτο παρὰ τοῦ διδασκάλου πρὸς τὴν ἐξέτασιν τῶν προτεθέντων, ὅπως ἂν οἷόν τε ᾖ, τρέψω τὸν λόγον. Δύο φησὶν ἐν τῷ καθ' ἑαυτὸν εἰρηκέναι λόγῳ, ἓν μὲν τὸ πρὸ τῆς ἰδίας γεννήσεως μὴ εἶναι τὴν οὐσίαν τοῦ Μονογενοῦς, ἕτερον δὲ τὸ γεννηθεῖσαν πρὸ πάντων εἶναι. Ἀλλ' ὅτι μὲν οὐ καινή τις οὐσία παρὰ τοῦ Πατρὸς ἐγεννήθη ἔξω τῆς ἐν αὐτῷ τῷ Πατρὶ θεωρουμένης, ἱκανῶς οἶμαι διὰ τῶν προειρημένων ἡμῖν ἀποδεδεῖχθαι καὶ μηδὲν χρῄζειν ἡμᾶς, ὡς πρώτως ἡμῖν προενεχθέντος τοῦ λόγου, πρὸς τὴν τοιαύτην βλασφημίαν συμπλέκεσθαι, πρὸς τοῦτο δὲ μόνον ἀναγκαῖον εἶναι τὴν σπουδὴν γενέσθαι τῷ λόγῳ, πρὸς τὴν ἄθεον αὐτοῦ λέγω καὶ φρικώδη φωνὴν τὴν φανερῶς εἰποῦσαν περὶ τοῦ Θεοῦ Λόγου ὅτι οὐκ ἦν. Ἀλλὰ καὶ περὶ ταύτης τῆς βλασφημίας ἐν τοῖς προειρημένοις μετρίως διαλαβόντος τοῦ λόγου τάχα περιττὸν ἂν εἴη πάλιν διὰ τῶν ὁμοίων θεωρημάτων τὰ προαποδεδειγμένα κατασκευάζειν. Τούτου γὰρ ἕνεκεν καὶ προείρηται παρ' ἡμῶν ἐκεῖνα, ὡς τῆς εὐσεβοῦς διανοίας προεντυπωθείσης τοῖς ἐντυγχάνουσιν καταφανεστέραν γενέσθαι τῶν ἐναντίων τὴν βλασφημίαν τῶν ἐπὶ τοῦ **[780]** μονογενοῦς Θεοῦ τὸ μὴ εἶναι τοῦ εἶναι κατασκευαζόντων πρεσβύτερον.

Δοκεῖ δέ μοι καλῶς ἔχειν αὐτὸ τῆς γεννήσεως τὸ σημαινόμενον δι' ἐπιμελεστέρας ἐξετάσεως διασκοπῆσαι τῷ λόγῳ. Ὅτι μὲν οὖν τὸ ἐξ αἰτίας εἶναί τινος τὸ ὄνομα τοῦτο παρίστησι, παντὶ δῆλόν ἐστι καὶ οὐδὲν οἶμαι χρῆναι περὶ τούτου διαγωνίζεσθαι. Ἀλλ' ἐπειδὴ διάφορος τῶν ἐξ αἰτίας ὑφεστηκότων ἐστὶν ὁ λόγος, τοῦτ' οἶμαι προσήκειν **196** διά τινος τεχνικῆς διαιρέσεως σαφηνισθῆναι τῷ λόγῳ. Τῶν τοίνυν ἔκ τινος γινομένων ταύτας τὰς διαφορὰς κατειλήφαμεν. Τὰ μὲν γὰρ ἐξ ὕλης ἐστὶ καὶ τέχνης, ὡς αἱ τῶν οἰκοδομημάτων καὶ τῶν λοιπῶν ἔργων κατασκευαὶ διὰ τῆς καταλλήλου ὕλης γινόμεναι, ὧν καθηγεῖταί τις τέχνη πρὸς τὸν ἴδιον σκοπὸν τῶν γινομένων τὸ προτεθὲν συμπεραίνουσα, τὰ δὲ ἐξ ὕλης καὶ φύσεως· τὰς γὰρ ἐξ ἀλλήλων γενέσεις τῶν ζῴων ἡ φύσις οἰκοδομεῖ διὰ τῆς ἐν τοῖς σώμασιν ὑλικῆς ὑποστάσεως τὸ ἑαυτῆς ἐνεργοῦσα, τὸ δὲ ἐξ ὑλικῆς ἀπορροίας, ἐφ' ὧν καὶ τὸ προηγούμενον μένει, οἷόν ἐστι καὶ τὸ ἀπ' ἐκείνου ῥέον ἐφ' ἑαυτοῦ

νοεῖται, ὡς ἐπὶ τοῦ ἡλίου καὶ τῆς ἀκτῖνος ἢ ἐπὶ τῆς λαμπάδος καὶ τῆς αὐγῆς ἢ ἐπὶ τῶν ἀρωμάτων τε καὶ μύρων καὶ τῆς ἐκεῖθεν ἐκδιδομένης ποιότητος. Ταῦτα γὰρ ἐφ' ἑαυτῶν ἀμείωτα μένοντα εὐθὺς ἔχει συμπαρομαρτοῦσαν ἕκαστον τὴν ἀπ' αὐτῶν ἐκδιδομένην φυσικὴν ἰδιότητα, οἷον ὁ μὲν ἥλιος τὴν ἀκτῖνα, ἡ δὲ λαμπὰς τὴν αὐγήν, τὰ δὲ ἀρώματα τὴν τῷ ἀέρι ἐξ αὐτῶν ἐντικτομένην εὐωδίαν. Ἔστι καὶ ἕτερον εἶδος παρὰ ταῦτα γεννήσεως, οὗ ἡ μὲν αἰτία ἄϋλός ἐστι καὶ ἀσώματος, ἡ δὲ γέννησις αἰσθητή τε καὶ διὰ σώματος, λέγω δὲ τὸν ἐκ τοῦ νοῦ γεννώμενον λόγον· ἀσώματος γὰρ ὢν καθ' ἑαυτὸν ὁ νοῦς διὰ τῶν αἰσθητῶν ὀργάνων τίκτει τὸν λόγον[α]. Τοσαύτας γεννήσεων διαφορὰς οἷον ἐν γενικῇ τινι θεωρίᾳ κατενοήσαμεν. Τὰ γὰρ ὅσα θαυματουργεῖται παρὰ τῆς φύσεως τῆς σώματα ζῴων τινῶν εἰς ἑτεροφυῆ τινα μεταβαλλούσης ἢ ἀπό τινος τῶν ὑγρῶν ἀλλοιώσεως ἢ σπερμάτων φθορᾶς ἢ ξύλων σηπεδόνος ζῷά τινα δημιουργούσης ἢ ἐκ τῆς τοῦ πυρὸς συμπιλήσεως τὸν ψυχρὸν ἐκ τῶν δαλῶν ἀτμὸν ἐναποληφθέντα τῷ βάθει πρὸς ζῴου γένεσιν μεταποιούσης, ὃ σαλαμάνδραν[β] προσαγορεύουσιν, κἂν **197** ἔξω τῶν διορισθέντων εἶναι δοκῇ, οὐδὲν ἧττον ἐν τοῖς εἰρημένοις ἐστί. Διὰ γὰρ σωμάτων ἡ φύσις τὰ ποικίλα ταῦτα τῶν ζῴων εἴδη τεχνάζεται· ἡ γὰρ ποιὰ τοῦ σώματος τροπὴ τοιῶσδε παρὰ τῆς φύσεως διατεθεῖσα τόδε τι τοῦ ζῴου τὸ εἶδος ἐδημιούργησεν· ὅπερ οὐκ ἄλλο τί ἐστιν εἶδος γεννήσεως παρὰ τὸ ἐκ φύσεως καὶ ὕλης ἀποτελούμενον. Τούτων τοίνυν τῶν τῆς γεννήσεως τρόπων φανερῶν τοῖς ἀνθρώποις ὄντων ἡ φιλάνθρωπος τοῦ Ἁγίου Πνεύματος οἰκονομία παραδιδοῦσα ἡμῖν τὰ θεῖα μυστήρια διὰ τῶν ἡμῖν χωρητῶν τὴν διδασκαλίαν ποιεῖται τῶν ὑπὲρ λόγον, ὡς καὶ ἐν τοῖς ἄλλοις ἅπασι τοῦτο ποιεῖ, ὅταν σωματικῶς διαγράφῃ τὸ Θεῖον, ὀφθαλμὸν[1] καὶ βλέφαρα[2] καὶ οὖς[3] καὶ δακτύλους[4] καὶ χεῖρα[5] καὶ δεξιὰν[6] καὶ βραχίονα[7] καὶ πόδας[8] καὶ ὑποδήματα καὶ τὰ τοιαῦτα **[781]** περὶ Θεοῦ διεξιοῦσα, ὧν οὐδὲν κατὰ τὴν πρόχειρον ἔννοιαν ἐν τῇ θείᾳ καταλαμβάνεται φύσει, ἀλλὰ πρὸς τὸ ἡμῖν εὐσύνοπτον τὴν διδασκαλίαν ἀνάγουσα ταῖς τετριμμέναις ἐν τῇ συνηθείᾳ τῶν ἀνθρώπων φωναῖς τὰ ὑπὲρ πᾶσαν σημασίαν πράγματα διορίζει, ἀναλογικῶς ἡμῶν δι' ἑκάστου τῶν περὶ Θεοῦ λεγομένων πρός τινα ἀναγομένων ὑψηλοτέραν ὑπόνοιαν. Οὕτως οὖν καὶ τὰ πολλὰ τῆς γεννήσεως εἴδη [παρὰ τῆς θεοπνεύστου διδασκαλίας] εἰς παράστασιν τῆς ἀρρήτου τοῦ Μονογενοῦς ὑποστάσεως παραλαμβάνει, τοσοῦτον ἀφ' ἑκάστου λαμβάνουσα ὅσον εὐαγές ἐστιν εἰς τὰς περὶ τοῦ Θεοῦ ὑπολήψεις παραληφθῆναι. Ὡς γὰρ ἡ τῶν δακτύλων μνήμη ἐπὶ τοῦ Θεοῦ καὶ τῆς χειρὸς καὶ τοῦ βραχίονος οὐ τὴν

---

1. Πρβλ. Ἀποκ. 1,14. Ψαλ. 10,4. 2. Πρβλ. Ψαλ. 10,4. 3. Πρβλ. Ἰακ. 5,4. 4. Πρβλ. Λουκ. 11,20. 5. Πρβλ. Λουκ. 1,66. Α' Πέτρ. 5,6. 6. Πρβλ. Ματθ. 5,30. 7. Πρβλ. Πράξ. 13,17. 8. Πρβλ. Ματθ. 5,35.

α. Πλάτ. Προβλήματα 5,955.

β. Ἀριστ. Ἱστορίαι ζῴων 19,552.

ἐξ ὀστῶν, νεύρων καὶ σαρκῶν καὶ συνδέσμων τοῦ μέλους κατασκευὴν ὑπογράφει τῷ λόγῳ, ἀλλὰ τὴν πρακτικὴν αὐτοῦ **198** καὶ ἐνεργητικὴν δύναμιν τῷ τοιούτῳ διασημαίνει ὀνόματι καὶ δι' ἑκάστου τῶν ἄλλων τὰ κατάλληλα τῶν περὶ Θεοῦ νοουμένων ἐνδείκνυται, οὐ συμπαραδεχομένη τὰς σωματικὰς τῶν ὀνομάτων ἐμφάσεις, οὕτως καὶ τὰ τῶν γεννήσεων τούτων εἴδη λέγει μὲν ἐπὶ τῆς θείας φύσεως, οὐ μὴν οὕτω λέγει ὡς νοεῖν οἶδεν ἡ καθ' ἡμᾶς συνήθεια. Ὅταν μὲν γὰρ περὶ τῆς κατασκευαστικῆς λέγῃ δυνάμεως, γέννησιν μὲν ὀνομάζει τὴν τοιαύτην ἐνέργειαν διὰ τὸ δεῖν πρὸς τὸ ταπεινὸν τῆς ἡμετέρας δυνάμεως καταβῆναι τὸν λόγον, οὐ μὴν ἐνδείκνυται τὰ ὅσα παρ' ἡμῖν τῇ κατασκευαστικῇ γενέσει συνθεωρεῖται, οὐ τόπον, οὐ χρόνον, οὐχ ὕλης παρασκευήν, οὐκ ὀργάνων συνεργίαν, οὐ τὸν ἐπὶ τοῖς γινομένοις κόπον, ἀλλὰ ταῦτα ἡμῖν καταλιποῦσα μεγαλοφυῶς καὶ ὑψηλῶς τῷ Θεῷ προσμαρτυρεῖ τῶν ὄντων τὴν γένεσιν ἐν οἷς φησιν ὅτι «αὐτὸς εἶπεν καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο καὶ ἐκτίσθησαν»[1]. Πάλιν, ὅταν τὴν ἀπόρρητόν τε καὶ ὑπὲρ λόγον τοῦ Μονογενοῦς ἐκ τοῦ Πατρὸς ὑπόστασιν ἑρμηνεύῃ, διὰ τὸ ἀχώρητον εἶναι τὴν ἀνθρωπίνην πτωχείαν τῶν ὑπὲρ λόγον τε καὶ ἔννοιαν διδαγμάτων κἀκεῖ τοῖς ἡμετέροις συγκέχρηται καὶ Υἱὸν ὀνομάζει, ὅπερ ἡ παρ' ἡμῖν συνήθεια τοῖς ἀπὸ ὕλης καὶ φύσεως ἀποτικτομένοις ὄνομα τίθεται. Ἀλλ' ὥσπερ τὴν τῆς κτίσεως γένεσιν ἐπὶ τοῦ Θεοῦ ὁ λόγος εἰπὼν τὸ διά τινος ὕλης γίνεσθαι αὐτὴν οὐ προσέθηκεν, οὐσίαν ὕλης καὶ τόπον καὶ χρόνον καὶ πάντα τὰ τοιαῦτα τὴν τοῦ θελήματος δύναμιν εἶναι ἀποφηνάμενος, οὕτω καὶ ἐνταῦθα Υἱὸν εἰπὼν ἀφῆκε πάντα τά τε ἄλλα ὅσα περὶ τὴν κάτω γέννησιν[α] ἡ ἀνθρωπίνη φύσις ὁρᾷ, πάθη λέγω καὶ **199** διαθέσεις καὶ τὴν ἐκ τοῦ χρόνου συνεργίαν καὶ τὴν τοῦ τόπου χρείαν καὶ πρὸ πάντων τὴν ὕλην, ὧν ἄνευ ἁπάντων ἡ κάτω γέννησις ἐκ τῆς φύσεως οὐ συνίσταται. Πάσης δὲ τοιαύτης ἐννοίας ὑλικῆς τε καὶ διαστηματικῆς μὴ συμπαραληφθείσης ἐν τῇ τοῦ Υἱοῦ σημασίᾳ, μόνη ὑπελείφθη ἡ φύσις, καὶ διὰ τοῦτο τῇ τοῦ Υἱοῦ φωνῇ τὸ οἰκεῖον καὶ γνήσιον τῆς ἐκ τοῦ Πατρὸς ἀναδείξεως ἐπὶ τοῦ Μονο**[784]**γενοῦς ἑρμηνεύεται[β]. Καὶ ἐπειδὴ οὐχ ἱκανὸν ἦν τὸ τοιοῦτον τῆς γεννήσεως εἶδος ἀρκοῦσαν ἡμῖν ἐμποιῆσαι περὶ τῆς ἀρρήτου τοῦ Μονογενοῦς ὑπάρξεως τὴν φαντασίαν, συμπαραλαμβάνει καὶ ἕτερον τῆς γεννήσεως εἶδος πρὸς σημασίαν τῆς τοῦ Υἱοῦ θεολογίας, τὸ ἐκ τῆς ὑλικῆς ἀπορροίας, καί φησιν ἀπαύγασμα δόξης[2] καὶ ὀσμὴν μύρου[3] καὶ ἀτμίδα Θεοῦ[4], ἅπερ ἐν τῇ προεκτεθείσῃ παρ' ἡμῶν τεχνολογίᾳ ἡ καθ' ἡμᾶς συνήθεια ὑλικὴν

---

1. Ψαλ. 148,5. 2. Πρβλ. Ἑβρ. 1,3. 3. Πρβλ. Ἆσμ. 1,3. 4. Πρβλ. Ἆσμ. 7,25.

α. Πρβλ. Μ. Ἀθανασίου, Ἀμφιβαλλόμενα. Εἰς τὴν Γέννησιν τοῦ Χριστοῦ, ΒΕΠ 36,227,39-40. PG 28,965B.

β. Γρηγορίου Νύσσης, Περὶ πίστεως πρὸς Σιμπλίκιον, W. Jaeger (ἔκδ. F. Mueller) III,I, 63,14 ἑξ. PG 45,140A.

ἀπόρροιαν ὀνομάζει[α]. Ἀλλ' ὥσπερ ἐν τοῖς προειρημένοις οὔτε ἡ τῆς κτίσεως ποίησις οὔτε ἡ τοῦ Υἱοῦ σημασία χρόνον ἢ ὕλην ἢ τόπον ἢ πάθος συμπαρεδέξατο, οὕτως καὶ ἐνταῦθα πάσης τῆς ὑλικῆς ἐννοίας ἐκκαθάρας τὴν τοῦ ἀπαυγάσματος καὶ τῶν λοιπῶν τῶν μνημονευθέντων σημασίαν, μόνον τὸ θεοπρεπὲς τοῦ τοιούτου τῆς γεννήσεως εἴδους ὁ λόγος παραλαβὼν ἐνδείκνυται τὸ ἐξ αὐτοῦ τε καὶ μετ' αὐτοῦ νοεῖσθαι διὰ τῆς κατὰ τὴν λέξιν ταύτην ἐμφάσεως. Οὔτε γὰρ ἡ ἀτμὶς[β] τὴν εἰς ἀέρα διάχυσιν ἐκ τῆς ὑποκειμένης ὕλης παρίστησιν οὔτε ἡ ὀσμὴ τὴν ἐκ τῆς ποιότητος τοῦ μύρου γινομένην πρὸς τὸν ἀέρα μετάστασιν οὔτε τὸ ἀπαύγασμα τὴν ἐκ τοῦ ἡλιακοῦ σώματος διὰ τῶν ἀκτίνων ἀπόρροιαν, ἀλλὰ τοῦτο μόνον ἐκ πάντων, καθὼς εἴρηται, διὰ τοῦ τοιούτου τῆς γεννήσεως τρόπου δηλοῦται, **200** τὸ ἐξ ἐκείνου τε εἶναι καὶ μετ' ἐκείνου νοεῖσθαι, μηδενὸς διαστήματος μεταξὺ τοῦ Πατρὸς καὶ τοῦ ἐξ αὐτοῦ μεσιτεύοντος. Ἐπεὶ δὲ διὰ πλείονα φιλανθρωπίαν ἡ τοῦ Ἁγίου Πνεύματος χάρις πολλαχόθεν ἡμῖν ἐγγενέσθαι τὰς θείας περὶ τοῦ Μονογενοῦς ὑπολήψεις ᾠκονομήσατο, προσέθηκεν καὶ τὸ λειπόμενον τῶν ἐν γεννήσει θεωρουμένων εἶδος, τὸ ἐκ τοῦ νοῦ φημι καὶ τοῦ λόγου. Ἀλλὰ πλείονι χρῆται τῇ προμηθείᾳ ὁ ὑψηλὸς Ἰωάννης, ὡς μήποτε ὑπὸ ἀτονίας τε καὶ μικροψυχίας καταπεσεῖν τὸν ἀκούοντα πρὸς κοινὴν ἔννοιαν λόγου, ὡς φθόγγον τοῦ Πατρὸς τὸν Υἱὸν νομισθῆναι. Διὰ τοῦτο ἐν οὐσίᾳ βλέπειν τὸν λόγον παρασκευάζει τῷ πρώτῳ κηρύγματι καὶ ἐν οὐσίᾳ οὐκ ἀπεξενωμένῃ τινὶ καὶ ἀπερρωγυίᾳ τῆς ὅθεν ἐστίν, ἀλλ' ἐν αὐτῇ τῇ πρώτῃ καὶ μακαρίᾳ φύσει. Ταῦτα γὰρ διδάσκει λέγων ὅτι ἐν ἀρχῇ ἦν ὁ Λόγος καὶ πρὸς τὸν Θεὸν καὶ Θεός[1], [καὶ] πάντα ὅσα ἐστὶν ἡ ἀρχὴ καὶ αὐτὸς ὤν. Οὕτως γὰρ περὶ τῆς ἀϊδιότητος τοῦ Μονογενοῦς θεολογῶν διεξέρχεται. Τούτων τοίνυν τῶν τῆς γεννήσεως τρόπων ἤτοι τῶν ἐξ αἰτίας ὑφεστηκότων ἐν τῇ καθ' ἡμᾶς συνηθείᾳ γινωσκομένων, παραληφθέντων δὲ καὶ παρὰ τῆς ἁγίας Γραφῆς πρὸς τὴν τῶν ὑπερκειμένων διδασκαλίαν οὕτως ὡς εἰκός ἐστι πρὸς παράστασιν τῶν θείων ὑπολήψεων ἕκαστον τούτων μεταληφθῆναι, κρινάτω δικαίαν κρίσιν ὁ ἐντυγχάνων τῷ λόγῳ, εἴ τι τῶν παρὰ τῆς αἱρέσεως φερομένων ἰσχύν τινα κατὰ τῆς ἀληθείας ἔχει.

Προθήσω δὲ πάλιν αὐτὴν ἐπὶ λέξεως τοῦ ἐναντίου **[785]** τὴν ῥῆσιν ἔχουσαν οὕτως. Δύο, φησί, ὄντων τῶν παρ' ἡμῶν εἰρημένων, τοῦ τε πρὸ τῆς ἰδίας γεννήσεως μὴ εἶναι τὴν οὐσίαν τοῦ Μονογενοῦς καὶ **201**

---

1. Πρβλ. Ἰω. 1,1.

α. Εἰρηναίου, Ἔλεγχος καὶ ἀνατροπὴ τῆς ψευδωνύμου γνώσεως, Βιβλ. Γ', ΒΕΠ, 5,150,5-12. PG 7,939A. Ὠριγένους, Εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον, PG 17,289C. Γρηγορίου Νύσσης, Πρὸς τὰ Ἀπολιναρίου Ἀντιρρητικὸς W. Jaeger (ἔκδ. F. Mueller), III, I, 174,7 ἑξ. PG 45,1184B.

β. Ἀριστ. Μετεωρολογικὰ 360α 24.

τοῦ γεννηθεῖσαν πρὸ πάντων εἶναι. Ποῖον γεννήσεως εἶδος ὁ δογματιστὴς ἡμῖν προτείνεται; ἆρα τὸ πρέπον ἐπὶ Θεοῦ νοεῖν τε καὶ λέγειν; καὶ τίς οὕτως ἄθεος ὥστε προεπινοεῖν τοῦ Θεοῦ τὸ μὴ εἶναι; Ἀλλὰ δῆλον ὅτι πρὸς τὴν ὑλικὴν ταύτην γένεσιν βλέπων τὴν κάτω φύσιν τῆς περὶ τοῦ μονογενοῦς Θεοῦ ὑπολήψεως ποιεῖται διδάσκαλον, καὶ ἐπειδὴ βοῦς ἢ ὄνος ἢ κάμηλος πρὸ τῆς ἰδίας γεννήσεως οὐκ ἔστι, τοῦτο καὶ ἐπὶ τοῦ Μονογενοῦς βούλεται λέγειν, ὃ ἐπὶ τῶν ζῴων ἡ ἀκολουθία τῆς κάτω φύσεως δίδωσι βλέπειν, οὐδὲ τοῦτο νοῶν ὁ σωματικὸς θεολόγος, ὅτι τὸ μονογενὲς ἐπὶ Θεοῦ λεγόμενον αὐτῷ τῷ ῥήματι τὸ πρὸς πᾶσαν γένεσιν ἀκοινώνητόν τε καὶ ἰδιάζον ἀποσημαίνει. Πῶς γὰρ ἂν εἴη μονογενὴς αὕτη ἡ γέννησις, εἰ κοινωνίαν κατὰ τὴν ἔμφασιν καὶ ταυτότητα πρὸς ἄλλην γέννησιν ἔχοι; Τὸ γὰρ μόνον κατ' ἐξαίρετον ἐπ' αὐτοῦ νοεῖσθαι, ὃ οὐκ ἔστιν ἐπ' ἄλλης κατανοῆσαι γεννήσεως, κυρίως τε καὶ προσφυῶς τῷ προσρήματι τοῦ Μονογενοῦς ἑρμηνεύεται· ὡς εἴ γέ τι τῆς κάτω γεννήσεως καὶ ἐπ' αὐτοῦ θεωροῖτο, οὐκέτ' ἂν εἴη Μονογενὴς ὅ τισι τῆς γεννήσεως ἰδιώμασι πρὸς τὰ λοιπὰ τῶν γεννηθέντων κοινοποιούμενος. Εἰ γὰρ τὰ αὐτὰ καὶ ἐπὶ τούτου λέγοιτο, ἃ καὶ ἐπὶ τῶν ἄλλων τῶν διὰ γεννήσεως εἰς τὸ εἶναι προϊόντων λέγεται, εἰς ἀδελφικήν τινα σχέσιν τὸ τοῦ Μονογενοῦς σημαινόμενον μετασκευάσει ὁ λόγος. Οὐκοῦν εἰ τὸ ἄμικτόν τε καὶ ἀκοινώνητον πρὸς τὰ λοιπὰ τῶν γινομένων ἐνδείκνυται τὸ τοῦ Μονογενοῦς σημαινόμενον, οὐδὲν τῶν περὶ τὴν κάτω γέννησιν ὁρωμένων καὶ ἐπὶ τῆς ἐκ τοῦ Πατρὸς ὑποστάσεως τοῦ Υἱοῦ νοεῖσθαι καταδεξόμεθα. Ἀλλὰ μὴν ἴδιον πάντων τῶν διὰ γεννήσεως ὑφεστηκότων τὸ μὴ εἶναι πρὸ τῆς γεννήσεως· ἀλλότριον ἄρα τοῦτο τῆς τοῦ Μονογενοῦς ἰδιότητος, ᾧ μηδὲν τοῦ τρόπου τῆς κοινῆς γεν**202**νήσεως [εἴδους τὸ πεπλανημένον] προσεῖναι ἡ τοῦ Μονογενοῦς ἐπωνυμία μαρτύρεται. Οὐκοῦν πιστωθήτω ὁ ὑλικὸς οὗτος καὶ τῇ αἰσθήσει φίλος διὰ τοῦ ἑτέρου τῆς γεννήσεως εἴδους τὸ πεπλανημένον τῶν ὑπολήψεων αὐτοῦ διορθώσασθαι. Τί γὰρ ἐρεῖς, ὅταν ἀπαύγασμα δόξης[1] καὶ ὀσμὴν μύρου[2] ἀκούσῃς, ὅτι οὐκ ἦν τὸ ἀπαύγασμα πρὸ τῆς ἰδίας γεννήσεως; Ἀλλ' ὅταν τοῦτο εἴπῃς, οὐδὲ τὴν δόξαν πάντως εἶναι δώσεις οὔτε τὸ μύρον· οὐ γὰρ ἔστιν ἢ τυφλὴν ἐφ' ἑαυτῆς καὶ ἀλαμπῆ ποτε νομισθῆναι τὴν δόξαν εἶναι ἢ τὸ μύρον τῆς εὐπνοίας ἄγονον· ὥστε εἰ τὸ ἀπαύγασμα οὐκ ἦν, οὐδὲ ἡ δόξα ἦν πάντως, καὶ τῆς ὀσμῆς μὴ οὔσης τὸ μηδὲ τὸ μύρον εἶναι συναπεδείχθη. Εἰ δὲ φοβεῖ τινα ταῦτα παρὰ τῆς Γραφῆς παραληφθέντα τὰ ὑποδείγματα ὡς οὐκ ἀκριβῶς τὸ μεγαλεῖον τοῦ Μονογενοῦς παριστῶντα διὰ τὸ μὴ ταὐτὸν εἶναι τῷ ὑποκειμένῳ κατὰ τὴν οὐσίαν ἢ τὸν ἀτμὸν τῷ μύρῳ ἢ τὴν ἀκτῖνα τῷ ἡλίῳ, ὁ ἀληθινὸς Λόγος διορθωσάσθω τὸν φόβον ὁ ἐν τῇ ἀρχῇ ὢν καὶ πάντα ὢν ὅσα ἐστὶν ἡ ἀρχὴ καὶ τοῦ παντὸς προϋπάρχων, οὕτως ἐν τῷ κη-

---

1. Πρβλ. Ἑβρ. 1,3. 2. Πρβλ. Ἆσμ. 1,3.

ρύγματι τοῦ Ἰωάννου βοήσαντος ὅτι καὶ πρὸς τὸν Θεὸν ἦν ὁ Λόγος καὶ Θεὸς ἦν ὁ Λόγος. Εἰ οὖν Θεὸς **[788]** μὲν ὁ Πατήρ, Θεὸς δὲ καὶ ὁ Υἱός, τίς ἔτι καταλείπεται πρὸς τὴν ἀκριβῆ τοῦ Μονογενοῦς θεολογίαν ἀμφιβολία, ὅταν τῇ μὲν τοῦ Υἱοῦ σημασίᾳ τὸ κατὰ φύσιν οἰκεῖον γνωρίζηται, τῷ δὲ ἀπαυγάσματι τὸ συναφές τε καὶ ἀδιάστατον, τῇ δὲ τοῦ Θεοῦ προσηγορίᾳ κατὰ τὸ ἴσον ἐφηρμοσμένη Πατρί τε καὶ Υἱῷ τὸ διὰ πάντων ὁμότιμον, ὁ δὲ χαρακτὴρ πάσῃ τῇ ὑποστάσει τοῦ Πατρὸς ἐπιθεωρούμενος τὸ ἀνελλιπὲς τοῦ ἰδίου μεγέ**203**θους διασημαίνῃ, καὶ ἡ μορφὴ τοῦ Θεοῦ τὴν διὰ πάντων καταμηνύῃ ταυτότητα τῷ πάντα δεικνύειν ἐφ' ἑαυτῆς, δι' ὧν ἡ θεότης χαρακτηρίζεται.

Πάλιν τοίνυν προθῶμεν τοῦ Εὐνομίου τὸν λόγον. Οὐκ ἦν, φησί, πρὸ τῆς ἰδίας γεννήσεως. Τίς οὗτός ἐστιν ὃν οὐκ εἶναι λέγει; Εἰπάτω τὰ θεῖα ὀνόματα, οἷς ὁ κατ' Εὐνόμιόν ποτε μὴ ὢν ὀνομάζεται. Οὐκοῦν φῶς[1] ἐρεῖ καὶ μακαριότητα[2] ζωήν[3] τε καὶ ἀφθαρσίαν[4] καὶ δικαιοσύνην[5] καὶ ἁγιασμὸν[6] καὶ δύναμιν[7] καὶ ἀλήθειαν[8] καὶ τὰ τοιαῦτα. Ὁ τοίνυν πρὸ τῆς γεννήσεως λέγων αὐτὸν μὴ εἶναι ἄντικρυς ταῦτα βοᾷ ὅτι οὐκ ἦν ἀλήθεια ὅτε ἐκεῖνος οὐκ ἦν, οὐκ ἦν ζωή, οὐκ ἦν φῶς, οὐκ ἦν δύναμις, οὐκ ἦν ἀφθαρσία, οὐκ ἄλλο τι τῶν πρὸς τὸ κρεῖττον νοουμένων οὐδέν, καὶ τὸ ἔτι τούτων παραλογώτερον καὶ εἰς ἀσέβειαν χαλεπώτερον, οὐκ ἦν ἀπαύγασμα, οὐκ ἦν χαρακτήρ. Ἐν γὰρ τῷ μὴ εἶναι λέγειν ἀπαύγασμα τὸ μηδὲ τὴν ἀπαυγάζουσαν δύναμιν εἶναι συγκατασκευάζεται πάντως, ὡς ἐπὶ τοῦ κατὰ τὸν λύχνον ἐστὶν ὑποδείγματος. Ὁ γὰρ τὴν αὐγὴν τοῦ λύχνου εἰπὼν τὸ καὶ λάμπειν τὸν λύχνον συνενεδείξατο, καὶ ὁ μὴ εἶναι τὴν αὐγὴν λέγων τὴν σβέσιν τοῦ φωτίζοντος συνεσήμανεν. Ὥστε ὅταν ὁ Υἱὸς μὴ εἶναι λέγηται, καὶ ἡ τοῦ Πατρὸς ἀνυπαρξία κατὰ πᾶσαν ἀνάγκην ἐκ τοῦ ἀκολούθου διὰ τούτων κατασκευάζεται. Εἰ γὰρ συνημμένως ἔχεται τοῦ ἑτέρου τὸ ἕτερον κατὰ τὴν ἀποστολικὴν μαρτυρίαν, καὶ τὸ ἀπαύγασμα τῆς δόξης καὶ ὁ χαρακτὴρ τῆς ὑποστάσεως[9] καὶ ἡ σοφία τοῦ Θεοῦ[10], ὁ τὸ ἕτερον τῶν συνημ**204**μένων μὴ εἶναι λέγων τῇ τοῦ ἑνὸς ἀναιρέσει συνανεῖλε πάντως καὶ τὸ λειπόμενον· ὥστε τοῦ ἀπαυγάσματος μὴ ὄντος ὁμολογεῖσθαι μὴ εἶναι μηδὲ τὴν ἀπαυγάζουσαν φύσιν, καὶ τοῦ χαρακτῆρος μὴ ὑφεστῶτος μηδὲ τὴν χαρακτηριζομένην εἶναι ὑπόστασιν, σοφίας δὲ καὶ δυνάμεως Θεοῦ μὴ οὔσης μηδὲ ἐκεῖνον πάντως εἶναι ὁμολογεῖσθαι τὸν δίχα σοφίας τε καὶ δυνάμεως ἐφ' ἑαυτοῦ μὴ νοούμενον. Εἰ οὖν οὐκ ἦν ὁ μονογενὴς Θεὸς πρὶν γενέσθαι, καθώς φησιν ὁ Εὐνόμιος, Χριστὸς δὲ Θεοῦ δύναμις καὶ Θεοῦ σοφία[11] καὶ χαρακτὴρ καὶ ἀπαύγασμα[12], οὐκ ἦν πάντως οὐδὲ ὁ Πατήρ, οὗ ὁ Υἱὸς δύναμίς ἐστι καὶ σοφία καὶ χαρακτὴρ καὶ ἀπαύγα-

---

1. Πρβλ. Ἰω. 8,12. 12,46. 2. Πρβλ. Α' Τιμ. 1,11. 3. Πρβλ. Ἰω. 14,6. 4. Πρβλ. Α' Τιμ. 1,17. 5. Πρβλ. Α' Κορ. 1,30. 6. Ἔνθ' ἀν. 7. Πρβλ. Α' Κορ. 1,24. 8. Πρβλ. Ἰω. 14,6. 9. Πρβλ. Ἑβρ. 1,3. 10. Πρβλ. Α' Κορ. 1,24. 11. Πρβλ. ἔνθ' ἀν. 12. Πρβλ. Ἑβρ. 1,3.

σμα· οὐ γὰρ ἔστιν ἐπινοῆσαι τῷ λόγῳ οὔτε ὑπόστασιν ἀχαρακτήριστον οὔτε ἀλαμπῆ δόξαν οὔτε ἄσοφον Θεόν, οὐκ ἄχειρα δημιουργόν, οὐκ ἄλογον ἀρχήν, οὐκ ἄπαιδα Πατέρα, ἀλλὰ πάντα τὰ τοιαῦτα ἐπί τε τῶν ὁμολογούντων καὶ ἐπὶ τῶν ἀθετούντων [καὶ] ἀλλήλοις συναναφαίνεται καὶ διὰ τῆς τοῦ ἑνὸς ἀναιρέσεως καὶ τὸ συνημμένον συναφανίζεται. Ἐπειδὴ τοίνυν κατασκευάζεται παρ' αὐτῶν τὸ μὴ εἶναι τὸν **[789]** Υἱὸν πρὸ τοῦ γενέσθαι ὅ ἐστιν ἀπαύγασμα δόξης, ἡ δὲ ἀκολουθία συναναιρεῖ τῇ τοῦ ἀπαυγάσματος ἀνυπαρξίᾳ καὶ τὴν τῆς δόξης ἀϊδιότητα, δόξα δὲ ὁ Πατήρ, ὅθεν τὸ μονογενὲς φῶς ἀπηυγάσθη, νοησάτωσαν οἱ περιττοὶ τὴν σοφίαν ὅτι σύμμαχοι τῶν Ἐπικουρείων δογμάτων ἀναπεφήνασιν, ἐν προσχήματι Χριστιανισμοῦ τὴν ἀθεΐαν πρεσβεύοντες. Διπλῆς τοίνυν κατὰ τὸ ἀκόλουθον τῆς ἀτοπίας ἀναφανείσης, ἢ καθόλου μὴ εἶναι τὸν Θεὸν λέγειν ἢ μὴ ἀνάρχως εἶναι, ἑλέσθωσαν τὸ δοκοῦν ἐκ τῶν φανέντων, ἢ ἄθεοι λέγεσθαι ἢ μηκέτι ἄναρχον εἶναι τῷ Πατρὶ τὴν ζωὴν λέγειν. Ἀλλὰ **205** μὴν φεύγειν εἰκὸς αὐτοὺς τὸ ἀθέους νομίζεσθαι· οὐκοῦν λείπεται τὸ μὴ εἶναι ἀΐδιον τὸν Θεὸν κατασκευάζειν. Εἰ δὲ τοῦτο ἡ τῶν ἀποδειχθέντων ἀκολουθία συναναγκάζει, ποῦ αἱ ποικίλαι καὶ εὔστροφοι τῶν ὀνομάτων ἀντιστροφαί; ποῦ ἡ ἀμήχανος τῶν συλλογισμῶν ἀνάγκη διὰ τῆς τοῦ ἀγεννήτου πρὸς τὸ γεννητὸν διαστολῆς τὰς γραώδεις ἀκοὰς περικομποῦσα;

Ἀλλὰ ταῦτα μὲν εἰς τοσοῦτον. Καλῶς δ' ἂν ἔχοι μηδὲ τὸ ἐφεξῆς παριδεῖν ἀνεξέταστον· σιωπάσθω δὲ τὰ διὰ μέσου παίγνια, οἷς ὁ δεινὸς οὗτος ῥήτωρ μειρακιωδῶς ἐναβρύνεται εἴτε παίζων εἴτε σπουδάζων ἐν ταῖς καθ' ἡμῶν λοιδορίαις, ὡς διὰ τούτου κρείττων κατὰ τὸν λόγον ἐσόμενος. Οὐ γὰρ δὴ βιάσεταί τις ἡμᾶς ἢ τοῖς λοξοῖς τὰ ὄμματα συνδιαστρέφειν τὰς ὄψεις ἢ τοῖς ὑπὸ δαιμονίας νόσου παραπεπληγόσι συνδιαστρεβλοῦσθαι καὶ συνεξάλλεσθαι καὶ συγκαταπίπτειν τῷ σώματι. Ἀλλ' ἐκείνους μὲν ἐλεήσομεν, ἡμεῖς δὲ τοῦ καθεστηκότος οὐκ ἐκστησόμεθα. Φησὶ τοίνυν στρέψας πρὸς τὸν διδάσκαλον ἡμῶν τὸν ἐν τῷ πράγματι λόγον, ὡς δὴ κατὰ πρόσωπον τὴν μάχην ποιούμενος ὅτι τοῖς ἰδίοις ἁλώσῃ πτεροῖς[α]. Ἐκείνου γὰρ εἰρηκότος[β] τὸ καλὸν ἀεὶ παρεῖναι τῷ ἐπὶ πάντων Θεῷ, καλὸν δὲ τὸ τοιούτου παιδὸς εἶναι Πατέρα· οὐκοῦν μηδέποτε τὸ καλὸν ἀπεῖναι αὐτοῦ μηδὲ ἄνευ Υἱοῦ τὸν Πατέρα θελῆσαι εἶναι, θελήσαντα δὲ μὴ ἀδυνατῆσαι, δυνάμενον δὲ καὶ βουλόμενον ἐν τῷ κατὰ γνώμην εἶναι καὶ ἀεὶ ἔχειν τὸν Υἱὸν διὰ τὸ ἀεὶ θέλειν τὸ ἀγαθόν (πρὸς τοῦτο γὰρ ἡ διάνοια τῶν **206** ὑπὸ τοῦ Πατρὸς ἡμῶν εἰρημένων βλέπει), ταῦτα προδιασύρας ὁ Εὐνόμιος ἐκ τῆς ἔξωθεν σοφίας ἐπεισαχθεῖσαν τοιαύτην τινὰ ῥῆσιν πρὸς ἀνατροπὴν τῶν εἰρημένων προβάλλεται καί

α. Πρβλ. Αἰσχύλου, Fragm. 139 N^2.
β. Μ. Βασιλείου, Κατὰ Εὐνομίου Βʹ, ΒΕΠ 52,195,16 ἑξ.

φησι· τίς γενήσῃ λέγοντός τινος τῶν τοῖς τοιούτοις λόγοις ἐμμεμελετηκότων, ὡς εἴπερ τὸ δημιουργεῖν καλὸν καὶ Θεῷ πρέπον, πῶς οὐκ ἀνάρχως αὐτῷ τὸ καλὸν καὶ πρέπον παρῆν, εἴπερ ἄναρχος ὁ Θεός; Καὶ ταῦτα μήτε ἀγνοίας κωλυούσης μήτε ἀσθενείας ἐμποδιζούσης ἢ πρὸς τὸ δημιουργεῖν ἡλικίας καὶ ὅσα συμφορήσας κακῶς σεαυτοῦ κατέχεας· οὐ γὰρ δὴ τοῦ Θεοῦ θέμις εἰπεῖν. Εἰ μὲν οὖν ἦν δυνατὸν αὐτὸν τὸν διδάσκαλον πρὸς τὸ ἐρωτηθὲν ἀποκρίνασθαι, ἔδειξεν ἂν τῷ Εὐνομίῳ, τίς ἂν ἐγένετο, καθὼς οὗτος ἠρώτησε, διὰ τῆς θεοπαιδεύτου γλώττης τό τε Θεῖον ἐκκαλύπτων μυστήριον καὶ μαστίζων τοῖς ἐλέγχοις τοὺς τῆς ἀπάτης προστάτας, ὥστε φανερὸν γενέσθαι **[792]** πᾶσιν, ὅσον τὸ μέσον ἐστὶ [μεταξὺ] διακόνου μυστηρίων Χριστοῦ καὶ μίμου γελοίων ἢ ποιητοῦ καινῶν τε καὶ ἀλλοκότων δογμάτων. Ἐπεὶ δὲ ὁ μέν, καθώς φησιν ὁ Ἀπόστολος, ἀποθανὼν τῷ Θεῷ λαλεῖ[1], ὁ δὲ ὡς οὐκ ὄντος τοῦ ἀντεροῦντος τοιαῦτα προβάλλει, κἂν μὴ τὸ ἴσον ἡ παρ' ἡμῶν ἀπόκρισις ἔχῃ ὡς πρὸς τὴν τοῦ μεγάλου Βασιλείου φωνήν, πλὴν ἐν παρρησίᾳ ταῦτα πρὸς τὸν ἐρωτήσαντα φήσομεν, ὅτι μαρτυρία τοῦ ἀληθεύειν ἡμᾶς ἐν οἷς τὸ δόγμα τῆς ἀσεβείας ἐλέγχομεν ὁ σὸς γίνεται λόγος ὁ ἐπὶ ἀνατροπῇ τῶν ἡμετέρων προφερόμενος λόγων. **207** Οὐδὲ γὰρ ἄλλο τι τοσοῦτον ἡμεῖς αἰτιώμεθα ἢ τὸ μηδὲν οἴεσθαι διαφέρειν ὑμᾶς τοῦ κοινοῦ τῆς κτίσεως τὸν Δεσπότην τῆς κτίσεως, καὶ τὸ παρ' ὑμῶν προτεινόμενον κατασκευή ἐστιν ὧν ἡμεῖς αἰτιώμεθα. Εἰ γὰρ ὅπερ ἐπὶ τῆς κτίσεως βλέπεις, τοῦτο δεῖ ἐφαρμόζειν καὶ τῷ μονογενεῖ Θεῷ, πέρας ἔχει τὸ παρ' ἡμῶν σπουδαζόμενον· ἀπελήλεγκται γὰρ διὰ τῶν σῶν λόγων τὸ ἄτοπον καὶ πᾶσι γέγονε καταφανές, ὅτι τε ἡμεῖς ἐν ἀληθείᾳ τὸν λόγον εὐθύνομεν καὶ ὅτι σοὶ ἡ περὶ τοῦ μονογενοῦς Θεοῦ ὑπόληψις τοιαύτη ἐστίν, οἵα καὶ περὶ τὰ λοιπὰ τῶν κτισμάτων.

Περὶ τίνος ἡ ἀμφισβήτησις ἦν; οὐ περὶ τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ, τοῦ δημιουργοῦ πάσης τῆς κτίσεως, εἴτε ἀεὶ ἦν εἴτε ὕστερον τῷ Πατρὶ προσεγένετο; τί οὖν περὶ τούτου φησὶν ἡ τοῦ διδασκάλου φωνή; Ὅτι τὸ τῇ φύσει καλὸν οὐκ εὐαγές ἐστι μὴ ἀεὶ ἐν τῷ Θεῷ πιστεύειν εἶναι. Μηδὲ γὰρ αἰτίαν ὁρᾶν τινα, καθ' ἣν εἰκός ἐστι τὸ ἀγαθὸν τῷ ἀγαθῷ μὴ παρεῖναι, μήτε κατὰ δυνάμεως ἔλλειψιν μήτε κατὰ τὴν τῆς βουλῆς ἀτονίαν. Τί πρὸς ταῦτά φησιν ὁ τοῖς εἰρημένοις μαχόμενος; Ὅτι ἐὰν τὸν Θεὸν Λόγον δῷς ἐξ ἀϊδίου πιστεύεσθαι, καὶ περὶ τῶν δημιουργημάτων τὸ ἴσον δώσεις. Ὢ πῶς οἶδε διακρίνειν τῷ λόγῳ δημιουργημάτων φύσιν καὶ θείαν μεγαλειότητα, πῶς ἐπίσταται περὶ ἑκατέρου τὰ πρόσφορα, ὅσα τε περὶ τοῦ Θεοῦ καὶ ὅσα

---

1. Πρβλ. Α' Κορ. 14,2.

περὶ τῆς κτίσεως εὐσεβές ἐστιν οἴεσθαι. Εἰ ὁ δημιουργός, φησίν, ἀπὸ χρόνου τῆς δημιουργίας ἄρχεται· οὐ γὰρ ἄλλῳ τινὶ τὴν τῶν γεγονότων ἀρχὴν ἔστι σημειώσασθαι, μὴ ἐν τῷ ἰδίῳ διαστήματι τοῦ χρόνου τὰς ἀρχὰς καὶ τὰ τέλη τοῖς γινομένοις ὁρίζοντος. Διὰ τοῦτό φησι δεῖν καὶ τὸν **208** ποιητὴν τῶν χρόνων ἀπὸ τῆς ὁμοίας ἀρχῆς τοῦ εἶναι ἄρξασθαι. Ἀλλ' ἡ μὲν κτίσις ἀρχὴν τοὺς αἰῶνας ἔχει, τοῦ δὲ ποιητοῦ τῶν αἰώνων ποίαν ἐπινοήσεις ἀρχήν; εἰ μὲν γὰρ τὴν ἐν τῷ Εὐαγγελίῳ τις λέγοι, ὁ Πατήρ ἐστιν ἐκεῖ τὸ δηλούμενον, ᾧ συνημμένως καὶ ἡ τοῦ Υἱοῦ ὁμολογία συναναδείκνυται, καὶ οὐκ ἔστι τὸν ἐν τῷ Πατρὶ ὄντα[1], καθώς φησιν ὁ Κύριος, ἀπό τινος σημείου τοῦ ἐν αὐτῷ εἶναι ἄρξασθαι. Εἰ δὲ ἄλλην τις ἀρχὴν παρ' ἐκείνην λέγοι, εἰπάτω τὸ ὄνομα ᾧ σημειοῦται τὴν τοιαύτην ἀρχήν, μηδενὸς καταλαμβανομένου πρὸ τῆς τῶν αἰώνων συστάσεως. Οὐκοῦν οὐδὲν ἡμᾶς παρακινήσει τῆς εὐσεβοῦς περὶ τὸν μονογενῆ Θεὸν ὑπολήψεως ὁ τοιοῦτος λόγος, κἂν ἐπικροτῶσιν αἱ γρᾶες ὡς ἰσχυρῷ τῷ προβλήματι. Μένομεν γὰρ ἐπὶ τῶν ἐξ ἀρχῆς ἐγνωσμένων ἐρηρεισμένον ἔχοντες ἐπὶ τῆς ἀληθείας τὸν **[793]** λόγον ὅτι, ὅσα περὶ τοῦ μονογενοῦς Θεοῦ λέγειν ὁ τῆς εὐσεβείας ὑποτίθεσθαι λόγος, οὐδεμίαν ἔχει πρὸς τὴν κτίσιν τὴν οἰκειότητα, ἀλλὰ πολλῷ τῷ μέσῳ διώρισται τοῦ τε πάντα πεποιηκότος καὶ τῶν ἔργων αὐτοῦ τὰ γνωρίσματα. Εἰ μὲν οὖν ἑτέροις τισὶν εἶχέ τινα κοινωνίαν ὁ Υἱὸς πρὸς τὴν κτίσιν, ἔδει πάντως μηδὲ κατὰ τὸν τῆς ὑπάρξεως τρόπον παρηλλάχθαι λέγειν· εἰ δὲ ἄμοιρος ἡ κτίσις τῶν τοιούτων ἐστὶ τῶν ὅσα περὶ τὸν Υἱὸν μεμαθήκαμεν, ἀναγκαῖον πάντως μηδὲ κατὰ τοῦτο λέγειν τὴν κοινωνίαν ἔχειν. Οὐδὲ γὰρ ἐν ἀρχῇ ἦν ἡ κτίσις οὔτε πρὸς τὸν Θεὸν ἦν οὔτε Θεὸς ἦν, οὐ ζωή, οὐ φῶς, οὐκ ἀνάστασις, οὐ τὰ λοιπὰ τῶν θεοπρεπῶν ὀνομάτων, οἷον ἀλήθεια, δικαιοσύνη, ἁγιασμός, κριτὴς δίκαιος, ποιητὴς τοῦ παντός, ὑπάρχων πρὸ τῶν αἰώνων, βασιλεύων τὸν αἰῶνα καὶ ἐπ' αἰῶνα καὶ ἔτι, οὐκ **209** ἀπαύγασμα δόξης ἡ κτίσις, οὐ χαρακτὴρ ὑποστάσεως, οὐκ ἀγαθότητος εἰκών, οὐ χάρις, οὐ δύναμις, οὐκ ἀλήθεια, οὐ σωτηρία, οὐκ ἀπολύτρωσις, οὐδέ τι τοιοῦτον ὅλως τῶν εἰς δόξαν τοῦ Μονογενοῦς παρὰ τῆς Γραφῆς λεγομένων οὐδὲν ἐπὶ τῆς κτίσεως οὔτε ἔστιν οὔτε λέγεται, ἵνα τὰς ὑψηλοτέρας παρῶμεν φωνάς, τὸ ἐγὼ ἐν τῷ Πατρὶ καὶ ὁ Πατὴρ ἐν ἐμοί[2], καὶ «ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα»[3], καὶ οὐδεὶς οἶδε τὸν Υἱὸν εἰ μὴ ὁ Πατήρ[4]. Εἰ μὲν οὖν εἶχε τὰ τοιαῦτα καὶ τηλικαῦτα προσμαρτυρεῖν ὁ λόγος τῇ κτίσει, καλῶς ἂν τὸ περὶ ταύτην θεωρούμενον καὶ ταῖς περὶ τοῦ Μονογενοῦς ὑπολήψεσιν ἐφαρμόζειν ᾤετο δεῖν, ἐκ τῶν ὁμοφύλων πρὸς τὸ συγγενὲς γινομένης τῆς παραθέσεως· εἰ δὲ πάντα τὰ τοιαῦτα νοήματά τε καὶ ὀνόματα πρὸς μὲν τὸν Πατέρα τὴν κοινωνίαν ἔχει,

1. Πρβλ. Ἰω. 10,38. 2. Ἔνθ' ἀν. 3. Ἰω. 14,9. 4. Πρβλ. Ματθ. 11,27.

τῆς δὲ περὶ τὴν κτίσιν ὑπονοίας ὑπέρκειται, ἆρ' οὐ καταδύσεται ὑπ' αἰσχύνης ὁ σοφὸς καὶ ἀγχίνους διὰ τῶν ἐν τῇ κτίσει θεωρουμένων φυσιολογῶν τὸν τῆς κτίσεως Κύριον, οὔπω συνιεὶς ὅτι ἄλλα ⟨τῆς θείας φύσεως καὶ ἄλλα⟩ τῆς κτίσεώς ἐστι τὰ γνωρίσματα.

Τῶν γὰρ ὄντων πάντων ἡ ἀνωτάτω διαίρεσις εἰς τὸ κτιστὸν καὶ ἄκτιστον τὴν τομὴν ἔχει, τὸ μὲν ὡς αἴτιον τοῦ γεγονότος, τὸ δὲ ὡς ἐκεῖθεν γενόμενον[α]. Διῃρημένης τοίνυν τῆς τε κτιστῆς φύσεως καὶ τῆς θείας οὐσίας καὶ οὐδεμίαν ἐπιμιξίαν ἐχούσης κατὰ τὰς γνωριστικὰς ἰδιότητας, ἀνάγκη πᾶσα μὴ διὰ τῶν ὁμοίων ἑκατέραν νοεῖν μηδὲ τὰ αὐτὰ γνωρίσματα τῶν διεστηκότων κατὰ τὸν τῆς φύσεως λόγον ἀναζητεῖν. Τῆς τοίνυν ἐν τῇ κτίσει φύσεως, καθώς φησί που τῆς παναρέτου σοφίας ὁ λόγος, ἀρχήν τε καὶ τέλος καὶ μεσότητα χρόνων[1] ἐφ' ἑαυτῆς δεικνυούσης **210** καὶ πᾶσι συμπαρατεινομένης τοῖς χρονικοῖς διαστήμασι, ταύτην τὴν ἰδιότητα οἷόν τινα χαρακτῆρα τοῦ ὑποκειμένου λαμβάνομεν ἐν τῷ πάντως καὶ ἀρχὴν αὐτοῦ τινα τῆς συστάσεως βλέπειν καὶ πρὸς τὸ μέσον ὁρᾶν καὶ πρὸς τὸ πέρας ταῖς ἐλπίσι συμπαρατείνεσθαι. Μεμαθήκαμεν γὰρ ὅτι οὔτε ἐξ ἀϊδίου ἦν ὁ οὐρανὸς καὶ ἡ γῆ οὔτε εἰς τὸ ἀΐδιον ἔσται, ὡς ἐκ τούτου δῆλον εἶναι ὅτι καὶ ἀπὸ ἀρχῆς τινος τὰ ὄντα ἤρξατο καὶ εἴς τι πάντως καταλήξει **[796]** πέρας. Ἡ δὲ θεία φύσις κατ' οὐδὲν μέρος περατουμένη, ἀλλὰ πανταχόθεν [ἐν] τῷ ἀορίστῳ πάντα περασμὸν διαβαίνουσα πόρρωθέν ἐστι τῶν ἐπὶ τῆς κτίσεως εὑρισκομένων σημείων. Ἡ γὰρ ἀδιάστατος καὶ ἄποσος καὶ ἀπερίγραπτος δύναμις ἐν ἑαυτῇ τοὺς αἰῶνας καὶ πᾶσαν τὴν ἐν τούτοις ἔχουσα κτίσιν καὶ πανταχόθεν τῆς τῶν αἰώνων ἀπειρίας τῇ ἀϊδιότητι τῆς ἰδίας ὑπερεκπίπτουσα φύσεως ἢ οὐδὲν ἔχει σημεῖον τὸ καταμηνῦον τὴν φύσιν ἢ ἄλλο τι πάντως καὶ οὐχ ὅπερ ἡ κτίσις ἔχει. Ἐπεὶ οὖν ἴδιον τῆς κτίσεως τὸ ἀρχὴν ἔχειν, ἀλλότριον ἂν εἴη τῆς ἀκτίστου φύσεως τὸ τῆς κτίσεως ἴδιον. Εἰ γὰρ καθ' ὁμοιότητα τῆς κτίσεως καὶ τὴν τοῦ Μονογενοῦς ὕπαρξιν ἔκ τινος καταλαμβανομένης ἀρχῆς ὑποτίθεσθαί τις ἀξιώσειε, κατ' ἀνάγκην πάντως καὶ τὴν τῶν λοιπῶν ἀκολουθίαν τῷ περὶ τοῦ Υἱοῦ λόγῳ συνεφαρμόσει. Οὐ γὰρ ἔστι τῆς ἀρχῆς δοθείσης μὴ συνομολογῆσαι καὶ τὸ ἑπόμενον. Ὥσπερ γὰρ εἴ τις ἄνθρωπον εἶναι δοίη τινά, πάντα τὰ τῆς φύσεως ἴδια τῇ ὁμολογίᾳ ταύτῃ συνήρτησε, καὶ ζῷον αὐτὸν καὶ λογικὸν εἶναι λέγων καὶ εἴ τι ἄλλο νοεῖται περὶ τὸν ἄνθρωπον, κατὰ τὸν αὐτὸν λόγον εἰ ἕν τι τῶν περὶ τὴν **211** κτίσιν ἰδιωμάτων ἐπὶ τῆς θείας οὐσίας κατανοήσαιμεν, οὐκέτ' ἐφ' ἡμῖν ἔσται τὸν λοιπὸν κατάλογον τῶν ἐπ' αὐτῆς θεωρουμένων μὴ ἐφαρμόσαι τῇ ἀκηράτῳ φύσει· ἡ γὰρ ἀρχὴ βιαίως τε

---

1. Πρβλ. Σ. Σολ. 7,18.

α. Μ. Ἀθανασίου, Περὶ σαρκώσεως τοῦ Λόγου κατὰ Ἀπολιναρίου, λόγ. Α', ΒΕΠ 37,268,36 ἑξ. PG 26,1097A. Γρηγορίου Νύσσης, Εἰς τὸ Ἆσμα Ἀσμάτων, VI, W. Jaeger (ἔκδ. H. Langerbeck) VI, 174,5 ἑξ. PG 44,885D.

καὶ ἀναγκαίως τὸ μεθ' ἑαυτὴν ἀκόλουθον ἐπιζητήσει. Ἡ γὰρ οὕτω νοουμένη ἀρχὴ τῶν μετ' αὐτήν ἐστιν ἀρχή, ὥστε εἰ ἐκεῖνα εἴη, καὶ ταύτην εἶναι, εἰ δὲ ἀναιροῖτο τὰ συνημμένα, μηδὲ τὸ προηγούμενον μένειν. Τῆς τοίνυν σοφίας καὶ μεσότητα καὶ τέλος τῇ ἀρχῇ προστιθείσης, εἰ λάβοιμεν ἐπὶ τῆς τοῦ Μονογενοῦς φύσεως ἀρχήν τινα ἀπό τινος σημείου ὁριζομένην τῆς ὑποστάσεως, καθὼς δογματίζει ἡ αἵρεσις, οὐ συγχωρήσει πάντως ἡ σοφία μὴ καὶ τὸ πέρας καὶ τὸ μέσον τῇ ἀρχῇ συναρτῆσαι. Εἰ δὲ τοῦτο γένοιτο, εὑρεθήσεται ἡμῖν ὁ θεολόγος θνητὸν τοῖς ἐπιχειρήμασιν ἀποδεικνύων τὸ Θεῖον. Εἰ γὰρ τῇ ἀρχῇ τὸ τέλος, κατὰ τὸν τῆς σοφίας λόγον, ἀναγκαίως ἐφέπεται καὶ τὸ μέσον ἐνθεωρεῖται τοῖς πέρασιν, ὁ τὸ ἓν δοὺς τῇ δυνάμει καὶ τὰ ἄλλα συγκατεσκεύασε, μέτρα καὶ πέρας ζωῆς ὁρίζων τῇ ἀορίστῳ φύσει. Εἰ δὲ τοῦτο ἀσεβές τε καὶ ἄτοπον, τῆς ἴσης ἢ καὶ μείζονος ἄξιον κατηγορίας ἐστὶ τὸ ἀρχὴν δοῦναι τῷ λόγῳ τῷ εἰς ἀσέβειαν λήγοντι· ἀρχὴ δὲ τῆς τοιαύτης ἀτοπίας ἐφάνη τὸ ἐν ἀρχῇ τινι περιγεγραμμένην τοῦ Υἱοῦ τὴν ζωὴν νομίσαι. Ὥστε δυοῖν θάτερον, ἢ μεταθήσονται πρὸς τὸν ὑγιαίνοντα λόγον ὑπὸ τῶν εἰρημένων ἀναγκαζόμενοι καὶ τῇ τοῦ Πατρὸς ἀϊδιότητι τὸν ἐξ ἐκείνου συνθεωρήσουσιν ἤ, εἰ μὴ τοῦτο βούλοιντο, καθ' ἑκάτερον περατώσουσι τοῦ Υἱοῦ τὸ ἀΐδιον, τῇ ἀρχῇ καὶ τῷ τέλει τὸ ἄπειρον αὐτοῦ τῆς ζωῆς εἰς τὸ ἀνύπαρκτον ἄγοντες. Εἰ δὲ ἀτελεύτητος καὶ τῶν ψυχῶν καὶ τῶν ἀγγέλων ἡ φύσις καὶ οὐδὲν κωλύεται εἰς τὸ ἀΐδιον προϊέναι διὰ τοῦ καὶ κτιστὴ εἶναι καὶ ἀπό τινος τὴν ἀρχὴν τῆς συστάσεως ἐσχη**212**κέναι, ὡς διὰ τούτου δύνασθαι ἂν καὶ ἐπὶ τοῦ Χριστοῦ τὸ ἴσον τοὺς ὑπεναντίους εἰπεῖν, ὡς μήτε ἐξ **[797]** ἀϊδίου ὄντος καὶ εἰς τὸ ἀτελεύτητον παρατείνοντος, ὁ ταῦτα προφέρων κἀκεῖνο λογιζέσθω, ὅσῳ ⟨τῷ⟩ μεταξὺ τῆς κτίσεως ἡ θεότης διέστηκε τοῖς ἰδιώμασι. Τῆς μὲν γὰρ θεότητος ἴδιον τὸ ἀνενδεὲς παντὸς τοῦ κατὰ τὸ ἀγαθὸν θεωρουμένου νοήματος, ἡ δὲ κτίσις ἐκ μετοχῆς τοῦ βελτίονος ἐν τῷ καλῷ γίνεται, ἥτις οὐ μόνον τοῦ εἶναι ἤρξατο, ἀλλὰ καὶ τοῦ ἐν τῷ καλῷ εἶναι πάντοτε διὰ τῆς πρὸς τὸ κρεῖττον ἐπαυξήσεως ἐν τῷ ἄρχεσθαι καταλαμβάνεται. Διότι οὐδέποτε ἐπὶ τοῦ κατειλημμένου ἵσταται, ἀλλὰ πᾶν τὸ κτισθὲν διὰ τῆς μετουσίας ἀρχὴ τῆς πρὸς τὸ μεῖζον ἀνόδου γίνεται καὶ κατὰ τὴν Παύλου φωνὴν οὐδέποτε παύεται τοῖς ἔμπροσθεν ἐπεκτεινομένη καὶ λήθην ποιουμένη τῶν ὄπισθεν[1].

Ἐπεὶ οὖν ἡ μὲν θεότης αὐτοζωή ἐστι, Θεὸς δὲ ὁ μονογενὴς Θεὸς καὶ ζωὴ καὶ ἀλήθεια καὶ πᾶν εἴ τι ὑψηλὸν καὶ θεοπρεπές ἐστι νόημα, ἡ δὲ κτίσις ἐκεῖθεν τῶν ἀγαθῶν λαμβάνει τὴν χορηγίαν, φανερὸν ἐκ τούτων ἂν εἴη ὅτι εἴπερ μετέχουσα τῆς ζωῆς ἐν τῷ ζῆν ἐστι, καὶ εἰ παύσαιτο τῆς μετουσίας, καὶ τοῦ ἐν τῷ ζῆν εἶναι παύσεται πάντως. Εἰ μὲν οὖν καὶ περὶ τοῦ μονογενοῦς Θεοῦ ταῦτα λέγειν τολμῶσιν,

1. Πρβλ. Φιλιπ. 3,13.

ὅσα περὶ τῆς κτίσεως ἀληθές ἐστι λέγειν, καὶ τοῦτο μετὰ πάντων λεγέτωσαν, ὅτι ὁμοίως τῇ κτίσει καὶ τοῦ εἶναι ἄρχεται καὶ ἐν τῷ ζῆν καθ' ὁμοιότητα τῶν ψυχῶν διαμένει. Εἰ δὲ ὁ μὲν αὐτοζωή ἐστι καὶ τοῦ ἐπείσακτον ἔχειν ἐν ἑαυτῷ τὴν ζωὴν οὐ προσδέεται, τὰ δὲ ἄλλα πάντα οὐχὶ ζωή ἐστιν, ἀλλὰ μεθεκτικὰ τῆς ζωῆς γίνεται, τίς ἀνάγκη διὰ τῶν ἐν τῇ κτίσει βλεπομένων παραγράφεσθαι τοῦ Υἱοῦ **213** τὸ ἀΐδιον; Τὸ μὲν γὰρ ἀεὶ ὡσαύτως κατὰ τὴν φύσιν ἔχον ἀπαράδεκτόν ἐστι τοῦ ἐναντίου καὶ τῆς πρὸς τὸ ἕτερον μεταβολῆς ἀνεπίδεκτον· οἷς δὲ ἡ φύσις μεθόριος, τούτοις ἐπαμφοτερίζει πρὸς ἑκάτερον ἡ ῥοπή, κατ' ἐξουσίαν τοῖς κατὰ γνώμην προσκλινομένη. Εἰ οὖν ἡ ὄντως ζωὴ ἐν τῇ θείᾳ τε καὶ ὑπερκειμένῃ θεωρεῖται φύσει, ἡ ἀπόπτωσις ταύτης πρὸς τὸ ἀντικείμενον πάντως κατὰ τὸ εἰκὸς καταλήξει. Πολύσημος δὲ τῆς ζωῆς καὶ τοῦ θανάτου ἡ ἔννοια καὶ οὐ κατὰ τὸν αὐτὸν νοουμένη τρόπον. Ἐπὶ μὲν γὰρ τῆς σαρκὸς ἡ τῶν σωματικῶν αἰσθήσεων ἐνέργειά τε καὶ κίνησις ζωὴ λέγεται, καὶ τὸ ἔμπαλιν ἡ σβέσις αὐτῶν καὶ διάλυσις θάνατος ὀνομάζεται· ἐπὶ δὲ τῆς νοερᾶς φύσεως ἡ πρὸς τὸ Θεῖον οἰκείωσις ἡ ἀληθής ἐστι ζωὴ καὶ ἡ τούτου ἀπόπτωσις θάνατον ἔχει τὸ ὄνομα. Διὸ καὶ τὸ ἀρχέγονον κακόν, ὁ διάβολος, καὶ θάνατος λέγεται καὶ εὑρετὴς θανάτου, ἀλλὰ καὶ τὸ κράτος ἔχειν θανάτου παρὰ τοῦ Ἀποστόλου λέγεται[1]. Οὐκοῦν διπλῆς, καθὼς εἴρηται, τῆς τοῦ θανάτου σημασίας ἐκ τῶν Γραφῶν νοουμένης, ὁ μὲν ἀληθῶς ἄτρεπτός τε καὶ ἀναλλοίωτος μόνος ἔχει τὴν ἀθανασίαν καὶ φῶς οἰκεῖ τῷ ζόφῳ τῆς κακίας ἀπρόσιτόν τε καὶ ἀπροσπέλαστον[2]· ὅσα δὲ τοῦ θανάτου μετέχει, τῆς ἀθανασίας διὰ τῆς ἐπὶ τὸ ἐναντίον ῥοπῆς πόρρω γινόμενα * * * εἰ δὲ ἀπορρυείη τῆς τοῦ ἀγαθοῦ **[800]** μετουσίας, δέξαιτο ἂν τῷ τρεπτῷ τῆς φύσεως τὴν κοινωνίαν τοῦ χείρονος, ὅπερ οὐδὲν ἕτερόν ἐστιν ἢ θάνατος, ἀναλογίαν τινὰ πρὸς τὸν σωματικὸν θάνατον ἔχων. Ὡς γὰρ ἐνταῦθα τῶν τῆς φύσεως ἐνεργημάτων ἡ σβέσις θάνατος κέκληται, οὕτως καὶ ἐπὶ τῆς νοερᾶς οὐσίας ἡ πρὸς τὸ ἀγαθὸν ἀκινησία θάνατός ἐστι καὶ ζωῆς ἀναχώρησις· ὡς μὴ ἀντιπίπτειν τῷ λόγῳ τῷ **214** τὴν αἱρετικὴν ἀτοπίαν ἐλέγχοντι τὸ περὶ τὴν ἀσώματον κτίσιν νοούμενον. Ὁ γὰρ κατάλληλος τῇ νοερᾷ φύσει θάνατος, τουτέστιν ὁ χωρισμὸς τοῦ Θεοῦ, ὃν ζωὴν ὀνομάζομεν, οὐδὲ ταύτης τῆς φύσεως τῇ δυνάμει κεχώρισται. Ἡ γὰρ ἐκ τοῦ μὴ ὄντος πάροδος τὸ τρεπτὸν καταμηνύει τῆς φύσεως. Ὧ δὲ συγγενὴς ἡ ἀλλοίωσις, τοῦτο χάριτι τοῦ ἐνισχύοντος τῆς τοῦ ἐναντίου μετουσίας ἀπείργεται, οὐχὶ δυνάμει τῆς ἰδίας φύσεως ἐν τῷ ἀγαθῷ μένει· τὸ δὲ τοιοῦτον οὐκ ἀΐδιον. Εἰ οὖν καὶ ἀληθεύει λέγων μὴ δεῖν διὰ τῶν αὐτῶν τὴν θείαν οὐσίαν καὶ τὴν κτιστὴν φύσιν ἀναλογίζεσθαι μηδὲ διά τινος ἀρχῆς περιγράφειν τοῦ Υἱοῦ τὸ εἶναι, ὡς ἂν μὴ τούτου δοθέντος καὶ τὰ λοιπὰ τῆς κτίσεως ἴδια τῇ τοῦ ἑνὸς ὁμολογίᾳ συμπαρεισέλθοι,

1. Πρβλ. Ἑβρ. 2,14. 2. Πρβλ. Α' Τιμ. 6,16.

ἐλέγχεται προδήλως ἡ ἀτοπία τοῦ τὸν μονογενῆ Θεὸν διὰ τῶν περὶ τῆς κτίσεως λεγομένων τῆς τοῦ Πατρὸς ἀϊδιότητος ἀποσχίζοντος. Ὡς γὰρ οὐδὲν ἄλλο τῶν χαρακτηριζόντων τὴν κτίσιν περὶ τὸν ποιητὴν καθορᾶται τῆς κτίσεως, οὕτως οὐδὲ τὸ ἀπ' ἀρχῆς τινος εἶναι ταύτην ἀπόδειξις γίνεται μὴ πάντοτε εἶναι ἐν τῷ Πατρὶ τὸν Υἱόν, ὅς ἐστι σοφία τε καὶ δύναμις[1] καὶ φῶς[2] καὶ ζωὴ[3] καὶ πάντα ὅσα ἐν τῷ πατρικῷ θεωρεῖται κόλπῳ.

---

1. Πρβλ. Α' Κορ. 1,24. 2. Πρβλ. Ἰω. 8,12. 12,46. 3. Πρβλ. Ἰω. 14,6.

ΚΑΤΑ ΕΥΝΟΜΙΟΥ ΤΟΥ ΤΡΙΤΟΥ ΛΟΓΟΥ

ΤΟΜΟΣ Ζ′

215 [801] Ἀλλ’ ἐπὶ τοὺς ὑψηλοτέρους μετέρχεται λόγους καὶ μετεωρίσας ἑαυτὸν καὶ ὀγκώσας ἐν διακένῳ φυσήματι λέγειν ἐπιχειρεῖ τι τῆς τοῦ Θεοῦ μεγαλοπρεπείας ἐπάξιον. Ὃ δὲ λέγει τοιοῦτόν ἐστι· Θεὸς γὰρ ὤν, φησί, τὸ πάντων ἐξοχώτατον ἀγαθὸν καὶ πάντων κράτιστον καὶ πάσης ἀνάγκης ἐλεύθερον. Καλῶς ὁ γεννάδας καθάπερ τι πλοῖον ἀνερμάτιστον[α] αὐτομάτως ὑπὸ τῶν τῆς ἀπάτης κυμάτων τῷ λιμένι τῆς ἀληθείας ἐγκαθορμίζει τὸν λόγον. Πάντων τῶν ἀγαθῶν ἐξοχώτατόν ἐστιν ὁ Θεός. Ὑπέρευγε τῆς ὁμολογίας. Πάντως δὲ τὸν μέγαν Ἰωάννην οὐκ ἂν γράψαιτο παρανόμων γραφήν, παρ’ οὗ Θεὸς ὁ Μονογενὴς ἐν ὑψηλῷ τῷ κηρύγματι διαγγέλλεται ὁ καὶ πρὸς τὸν Θεὸν ὢν καὶ Θεὸς ὤν[1]. Οὐκοῦν εἰ ἀξιόπιστος τῆς τοῦ Μονογενοῦς θεότητος κήρυξ ἐκεῖνος, ὁ δὲ Θεὸς τὸ ἐξοχώτατόν ἐστιν ἀγαθόν, ὁ Υἱὸς ἄρα τὸ ἐξοχώτατον ἀγαθὸν παρὰ τοῦ ἐχθροῦ τῆς δόξης αὐτοῦ μεμαρτύρηται. Τῆς δὲ τοιαύτης φωνῆς καὶ ἐπὶ τοῦ Πατρὸς ἁρμοζούσης, τὸ ὑπερθετικὸν τῆς τοῦ ἐξοχωτάτου ἐμφάσεως οὐδεμίαν ἐκ συγκρίσεως παραδέχεται μείωσιν ἢ ὑπέρθεσιν. Τούτων δὲ ἡμῖν παρὰ τῆς τῶν ἐχθρῶν μαρτυρίας πρὸς **216** ἀπόδειξιν τῆς τοῦ Μονογενοῦς δόξης παρειλημμένων, προσθετέον εἰς συμμαχίαν τοῦ ὑγιαίνοντος λόγου καὶ τὸν ἐφεξῆς αὐτοῦ λόγον. Φησὶ γὰρ ὅτι τὸ ἐξοχώτατον ἀγαθόν, ὁ Θεός, ἅτε μήτε φύσεως ἐμποδιζούσης μήτε αἰτίας ἀναγκαζούσης μήτε χρείας κατεπειγούσης, γεννᾷ τε καὶ δημιουργεῖ κατὰ τὴν τῆς ἰδίας ἐξουσίας ὑπεροχὴν τὴν βούλησιν ἀρκοῦσαν ἔχων δύναμιν πρὸς τὴν τῶν γινομένων σύστασιν. Εἰ τοίνυν πᾶν καλὸν κατὰ τὴν τούτου βούλησιν, οὐ μόνον τὸ γενόμενον ὁρίζει καλόν, ἀλλὰ καὶ ὅτε γενέσθαι καλόν, εἴπερ ἄρα ἀσθενείας τὸ ποιεῖν ὃ μὴ βούλεται. Μέχρι τούτου παραληπτέος ἡμῖν πρὸς σύστασιν τῶν εὐσεβῶν δογμάτων ὁ ἐκ ῥυπαρῶν τε καὶ παρακεκομμένων λεξειδίων † διαπεπορπημένος τῶν ἐναντίων λόγος. Ὁ γὰρ κατὰ τὴν

---

1. Πρβλ. Ἰω. 1,1.

α. Πλάτ., Θεαίτητος 144α.

τῆς ἰδίας ἐξουσίας ὑπεροχὴν τὴν βούλησιν ἀρκοῦσαν ἔχων δύναμιν πρὸς τὴν τῶν γινομένων σύστασιν, ὁ τὰ πάντα κτίσας μήτε φύσεως ἐμποδιζούσης μήτε αἰτίας ἀναγκαζούσης, οὐ μόνον τὸ γενόμενον ὁρίζει καλόν, ἀλλὰ καὶ ὅτε γενέσθαι καλόν. Ὁ δὲ πάντα ποιῶν ὁ μονογενής ἐστι Θεός, καθὼς κηρύσσει τὸ Εὐαγγέλιον. Οὗτος ὅτε ἠθέλησε, τότε καὶ τὴν κτίσιν ἐποίησεν, τότε περιέσχε τῷ οὐρανίῳ σώματι διὰ τῆς κυκλοφορουμένης οὐσίας πάντα τὸν ἐντὸς τοῦ σχήματος ἀπειλημμένον κόσμον· **[804]** ὅτε καλῶς ἔχειν ᾠήθη τοῦτο γενέσθαι, τότε ἀνέδειξε τὴν ξηράν, τότε τὰ ὕδατα τοῖς κοίλοις ἐγκατέκλεισε χώροις· τότε βλαστήματα, τότε καρποί, τότε ζῴων γένεσις, τότε ἀνθρώπου πλάσις, ὅτε τούτων ἕκαστον εὔκαιρον ἐδόκει τῇ σοφίᾳ τοῦ **217** κτίσαντος. Ὁ δὲ τὰ πάντα ποιήσας (πάλιν γὰρ τὸν αὐτὸν ἐπαναλήψομαι λόγον) ὁ μονογενής ἐστι Θεὸς ὁ τοὺς αἰῶνας ποιήσας. Τοῦ γὰρ διαστήματος τῶν αἰώνων προκαταβεβλημένου τῶν ὄντων, εὔκαιρόν ἐστιν εἰπεῖν τὸ χρονικὸν τοῦτο ἐπίρρημα, ὅτι τότε ἐβουλήθη καὶ τότε ἐποίησεν. Αἰῶνος δὲ οὐκ ὄντος οὐδέ τινος διαστηματικῆς ἐννοίας περὶ τὴν θείαν φύσιν τὴν ἄποσόν τε καὶ ἀδιάστατον θεωρουμένης, ἀργεῖν ἀνάγκη πάντως τὰς τῶν χρονικῶν ἐπιρρημάτων ἐμφάσεις. Ὥστε τῇ μὲν κτίσει τὴν χρονικὴν ἀρχὴν κατὰ τὸ ἀρέσαν τῇ σοφίᾳ τοῦ τὰ πάντα πεποιηκότος δεδόσθαι λέγειν οὐκ ἔξω τοῦ εἰκότος ἐστίν· αὐτὴν δὲ τὴν θείαν φύσιν ἐν παρατάσει τινὶ διαστηματικῇ θεωρεῖν μόνων τῶν τὴν νέαν σοφίαν πεπαιδευμένων ἐστίν. Οἷον γὰρ κἀκεῖνο τοῖς εἰρημένοις ἐγκείμενον ὑπερέβην ἑκών, πρὸς τὸ προκείμενον σπεύδων, ὃ νῦν εἰς ἀπόδειξιν τῆς ἀγχινοίας τοῦ λογογράφου ἐπαναλαβὼν ἀναγνώσομαι.

Ὁ γὰρ ἐξοχώτατος αὐτοῦ Θεὸς πρὸ τῶν ἄλλων, φησίν, ὅσα γεννητά, τῆς αὐτοῦ κρατεῖ δυνάμεως. Ὁ μὲν λόγος ἐπ' αὐτῆς τῆς λέξεως ἀπὸ τοῦ Φίλωνος[α] τοῦ Ἑβραίου μετενήνεκται παρὰ τοῦ λογογράφου ἐπὶ τὸν ἴδιον λόγον, καὶ ὅτῳ φίλον, ἐξ αὐτῶν τῶν πεπονημένων τῷ Φίλωνι κατάφωρος ἡ κλοπὴ τοῦ Εὐνομίου γενήσεται. Ἐγὼ δὲ τοῦτο παρεσημηνάμην ἐπὶ τοῦ παρόντος οὐ τοσοῦτον τὴν πτωχείαν τῶν ἰδίων λόγων τε καὶ νοημάτων τῷ λογογράφῳ ἐπονειδίζων, ὅσον δεῖξαι τοῖς ἐντυγχάνουσι θέλων τὴν οἰκειότητα πρὸς τοὺς Ἰουδαίων λόγους τῶν Εὐνομίου δογμάτων. Οὐ γὰρ ἂν ἐπ' αὐτῆς τῆς λέξεως τοῖς τούτου νοήμασιν ὁ τοῦ Φίλωνος ἐνηρμόσθη λόγος, εἰ **218** μή τις ἦν καὶ τῆς διανοίας τούτου πρὸς τὴν ἐκείνου συγγένειαν. Οὕτω γὰρ ἔστιν εὑρεῖν κείμενον παρὰ τῷ Ἑβραίῳ τὸν λόγον τὸ ὁ Θεὸς πρὸ τῶν ἄλλων ὅσα γεννητά, τὸ δὲ ἐφεξῆς ἐκ τῆς νέας ἰουδαϊκῆς προσερρίφη τὸ τῆς ἰδίας κατακρατεῖ δυνάμεως. Τοῦτο δὲ ὅσην τὴν ἀτοπίαν ἔχει,

---

α. Φίλωνος, Νόμων ἱερῶν ἀλληγορίας III, 175.

δείξει σαφῶς ὁ λόγος ἐξεταζόμενος. Ὁ Θεός, φησί, κρατεῖ τῆς ἰδίας δυνάμεως. Τί ὤν, εἰπέ μοι, τίνος κρατεῖ; ἄλλο τι παρὰ τὴν δύναμιν ὢν αὐτός, ἄλλο τι οὔσης κατακρατεῖ τῆς δυνάμεως; Οὐκοῦν ἡττᾶται τῆς ἀδυναμίας ἡ δύναμις. Τὸ γὰρ ἄλλο τι παρὰ τὴν δύναμιν ὃν δύναμις πάντως οὐκ ἔστιν· καὶ οὕτως εὑρίσκεται καθὸ δύναμις οὐκ ἔστιν, κατ' ἐκεῖνο κρατῶν τῆς δυνάμεως. Ἀλλὰ δύναμις ὢν ὁ Θεὸς πάλιν ἄλλην ἐν ἑαυτῷ δύναμιν ἔχει καὶ ταύτῃ κατακρατεῖ τῆς ἑτέρας. Καὶ τίς ἡ μάχη καὶ ἡ διάστασις, ὥστε μερίσαντα τὸν Θεὸν τὴν ἐνυπάρχουσαν ἰσχὺν ἑαυτῷ τῷ ἑνὶ τμήματι τῆς δυνάμεως καταπαλαίειν τὸ ἕτερον; Οὐ γὰρ ἂν κρατήσειε τῆς δυνάμεως ἑαυτοῦ, μὴ συμμαχούσης αὐτῷ πρὸς τοῦτο μείζονός τινος καὶ βιαιοτέρας δυνάμεως. Τοιοῦτος ὁ Εὐνομίου Θεός, διφυής[α] τις ἢ πολυ**[805]**σύνθετος[β], αὐτὸς πρὸς ἑαυτὸν μεριζόμενος, ἀσύμφωνον ἔχων τῇ δυνάμει τὴν δύναμιν, ὡς ταύτῃ μὲν πρὸς ἀταξίαν ἐκφέρεσθαι, τῇ δὲ ἑτέρᾳ κωλύειν τὸ πλημμελὲς τῆς κινήσεως. Τί δὲ καὶ βουλόμενος κρατεῖ πρὸς γέννησιν ὁρμῶσαν τὴν δύναμιν, μή τι γένηται κακὸν ἐκ τοῦ μὴ κωλυθῆναι τὴν γέννησιν, μᾶλλον δὲ πρὸ τούτου τί τῇ φύσει τὸ κρατούμενόν ἐστιν, ἑρμηνευσάτω. Τὸ γὰρ λεγόμενον ὁρμητικήν τινα καὶ προαιρετικὴν ὑποδείκνυσι κίνησιν ἐφ' ἑαυτῆς ἰδια**219**ζόντως θεωρουμένην. Ἄλλο γάρ τι τὸ κρατοῦν καὶ ἕτερον ἐξ ἀνάγκης ἐστὶ τὸ κρατούμενον. Κρατεῖ τοίνυν ὁ Θεὸς τῆς δυνάμεως τί οὔσης, αὐτοπροαιρέτου τινὸς φύσεως ἢ ἄλλο τι παρὰ τοῦτο; ὁρμώσης πρὸς ἐνέργειαν ἢ ἀτρεμούσης; Εἰ μὲν γὰρ ἠρεμεῖν ὑποτίθεται, τὸ ἡσυχάζον τοῦ κρατοῦντος οὐκ ἐπιδέεται· εἰ δὲ κρατεῖν φησι, δηλονότι κινουμένου τε καὶ ὁρμῶντος κρατεῖ. Τοῦτο δὲ ἄλλο τι τῇ φύσει παρὰ τὸν ἐπικρατοῦντα πάντως ἐρεῖ. Τί οὖν νοεῖ τοῦτο, φανερωσάτω τῷ λόγῳ. Ἄλλο τι παρὰ τὸν Θεὸν ἐν ὑποστάσει θεωρούμενον; καὶ πῶς ἂν εἴη ἐν τῷ Θεῷ τὸ ἀλλότριον; ἢ ἕξιν τινὰ κατὰ τὸ ἀνυπόστατον ἐν τῇ θείᾳ φύσει θεωρουμένην; Ἀλλ' οὐκ ἂν εἴποι τοῦτο. Τὸ γὰρ μὴ ὑφεστὼς οὐκ ἔστι, τὸ δὲ μὴ ὂν οὔτε κρατεῖται οὔτε ἀφίεται. Τίς οὖν ἡ κρατουμένη δύναμις ἐκείνη καὶ κωλυομένη πρὸς τὴν ἰδίαν ἐνέργειαν, ἕως ἔμελλεν ὁ καιρὸς τῆς τοῦ Υἱοῦ γεννήσεως ἐπιστὰς ἀκώλυτον ἀφιέναι τὴν δύναμιν πρὸς τὴν κατὰ φύσιν ἐνέργειαν φέρεσθαι; τίς δὲ ἡ ἐν τῷ μέσῳ τῆς ἀναβολῆς αἰτία, δι' ἣν ὁ Θεὸς τὴν τοῦ Μονογενοῦς ὑπερέθετο γέννησιν, οὔπω καλὸν εἶναι οἰόμενος τὸ γενέσθαι Πατήρ; τί δὲ τὸ μέσον τοῦτο ὃ μεταξὺ τῆς τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ζωῆς παρενείρεται; οὐ χρόνος, οὐ τόπος, οὐ διαστηματικόν τι νόημα, οὐκ ἄλλο τοιοῦτον οὐδέν. Πρὸς τί τοίνυν ὁ ὀξὺς καὶ διορατικὸς ὀφθαλμὸς ἀτενίζων ἐνορᾷ τῆς ζωῆς τοῦ Υἱοῦ πρὸς τὴν τοῦ Πατρὸς ζωὴν τὴν διάστασιν; Ἀλλὰ πανταχόθεν

α. Μ. Ἀθανασίου, Κατὰ Ἀρειανῶν Βιβλ. Δ', ΒΕΠ 308,1 ἑξ. PG 26,472B.

β. Πρβλ. Γρηγορίου Νύσσης, Κατὰ Εὐνομίου Β' (ΙΒ$_2$ Migne). ΒΕΠ 67, 201,16. Πρὸς τὰ Ἀπολιναρίου Ἀντιρρητικός, W. Jaeger III, I, 142,17. PG 45,1140B.

συνελαυνόμενος οὐδὲν μὲν εἶναι τὸ μεταξὺ καὶ αὐτὸς ἐξ ἀνάγκης συντίθεται. Μηδενὸς δὲ ὄντος τοῦ μεσιτεύοντος, ἄμεσον καὶ συναφῆ τὴν κοινωνίαν εἶναι οὐ καταδέχεται;

220 Ἀλλ' ὑποκαταβαίνει πρὸς τὰ ἡμέτερα τῆς γνώσεως μέτρα καὶ ἀνθρωπικῶς ἡμῖν ὡς εἷς ἡμῶν καὶ αὐτὸς διαλέγεται ὑφομολογῶν ἠρέμα τῶν λογισμῶν τὴν ἀσθένειαν καὶ καταφεύγων ἐπὶ τὸν λόγον ὃν Ἀριστοτέλης τε καὶ οἱ κατ' αὐτὸν οὐκ ἐδίδαξαν. Τότε γάρ, φησί, καλὸν καὶ πρέπον γεννῆσαι τὸν Υἱόν, ὅτε ἐβούλετο, μηδεμιᾶς ἐκ τούτου ζητήσεως ἐγγινομένης τοῖς σώφροσιν τοῦ διὰ τί μὴ πρότερον. Τί ταῦτα, Εὐνόμιε; Καὶ σὺ πεζεύεις κατὰ τοὺς ἰδιώτας ἡμᾶς καὶ καταλιπὼν τὰς τεχνικὰς περιόδους ἐπὶ τὴν ἄλογον συγκατάθεσιν καὶ αὐτὸς καταφεύγεις ὁ πολλὰ τοῖς ἄνευ λογικῆς ἐντρεχείας ἐπιχειροῦσι τῷ γράφειν ἐπονειδίσας, ὁ πρὸς Βασίλειον λέγων ὅτι δι' ὧν ἀδύνατον τοῖς ἀνθρώποις εἶναι λέγεις τὰς ὑπὲρ τῶν πνευματικῶν λόγων εὐθύνας, τὴν ἰδίαν ἐλέγχεις ἄγνοιαν, καὶ πάλιν ἑτέρωθι τὸ ἴσον προφέρων ὅτι τὴν ἰδίαν ἀσθένειαν κοινο**[808]**ποιεῖς, τὸ σοὶ μὴ δυνατὸν πᾶσιν ἀδύνατον ἀποφαινόμενος; ὁ ταῦτα καὶ τὰ τοιαῦτα λέγων οὕτω προσάγεις τὴν ἀκοὴν τοῦ ἐπιζητοῦντος τὴν αἰτίαν καθ' ἣν ἀναβάλλεται τοιούτου γενέσθαι πατὴρ ὁ Πατήρ; ἀρκεῖν οἴει πρὸς ἀπόδειξιν τὸ εἰπεῖν ὅτι τότε ἐγέννησεν ὅτε ἐβούλετο, καὶ μηδεμία ἔστω περὶ τούτου ζήτησις; οὕτως σοι πρὸς τὴν κατασκευὴν τῶν δογμάτων ἠσθένησεν ἡ καταληπτικὴ φαντασία; ποῦ αἱ διλήμματοι προτάσεις; ποῦ αἱ βίαιοι κατασκευαί; πῶς σοι φροῦδα καὶ ἀνυπόστατα διαρρυέντα τῆς τέχνης οἴχεται τὰ φοβερά τε καὶ ἄφυκτα τῶν συλλογισμῶν συμπεράσματα; Τότε ἐγέννησε τὸν Υἱὸν ὅτε ἐβούλετο, καὶ μηδεμία ἔστω περὶ τούτου ζήτησις. Ταῦτα τῶν πολλῶν ἱδρώτων, ταῦτα τῶν ὑπερόγκων ἐπαγγελμάτων ⟨τὰ⟩ ἀποτελέσματα; τί τὸ ἐρώτημα ἦν; εἰ καλὸν **221** καὶ πρέπον Θεῷ τοιοῦτον ἔχειν Υἱόν, διὰ τί μὴ ἀεὶ τὸ καλὸν μετ' αὐτοῦ εἶναι πιστεύεται; τίς ἡ ἀπόκρισις ἣν ἐξ αὐτῶν ἡμῖν τῶν ἀδύτων τῆς φιλοσοφίας πεποίηται, ταῖς ἀλύτοις ἀνάγκαις διασφίγξας τὸν λόγον; Τότε ἐποίησε τὸν Υἱὸν ὅτε ἐβούλετο, μηδεμία δὲ περὶ τούτου ζήτησις ἔστω, διὰ τί μὴ πρότερον. Εἰ δὲ περὶ τῶν ἀλόγων τινὸς ἡ σκέψις προέκειτο τῶν κατά τινα φυσικὴν ὁρμὴν ἐνεργούντων, διὰ τί μὴ πρότερον τὸ δοκοῦν κατειργάσατο ἢ ὁ ἀράχνης τὰ νήματα ἢ τὸ κηρίον ἡ μέλιττα ἢ τὴν καλιὰν ἡ τρυγών; τί ἂν ἕτερον εἰπεῖν ἔσχες; ἢ οὐκ αὐτὴ πρόχειρος ἂν ἦν ἡ ἀπόκρισις ὅτι τότε ἐποίησεν ὅτε ἐβούλετο, καὶ μηδεμία ἔστω περὶ τούτου ζήτησις; Ἀλλὰ καὶ περὶ πλάστου τινὸς ἢ ζωγράφου τὸ δοκοῦν διὰ τῆς μιμητικῆς ἐνεργοῦντος τέχνης ἢ ἐν γραφαῖς ἢ ἐν πλάσμασιν, ὅταν μὴ ὑποχείριος ὢν ἐξουσίᾳ τινὶ πρὸς ἐνέργειαν ἄγῃ τὴν τέχνην, ἁρμόζειν οἶμαι τὴν

τοιαύτην φωνὴν ἐπὶ τοῦ μαθεῖν ἐθέλοντος, διὰ τί μὴ πρότερον ἐνεργὸν τὴν τέχνην ἐποίησεν, ὅτι οὐκ ἔχων ἀνάγκην καιρὸν τῆς ἐνεργείας πεποίηται τὴν προαίρεσιν. Ἄνθρωποι γὰρ διὰ τὸ μήτε ἀεὶ ταὐτὰ βούλεσθαι μήτε συνεργοῦσαν ἔχειν ὡς τὰ πολλὰ τῇ βουλήσει τὴν δύναμιν τότε ποιοῦσί τι τῶν κατὰ γνώμην, ὅταν αὐτοῖς ἥ τε προαίρεσις πρὸς τὸ ἔργον ῥέψῃ καὶ μηδὲν κωλύῃ τῶν ἔξωθεν. Τὸ δὲ ἀεὶ ὡσαύτως ἔχον, ᾧ ἐπίκτητον τῶν ἀγαθῶν ἐστιν οὐδέν, ἐν ᾧ πᾶσα διαφορὰ βουλευμάτων ἡ κατὰ τὸ ἐναντίον κατά τινα πλάνην καὶ ἄγνοιαν ἐγγινομένη χώραν οὐκ ἔχει, ὃ οὐδὲν ἐκ μεταβολῆς γίνεται ὃ μὴ πρότερον ἦν, μηδὲ αἱρεῖταί τι μετὰ ταῦτα ὃ μὴ ἐξ ἀρχῆς ὡς ἀγαθὸν κατενόησε —περὶ τούτου λέγειν μὴ ἀεὶ τὸ καλὸν ἔχειν, ἀλλ' ὕστερον ἑλέσθαι τι **222** ἔχειν ὃ μὴ πρότερον εἵλετο, ταῦτα τῆς ὑπερβαλλούσης ἡμᾶς σοφίας ἐστίν. Ἡμεῖς γὰρ ἐμάθομεν ὅτι τὸ Θεῖον ἀεὶ παντὸς ἀγαθοῦ πλῆρές ἐστιν, μᾶλλον δὲ αὐτὸ τῶν ἀγαθῶν ἐστι τὸ πλήρωμα ⟨ἀ⟩εὶ καὶ οὐδεμιᾶς προσθήκης εἰς τελείωσιν δέεται, ἀλλ' αὐτὸ τῇ ἑαυτοῦ φύσει ἡ τοῦ ἀγαθοῦ τελειότης ἐστί· τὸ δὲ τέλειον ἐπίσης αὐξήσεώς τε καὶ μειώσεως ἠλλοτρίωται· καὶ διὰ τοῦτο τὴν ἐπιθεωρουμένην τῇ θείᾳ φύσει τῶν ἀγαθῶν τελειότητα πάντοτέ φαμεν τὴν αὐτὴν εἶναι, καθ' ὅπερ ἂν τὴν διάνοιαν ἑαυτῶν ἐπεκτείνωμεν, ἐκεῖ τοιαύτην καταλαμβάνοντες. Οὐκοῦν οὐδέποτε κενὸν ἀγαθοῦ τὸ Θεῖον. Ἀλλὰ μὴν ἀγαθοῦ παντὸς πλήρωμα ὁ Υἱός· πάντοτε ἄρα ἐν τῷ Πατρὶ θεωρεῖται, ᾧ φύσις ἡ ἐν παντὶ ἀγαθῷ τελει**[809]**ότης. Ἀλλά, φησί, μηδεμία ἔστω ζήτησις, διὰ τί μὴ πρότερον. Πρὸς ὃν ἐροῦμεν ἡμεῖς ὅτι ἄλλο ἐστίν, ὦ σοφώτατε, ⟨τὸ⟩ νομοθετεῖν τι τῶν κατὰ γνώμην ἐξ ἐπιτάγματος καὶ ἕτερον τὸ λόγῳ περὶ τῶν ἀμφιβαλλομένων προσάγεσθαι. Ἕως ἂν τοίνυν μηδεμίαν ἔχῃς αἰτίαν εἰπεῖν, καθ' ἣν εὐσεβές ἐστιν ὕστερον τῷ Πατρὶ τὸν Υἱὸν προσγεγενῆσθαι λέγειν, ἀργήσει σοι τὸ ἐπίταγμα παρὰ τοῖς σωφρονοῦσιν.

Οὕτω μὲν οὖν ἡμῖν ἐκ τῆς τεχνικῆς ἐφόδου τὴν ἀλήθειαν Εὐνόμιος εἰς τὸ ἐμφανὲς ἄγει. Ἡμεῖς δὲ κατὰ τὸ σύνηθες ἡμῖν τὸν ἐκείνου λόγον πρὸς κατασκευὴν τῶν τῆς ἀληθείας δογμάτων οἰκειωσώμεθα, ὡς ἂν καὶ διὰ τούτου γένοιτο δῆλον ὅτι πανταχοῦ κατὰ τὸ ἀκούσιον ὑπ' αὐτῆς τῆς ἀληθείας ἀναγκαζόμενοι τῷ καθ' ἡμᾶς συναγορεύουσι λόγῳ. Εἰ γὰρ τότε ἐγέννησε τὸν Υἱὸν ὅτε ἐβούλετο, καθώς φησιν ὁ ἀντίπαλος, ἐβούλετο δὲ τὸ ἀγαθὸν **223** ἀεί, σύνδρομος δὲ τῇ βουλήσει ἡ δύναμις, ἀεὶ ἄρα ὁ Υἱὸς μετὰ τοῦ Πατρὸς νοηθήσεται τοῦ ἀεὶ καὶ βουλομένου τὸ καλὸν καὶ δυναμένου ἔχειν ὃ βούλεται. Εἰ δὲ χρὴ καὶ τὸν ἐφεξῆς αὐτοῦ λόγον προσαγαγεῖν τῇ ἀληθείᾳ, ῥᾴδιόν ἐστι καὶ τοῦτον τῷ καθ' ἡμᾶς συναρμόσαι δόγματι ὅτι μηδεμία περὶ τούτου ζήτησις ἔστω τοῖς σώφροσιν, διὰ τί μὴ πρότερον. Ἡ γὰρ τοῦ πρότερον λέξις χρονικήν τινα τὴν ἔνδειξιν ἔχει, ἀντιδιαστελλομένη πρὸς τὸ μετὰ ταῦτα καὶ ὕστερον· ὅταν δὲ χρόνος μὴ ᾖ, συναναιρεῖται πάντως καὶ

τῆς χρονικῆς διαστάσεως τὰ ὀνόματα. Ἀλλὰ μὴν πρὸ χρόνων καὶ πρὸ αἰώνων ὁ Κύριος[1]· ἄχρηστος ἄρα τοῖς νοῦν ἔχουσιν ἐπὶ τοῦ ποιητοῦ τῶν αἰώνων ἡ τοῦ πρότερον καὶ ὕστερον ζήτησις· κενὰ γὰρ πάσης διανοίας ἐστὶ τὰ τοιαῦτα τῶν ὀνομάτων μὴ ἐπὶ χρόνου λεγόμενα. Ἐπεὶ οὖν πρὸ τῶν χρόνων ὁ Κύριος, τὸ πρότερον πάντως καὶ τὸ ὕστερον ἐπ' αὐτοῦ χώραν οὐκ ἔχει. Τάχα μὲν ἀπόχρη καὶ ταῦτα πρὸς ἀνατροπὴν τῶν οὐ δεομένων τοῦ προσπαλαίοντος, ἀλλ' ὑπὸ τῆς ἰδίας αὐτῶν ἀτονίας καταπιπτόντων. Τίς γὰρ τοσοῦτον εὔσχολος ἐκ τῶν τοῦ βίου φροντίδων ὡς ἐπὶ τοσοῦτον ἑαυτὸν δοῦναι τῇ ἀκροάσει τῆς τε ματαιότητος τῶν ὑπεναντίων λόγων καὶ τῆς ἡμετέρας πρὸς τὰ μάταια πράγματα μάχης; Ἀλλ' ἐπειδὴ τοῖς προειλημμένοις τῇ ἀσεβείᾳ καθάπερ τις δευσοποιὸς βαφὴ[α] καὶ δυσέκνιπτος ἡ ἀπάτη καὶ διὰ βάθους ταῖς καρδίαις ἐγκέκαυται, μικρὸν ἔτι τῷ λόγῳ προσδιατρίψωμεν, εἴ πως δυνηθείημεν τῆς πονηρᾶς αὐτῶν ταύτης κηλῖδος τὰς ψυχὰς ἀπορρύψαι. Εἰπὼν γὰρ τὰ εἰρημένα καὶ ἐπαγαγὼν τούτοις κατὰ τὸν παιδευτὴν αὐτοῦ Προύνικον ἀσυναρτήτους τινὰς καὶ ἀναρμόστους ὕβρεών τε καὶ λοιδορημάτων ὀκτάδας ἐπὶ τὸν κολοφῶνα τῶν ἐπιχειρημάτων μετέρχεται καὶ καταλιπὼν τὴν ἀσυλλόγιστον **224** τῆς ματαιότητος ἔκθεσιν πάλιν τοῖς κέντροις τῆς διαλεκτικῆς καθοπλίσας τὸν λόγον συλλογιστικῶς ὡς οἴεται καθ' ἡμῶν κατασκευάζει τὸ ἄτοπον.

Ἔχει δὲ οὕτως ἡ λέξις· πάσης γεννήσεως οὐκ ἐπ' ἄπειρον ἐκτεινομένης, ἀλλ' εἴς τι τέλος **[812]** καταληγούσης, ἀνάγκη πᾶσα καὶ τοὺς παραδεξαμένους τοῦ Υἱοῦ τὴν γέννησιν * * * * ποτὲ πεπαῦσθαι τοῦτον γεννώμενον μηδὲ πρὸς τὴν ἀρχὴν ἀπίστως ἔχειν, τῶν παυσαμένων τοῦ γεννᾶσθαι καὶ ἀρξαμένων πάντως· ἡ γὰρ τοῦ γεννᾶσθαι παῦλα πιστοῦται τῆς τε γεννήσεως καὶ τοῦ γεννᾶσθαι τὴν ἀρχήν, καὶ τούτοις ἀπιστεῖν οὐκ ἔστιν ἔκ τε τῆς φύσεως αὐτῆς, ἔτι δὲ καὶ τῶν θείων νόμων. Ἐπειδὴ τοίνυν κατὰ τὴν σοφίαν τῶν τὰ τοιαῦτα δεινῶν τὸ καθόλου προθεὶς ἐπαγωγικῶς κατασκευάζειν ἐπιχειρεῖ τὸ προκείμενον, ἐμπεριλαμβάνων τῇ γενικῇ προτάσει τὴν ἐπὶ μέρους ἀπόδειξιν, πρότερον τὸ καθόλου κατανοήσωμεν, εἶθ' οὕτως τὴν τῶν ἐπαγομένων ἐξετάσωμεν δύναμιν. Ἆρ' εὐσεβές ἐστιν ἐκ πάσης γεννήσεως καὶ τοῦ Υἱοῦ τεκμήρασθαι τὴν προαιώνιον γέννησιν, καὶ τὴν κοινὴν φύσιν διδάσκαλον τῆς τοῦ Μονογενοῦς ὑπάρ-

---

1. Πρβλ. Ψαλ. 54,20.

α. Γρηγορίου Νεοκαισαρείας, Λόγος αὐτοῦ εἰς Ὠριγένην προσφωνητικὸς καὶ πανηγυρικός, ΒΕΠ 17,291,24. PG 10,1088C. Μ. Βασιλείου, Πρὸς τοὺς νέους ὅπως ἂν ἐξ ἑλληνικῶν ὠφελοῖντο λόγων, ΒΕΠ 54,200,25. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός. PG 45,32A. Πλάτ. Πολιτεία 429d-e.

ξεως προβάλλεσθαι χρή; Ἐγὼ μὲν οὐκ ἂν ἐπὶ τοσοῦτον ἐλθεῖν τινα μανίας ἐλπίσαιμι, ὡς τοιοῦτό τι κατὰ τῆς θείας καὶ ἀκηράτου φαντασθῆναι γεννήσεως. Πᾶσα, φησί, γέννησις οὐκ ἐπ' ἄπειρον ἐκτείνεται. Τί τὸ τῆς γεννήσεώς ἐστι σημαινόμενον; τὴν σαρκώδη καὶ σωματικὴν ἀποκύησιν λέγει ἢ τὴν κατασκευὴν τῶν ἀψύχων; ἀλλὰ τῶν μὲν σωματικῶν γεννήσεων φανερὰ τὰ πάθη, ἅπερ **225** οὐκ ἄν τις ἐπὶ τὴν θείαν γέννησιν μεταφέροι[α]. Καὶ ὡς ἂν μὴ τὰ τῆς φύσεως ἔργα διαγράφων ὁ λόγος παρέλκειν δοκοίη, σιωπῇ τὰ τοιαῦτα παρελευσόμεθα, παντὸς οἶμαι τοῦ γε νοῦν ἔχοντος ἀφ' ἑαυτοῦ γινώσκοντος τὰς αἰτίας καθ' ἃς ἡ γέννησις παρατείνεται καὶ ἀρχομένη καὶ λήγουσα· μακρὸν γὰρ ἂν εἴη καὶ περιττὸν ἅμα πάντα δι' ἀκριβείας ἐκτίθεσθαι, τὴν σύνοδον τῶν γεννώντων, τὴν ἐν τοῖς σπλάγχνοις τοῦ γεννωμένου διάπλασιν, τὴν ὠδῖνα, τὸν τόκον, τὸν χρόνον, ὧν ἄνευ οὐκ ἔστι συστῆναι σώματος γέννησιν· ἅπερ ἐπίσης πάντα τῆς θείας γεννήσεως τοῦ Μονογενοῦς ἠλλοτρίωται. Εἰ γὰρ ἕν τι τούτων δοθείη, καὶ τὰ λοιπὰ πάντα κατ' ἀνάγκην συνεισελεύσεται. Ὡς ἂν οὖν καθαρεύοι πάσης ἐμπαθοῦς διανοίας ἡ θεία γέννησις, οὐδὲ τὴν διαστηματικὴν παράτασιν ἐπ' ἐκείνης νοήσομεν. Τὸ γὰρ ἀρχόμενον καὶ παυόμενον ἐν παρατάσει τινὶ θεωρεῖται πάντως. Πᾶσα δὲ παράτασις χρόνῳ διαμετρεῖται· χρόνου δὲ μὴ ὄντος, ᾧ καὶ τέλος τοῦ τόκου καὶ ἀρχὴν σημειούμεθα, μάταιον ἂν εἴη τέλος καὶ ἀρχὴν ἐπὶ τῆς ἀδιαστάτου γεννήσεως ἐννοεῖν, οὐδενὸς εὑρισκομένου σημειωτικοῦ νοήματος οὔτε ἐν ᾧ ἄρχεται οὔτε εἰς ὃ καταλήγει. Εἰ δὲ πρὸς τὰ ἄψυχα τῶν κτισμάτων ὁρᾷ, καὶ ἐπ' ἐκείνων ὡσαύτως καὶ τόπος καὶ χρόνος καὶ ὕλη καὶ παρασκευὴ καὶ δύναμις τοῦ τεχνιτεύοντος καὶ πολλὰ τοιαῦτα συνδραμόντα τελεσιουργεῖ τὸ γινόμενον. Καὶ ἐπειδὴ πᾶσι τοῖς γινομένοις συμπαρατείνεται πάντως ὁ χρόνος καὶ αἱ κατασκευαστικαὶ πρὸς τὸ γινόμενον ἀφορμαὶ συνεπινοοῦνται παντὶ τῷ κτιζομένῳ, κἂν ἔμψυχόν τι κἂν ἄψυχον ᾖ, φανερὰς ἔστιν εὑρεῖν ἐπὶ τούτων καὶ τὰς ἀρχὰς καὶ τὰς τελευτὰς τῆς συστάσεως· καὶ γὰρ καὶ ὕλης πορισμὸς ἀρχὴ τοῦ κατασκευάσματος γίνεται καὶ τοπικόν τι σημεῖον καὶ ἀκολουθία χρόνου. Πάντα ταῦτα **226** τὰς ἀρχὰς καὶ τὰ τέλη τοῖς γινομένοις ὁρίζει, καὶ οὐκ ἄν τις εἴποι κοι[813]νωνίαν ἔχειν τινὰ ταῦτα πρὸς τὴν προαιώνιον τοῦ μονογενοῦς Θεοῦ ὕπαρξιν, ὥστε διὰ τῶν ὧδε θεωρουμένων ἀρχήν τινα καὶ τέλος ἐπὶ τῆς γεννήσεως ἐκείνης ἀναλογίζεσθαι.

Τούτων οὖν ἡμῖν οὕτω διῃρημένων πάλιν τὸν λόγον τῶν ἐναντίων κατανοήσωμεν. Πάσης, φησί, γεννήσεως οὐκ ἐπ' ἄπειρον ἐκτεινομένης, ἀλλ' εἴς τι τέλος καταληγούσης. Ἐπειδὴ τοίνυν νενόηται τὸ τῆς γεννήσεως σημαινόμενον καθ' ἑκατέραν ἔννοιαν, εἴτε τὴν ἀποκύησιν τῶν σωματικῶν

α. Πρβλ. Εὐνομίου, Ἀπολογητικὸς εἰς Μ. Βασίλειον, ΒΕΠ 52,148,27 ἑξ.

εἴτε τὴν κατασκευὴν ἐθέλοι τῶν κτισμάτων τῷ τοιούτῳ σημαίνειν ὀνόματι, ὧν οὐδέτερον ἐπὶ τῆς ἀκηράτου φύσεως τὴν κοινωνίαν ἔχει, ἀλλοτρία δέδεικται τοῦ προκειμένου ἡ πρότασις. Οὐ γάρ, ἐπειδὴ πᾶσα ποίησίς τε καὶ γέννησις εἴς τι καταλήγει πέρας, ἀνάγκη πᾶσα, καθὼς ἐκεῖνος κατασκευάζει, καὶ τοὺς παραδεξαμένους τοῦ Υἱοῦ τὴν γέννησιν διπλοῖς αὐτὴν πέρασι περιγράφειν, ἀρχὴν καὶ τέλος ἐπ' αὐτῆς ἐννοοῦντας. Μόνα γὰρ τὰ πηλικότητι[α] περιγεγραμμένα τινὶ καὶ ἄρχεται γινόμενα καὶ εἰς πέρας λήγει, καὶ τὸ ἐκ τοῦ χρόνου μέτρον τῷ ποσῷ τοῦ γεννωμένου παρατεινόμενον τὴν ἀρχὴν τοῦ τέλους διίστησι τῷ μεταξὺ διαστήματι. Τὸ δὲ ἄποσον καὶ ἀδιάστατον[β] πῶς ἄν τις ἢ μετρήσειεν ἢ διαστήσειεν; ποῖον ἐπὶ τοῦ ἀπόσου μέτρον[γ] εὑρὼν ἢ ποῖον ἐπὶ τοῦ ἀδιαστάτου διάστημα; πῶς δέ τις τὸ ἀόριστον τέλει καὶ ἀρχῇ διαλήψεται; Ἀρχὴ γὰρ καὶ τέλος τῶν διαστηματικῶν περάτων ἐστὶν ὀνόματα. Διαστάσεως δὲ μὴ οὔσης οὐδὲ τὸ πέρας ἔστιν. Ἀλλὰ μὴν ἀδιάστατος ἡ θεία φύσις, ἀδιάστατος δὲ οὖσα πέρας οὐκ ἔχει, τὸ δὲ ἀπεράτωτον ἄπειρόν ἐστί τε καὶ **227** λέγεται. Μάταιον ἄρα τὸ ἄπειρον ἀρχῇ καὶ τελευτῇ περιγράφειν· τὸ γὰρ περιγεγραμμένον ἄπειρον εἶναι οὐ δύναται. Πόθεν οὖν ὁ Πλατωνικὸς οὗτος *Φαῖδρος*[δ] τὰ περὶ ψυχῆς ἐκεῖ φιλοσοφηθέντα τῷ Πλάτωνι τοῖς ἰδίοις δόγμασιν ἀσυναρτήτως ἐρράπτει; ὡς γὰρ ἐκεῖνος ἐκεῖ παῦλαν εἶπε κινήσεως, οὕτω παῦλαν γεννήσεως καὶ οὗτος εἰπεῖν ἐπεθύμησεν, ὡς ἂν τοὺς ἀπείρους τούτων ταῖς Πλατωνικαῖς καλλιφωνίαις περικομπήσειε. Καὶ τούτοις ἀπιστεῖν οὐκ ἔστι, φησί, ἔκ τε τῆς φύσεως αὐτῆς, ἔτι δὲ καὶ τῶν θείων νόμων. Ἀλλ' ἡ μὲν φύσις ἐκ τῶν εἰρημένων οὐκ ἀξιόπιστος εἰς διδασκαλίαν τῆς θείας γεννήσεως ἡμῖν ἀναπέφηνεν, οὐδὲ εἰ τὸν κόσμον τις αὐτὸν εἰς ὑπόδειγμα φέροι τοῦ λόγου, ἐπεὶ καὶ τῇ τούτου κτίσει, καθὼς ἐν τῇ κοσμογενείᾳ παρὰ τοῦ Μωυσέως ἐμάθομεν, συνδιεξῄει τὸ ἐκ τοῦ χρόνου μέτρον, ῥηταῖς ἡμέραις τε καὶ νυξὶν ἑκάστῳ τῶν γινομένων κατά τινα τάξιν καὶ ἀκολουθίαν παραμετρούμενον.

α. Πρβλ. Μ. Βασιλείου, Κατὰ Εὐνομίου λόγ. Α', ΒΕΠ 52,181,40. 184,22. Γρηγορίου Νύσσης, Εἰς τὴν Ἑξαήμερον, PG 44,69B. Περὶ ψυχῆς καὶ ἀναστάσεως, PG 46,40C.

β. Πρβλ. Κλήμεντος Ἀλεξανδρέως, Ἐκ τῶν τοῦ Θεοδότου ἐπιτομαί, ΒΕΠ 8,319,16. PG 9,657C. Μεθοδίου, Λόγος εἰς τὸν Συμεῶνα καὶ εἰς τὴν Ἄνναν, τῇ ἡμέρᾳ τῆς Ὑπαντήσεως καὶ εἰς τὴν ἁγίαν Θεοτόκον, PG 18,352C, ΒΕΠ 18,199,16. Γρηγορίου Νύσσης, Κατὰ Εὐνομίου, λόγ. Γ'ς (Η' Migne). ἀνωτέρω σ. 17,21. 28,23. 33,19. 38,21. Περὶ τοῦ Ἁγίου Πνεύματος κατὰ Μακεδονιανῶν καὶ Πνευματομάχων, W. Jaeger (ἔκδ. F. Mueller), III, I, 103,4. PG 45,1321A.

γ. Πρβλ. Γρηγορίου Θεολόγου, Εἰς τὴν Πεντηκοστήν, ΒΕΠ 60,116,11. Γρηγορίου Νύσσης, Εἰς τὴν Ἑξαήμερον, PG 44,69B. Εἰς τὸν βίον Μωυσέως, W. Jaeger (ἔκδ. H. Musurillo), VII, I, 117,16-17. PG 44,1225B. Κατὰ Εὐνομίου, Γ', α' (Γ' Migne), ΒΕΠ 67,283,6. 796A. 804A.

δ. Πλάτ., Φαῖδρος 245C.

Ὅπερ ἐπὶ τῆς τοῦ Μονογενοῦς ὑποστάσεως οὐδὲ αὐτὸς ὁ τῶν ἐναντίων δέχεται λόγος, ὁμολογῶν πρὸ χρόνων αἰωνίων εἶναι τὸν Κύριον. Ὑπόλοιπον δ' ἂν εἴη τὴν ἐκ τῶν θείων νόμων συνηγορίαν τοῦ προκειμένου κατανοῆσαι, δι' ἧς ἐπαγγέλλεται καὶ τέλος καὶ ἀρχὴν τῆς τοῦ Υἱοῦ γεννήσεως ἀποδεικνύειν. Βουληθείς, φησίν, ὁ Θεὸς τοῖς Ἑβραίοις τὸν περὶ τῆς δημιουργίας ἐντυπωθῆναι νόμον, [οὐ τὴν πρώτην τῆς γεννήσεως ἡμέραν] τῷ τέλει τῆς δημιουρ- **228** γίας ἐναπέθετο καὶ **[816]** τῆς ἀρχῆς τὴν πίστιν· οὐ γὰρ τὴν πρώτην τῆς γεννήσεως ἡμέραν, ἀλλὰ τὴν ἑβδόμην, ἐν ᾗ κατέπαυσεν ἀπὸ τῶν ἔργων, ἔδωκε *** τὴν ὑπόμνησιν τῆς δημιουργίας. Ἆρά τις πεισθήσεται παρ' ἐκείνου ταῦτα γεγράφθαι καὶ οὐχὶ παρ' ἡμῶν ἐπὶ διαβολῇ τοῦ συγγράμματος παρεντεθεῖσθαι τὰ εἰρημένα, ὡς ἂν καταγέλαστος δοκοίη τοῖς ἐντυγχάνουσιν, τὰ μηδὲν κοινωνοῦντα τοῖς ζητουμένοις εἰς ἀπόδειξιν τῶν προκειμένων ἐπισυρόμενος; Τὸ γὰρ ζητούμενον ἦν δεῖξαι, καθὼς ἐπηγγείλατο, μὴ ὄντα τὸν Υἱὸν γεγεννῆσθαι, ἀλλ' ἀρχήν τε λαβεῖν γεννήσεως καὶ λῆξαι γεννώμενον, οἷόν τινος ὠδῖνος ἐν χρόνῳ παρατεινούσης τὴν γέννησιν. Ἡ δὲ εἰς τοῦτο κατασκευὴ τίς; Τὸ σαββατίζειν[α] ἐκ νόμου κατὰ τὴν ἑβδόμην ἡμέραν τὸν Ἑβραίων λαόν[1]. Ὢ πόση συμφωνία τῆς μαρτυρίας πρὸς τὸ προκείμενον. Ἐπειδὴ τιμᾶται τῇ ἀργίᾳ παρὰ τοῦ Ἰουδαίου τὸ σάββατον, ἀποδέδεικται τὸ τὸν Κύριον, καθὼς οὗτος λέγει, ἀρχήν τε λαβεῖν τοῦ τόκου καὶ τικτόμενον παύσασθαι. Πόσαι καὶ ἄλλαι πρὸς τοῦτο μαρτυρίαι τῷ λογογράφῳ παρείθησαν οὐδὲν τῆς εἰρημένης πρὸς σύστασιν τοῦ ζητουμένου λειπόμεναι; Ἡ κατὰ τὴν ὀγδόην περιτομή[2], ἡ τῶν ἀζύμων ἑβδομάς[3], τὸ ἐν τεσσαρεσκαιδεκάτῃ τοῦ σεληναίου δρόμου μυστήριον, αἱ τοῦ καθαρισμοῦ θυσίαι[4], ἡ περὶ τῶν λεπτῶν παρατήρησις, ὁ κριός, ὁ μόσχος, ἡ δάμαλις, ὁ ἀποπομπαῖος χίμαρος[5]. Εἰ δὲ ταῦτα πόρρω τῶν προκειμένων ἐστίν, πῶς ἐντὸς ἐκεῖνο τοῦ ζητουμένου, λεγέτωσαν οἱ ζηλωταὶ[β] τῶν ἰουδαϊκῶν μυστηρίων. Ἡμεῖς γὰρ μικροπρεπές τε καὶ **229** ἄνανδρον τὸ τοῖς κειμένοις ἐπεμβαίνειν νομίζοντες ἀναζητήσομεν ἐκ τῆς τῶν γεγραμμένων ἀκολουθίας εἴ τι τοιοῦτόν ἐστιν, οἷον ἱδρῶτα κινῆσαι τῷ προσ-

---

1. Πρβλ. Ἐξ. 16,30. 2. Πρβλ. Γεν. 17,10-14,23-27 κ.ἀ. 3. Πρβλ. Ἐξ. 12,8,15-20 κ.ἀ. 4. Πρβλ. Ἰὼβ 1,5. 5. Πρβλ. Ἀριθ. 7,15-17.

α. Πρβλ. Ἰουστίνου, Πρὸς Τρύφωνα Ἰουδαῖον, ΒΕΠ 3,219,5. 225,14,21. PG 6,500C. 517A-B. Κλήμεντος Ἀλεξανδρέως, Στρωματεῖς, ΒΕΠ 7,239,6. PG 8,701A. Ὠριγένους, Ἐκλογαὶ εἰς τοὺς Ψαλμούς, PG 17,144D. Μακαρίου τοῦ Αἰγυπτίου, Περὶ τοῦ παλαιοῦ καὶ τοῦ καινοῦ Σαββάτου, ΒΕΠ 41,313,23 ἑξ. PG 34,748A. Γρηγορίου Νύσσης, Εἰς τὸ ἅγιον Πάσχα καὶ περὶ τῆς τριημέρου προθεσμίας τῆς τοῦ Χριστοῦ ἀναστάσεως, PG 46,601B.

β. Πρβλ. Ὠριγένους, Περὶ ἀρχῶν, PG 11,344B. Εὐσεβίου Καισαρείας, Εὐαγγελικὴ προπαρασκευή, I, ΒΕΠ 25,397,20. PG 21,841A.

παλαίοντι. Ὅσα τοίνυν ἐν τοῖς ἐφεξῆς περὶ τοῦ μὴ δεῖν μέσον τι τοῦ Υἱοῦ καὶ τοῦ Πατρὸς ἐννοεῖν κατασκευάζων διέξεισιν, ὡς συμβαίνοντά πως τῷ καθ' ἡμᾶς δόγματι παρελεύσομαι. Ἀδιακρισίας γὰρ ἂν εἴη καὶ ἀγνωμοσύνης ἅμα μὴ διακρίνειν ἐν τοῖς λεγομένοις τὸ ἀνεύθυνόν τε καὶ τὸ ὑπαίτιον, ἐπειδὴ τοῖς ἰδίοις μαχόμενος οὐκ ἀκολουθεῖ τοῖς ὁμολογουμένοις, καὶ τὸ ἄμεσον λέγων καὶ τὸ συναφὲς οὐ δεχόμενος, καὶ τὸ μὴ εἶναί τι πρὸ τοῦ Μονογενοῦς ἐννοῶν καὶ τὸ εἶναι Υἱὸν ὑπονοῶν, ἀλλὰ περὶ τοῦ μὴ ὄντα γεγεννῆσθαι διαμαχόμενος. Μικρὸν ⟨οὖν⟩ ἐν τούτοις ἀσχοληθέντες διὰ τὸ τοῖς φθάσασιν ἱκανῶς ἤδη προκατασκευάσθαι τὸν λόγον τῶν προκειμένων ἑξόμεθα.

Οὐκ ἔστι τοῦ αὐτοῦ καὶ μηδὲν ὑπερτιθέναι τῆς τοῦ Μονογενοῦς ὑποστάσεως καὶ μὴ εἶναι λέγειν πρὸ τῆς γεννήσεως, ἀλλὰ τότε γεγεννῆσθαι ὅτε ὁ Πατὴρ ἠβουλήθη· τὸ γὰρ *τότε* καὶ *ὅτε* κυρίως καὶ προσφυῶς ἐπὶ τὴν χρονικὴν δεῖξιν τὴν σημασίαν φέρει κατά τε τὴν κοινὴν τῶν ὑγιῶς φθεγγομένων συνήθειαν καὶ κατὰ τὴν ἐν τῇ Γραφῇ σημασίαν. «Τότε ἐροῦσιν ἐν τοῖς ἔθνεσι»[1], καὶ «ὅτε ἀπέστειλα ὑμᾶς»[2] καὶ «τότε ὁμοιωθήσεται ἡ βασιλεία»[3], καὶ μυρία τοιαῦτα διὰ πάσης ἔστι τῆς Γραφῆς εἰς ἀπόδειξιν τοῦ προκειμένου λαβεῖν, ὅτι τοῖς τοιούτοις τοῦ λόγου μορίοις τὸν χρόνον ἐπισημειοῦται τῆς Γραφῆς ἡ συνήθεια. Εἰ **[817]**οὖν χρόνος οὐκ ἦν, καθὼς ὁ ἀντιλέγων συντίθεται, συνανῄρηται **230** πάντως καὶ ἡ χρονικὴ σημασία· ταύτης δὲ μὴ οὔσης τὸ ἀΐδιον τῆς ἐννοίας κατὰ πᾶσαν ἀνάγκην ἀντεισελεύσεται. Τῇ γὰρ τοῦ μὴ εἶναι φωνῇ καὶ τὸ ποτὲ πάντως συνυπακούεται. Εἰ γὰρ χωρὶς τοῦ ποτὲ τὸ μὴ εἶναι λέγοι, οὐδὲ νῦν εἶναι δώσει· εἰ δὲ τὸ νῦν διδοὺς πρὸς τὸ ἀΐδιον μάχεται, πάντως οὐ τὸ καθόλου μὴ εἶναι, ἀλλὰ τὸ ποτὲ μὴ εἶναι διανενόηται. Τῆς δὲ φωνῆς ταύτης ἀνυποστάτου παντάπασιν οὔσης, εἰ μὴ πρὸς τὴν τοῦ χρόνου σημασίαν ἐρείδοιτο, ἀνόητον ἂν εἴη καὶ μάταιον τὸ μήτε τι πρὸ τοῦ Υἱοῦ εἶναι λέγειν μήτε πάντοτε τὸν Υἱὸν εἶναι κατασκευάζειν. Εἰ γὰρ μήτε τόπος μήτε χρόνος μήτε τις ἑτέρα κτίσις ἐστὶν ἐν ᾗ οὐκ ἔστιν ὁ ἐν ἀρχῇ ὢν Λόγος, πανταχόθεν τοῦ δόγματος τῆς εὐσεβείας ἐξῄρηται τὸ ποτὲ μὴ εἶναι τὸν Κύριον. Οὐκοῦν οὐχ ἡμῖν, ἀλλ' ἑαυτῷ διαμάχεται ὁ καὶ εἶναι καὶ μὴ εἶναι τὸν Μονογενῆ δογματίζων. Ἐν γὰρ τὸ ὁμολογεῖν μηδενὶ τὴν τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα διαιρεῖσθαι συνάφειαν τὸ ἀΐδιον αὐτῷ πάντως προσμεμαρτύρηκεν. Εἰ δὲ ἐν τῷ Πατρὶ λέγοι μὴ εἶναι τὸν Υἱόν, τῷ τοιούτῳ λόγῳ οὐκ ἀντεροῦμεν αὐτοί, ἀλλὰ τὴν Γραφὴν ἀντιθήσομεν, ἥ φησιν ἐν τῷ Πατρί τε εἶναι τὸν Υἱὸν καὶ ἐν τῷ Υἱῷ τὸν Πατέρα[4], τὸ πότε ἢ ὅτε ἢ τότε μὴ προστιθεῖσα τῷ λόγῳ, ἀλλὰ τῇ ἀποφατικῇ ταύτῃ καὶ ἀπολύτῳ φωνῇ τὸ ἀΐδιον αὐτῷ μαρτυρήσασα.

Τὸ δὲ κατασκευάζειν αὐτὸν ἀγέννητον παρ' ἡμῶν λέγεσθαι τὸν

---

1. Ψαλ. 125,2. 2. Λουκ. 22,35. 3. Ματθ. 25,1. 4. Πρβλ. Ἰω. 10,38. 14,10.

μονογενῆ Θεὸν ἴσον ἐστὶ τῷ λέγειν ὅτι καὶ γεννητὸν εἶναι τὸν Πατέρα διοριζόμεθα. Τῆς γὰρ αὐτῆς ἀτοπίας, μᾶλλον δὲ βλασφημίας ἑκάτερον· ὥστε εἰ μὲν συκοφαντεῖν ἔγνωκε, προστιθέτω καὶ τὸ ἕτερον ἔγκλημα, **231** μηδενὸς φειδόμενος δι' ὧν ἂν ᾖ δυνατὸν χαλεπώτερον ἐκτραχύνειν καθ' ἡμῶν τοὺς ἀκούοντας. Εἰ δὲ τὸ ἕτερον τούτων διὰ τὸ περιφανὲς τῆς συκοφαντίας οὐκ αἰτιᾶται, ἀφιέτω καὶ τὸ λειπόμενον· ἴσον γὰρ εἰς ἀσέβειαν, καθὼς εἴρηται, καὶ τὸν Υἱὸν ἀγέννητον λέγειν καὶ γεννητὸν τὸν Πατέρα. Εἰ μὲν οὖν εὑρίσκεταί τις ἐν τοῖς παρ' ἡμῶν γεγραμμένοις φωνὴ τοιαύτη, δι' ἧς ἀγέννητος ὁ Υἱὸς ὀνομάζεται, καθ' ἡμῶν αὐτῶν τὴν ἐσχάτην ψῆφον ἐξοίσομεν· εἰ δὲ ψευδεῖς αἰτίας τε καὶ συκοφαντίας κατ' ἐξουσίαν συμπλάσσει, τὸ δοκοῦν ἐπὶ διαβολῇ τῶν καθ' ἡμᾶς δογμάτων λογοποιῶν, γένοιτ' ἂν ἴσως τοῖς γε νοῦν ἔχουσι καὶ αὕτη τῆς ἐν ἡμῖν εὐσεβείας ἀπόδειξις, ὅτι τῆς ἀληθείας ἡμῶν ὑπερμαχούσης τὸ ψεῦδος εἰς κατηγορίαν τοῦ δόγματος ἡμῶν προεστήσατο, ἀλλοτρίαν τοῦ ἡμετέρου λόγου κατασκευάζων τὴν τῆς ἀσεβείας γραφήν. Ἀλλ' ἔστιν ἐν συντόμῳ πρὸς τὰς αἰτίας ταύτας ἀπολογήσασθαι. Ὡς γὰρ ἡμεῖς τὸν ἀγεννήτως εἶναι λέγοντα τὸν μονογενῆ Θεὸν ἐπάρατον κρίνομεν, οὕτω κἀκεῖνος ἐπαράσθω τὸν μὴ εἶναί ποτε τὸν ἐν ἀρχῇ ὄντα διοριζόμενον. Ἐκ γὰρ τοῦ τοιούτου δειχθήσεται τρόπου ὅ τε κατὰ ἀλήθειαν καὶ ὁ συκοφαντικῶς τὰς αἰτίας ἐπάγων. Εἰ δὲ ἡμεῖς ἀρνούμεθα τὰ ἐγκλήματα, καὶ Πατέρα λέγοντες τῇ φωνῇ Υἱὸν συνεπινοοῦμεν, καὶ Υἱὸν ὀνομάσαντες ἀληθῶς εἶναί φαμεν ὃ λέγεται, γεννητῶς ἐκ τοῦ ἀγεννήτου φωτὸς ἀπαυγασθέντα, πῶς οὐ πρόδηλος ἡ συ**[820]**κοφαντία τῶν ἀγέννητον λέγειν ἡμᾶς τὸν Μονογενῆ θρυλούντων; Οὐ μὴν ἐπειδὴ γεννητῶς αὐτὸν εἶναί φαμεν, τὸ μὴ εἶναι αὐτόν ποτε διὰ τούτου παραδεξόμεθα. Τίς γὰρ οὐκ οἶδεν ὅτι ἄμεσός ἐστιν ἡ κατὰ τὸ σημαινόμενον ἐναντίωσις τοῦ ὄντος καὶ τοῦ μὴ ὄντος, ὥστε τὴν τοῦ ἑτέρου τῶν εἰρημένων θέσιν **232** ἀναίρεσιν τοῦ ἐναντίου γίνεσθαι πάντως, καὶ ὅτι καθάπερ τὸ εἶναι κατὰ πάντα χρόνον ταὐτόν ἐστιν, ἐν ᾧπερ ἄν τις ὑφεστάναι τι τῶν ὄντων ὑπόθηται (οὐ γὰρ μᾶλλον νῦν ἔστιν οὐρανὸς καὶ ἄστρα καὶ ἥλιος καὶ τὰ λοιπὰ τῶν ὄντων ἢ χθὲς καὶ πρώην καὶ ἐν παντὶ τῷ προάγοντι χρόνῳ), τὸν αὐτὸν τρόπον καὶ τοῦ μὴ εἶναι τὸ σημαινόμενον ἐπίσης ἐν παντὶ τὸ ἀνύπαρκτον ἔχει, εἴτε κατὰ τὸ πρότερόν τις εἴτε κατὰ τὸ ὕστερον λέγοι. Οὐ γὰρ μᾶλλον νῦν τι τῶν ὑφεστώτων οὐκ ἔστιν ἢ εἰ πρότερον ἀνύπαρκτον ἦν, ἀλλὰ εἷς ὁ τοῦ μὴ εἶναι λόγος ἐπὶ τοῦ μὴ ὄντος ἐν παντὶ χρονικῷ διαστήματι. Διὸ καὶ ἐπὶ τῶν ζῴων τήν τε τοῦ γεγονότος εἰς τὸ μὴ ὂν ἀνάλυσιν καὶ τοῦ μηδέπω τὴν εἰς τὸ γενέσθαι πάροδον ἐσχηκότος ὀνόμασι μὲν διαφόροις τὴν ἀνυπαρξίαν σημαίνομεν, ἢ μὴ γεγενῆσθαι τὴν ἀρχὴν ἢ τεθνάναι τὸ γενόμενον λέγοντες· ἐπίσης δὲ δι' ἑκατέρας φωνῆς τὸ ἀνύπαρκτον παριστῶμεν τῷ λόγῳ. Ὥσπερ γὰρ ἡ ἡμέρα νυκτὶ περιέχεται καθ' ἑκάτερον μέρος, λέγεται δὲ οὐχ ὡσαύτως τὰ

περιέχοντα, ἀλλὰ τὸ μὲν μετὰ τὴν ἑσπέραν, τὸ δὲ πρὸ τοῦ ὄρθρου, νὺξ δὲ τὸ δηλούμενόν ἐστι κατ' ἀμφότερα, τὸν αὐτὸν τρόπον εἰ ἐκ τοῦ παραλλήλου πρὸς τὸ ὂν ἀντιθεωροίη τις τὸ μὴ ὄν, κατονομάσει μὲν διαφόρως τό τε πρὸ τῆς συστάσεως καὶ τὸ μετὰ τὴν τοῦ συστάντος διάλυσιν, ἓν δὲ νοήσει δι' ἀμφοτέρων τὸ σημαινόμενον [τό τε πρὸ τῆς συστάσεως καὶ τὸ μετὰ τὴν τοῦ συστάντος διάλυσιν]. Τὸ γὰρ μὴ εἶναι τοῦ τε μὴ γεννηθέντος καὶ τοῦ τεθνηκότος πλὴν τῆς διαφορᾶς τῶν ὀνομάτων ἴσον ἐστὶν ὑπεξῃρημένου τοῦ κατὰ τὴν ἐλπίδα τῆς ἀναστάσεως λόγου. Ἐπειδὴ τοίνυν ἀρχηγὸν ζωῆς[1] καὶ αὐτοζωὴν τὸν μονογενῆ Θεὸν παρὰ τῆς Γραφῆς μεμαθήκαμεν **233** καὶ φῶς καὶ ἀλήθειαν[2] καὶ πᾶν ὅ,τιπέρ ἐστιν ἐν ὀνόματι καὶ νοήματι τίμιον, ἄτοπον καὶ δυσσεβὲς εἶναί φαμεν τῷ ὄντως ὄντι συνθεωρεῖν καὶ τὸ ἐξ ἐναντίου νοούμενον, ἢ διάλυσιν εἰς φθορὰν ἢ ἀνυπαρξίαν πρὸ τῆς συστάσεως, ἀλλὰ πανταχόθεν πρὸς τὸ ἐφεξῆς καὶ πρὸς τὸ προαιώνιον ἐπεκτείνοντες ἑαυτῶν τὴν διάνοιαν οὐδαμοῦ πρὸς τὸ μὴ ὂν ταῖς ἐννοίαις λήγομεν, ἴσον εἰς ἀσέβειαν κρίνοντες οἱῳδήποτε χρόνῳ δι' ἀνυπαρξίας περικόπτειν τὸ Θεῖον. Ταὐτὸν γάρ ἐστιν καὶ θνητὴν εἰπεῖν τὴν ἀθάνατον ζωὴν καὶ ψευδῆ τὴν ἀλήθειαν καὶ σκοτεινὸν τὸ φῶς καὶ μὴ εἶναι τὸ ὄν. Ὁ τοίνυν τὸ μὴ ἔσεσθαί ποτε μὴ διδοὺς οὐδὲ τὸ μὴ εἶναί ποτε συνθήσεται κατὰ τὸν ἡμέτερον λόγον, τὴν αὐτὴν ἀτοπίαν φεύγων καθ' ἑκάτερον μέρος· ὡς γὰρ τὸ ἀτελεύτητον τῆς ζωῆς τοῦ Μονογενοῦς οὐκ ἐπικόπτει θάνατος, οὕτως οὐδὲ κατὰ τὸ ἄνω ἡ ἀνυπαρξία στήσει πρὸς τὸ ἀΐδιον αὐτοῦ τὴν ζωὴν προϊοῦσαν, ὡς ἂν πανταχόθεν καθαρεύοι τὸ ὄντως ὂν τῆς πρὸς τὸ μὴ ὂν κοινωνίας. Διὰ τοῦτο πόρρω γίνεσθαι τῆς τοιαύτης πλάνης τοὺς μαθητὰς θέλων ὁ Κύριος, ὡς ἂν μή ποτε καὶ αὐτοὶ τὸ πρεσβύτερον τῆς τοῦ Μονογενοῦς ὑποστάσεως ἀναζητοῦντες πρὸς τὸ ἀν**[821]**ύπαρκτον τοῖς λογισμοῖς ἀπενεχθεῖεν. «Ἐγώ», φησίν, «ἐν τῷ Πατρὶ καὶ ὁ Πατὴρ ἐν ἐμοί»[3], ὡς οὔτε τοῦ μὴ ὄντος ἐν τῷ ὄντι νοουμένου οὔτε τοῦ ὄντος ἐν τῷ μὴ ὄντι. Καὶ αὐτὴ δὲ ἡ τοῦ λόγου τάξις τὸ εὐσεβὲς ἑρμηνεύει τοῦ δόγματος. Ἐπειδὴ γὰρ οὐκ ἐκ τοῦ Υἱοῦ ὁ Πατήρ, ἀλλ' ἐκ τοῦ Πατρὸς ὁ Υἱός, διὰ τοῦτο πρῶτόν φησιν ἐγὼ ἐν τῷ Πατρί[4], δεικνὺς τὸ μὴ ἄλλως ἀλλ' ἐξ ἐκείνου εἶναι, εἶτα ἀναστρέφει τὸν **234** λόγον ὅτι καὶ ὁ Πατὴρ ἐν ἐμοί, σημαίνων ὅτι ὁ ὑπερβὰς τὸν Υἱὸν τῇ πολυπραγμοσύνῃ καὶ τὴν περὶ τοῦ Πατρὸς ἔννοιαν συμπαρέρχεται. Ὁ γὰρ ἔν τινι ὢν ἔξω τοῦ ἐν ᾧ ἐστιν εὑρεθῆναι οὐ δύναται· ὥστε μάταιος ὁ ἐν τῷ Υἱῷ μὲν εἶναι τὸν Πατέρα μὴ ἀντιλέγων, ἔξω δὲ τοῦ Υἱοῦ κατειληφέναι τι τοῦ Πατρὸς φανταζόμενος, καὶ μάτην διαπλανᾶται τῶν πολεμούντων ἡμῖν ἡ περὶ τὸ ῥῆμα τῆς ἀ γ ε ν ν η σ ί α ς σκιαμαχία διὰ τῶν ἀνυπάρκτων κενεμβατοῦσα[α].

---

1. Πρβλ. Πράξ. 3,15. 2. Πρβλ. Ἰω. 14,6. 3. Ἰω. 14,10. 4. Πρβλ. Ἰω. 10,38. 17,21.

α. Πρβλ. Μ. Ἀθανασίου, Κατὰ Ἀρειανῶν, λόγ. Δ', ΒΕΠ 30,311,10.

Μᾶλλον δὲ εἰ χρὴ πᾶσαν εἰς τὸ ἐμφανὲς ἀγαγεῖν τὴν ἀτοπίαν τοῦ λόγου, μικρὸν ἔτι συγχωρηθήτω προσδιατρίψαι τῷ θεωρήματι. Τοῦ γὰρ μονογενοῦς Θεοῦ ὕστερον μετὰ τὸν Πατέρα γεγεννῆσθαι παρ' αὐτῶν λεγομένου, εὑρίσκεται κατ' ἀνάγκην τὸ ἀγέννητον αὐτῶν, ὅ τί ποτε καὶ εἶναι φαντάζονται, τῶν κακῶν τὴν ἔννοιαν συνεμφαῖνον. Τίς γὰρ οὐκ οἶδεν ὅτι ὥσπερ τῷ ὄντι τὸ μὴ ὂν ἀντιδιαιρεῖται, οὕτω καὶ παντὶ ἀγαθῷ πράγματί τε καὶ ὀνόματι τὸ ἐξ ἐναντίου νοούμενον, οἷον τῷ καλῷ τὸ κακὸν καὶ τῇ ἀληθείᾳ τὸ ψεῦδος, τῷ φωτὶ τὸ σκότος καὶ πάντα ὅσα τούτοις ὁμοιοτρόπως πρὸς τὸ ἐναντίον ἀλλήλοις ἀντικαθίσταται, ἐφ' ὧν ἄμεσός ἐστιν ἡ ἐναντίωσις καὶ οὐκ ἐνδέχεται κατὰ ταὐτὸν τὰ δύο μετ' ἀλλήλων εἶναι, ἀλλ' ἥ τε παρουσία τοῦ ἑνὸς ὑπεξαιρεῖ τὸ ἀντίθετον καὶ ἐν τῇ τοῦ ἑτέρου ὑποχωρήσει γίνεται τοῦ ἐναντίου ἡ γένεσις. Τούτων δὲ ἡμῖν οὕτω διωμολογημένων κἀκεῖνο παντὶ δῆλόν ἐστιν, ὅτι ὥσπερ φησὶ Μωυσῆς[1] σκότος εἶναι πρὸ τῆς τοῦ φωτὸς κτίσεως, οὕτω καὶ ἐπὶ τοῦ Υἱοῦ, εἰ κατὰ τὸν λόγον τῆς αἱρέσεως τότε ἐποίησεν αὐτὸν ὁ Πατήρ, ὅτε ἠθέλησε, πρὶν ποιῆσαι αὐτὸν οὐκ ἦν ἐκεῖνο τὸ φῶς, ὅπερ ἐστὶν ὁ **235** Υἱός. Φωτὸς δὲ μήπω ὄντος οὐκ ἐνδέχεται μὴ τὸ ἀντικείμενον εἶναι. Καὶ γὰρ διὰ τῶν ἄλλων ἐμάθομεν ὅτι οὐδὲν εἰκῇ τῶν παρὰ τοῦ δημιουργοῦ γεγονότων ἐστίν, ἀλλὰ τὸ λεῖπον ἐπεισάγεται τοῖς οὖσι διὰ τῆς κτίσεως. Δῆλον οὖν ἐστι πάντως ὅτι εἴπερ ἐποίησε τὸν Υἱὸν ὁ Θεός, διὰ τὸ λείπειν τῇ φύσει τῶν ὄντων ἐποίησεν. Ὥσπερ οὖν τοῦ αἰσθητοῦ φωτὸς λείποντος σκότος ἦν καί, εἰ μὴ ἐγεγόνει τὸ φῶς, ἐπεκράτει πάντως τὸ σκότος, οὕτως καὶ τοῦ Υἱοῦ μήπω ὄντος αὐτό τε τὸ ἀληθινὸν φῶς καὶ πάντα ὅσα ἐστὶν ὁ Υἱὸς οὔπω ἦν. Τὸ γὰρ ὂν καὶ κατὰ τὴν τῆς αἱρέσεως μαρτυρίαν τοῦ γενέσθαι οὐ δέεται. Οὐκοῦν εἰ ἐποίησε, τὸ μὴ ὂν πάντως ἐποίησε. Πρὶν οὖν γενέσθαι κατ' αὐτοὺς τὸν Υἱὸν οὐδὲ ἡ ἀλή**[824]**θεια δηλονότι ἐγεγόνει, οὔτε τὸ νοητὸν φῶς οὔτε ἡ πηγὴ τῆς ζωῆς οὔτε τινὸς καθόλου καλοῦ τε καὶ ἀγαθοῦ φύσις. Ἀλλὰ μὴν τούτων ἑκάστου τῇ ὑπεξαιρέσει τὸ ἐξ ἐναντίου νοούμενον παρυφίσταται, καὶ φωτὸς μὴ ὄντος οὐκ ἔστι μὴ σκότος εἶναι, καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως ἀνθ' ἑκάστου τῶν πρὸς τὸ κρεῖττον νοουμένων, ὅταν μὴ παρῇ τι τούτων, οὐκ ἐνδέχεται μὴ τὸ ἐναντίον πάντως εἶναι ἀντὶ τοῦ λείποντος. Ἀνάγκη οὖν πᾶσα, ὡς ἔμελλε θέλειν ὁ Πατὴρ τὸν Υἱὸν *ποιῆσαι*, κατὰ τὸν τῆς αἱρέσεως λόγον, μηδενὸς ὄντος τῶν ὅσα ὁ Υἱός ἐστιν, πάντα τὰ ἐναντία περὶ αὐτὸν εἶναι λέγειν, ἀντὶ τοῦ φωτὸς τὸ σκότος, ἀντὶ τῆς ἀληθείας τὸ ψεῦδος, ἀντὶ τῆς ζωῆς τὸν θάνατον, ἀντὶ τοῦ καλοῦ τὸ κακόν. Ὁ γὰρ κτίζων τὰ μὴ ὄντα κτίζει· τ ῷ γ ὰ ρ

---

1. Πρβλ. Γεν. 1,1 ἑξ.

PG 26,480A. Μ. Βασιλείου, Ὁμιλία εἰς τὴν ἁγίαν τοῦ Χριστοῦ γέννησιν, ΒΕΠ 54,226,22. Γρηγορίου Νύσσης, Κατὰ Εὐνομίου, Γ', β' (Δ' Migne), ΒΕΠ 67, 317,18. PG 45,512A.

ὄντι, καθώς φησιν ὁ Εὐνόμιος, οὐ δεῖ γεννήσεως. Τῶν δὲ κατὰ ἀντίθεσιν θεωρουμένων οὐκ ἔστιν ἄλλως τὰ κρείττω μὴ εἶναι ἢ ἐκ τοῦ τὰ χείρονα εἶναι. Ταῦτα τοίνυν ἡ σοφία τῆς αἱρέσεως δωροφορεῖ τῷ Πατρὶ δι' ὧν ἀτιμάζει **236** τοῦ Υἱοῦ τὸ ἀΐδιον, τὸν τῶν κακῶν κατάλογον πρὸ τῆς τοῦ Υἱοῦ ἀναδείξεως προσάγουσα τῷ Θεῷ καὶ Πατρί.

Καὶ μηδεὶς ἐκ τῆς ἄλλης κτίσεως ἀνατρέπειν οἰέσθω τὴν ἐκ τῆς ἀκολουθίας ταύτης ἀναδειχθεῖσαν ἀτοπίαν τοῦ δόγματος. Ἐρεῖ γάρ τις ἴσως ὅτι ὥσπερ τοῦ οὐρανοῦ μὴ ὄντος οὐδὲν ἐναντίον τούτῳ, οὕτως καὶ τοῦ Υἱοῦ μήπω γενομένου, ὅς ἐστιν ἀλήθεια, οὐ πάντως ἀναγκαζόμεθα τὸ ἐναντίον εἶναι συντίθεσθαι. Πρὸς ὃν ἔστιν εἰπεῖν ὅτι οὐρανῷ μὲν τὸ ἀντικείμενον ἔστιν οὐδέν, εἰ μὴ ἄρα τῷ εἶναι αὐτὸν τὸ μὴ εἶναί τις λέγοι ἀντίθετον. Τῇ δὲ ἀρετῇ τὸ κατὰ κακίαν πάντως ἀντικαθέστηκεν, ἀρετὴ δὲ ὁ Κύριος, ὥστε οὐρανοῦ μὲν μὴ ὄντος οὐδὲν ἦν, ἀγαθοῦ δὲ μὴ ὄντος τὸ ἐναντίον ἦν. Ὁ οὖν τὸ ἀγαθὸν λέγων μὴ εἶναι τὸ κακὸν καὶ μὴ βουλόμενος πάντως συνθήσεται. Ἀλλὰ καὶ ὁ Πατήρ, φησί, καὶ παντελής ἐστιν ἀρετὴ καὶ ζωὴ καὶ ἀπρόσιτον φῶς καὶ πάντα τὰ ὑψηλὰ νοήματά τε καὶ ὀνόματα· ὡς μὴ εἶναι ἀνάγκην, ὅτε τὸ μονογενὲς φῶς οὔπω ἦν, τὸ κατάλληλον ἐκ τοῦ ἐναντίου νοεῖσθαι σκότος. Ἀλλ' οὗτος ὁ ἐμός ἐστι λόγος, ὅτι οὐδέποτε σκότος ἦν. Οὐδὲ γὰρ ἦν ποτε ὅτε τὸ φῶς οὐκ ἦν· ἀεὶ γὰρ ἐν τῷ φωτὶ πάντως ἐστὶ τὸ φῶς[1], καθὼς ἡ προφητεία λέγει. Εἰ δὲ κατὰ τὸν λόγον τῆς αἱρέσεως ἄλλο τὸ ἀγέννητον καὶ ἕτερον τὸ γεννητόν ἐστι φῶς καὶ τὸ μὲν ἐξ ἀϊδίου τοῦτο δὲ μετὰ ταῦτα γενόμενον, ἀνάγκη πᾶσα τῷ μὲν ἀϊδίῳ φωτὶ μηδέποτε χώραν εὑρεῖν ἀντικαταστῆναι τὸ ἀντικείμενον· ἀεὶ γὰρ λάμποντος τοῦ φωτὸς ἡ ἐνέργεια τοῦ σκότους ἐπ' αὐτοῦ χώραν οὐκ ἔχει· ἐπὶ δὲ τοῦ μετὰ ταῦτα, καθὼς ἐκεῖνοί φασι, γεγονότος ἀμήχανον εἶναι μὴ ἐκ σκότους τὸ φῶς λάμψαι, ἀλλὰ πάντῃ καὶ πάντως τοῦ τε ἀϊδίου φωτὸς **237** καὶ τοῦ ὕστερον γενομένου σκότος τὸ μέσον διαληφθήσεται. Οὐ γὰρ ἂν τῆς κατασκευῆς τοῦ μετὰ ταῦτα φωτὸς χρεία ἐγίνετο, εἰ μὴ πρός τι χρήσιμον ἦν τὸ κτιζόμενον. Μία δὲ φωτὸς χρῆσις, τοῦ λύεσθαι δι' αὐτοῦ τὸν ἐπικρατοῦντα ζόφον. Τὸ μὲν οὖν ἀκτίστως ὂν φῶς αὐτὸ δι' ἑαυτό ἐστιν ὅπερ ἐστὶν τῇ φύσει, τὸ δὲ κτιζόμενον διά τι γίνεται πάν-**[825]**τως. Οὐκοῦν προϋπάρχειν ἀνάγκη τὸ σκότος, οὗ χάριν ἀναγκαίως δημιουργεῖται τὸ φέγγος, καὶ οὐκ ἔστιν οὐδενὶ λόγῳ παραμυθήσασθαι τὸ μὴ προτερεύειν τῆς τοῦ γεννητοῦ φωτὸς ἀναδείξεως τὸ σκότος, ὅταν μετὰ ταῦτα κατεσκευάσθαι πιστεύηται. Ἀλλὰ μὴν πάσης ἀσεβείας τὸ τοιοῦτόν ἐστιν ἐπέκεινα. Ἄρα σαφῶς πεφανέρωται ὅτι οὐχὶ μὴ οὖσαν τὴν ἀλήθειαν ὁ Πατὴρ τῆς ἀληθείας ἐποίησεν, ἀλλὰ

1. Πρβλ. Ψαλ. 35,10. Βαρ. 3,14. Δαν. 2,22.

πηγὴ ὢν φωτὸς καὶ ἀληθείας καὶ παντὸς ἀγαθοῦ ἐξ ἑαυτοῦ τὸ μονογενὲς φῶς τῆς ἀληθείας ἀπηύγασε, δι᾽ οὗ πάντοτε ἡ τῆς ὑποστάσεως αὐτοῦ δόξα χαρακτηρίζεται, ὡς πανταχόθεν τῶν ὕστερον τῷ Θεῷ διὰ κτίσεως τὸν Υἱὸν προγεγενῆσθαι λεγόντων τὴν βλασφημίαν ἐλέγχεσθαι.

ΚΑΤΑ ΕΥΝΟΜΙΟΥ ΤΟΥ ΤΡΙΤΟΥ ΛΟΓΟΥ

ΤΟΜΟΣ Η'

238 **[825]** Ἀλλὰ τῶν προκειμένων ἐχώμεθα. Μικρὸν γὰρ προελθὼν διαμάχεται πρὸς τοὺς ὁμολογοῦντας ἀσθενεῖν τὴν ἀνθρωπίνην φύσιν πρὸς τὴν τῶν ἀλήπτων περίνοιαν καὶ τοιαῦτά τινα μεγαλαυχούμενος διεξέρχεται, τὸ καθ' ἡμᾶς εὐτελίζων τούτοις τοῖς ῥήμασιν· οὐδὲ γάρ εἴ τινος ὁ νοῦς διὰ κακόνοιαν ἐσκοτωμένος καὶ διὰ τοῦτο μηδὲν μήτε τῶν πρόσω μήτε τῶν ὑπὲρ κεφαλὴν ἰδεῖν δυνάμενος μετρίως ἔχοι πρὸς τὴν τῆς ἀληθείας κατάληψιν, διὰ τοῦτο οἴεσθαι χρὴ μηδὲ τοῖς ἄλλοις ἀνθρώποις ἐφικτὴν εἶναι τὴν τῶν ὄντων εὕρεσιν. Ἀλλ' εἴποιμ' ἂν πρὸς αὐτὸν ὅτι ὁ ἐφικτὴν εἶναι λέγων τὴν **[828]** τῶν ὄντων εὕρεσιν ὁδῷ τινι πάντως καὶ ἀκολουθίᾳ διὰ τῆς τῶν ὄντων γνώσεως προήγαγεν ἑαυτοῦ τὴν διάνοιαν καὶ τοῖς εὐλήπτοις τε καὶ μικροτέροις ἐγγυμνασθεὶς διὰ τῆς καταλήψεως οὕτως καὶ τοῖς ἐπέκεινα πάσης ἐννοίας ἐπέβαλεν ἑαυτοῦ τὴν καταληπτικὴν φαντασίαν[α]. Οὐκοῦν ὁ τὴν περὶ τῶν ὄντων εἴδησιν κατειληφέναι μεγαλαυχούμενος τὸ μικρότατον τῶν προφαινομένων ἡμῖν ὅπως ἔχει φύσεως ἑρμηνευσάτω, ὡς ἂν διὰ τοῦ γνωρίμου καὶ περὶ τοῦ κεκρυμ**239**μένου πιστώσαιτο, καὶ τίς ἡ τοῦ μύρμηκος φύσις[β] ἑρμηνευσάτω τῷ λόγῳ, εἰ πνεύματι καὶ ἄσθματι συνέχεται αὐτοῦ ἡ ζωή, εἰ σπλάγχνοις οἰκονομεῖται παραπλησίως τοῖς ἄλλοις ζῴοις, εἰ ὀστέοις τὸ σῶμα περιείληπται, εἰ μυελῷ τὰ κοῖλα τῶν ὀστέων κατὰ τὸ ἐντὸς * *, εἰ νεύροις καὶ συνδέσμοις τὰς ἁρμονίας τετόνωται, εἰ μυῶν περιβολαῖς καὶ ἀδένων ἡ τῶν νεύρων περικρατεῖται θέσις, εἰ τοῖς νωτιαίοις σπονδύλοις ἐκ τοῦ βρέγματος ἐπὶ τὸ οὐραῖον ὁ μυελὸς παρατείνεται, εἰ τῇ περιοχῇ τοῦ νευρώδους ὑμένος τοῖς κινουμένοις μέλεσι τὴν ὁρμητικὴν ἐνδίδωσι δύναμιν, εἰ ἔστιν ἐν αὐτῷ τὸ ἧπαρ καὶ τὸ χοληδόχον ἀγγεῖον ἐπὶ τοῦ ἥπατος νεφροί τε καὶ καρδία καὶ ἀρτηρίαι καὶ φλέβες ὑμένες τε καὶ φρένες καὶ διαφράγματα, καὶ εἰ ψιλόν ἐστιν ἢ τετρίχωται, καὶ εἰ πρὸς τὸ ἄρρεν τε καὶ θῆλυ διαμερίζεται, ἐν τίνι τε μέρει τοῦ σώματος τὸ ὀπτικὸν ἢ τὸ ἀκουστικὸν ἐγκαθίδρυται, καὶ εἰ τῆς ὀσφραντικῆς

α. Φίλωνος, Περὶ ἀποικίας Ἀβραάμ, § 136-138.
β. Ἀριστ. Περὶ ζῴων μορίων, 650β 26 ἑξ.

μετέχει αἰσθήσεως, εἰ μονώνυχόν ἐστιν ἢ πολυσχιδεῖς ἔχει τὰς βάσεις, πόσον δὲ βιοῖ χρόνον καὶ τίς ὁ τρόπος αὐτοῖς τῆς ἐξ ἀλλήλων γεννήσεως, ἐπὶ πόσον δὲ κυΐσκεται τὸ τικτόμενον καὶ πῶς οὔτε πεζοὶ πάντες οἱ μύρμηκες οὔτε ὑπόπτεροι πάντες, ἀλλ' οἱ μὲν τῶν χαμαὶ ἐρχομένων εἰσίν, οἱ δὲ διαέριοι φέρονται. Ὁ τοίνυν τῶν ὄντων κατειληφέναι τὴν γνῶσιν κομπάζων τέως ἡμῖν τὴν τοῦ μύρμηκος φύσιν φανερωσάτω, εἶθ' οὕτω φυσιολογείτω τὴν πάντα νοῦν ὑπερέχουσαν δύναμιν. Εἰ δὲ τοῦ βραχυτάτου μύρμηκος οὔπω περιέλαβε τῇ γνώσει τὴν φύσιν, πῶς τὸν ἐν ἑαυτῷ πᾶσαν περικρατοῦντα τὴν κτίσιν τῷ καταληπτικῷ περιειληφέναι λόγῳ μεγαλαυχεῖται καὶ **240** τοὺς τὸ ἀσθενὲς τῆς ἀνθρωπίνης φύσεως ἐφ' ἑαυτῶν ὁμολογοῦντας ἐσκοτῶσθαι λέγει τὰ τῆς ψυχῆς αἰσθητήρια καὶ μήτε τινὸς τῶν πρόσω μήτε τῶν ὑπὲρ κεφαλὴν ἐφικνεῖσθαι;

Ἀλλ' ὁ τὴν γνῶσιν ἔχων τῶν ὄντων ἴδωμεν τί παρὰ τοὺς ἄλλους ἐπίσταται, ἀκούσωμεν τῆς ὑπερόγκου φωνῆς. Ἦ μάτην ἂν ὁ Κύριος ἑαυτὸν ὠνόμασεν θύραν, φησί, μηδενὸς ὄντος τοῦ διιόντος πρὸς κατανόησιν καὶ θεωρίαν τοῦ Πατρός, μάτην δ' ἂν ὁδόν, μηδεμίαν παρέχων εὐμάρειαν τοῖς ἐλθεῖν πρὸς τὸν Πατέρα βουλομένοις· πῶς δ' ἂν εἴη φῶς, μὴ φωτίζων τοὺς ἀνθρώπους, μὴ καταλάμπων τὸ τῆς ψυχῆς ὄμμα πρὸς κατανόησιν ἑαυτοῦ τε καὶ τοῦ ὑπερκειμένου φωτός; εἰ μὲν οὖν οἴκοθέν τινας λογισμοὺς διεξῄει ἐκφεύγοντας τῇ λεπτότητι **[829]** τὴν τῶν ἀκουόντων διάνοιαν, δυνατὸν ἂν ἦν ἴσως παρακρουσθῆναι τῇ περινοίᾳ τοῦ λόγου, διαδιδράσκοντος πολλάκις τοῦ ἐγκειμένου νοήματος τὸν ἀκούοντα. Ἐπεὶ δὲ τὰ θεῖα προβάλλεται ῥήματα, πάντως οὐδεὶς καταμέμψεται τοὺς τὴν θεόπνευστον διδασκαλίαν πᾶσι κοινὴν προκεῖσθαι πεπιστευκότας. Ἐπειδὴ τοίνυν θύρα[α], φησίν, ὠνομάσθη ὁ Κύριος, ἐκ τούτου κατασκευάζεται τὸ καταληπτὴν εἶναι τοῦ Θεοῦ τὴν οὐσίαν. Ἀλλ' οὐ δέχεται τὴν διάνοιαν ταύτην τὸ Εὐαγγέλιον. Αὐτῆς γὰρ ἀκούσωμεν τῆς θείας φωνῆς· «ἐγώ εἰμι», φησίν, «ἡ θύρα· δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται, καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται, καὶ νομὴν εὑρήσει»[1]. Τί τοίνυν ἐκ τούτων ἡ γνῶσις τῆς οὐσίας ἐστίν; πλειόνων γὰρ ὄντων τῶν εἰρημένων καὶ ἰδίαν ἑκάστου διάνοιαν κατὰ τὸ ση-

---

1. Ἰω. 10,9.

α. Πρβλ. Κλήμεντος Ἀλεξανδρέως, Λόγος Προτρεπτικὸς πρὸς Ἕλληνας, ΒΕΠ 7,23,6. PG 8,68A. Ὠριγένους, Ὑπόμν. εἰς τὸ κατὰ Ἰωάννην, PG 14, 276B. Εὐσεβίου Καισαρείας, Ἐκκλησιαστικὴ ἱστορία Β', ΒΕΠ 19,244,36. PG 20,200B. Μ. Ἀθανασίου, Ὁμιλία εἰς τὸν ἐκ γενετῆς τυφλόν, ΒΕΠ 36,257,1. PG 28,1021A. Μ. Βασιλείου, Περὶ τοῦ Ἁγίου Πνεύματος. Πρὸς τὸν ἐν ἁγίοις Ἀμφιλόχιον, ἐπίσκοπον Ἰκονίου, ΒΕΠ 52,244,16. Γρηγορίου Θεολόγου, Θεολογικὸς τέταρτος, ΒΕΠ 59,265,3.

μαινόμενον ἔχοντος, οὔτε πάντα δυνατόν ἐστιν τῷ τῆς οὐσίας ἐντίθεσθαι λόγῳ, ὡς ἂν μὴ σύμμικτον ἐκ διαφόρων **241** νοηθείη τὸ Θεῖον, καὶ τὸ μᾶλλον κυρίως ἐφαρμόσαι τῷ προκειμένῳ δυνάμενον οὐκ ἔστιν εὐκόλως ἐκ τῶν κατειλεγμένων εὑρεῖν. Ἡ θύρα ὁ Κύριος· δι' ἐμοῦ, φησίν, ἐάν τις εἰσέλθῃ, σωθήσεται, καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται, καὶ νομὴν εὑρήσει. Τὴν εἴσοδον εἴπωμεν ἀντὶ τῆς οὐσίας λέγειν αὐτὸν ἢ τὴν σωτηρίαν τῶν εἰσιόντων ἢ τὴν ἔξοδον ἢ τὴν νομὴν ἢ τὴν εὕρεσιν; Ἕκαστον γὰρ τούτων ἰδιάζει τῷ σημαινομένῳ καὶ οὐ συμφωνεῖ πρὸς τὸ ἕτερον. Τὸ γὰρ ἐντὸς γενέσθαι τῷ ἐξελθεῖν ἐναντίον ἐκ τοῦ προχείρου δοκεῖ καὶ τὰ ἄλλα ὡσαύτως. Ἄλλο γάρ τι τῷ ἰδίῳ λόγῳ ἐστὶν ἡ νομή, ἕτερον δέ τι παρὰ τοῦτο ἡ εὕρεσις. Τί οὖν ἐκ τούτων ἡ τοῦ Πατρὸς οὐσία νομίζεται; Οὐ γὰρ δὴ τὰ πάντα τις εἰπὼν μὴ συμφωνοῦντα τῇ σημασίᾳ πρὸς ἄλληλα τὴν ἁπλῆν τε καὶ ἀσύνθετον οὐσίαν διὰ τῶν ἀσυμφώνων ἐνδείξεται. Πῶς δ' ἂν ἀληθεύοι ὁ λόγος ὅτι «Θεὸν οὐδεὶς ἑώρακε πώποτε»[1], καὶ «ὃν εἶδεν ἀνθρώπων οὐδεὶς οὐδὲ ἰδεῖν δύναται»[2], καὶ ὅτι οὐκ ἔστιν ὃς ὄψεται τὸ πρόσωπον Κυρίου καὶ ζήσεται[3], εἴπερ ἢ τὸ ἐντὸς τῆς θύρας ἢ τὸ ἐκτὸς ἢ τῆς νομῆς ἡ εὕρεσις οὐσία τοῦ Πατρὸς εἴη; Οὐ μὴν ἐπειδὴ τοῦτο οὐκ ἔστιν, ἀργόν τε καὶ ἄσημον ἐπὶ τοῦ Κυρίου τὸ ὄνομα τῆς θύρας ὑπονοήσομεν. Ἀληθῶς γὰρ ὁ αὐτός ἐστι καὶ θύρα περιοχῆς[4] καὶ οἶκος καταφυγῆς[5], καθὼς ὁ Δαβὶδ ὀνομάζει, καὶ δι' ἑαυτοῦ τοὺς εἰσιόντας δέχεται καὶ ἐν ἑαυτῷ τοὺς ἔνδον γενομένους σῴζει καὶ πάλιν δι' ἑαυτοῦ πρὸς τὴν νομὴν τῶν ἀρετῶν προάγει καὶ πάντα γίνεται τοῖς σῳζομένοις, ἵνα ἑκάστῳ πρόσφορον ἑαυτὸν ποιήσῃ, καὶ ὁδὸς[6] καὶ ὁδηγὸς[7] καὶ θύρα περιοχῆς καὶ οἶκος καταφυγῆς καὶ ὕδωρ ἀναπαύσεως καὶ τόπος χλόης[8], ἣν ἐν τῷ Εὐαγγελίῳ **242** νομὴν ὀνομάζει· ὁ δὲ καινὸς θεολόγος διὰ τὴν γνῶσιν τῆς τοῦ Πατρὸς οὐσίας θύραν φησὶν ὠνομάσθαι τὸν Κύριον. Τί οὖν οὐχὶ καὶ τὴν πέτραν καὶ τὸν λίθον καὶ τὴν πηγὴν καὶ τὸ ξύλον καὶ τὰ λοιπὰ τῶν ὀνομάτων πρὸς τὴν αὐτὴν ἕλκει διάνοιαν, ὡς ἂν τῷ πλήθει τῶν ἀλλοκότων μαρτυριῶν τὸ ἑαυτοῦ δόγμα πιστώσαιτο, δυνάμενος ἑκάστῳ τούτων τὸν αὐτὸν ἐφαρμόσαι λόγον, ὃν περὶ τῆς ὁδοῦ καὶ τῆς θύρας καὶ τοῦ φωτὸς διεξῆλθε; **[832]** Ἐγὼ δὲ τοῦτο παρὰ τῆς θεοπνεύστου Γραφῆς διδαχθεὶς θαρσῶν ἀποφαίνομαι, ὅτι ὁ ὑπὲρ πᾶν ὄνομα ὢν ἡμῖν πολυώνυμος[9] γίνεται κατὰ τὰς τῶν εὐεργεσιῶν ποικιλίας ὀνομαζόμενος, φῶς μὲν ὅταν ἐξαφανίζῃ τῆς ἀγνοίας τὸν ζόφον, ζωὴ δὲ ὅταν τὴν ἀθανασίαν χαρίζηται, ὁδὸς δὲ ὅταν πρὸς τὴν ἀλήθειαν ἀπὸ τῆς πλάνης χειραγωγήσῃ· οὕτω καὶ πύργος ἰσχύος[10] καὶ πόλις περιοχῆς καὶ πηγὴ καὶ πέτρα καὶ ἄμπελος καὶ ἰατρὸς καὶ ἀνάστασις καὶ πάντα τὰ τοιαῦτα πρὸς ἡμᾶς ὀνομάζεται, ποικίλως

---

1. Ἰω. 1,18. 2. Α' Τιμ. 6,16. 3. Πρβλ. Ἐξ. 33,20. 4. Πρβλ. Ψαλ. 140,3. 5. Πρβλ. Ψαλ. 30,3. 6. Πρβλ. Ψαλ. 84,14. Ἰω. 14,6. 7. Πρβλ. Σ. Σολ. 7,15. 8. Πρβλ. Ψαλ. 22,2. 9. Πρβλ. Φιλιπ. 2,9-10. 10. Ψαλ. 60,4.

ἑαυτὸν ταῖς ἡμετέραις εὐεργεσίαις καταμερίζων. Τὰς δὲ οὐσίας διὰ τῶν ὀνομάτων ἑρμηνεύοντες οἱ ὑπὲρ τὴν ἀνθρωπίνην φύσιν ὀξυωποῦντες, οἱ τὸ μὲν ἀκατάληπτον βλέποντες, τὸ δὲ καταληπτὸν παραβλέποντες, ὃν οὔτε εἶδέ τις ἀνθρώπων οὔτε ἰδεῖν δύναται[1], τοῦτον οὐ μόνον ὁρᾶν, ἀλλὰ καὶ μετρεῖν διαβεβαιοῦνται, τὴν δὲ πίστιν οὐ βλέπουσι τῷ τῆς ψυχῆς ὀφθαλμῷ, ὅπερ δὴ μόνον σύμμετρόν ἐστι τῇ ἡμετέρᾳ κατανοήσει, τὴν ἐκ τῶν λογισμῶν ἐπίγνωσιν ἐπίπροσθεν ταύτης ποιούμενοι. Οὕτως ἤκουσα τῆς ἱστορίας τῶν υἱῶν Βενιαμὶν κατηγορούσης, οἳ πρὸς μὲν τὸν νόμον οὐκ ἔβλεπον, κατὰ δὲ τριχὸς ἐτοξάζοντο[2], δηλοῦντος οἶμαι τοῦ λόγου τὴν περὶ τὸ μάταιον **243** αὐτῶν ἀσχολίαν, ὅτι τῶν μὲν ἀνωφελῶν καὶ ἀνυποστάτων ἐκηβόλοι τινὲς ἦσαν καὶ εὐφυεῖς στοχασταί, τῶν δὲ προδήλως ὠφελούντων ἀμαθεῖς τε καὶ ἀμελέτητοι· ἐπάγει γὰρ τοῖς εἰρημένοις ἡ ἱστορία τὴν κατ' αὐτοὺς συμφοράν, ὅπως πρὸς τὴν Σοδομιτικὴν παρανομίαν λυσσήσαντες πανστρατιᾷ τοῦ Ἰσραηλίτου λαοῦ κατ' αὐτῶν ὁπλισθέντος ἐξεπορθήθησαν[3]. Καί μοι δοκεῖ φιλάνθρωπον εἶναι γνώμην εἰσηγήσασθαι τοῖς νέοις τοξόταις, μὴ κατὰ τριχὸς ἐθέλειν τοξάζεσθαι, τὴν δὲ θύραν μὴ βλέπειν τῆς πίστεως, ἀλλὰ παρέντας τὴν περὶ τὸ ἄληπτον ματαιοπονίαν μὴ ζημιοῦσθαι τὸ πρόχειρον κέρδος τὸ διὰ μόνης τῆς πίστεως εὑρισκόμενον.

Ἀλλὰ τὰ λειπόμενα τῆς λογογραφίας ἐπισκεψάμενος ὀκνῶ προαγαγεῖν περαιτέρω τὸν λόγον, φρίκης τινὸς ἐκ τῶν λεγομένων τὴν καρδίαν ὑποδραμούσης. Βούλεται γὰρ ἄλλο τι δεῖξαι παρὰ τὴν αἰωνίαν ζωὴν τὸν Υἱὸν ὄντα, ἥτις εἰ μὴ ἐν τῷ Μονογενεῖ θεωροῖτο, ματαία μὲν ἡ πίστις ἀποδειχθήσεται[4], κενὸν δὲ τὸ κήρυγμα, περιττὸν δὲ τὸ βάπτισμα, εἰς οὐδὲν δὲ τῶν μαρτύρων οἱ πόνοι, ἄχρηστοι δὲ καὶ ἀνόνητοι τῇ ζωῇ τῶν ἀνθρώπων οἱ τῶν ἀποστόλων ἱδρῶτες. Τί γὰρ κατήγγειλαν τὸν Χριστόν[5], ἐν ᾧ τῆς αἰωνίας ζωῆς κατ' Εὐνόμιον οὐκ ἔστιν ἡ δύναμις; εἰς τί δὲ τῷ ὀνόματι Χριστοῦ τοὺς πεπιστευκότας κατανομάζουσιν[6], εἰ μὴ διὰ τούτου τῆς αἰωνίας μέλλοιεν μετέχειν ζωῆς; Ὁ γὰρ νοῦς, φησί, τῶν εἰς τὸν Κύριον πεπιστευκότων πᾶσαν αἰσθητὴν καὶ νοητὴν οὐσίαν ὑπερκύψας οὐδὲ ἐπὶ τῆς τοῦ Υἱοῦ γεννήσεως ἵστασθαι πέφυκεν, ἐπέκεινα δὲ καὶ ταύτης ἵεται, πόθῳ τῆς αἰωνίου ζωῆς ἐντυχεῖν τῷ πρώτῳ γλιχόμενος. Τί τῶν εἰρημένων πλέον **[833]** ὀδύρωμαι, τὸ μὴ εἶναι τὴν αἰωνίαν **244** ζωὴν ἐν τῷ Υἱῷ τοὺς δειλαίους νομίζειν ἢ τὸ χθαμαλὴν οὕτω καὶ πρόσγειον βλέπειν τὴν τοῦ Μονογενοῦς ὑπόστασιν, ὥστε τῆς ἀρχῆς αὐτοῦ τοῖς λογισμοῖς ἐπιβάντας ὑπερκύπτειν ἄνω τῆς τοῦ Υἱοῦ ζωῆς τῇ ἑαυτῶν διανοίᾳ

1. Πρβλ. Α' Τιμ. 6,16. 2. Πρβλ. Κριτ. 20,16. 3. Πρβλ. Γεν. 19,4-5. 4. Πρβλ. Α' Κορ. 15,17,14. 5. Πρβλ. Πράξ. 17,3. 6. Πρβλ. Πράξ. 11,26.

φαντάζεσθαι καὶ καταλιπόντας κάτω που τοῦ Κυρίου τὴν γέννησιν ἐπέκεινα ταύτης ἴεσθαι πόθῳ τῆς αἰωνίου ζωῆς; Ταύτην γὰρ τὰ εἰρημένα τὴν διάνοιαν ἔχει, ὅτι ὁ ἀνθρώπινος νοῦς τὴν τῶν ὄντων γνῶσιν διερευνώμενος καὶ τῆς αἰσθητῆς τε καὶ νοητῆς κτίσεως ἑαυτὸν ὑπεράρας καθ' ὁμοιότητα τῶν λοιπῶν κατώτερον ἑαυτοῦ τὸν ἐν ἀρχῇ ὄντα Λόγον Θεὸν καταλείψει, καὶ ἐν ᾧ οὐκ ἦν ὁ Θεὸς Λόγος, ἐν ἐκείνῳ αὐτὸς γίνεται, διὰ τῆς πολυπραγμοσύνης τοῦ νοῦ τοῖς ὑπερκειμένοις τῆς τοῦ Υἱοῦ ζωῆς ἐμβατεύων, ἐκεῖ τὴν αἰώνιον ζωὴν ἐρευνώμενος ὅπου ὁ μονογενὴς Θεὸς οὐκ ἔστιν. Πόθῳ γὰρ τῆς αἰωνίας, φησί, ζωῆς εἰς τὰ ἐπέκεινα τοῦ Υἱοῦ τῷ νῷ φέρεται, ὡς ἐν τῷ Υἱῷ πάντως μὴ εὑρὼν τὸ ζητούμενον. Εἰ οὖν οὐκ ἔστιν ἐν τῷ Υἱῷ ἡ αἰώνιος ζωή, ἄρα ψευδὴς ἁλώσεται ὁ εἰπὼν ὅτι ἐγώ εἰμι ἡ ζωή[1], ἢ ζωὴ μέν ἐστιν, οὐκ αἰώνιος δέ; Ἀλλὰ τὸ μὴ αἰώνιον πρόσκαιρον πάντως, τὸ δὲ τοιοῦτο τῆς ζωῆς εἶδος κοινὸν καὶ τῶν ἀλόγων ἐστίν. Ποῦ τοίνυν τὸ μεγαλεῖον τῆς ὄντως ζωῆς, εἰ μετέχοι ταύτης καὶ ἡ ἄλογος φύσις; πῶς δὲ ταὐτὸν ἔσται τῇ ζωῇ ὁ Λόγος, εἰ τῇ ἀλόγῳ φύσει διὰ τῆς προσκαίρου ζωῆς εἰσοικίζοιτο; εἰ γὰρ κατὰ τὸν μέγαν Ἰωάννην ζωὴ[2] μέν ἐστιν ὁ Λόγος, πρόσκαιρος δὲ αὕτη καὶ οὐκ αἰώνιος, καθὼς τῇ αἱρέσει δοκεῖ, γίνεται δὲ καὶ ἐν τοῖς ἄλλοις ἡ πρόσκαιρος, τί κατὰ τὸ ἀκόλουθον συμπεραίνεται; Ἢ λογικὰ εἶναι τὰ ἄλογα ἢ ἄλογον ὁμολογεῖσθαι τὸν Λόγον. Ἆρ' ἔτι λόγων πρὸς ἔλεγχον τῆς ἐξαγίστου καὶ **245** πονηρᾶς αὐτῶν βλασφημίας δεόμεθα; μὴ γὰρ τοιαῦτα τὰ λεγόμενα, ὡς κεκρυμμένην ἔχειν τὴν συμβουλὴν τῆς τοῦ Κυρίου ἀρνήσεως; εἰ γὰρ φανερῶς μὲν ὁ Ἀπόστολος λέγει τὸ μὴ αἰώνιον πρόσκαιρον[3], οὗτοι δὲ ἐν μόνῃ τῇ οὐσίᾳ τοῦ Πατρὸς τὴν αἰώνιον ὁρῶσι ζωήν, τὸν δὲ Υἱὸν τῆς τοῦ Πατρὸς φύσεως ἀλλοτριοῦντες συναποτέμνουσι καὶ τῆς αἰωνίου ζωῆς, τί ἄλλο καὶ οὐχὶ ἄρνησίς ἐστιν περιφανὴς καὶ ἀθέτησις τῆς εἰς τὸν Κύριον πίστεως, σαφῶς τοῦ Ἀποστόλου λέγοντος τοὺς ἐν τῇ ζωῇ ταύτῃ μόνον ἐν Χριστῷ ἠλπικότας ἐλεεινοτάτους ἁπάντων εἶναι[4]; Εἰ οὖν ζωὴ μὲν ὁ Κύριος, οὐκ αἰώνιος δέ, πρόσκαιρος πάντως ἐστὶν ἡ ζωὴ καὶ ἐφήμερος ἡ κατὰ τὸν παρόντα χρόνον ἐνεργουμένη, ⟨ἐν⟩ ᾗ τοὺς ἐλπίζοντας ὁ Ἀπόστολος κατοικτίζεται ὡς τῆς ἀληθινῆς ἀφαμαρτόντας ζωῆς.

Ἀλλὰ μὴν τοῦτον διαβάντες οἱ κατ' Εὐνόμιον πεφωτισμένοι εἰς τὸ ἐπέκεινα τοῦ Υἱοῦ τοῖς λογισμοῖς φέρονται, ἐν τῷ ἔξω τοῦ Μονογενοῦς θεωρουμένῳ τὴν αἰώνιον ἀναζητοῦντες ζωήν. Τί χρὴ λέγειν ἐπὶ τῶν τοιούτων κακῶν ἄλλο πλὴν εἴ τι θρῆνον ἐκκαλεῖται καὶ δάκρυον. Ὢ πῶς ἂν ἐπιστενάξαιμεν τῇ δειλαίᾳ ταύτῃ καὶ ἐλεεινῇ γενεᾷ, τοιούτων δὲ κακῶν ἐξε**[836]**νεγκούσῃ φοράν; ἐθρήνησέ ποτε τὸν ἰσραηλίτην λαὸν ὁ ζηλωτὴς Ἱερεμίας, ὅτε τῷ Ἰεχονίᾳ τῆς εἰδωλο-

---

1. Πρβλ. Ἰω. 14,6. 2. Πρβλ. Ἰω. 1,4. 3. Πρβλ. Βʹ Κορ. 4,18. 4. Πρβλ. Αʹ Κορ. 15,19.

λατρίας καθηγουμένῳ πρὸς τὸ κακὸν συνεφρόνησαν καὶ ἀντὶ τῆς εἰς τὴν θρησκείαν παρανομίας τὴν εἰς Ἀσσυρίους αἰχμαλωσίαν κατεδικάσθησαν[1], ἐξοικισθέντες τοῦ ἁγιάσματος καὶ πόρρῳ τῆς τῶν πατέρων κληρονομίας γενόμενοι. Τούτους μοι δοκεῖ νῦν τοὺς θρήνους οἰκειότερον **246** ᾄδεσθαι, ὅτε ὁ μιμητὴς τοῦ Ἰεχονίου πρὸς τὸ καινὸν τοῦτο τῆς εἰδωλολατρίας εἶδος τοὺς ἀπατωμένους ἐφέλκεται, τῆς πατρικῆς ἐξοικίζων κληρονομίας, τῆς πίστεως λέγω. Οἷς ἀτεχνῶς κατὰ τὴν ἱστορίαν εἰς Βαβυλωνίους ἡ μετανάστασις γίνεται ἀπὸ τῆς ἄνω Ἱερουσαλὴμ[2] τουτέστιν ἀπὸ τῆς τοῦ Θεοῦ ἐκκλησίας ἐπὶ τὴν σύγχυσιν ταύτην τῶν πονηρῶν δογμάτων μεθισταμένοις· σύγχυσις γὰρ ἡ Βαβυλὼν ἑρμηνεύεται· καὶ κατὰ τὸν πηρωθέντα Ἰεχονίαν καὶ οὗτος ἑαυτὸν ἑκουσίως τοῦ φωτὸς τῆς ἀληθείας στερήσας λάφυρον γέγονε τοῦ Βαβυλωνίου τυράννου, μὴ καταμαθὼν ὁ δείλαιος ὅτι τὴν αἰώνιον ζωὴν ἐπίσης Πατρί τε καὶ Υἱῷ καὶ Πνεύματι Ἁγίῳ τὸ Εὐαγγέλιον ἐνορᾶν δογματίζει, περὶ μὲν τοῦ Πατρὸς οὕτως εἰπόντος τοῦ λόγου ὅτι τὸ γινώσκειν αὐτὸν ἡ αἰώνιός ἐστι ζωή[3], περὶ δὲ τοῦ Υἱοῦ ὅτι πᾶς ὁ πιστεύων εἰς αὐτὸν τὴν αἰώνιον ἔχει ζωήν[4], περὶ δὲ τοῦ Πνεύματος τοῦ Ἁγίου ὅτι τῷ δεξαμένῳ τὴν χάριν ἔσται πηγὴ ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον[5]. Οὐκοῦν πᾶς ὁ ποθῶν τὴν αἰώνιον ζωήν, ἐπειδὰν εὕρῃ τὸν Υἱόν, τὸν ἀληθῆ λέγω καὶ οὐ ψευδώνυμον, ὅλον εὗρεν ἐν αὐτῷ ὅπερ ἐπόθησε, διότι καὶ αὐτός ἐστιν ἡ ζωὴ καὶ ἐν ἑαυτῷ τὴν ζωὴν ἔχει. Ἀλλ' ὁ λεπτὸς οὗτος τὸν νοῦν καὶ διορατικὸς τὴν καρδίαν ὑπὸ πολλῆς ὀξυωπίας τῷ Υἱῷ τὴν αἰώνιον οὐκ ἀνευρίσκει ζωήν, ἀλλ' ὑπερβὰς τοῦτον καὶ καταλιπὼν οἷον ἐμπόδιόν τι πρὸς τὸ ζητούμενον ἐκεῖ διερευνᾶται τὴν αἰώνιον ζωήν, ὅπου μὴ εἶναι οἴεται τὴν ὄντως ζωήν. Τί ἄν τις ἐπινοήσειε τούτων ἢ εἰς βλασφημίαν φρικτότερον ἢ εἰς θρήνων ἀφορμὴν σκυθρωπότερον; Ἀλλὰ μὴν τὸ Σαβέλλιόν τε καὶ Μοντανὸν τοῖς ἡμετέροις δόγμασιν ἐπιθρυλεῖσθαι τοιοῦτόν **247** ἐστιν, οἷον εἴ τις καὶ τὴν κατὰ τὸ ἀνόμοιον ἡμῖν βλασφημίαν προστρίβοιτο. Εἰ γάρ τις ἐπεσκεμμένως τὴν τῶν αἱρέσεων τούτων ἀπάτην διεξετάσειεν, εὑρήσει πολλὴν ἔχοντας πρὸς τὴν κατ' Εὐνόμιον πλάνην τὴν οἰκειότητα. Ἰουδαΐζει γὰρ ἑκάτερος αὐτῶν ἐν τῷ δόγματι οὔτε τὸν μονογενῆ Θεὸν οὔτε τὸ Πνεῦμα τὸ Ἅγιον εἰς κοινωνίαν τῆς θεότητος τοῦ μεγάλου παρ' αὐτοῖς καὶ πρώτου λεγομένου Θεοῦ προσδεχόμενος· ὃν γὰρ Σαβέλλιος λέγει *τριώνυμον*, τοῦτον Εὐνόμιος ὀνομάζει *ἀγέννητον*· οὐδέτερος δὲ τούτων ἐν τῇ τριάδι τῶν ὑποστάσεων θεωρεῖ τὴν Θεότητα. Τίς τοίνυν οἰκείως ἔχει πρὸς τὸν Σαβέλλιον, ἡ τῶν ἐντυγχανόντων τῷ λόγῳ κρίσις ἀποφησάσθω. Ἀλλὰ ταῦτα μὲν εἰς τοσοῦτον.

Ἐπεὶ δὲ πολύς ἐστιν ἐν τοῖς ἐφεξῆς τῶν βδελυρῶν ἐπιχειρημά-

---

1. Πρβλ. Ἱερ. 24,1. 2. Πρβλ. Γαλ. 4,26. Ἑβρ. 12,22-29. 13,14. 3. Πρβλ. Ἰω. 17,3. 4. Πρβλ. Ἰω. 3,15. 5. Πρβλ. Ἰω. 4,14.

των ἀνακινῶν τὴν δυσωδίαν, δι' ὧν μὴ εἶναί ποτε τὸν μονογενῆ κατασκευάζει Θεόν, καλῶς ἔχειν φημὶ διὰ τῶν προλαβόντων μετρίως τῆς **[837]** περὶ τούτων ἡμῖν διανοίας ἐκκαθαρθείσης μηκέτι συνδιαβαπτίζειν τὸν λόγον τοῖς ὁμοίοις κακοῖς. Πλὴν τοῦτο μόνον οὐκ ἄκαιρον ἴσως προσθεῖναι τῶν πολλῶν ἐκλεξάμενον. Φησὶ κατὰ τὸ ἴσον καὶ τῇ τοῦ Πατρὸς οὐσίᾳ συνεζεῦχθαί * * τινος τὴν ἀγεννησίαν εἰπόντος διὰ τῶν ὁμοίων ὁ λόγος προέρχεται, καθὼς ἐπὶ τοῦ Υἱοῦ συνεπέρανε, σαφῶς διὰ τῆς τῶν ἐναντίων κατασκευῆς τὸ δόγμα τῆς εὐσεβείας κρατύνεται, τὸ **248** μὴ ταὐτὸν οἴεσθαι εἶναι τῇ οὐσίᾳ τὴν ἀγεννησίαν τε καὶ τὴν γέννησιν, ἀλλ' ἐπιθεωρεῖσθαι μὲν ταῦτα τῷ ὑποκειμένῳ, ἄλλο δέ τι παρὰ ταῦτα εἶναι τῷ ἰδίῳ λόγῳ τὸ ὑποκείμενον, ἐφ' οὗ μηδεμιᾶς διαφορᾶς εὑρισκομένης διὰ τὸ κεχωρίσθαι τῆς οὐσίας τὴν κατὰ τὸ γεννητόν τε καὶ ἀγέννητον διαφορὰν λείπεται κατὰ πᾶσαν ἀνάγκην τὸ ἀπαράλλακτον ἐπ' ἀμφοῖν τὴν οὐσίαν συντίθεσθαι. Ἔτι καὶ τοῦτο τοῖς εἰρημένοις προσεξετάσωμεν, πῶς κεχωρίσθαι τοῦ Πατρὸς λέγει τὴν γέννησιν, οὐσίαν αὐτὴν νοῶν ἢ ἐνέργειαν. Ἀλλ' εἰ μὲν ἐνέργειαν οἴεται ταύτην, ἐπίσης πάντως τῷ τε ἐνεργηθέντι καὶ τῷ ἐνεργοῦντι συνάπτεται, ὥσπερ ἐπὶ πάσης κατασκευῆς ὁμοίως ἐπί τε τοῦ γινομένου καὶ τοῦ ποιοῦντος ἔστιν ἰδεῖν τὴν ἐνέργειαν μήτε τοῦ τεχνιτεύοντος χωριζομένην καὶ τῇ κατασκευῇ τῶν ἀποτελεσμάτων ἐμφαινομένην· εἰ δὲ οὐσίαν αὐτὴν λέγοι τῆς τοῦ Πατρὸς οὐσίας κεχωρισμένην, ἐκ ταύτης ὁμολογῶν εἶναι τὸν Κύριον, δῆλός ἐστιν ταύτην ἀντὶ τοῦ Πατρὸς ἐπὶ τοῦ Μονογενοῦς βλέπων, ὡς δύο πατέρας ἐπὶ τοῦ Υἱοῦ νοεῖσθαι, τὸν μὲν ὀνομαζόμενον μόνον, ὃν δὴ καὶ ἀγέννητον λέγει, μὴ κοινωνοῦντα δὲ τῆς γεννήσεως, τὴν δὲ τὰ τοῦ Πατρὸς ἐπὶ τοῦ Μονογενοῦς ἐνεργοῦσαν, ἣν γέννησιν ὀνομάζει.

Καὶ τοῦτο μᾶλλον δι' αὐτῶν τῶν Εὐνομίου λόγων ἢ διὰ τῶν ἡμετέρων ἐλέγχεται. Λέγει γὰρ ἐν τοῖς ἐφεξῆς· ὁ δὲ Θεὸς χωρὶς γεννήσεως ὢν καὶ πρὸ τοῦ γεννηθέντος ἐστί, καὶ μετ' ὀλίγον· ᾧ γὰρ ἐκ τοῦ γεννηθῆναι τὸ εἶναι, οὗτος πρὶν γεννηθῆναι οὐκ ἦν. Οὐκοῦν εἰ ἡ γέννησις μὲν κεχώρισται τοῦ Πατρός, τῷ δὲ Υἱῷ ἐκ τοῦ γεννηθῆναι τὸ εἶναί ἐστιν, ἄρα ἀνενέργητος ὁ Πατὴρ ἐπὶ τῆς τοῦ Μονογενοῦς ὑποστάσεως καὶ κεχωρισμένος τῆς γεννήσεως, ἀφ' ἧς ὁ Υἱὸς τὸ εἶναι ἔχει. Εἰ οὖν ἠλλοτρίωται τῆς τοῦ Υἱοῦ γεννήσεως ὁ Πατήρ, ἢ ἄλλον τινὰ **249** Πατέρα τοῦ Υἱοῦ διὰ τοῦ τῆς γεννήσεως ὀνόματος ἀναπλάσσουσιν ἢ αὐτογέννητόν τινα καὶ αὐτογένεθλον τὸν Υἱὸν οἱ σοφοὶ διὰ τῶν εἰρημένων ἀποδεικνύουσιν. Ὁρᾷς τὸ πεφυρμένον τῆς διανοίας τοῦ τὴν ἀμαθίαν ἡμῖν ἄνω καὶ κάτω διὰ τῶν ἰδίων λόγων προφέροντος, ὡς διαπλανᾶται ταῖς πολυοδίαις[α], μᾶλλον δὲ ταῖς ἀνοδίαις ἡ βλασφημία, δι'

α. Πρβλ. Γρηγορίου Νύσσης, Περὶ παρθενίας, W. Jaeger (ἔκδ. J. P. Cavarnos) VIII, I, 281,15. PG 46,352C.

οὐδενὸς βεβαίου πρὸς τὸν σκοπὸν ἑαυτῆς προϊοῦσα; Καὶ οἷον ἔστιν ἐπὶ τῶν νηπίων ἰδεῖν, ὅταν ὑφ' ἡλικίας ἀθύροντες ἐν ψάμμῳ τινὶ μιμοῦνται τὰς τῶν οἰκοδομημάτων κατασκευάς, οἷς οὐ κατὰ σκοπὸν ἡ μίμησις τεχνικῶς πρὸς τὸ ἀρχέτυπον ὁμοιοῦται, ἀλλὰ πρότερον ὑπ' ἀνοίας τι κατὰ τὸ συμβὰν ἐξειργάσαντο, εἶτα βουλεύονται τί χρὴ ὀνομάσαι τὸ κατασκεύασμα· ταύτην καὶ ἐπὶ τοῦ λογογράφου τὴν ἀγχίνοιαν βλέπω. Οἷον γάρ τινα ψάμμου σωρείαν κατὰ τὸ ἐπελθὸν αὐτῷ τὰ τῆς ἀσε**[840]**βείας ῥήματα συμφορήσας μετὰ ταῦτα λογίζεται τὴν ἀδιανόητον βλασφημίαν, πρὸς ὅ τι βλέπει, δίχα τινὸς λογικῆς ἀκολουθίας ἐκ τοῦ αὐτομάτου διὰ τῶν εἰρημένων ἀναφυεῖσαν. Οὐ γὰρ οἶμαι κατὰ πρόθεσιν αὐτῷ τὴν τῆς γεννήσεως ὑπόστασιν ἀναπεπλάσθαι ἀντὶ Πατρὸς τῇ οὐσίᾳ τοῦ Υἱοῦ γινομένην, οὐδὲ τὸ ἀλλότριον ἀποδειχθῆναι τῆς γεννήσεως τοῦ Υἱοῦ τὸν Πατέρα κατὰ σκοπὸν ἦν, ὡς οἶμαι, τῷ ῥήτορι, οὐδὲ ἡ αὐτογένεθλος τερατεία διά τινος προβουλεύσεως ἐπεισηνέχθη, ἀλλὰ πάντα τὰ τοιαῦτα διανοίας χωρὶς ἀπημέσθη τῷ λογογράφῳ, ὡς μηδὲ πολλῆς ἄξιον ἐν τούτοις κατηγορίας εἶναι τὸν πλημμελοῦντα μὲν ἐν τοῖς δόγμασιν, οὐκ εἰδότα δέ, καθώς φησιν ὁ Ἀπόστολος, οὔτε ὃ λέγει οὔτε περὶ τίνων διαβε- **250**
βαιοῦται[1]. Ὧ γὰρ ἐκ τοῦ γεννηθῆναι, φησί, τὸ εἶναι, οὗτος πρὸ τοῦ γεννηθῆναι οὐκ ἦν. Εἰ ἀντὶ τοῦ Πατρὸς νοῶν τὴν γέννησιν λέγει, κἀγὼ συντίθεμαι καὶ ὁ ἀντιλέγων οὐκ ἔστιν. Ταὐτὸν γὰρ ἔστι δι' ἑκατέρας σημῆναι τῆς λέξεως ἔκ τε τοῦ εἰπεῖν ὅτι ὁ Ἀβραὰμ ἐγέννησε τὸν Ἰσαὰκ[2] καὶ ἀντὶ τοῦ *ἐγέννησεν* ὅτι *πατὴρ ἐγένετο* τοῦ Ἰσαάκ. Ἐπεὶ οὖν ταὐτόν ἐστι τῷ γεγεννηκέναι τὸ εἶναι πατέρα, εἴ τις πρὸς ἕτερον τύπον μεταλάβοι τὰ ῥήματα, ταὐτὸν οὖσα τῇ γεννήσει ἡ πατρότης ἀναδειχθήσεται. Εἰ οὖν οὕτω φησὶν ὁ Εὐνόμιος ὅτι· ᾧ γὰρ ἐκ τοῦ Πατρὸς τὸ εἶναι, οὗτος πρὸ τοῦ Πατρὸς οὐκ ἦν, ὑγιαίνει ὁ λόγος, καὶ ἡμεῖς τοῖς εἰρημένοις ἐπιψηφίζομεν. Εἰ δὲ πρὸς ἐκείνην ἀνατρέχει τῷ λόγῳ τὴν γέννησιν καὶ κεχωρίσθαι μέν φησι τοῦ Πατρός, συνεζεῦχθαι δὲ τῷ Υἱῷ, μάταιον ἡγοῦμαι τῇ τῶν ἀδιανοήτων ἐμφιλοχωρεῖν θεωρίᾳ. Οὔτε γὰρ εἰ πρᾶγμα κατ' ἰδίαν ὑπόστασιν θεωρούμενον τὴν γέννησιν οἴεται οὔτε εἰ πρὸς τὸ ἀνυπόστατον ταῖς ἐννοίαις διὰ τοῦ ὀνόματος ἀποσύρεται, μέχρι τοῦ νῦν ἐκ τῶν εἰρημένων κατιδεῖν δεδυνήμεθα. Φέρεται γὰρ ὁμοίως πρὸς ἑκατέραν τῶν ὑπολήψεων τὸ ἀπαγὲς τοῦ λόγου καὶ ἄρριζον, πρὸς τὸ δοκοῦν τῷ νοοῦντι περικλινόμενον.

Ἀλλ' οὔπω τὰ χαλεπὰ τῆς βλασφημίας ἐξήτασται, ἅπερ ἤδη τῶν γεγραμμένων ἡ ἀκολουθία προστίθησι· καὶ δὴ τὰ εἰρημένα κατὰ λέξιν διασκεψώμεθα. Οὐκ οἶδα δὲ πῶς ἔστι τολμῆσαι προενεγκεῖν διὰ στόματος τὴν φρικώδη τε καὶ ἄθεον τοῦ χριστομάχου λογογραφίαν. Δέδοικα γὰρ μή ποτε καθ' ὁμοιότητα τῶν δηλητηρίων φαρμάκων

---

1. Πρβλ. Α' Τιμ. 1,7. 2. Πρβλ. Ματθ. 1,2.

ἐναπόθηται τῷ στόματι, δι' οὗ τὸ ῥῆμα παρέρχεται, τῆς φθοροποιοῦ πικρίας τὸ λείψανον. «Πιστεῦσαι δεῖ τὸν προσ**251**ερχόμενον Θεῷ», φησὶν ὁ Ἀπόστολος, «ὅτι ἔστιν»[1]. Οὐκοῦν ἴδιον θεότητος γνώρισμα τὸ ἀληθῶς εἶναι. Ὁ δὲ κατασκευάζει τὸν ἀληθῶς ὄντα ἢ μὴ καθόλου εἶναι ἢ μὴ κυρίως εἶναι, ὅπερ ἴσον ἐστὶ τῷ μηδὲ ὅλως εἶναι. Ὁ γὰρ μὴ κυρίως ὢν οὐδὲ ἔστιν ὅλως. Οἷον τρέχειν λέγεται κατὰ τὴν ἐνύπνιον φαντασίαν ὁ τῇ σπουδῇ τοῦ δρόμου ἐμφανταζόμενος· ἀλλ' ἐπειδὴ ψευδῶς τὴν δόκησιν τοῦ ἀληθοῦς ὑποκρίνεται δρόμου, διὰ τοῦτο ἡ **[841]** φαντασία δρόμος οὐκ ἔστιν. Ἀλλὰ κἂν οὕτως ἐκ καταχρήσεως λέγηται, ψευδωνύμῳ τῇ κλήσει κατονομάζεται. Οὐκοῦν ὁ τολμῶν τὸν μονογενῆ Θεὸν ἢ μὴ εἶναι λέγειν ἢ μὴ κυρίως εἶναι σαφῶς τὴν εἰς αὐτὸν πίστιν διαγράφει τοῦ δόγματος. Τίς γὰρ ἂν ἔτι μὴ ὄντι πιστεύσειεν; ἢ τίς ἂν πρόσθοιτο τούτῳ, οὗ τὸ εἶναι ἄκυρον ἀποδέδεικται παρὰ τῶν ἐχθρῶν τοῦ ἀληθινοῦ Κυρίου καὶ ἀνυπόστατον;

Καὶ ὡς ἂν μὴ δόξειεν διά τινος συκοφαντίας κατὰ τῶν ὑπεναντίων ὁ παρ' ἡμῶν γίνεσθαι λόγος, αὐτὴν παραθήσομαι τῶν ἀσεβῶν τὴν λέξιν ἔχουσαν οὕτως· οὐκ ὢν οὐδὲ κυρίως ὤν, φησίν, ὁ ἐν κόλποις ὢν τοῦ ὄντος καὶ ἐν ἀρχῇ ὢν καὶ πρὸς τὸν Θεὸν ὤν, κἂν Βασίλειος τοῦ διορισμοῦ τούτου καὶ τῆς προσθήκης ἀμελήσας ἐπαλλάττῃ τὴν τοῦ ὄντος προσηγορίαν παρὰ τὴν ἀλήθειαν. Τί λέγεις; ὁ ἐν τῷ Πατρὶ ὢν οὐκ ἔστι, καὶ ὁ ἐν ἀρχῇ ὢν καὶ ὁ ἐν τοῖς κόλποις ὢν[2] διὰ τοῦτο οὐκ ἔστιν, ὅτι ἐν ἀρχῇ ἐστι καὶ ἐν τῷ Πατρί ἐστι καὶ ἐν τοῖς κόλποις καθορᾶται τοῦ ὄντος; καὶ διὰ τοῦτο κυρίως οὐκ ἔστιν, ὅτι ἐν τῷ ὄντι ἐστίν; Ὢ καινῶν τε καὶ παραλόγων δογμάτων. Νῦν πρώτως **252** τῆς κενοφωνίας ταύτης ἠκούσαμεν, ὅτι ὁ Κύριος δι' οὗ τὰ πάντα[3] κυρίως οὐκ ἔστι. Καὶ οὔπω τοῦτο δεινόν, ἀλλ' ἔτι καὶ [τὸ] τούτου παραλογώτερον τὸ μὴ μόνον μὴ εἶναι αὐτὸν λέγειν ἢ μὴ κυρίως εἶναι, ἀλλὰ καὶ τῇ συνθέτῳ τε καὶ ποικίλῃ ἐνθεωρεῖσθαι φύσει· οὐκ ὢν γάρ, φησίν, οὐδὲ ἁπλοῦς ὤν. Ὧ δὲ τὸ ἁπλοῦν[α] οὐ πρόσεστιν, τὸ ποικίλον δηλονότι προσμαρτυρεῖται καὶ σύνθετον. Πῶς οὖν ὁ αὐτὸς καὶ οὐκ ἔστιν ὅλως καὶ σύνθετος κατὰ τὴν οὐσίαν ἐστίν; Χρὴ γὰρ τῶν δύο τὸ ἕτερον, ἢ καθόλου προσμαρτυροῦντας αὐτῷ τὸ ἀνύπαρκτον μηδὲ σύνθετον λέγειν ἢ τὸ σύνθετον ἐπικαλοῦντας αὐτῷ μὴ ἐξαιρεῖν τοῦ ὄντος. Ἀλλ' ὡς ἂν πολυειδῶς τε καὶ ποικίλως γίνοιτο παρ' αὐτῶν ἡ βλασφημία, πᾶσιν ἐφάλλεται τοῖς ἀθέοις νοήμασι, τῇ μὲν πρὸς τὸ ὂν συγκρίσει μὴ εἶναι

---

1. Ἑβρ. 11,6. 2. Πρβλ. Ἰω. 1,18. 3. Πρβλ. Α' Κορ. 8,6.

α. Πρβλ. Ἰουστίνου, Ἐρωτήσεις χριστιανικαὶ Γ', ΒΕΠ 4,165,28-30. PG 6,1441B. Μεθοδίου, Περὶ τοῦ αὐτεξουσίου, ΒΕΠ 18,104,5 ἑξ. PG 18,260C. Εὐσεβίου Καισαρείας, Εὐαγγελικὴ ἀπόδειξις Δ, XV, ΒΕΠ 27,160,7-8. PG 22, 293A. Μ. Ἀθανασίου, Περὶ τῆς ἐν Νικαίᾳ Συνόδου, ΒΕΠ 31,163,10. PG 25, 456A. Μ. Βασιλείου, Ἐπιστολαί, ΒΕΠ 55,29,30-35.

κυρίως λέγουσα, τῇ δὲ πρὸς τὸ ἁπλοῦν σχέσει ἀμοιρεῖν τῆς ἁπλότητος. Οὐκ ὢν οὐδὲ ἁπλῶς οὐδὲ κυρίως ὤν. Τίς τῶν παραβεβηκότων τὸν λόγον καὶ τὴν πίστιν ἐξομοσαμένων τοσοῦτον ἐνεδαψιλεύσατο ταῖς ἀρνητικαῖς τοῦ Κυρίου φωναῖς καὶ ἀντεφιλοτιμήθη τῷ θείῳ τοῦ Ἰωάννου κηρύγματι; ὁσάκις γὰρ ἐκεῖνος τὸ *ἦν* τῷ λόγῳ προσεμαρτύρησε, τοσαυτάκις οὗτος ἀντιθεῖναι τὸ *οὐκ ἦν* τῷ ὄντι ἐφιλονείκησε. Καὶ τῷ ἁγίῳ στόματι τοῦ Πατρὸς ἡμῶν διαμάχεται, ταῦτα προφέρων κατ' αὐτοῦ τὰ ἐγκλήματα ὅτι ἀμελεῖ τῶν διορισμῶν τούτων Βασίλειος, ὄντα λέγων τὸν ἐν τῷ Πατρὶ καὶ ἐν τῇ ἀρχῇ καὶ ἐν τοῖς κόλποις ὄντα, ὡς τῆς τοιαύτης προσθήκης, τῆς κατὰ τὴν ἀρχὴν καὶ τὸν κόλπον, παραγραφομένης τοῦ ὄντος τὴν ὕπαρξιν. Ὢ καινῶν μαθημάτων, οἷα παιδεύουσιν οἱ παιδευταὶ τῆς ἀπάτης, οἵων δογμάτων εἰσηγηταὶ τοῖς ἀκούουσι γίνονται. Τὸ ἔν τινι ὂν μὴ εἶναι διδάσκουσιν. Οὐκοῦν ἐπειδὴ ἐντός σοῦ ἐστιν, Εὐνόμιε, ἡ καρδία καὶ ὁ ἐγκέφαλος **253** οὐκ ἔστι κατὰ τὸν σὸν διορισμὸν τούτων ἑκάτερον. Εἰ γὰρ διὰ τοῦτο κυρίως ὁ μονογενὴς Θεὸς οὐκ ἔστιν, διότι ἐν τοῖς τοῦ Πατρός ἐστι κόλποις, πᾶν τὸ ἔν τινι ὂν τοῦ εἶναι **[844]** πάντως ἐξῄρηται. Ἀλλὰ μὴν ἐν σοὶ ἡ καρδία καὶ οὐ καθ' ἑαυτήν ἐστιν. Ἄρα κατὰ τὸν σὸν λόγον ἢ καθόλου χρὴ μὴ εἶναι λέγειν αὐτὴν ἢ μὴ κυρίως εἶναι.

Ἀλλὰ τὸ μὲν ἀπαίδευτον ἐν τοῖς εἰρημένοις παρ' αὐτοῦ καὶ τὸ βλάσφημον τοσοῦτόν τε καὶ τοιοῦτον, ὡς καὶ πρὸ τῶν ἡμετέρων λόγων καταφανὲς εἶναι τοῖς γε νοῦν ἔχουσιν· ὡς δ' ἂν μᾶλλον ἐπίδηλος αὐτοῦ γένοιτο μετὰ τῆς ἀσεβείας ἡ ἄνοια, τοῦτο τοῖς προειρημένοις προσθήσομεν. Εἰ μόνον ἔστι κυρίως εἶναι λέγειν, ᾧ τῆς Γραφῆς ὁ λόγος ἀπολελυμένον τε καὶ ἄσχετον μαρτυρεῖ τὸ εἶναι, διὰ τί καθάπερ οἱ ὑδροφοροῦντες ἐν ἐξουσίᾳ τοῦ πιεῖν ὄντες τῇ δίψῃ φθείρονται; Καὶ οὕτως πρόχειρον ἔχων τῆς κατὰ τοῦ Υἱοῦ βλασφημίας τὸ ἀντιφάρμακον ἐπιμύσας παρέδραμεν, ὥσπερ τὸ σωθῆναι φοβούμενος, καὶ ἀδικεῖν αἰτιᾶται Βασίλειον ὅτι τοὺς προσδιορισμοὺς σιωπήσας μόνον ἐφ' ἑαυτοῦ τὸ ἦν ἐπὶ τοῦ Μονογενοῦς διηγήσατο. Καίτοι γε δυνατὸν ἦν, ἃ ἐκεῖνος εἶδε καὶ ἕκαστος τῶν ὀφθαλμοὺς ἐχόντων ὁρᾷ, καὶ τοῦτον ἰδεῖν. Ὅ μοι δοκεῖ προφητικῶς κινηθεὶς ὁ ὑψηλὸς Ἰωάννης, ὡς ἂν ἐμφραγείη τὰ στόματα τῶν χριστομάχων τῶν διὰ τὰς προσθήκας ταύτας ἀθετούντων τοῦ Χριστοῦ τὸ κυρίως εἶναι, ἁπλῶς καὶ ἀδιορίστως εἰπεῖν ὅτι Θεὸς ἦν ὁ Λόγος καὶ ζωὴ ἦν καὶ φῶς ἦν, οὐ μόνον ἐν ἀρχῇ καὶ πρὸς τὸν Θεὸν καὶ ἐν κόλποις τοῦ **254** Πατρὸς ὤν[1], ὥστε διὰ τῆς τοιαύτης σχέσεως ἀναιρεῖσθαι τοῦ Κυρίου τὸ κυρίως εἶναι· ἀλλὰ τῷ εἰπεῖν ὅτι Θεὸς ἦν, τῇ ἀσχέτῳ ταύτῃ καὶ ἀπολύτῳ φωνῇ πᾶσαν περιδρομὴν τῶν εἰς ἀσέβειαν τρεχόντων τοῖς λογισμοῖς ὑποτέμνεται καὶ ἔτι πρὸς τούτοις, ὃ καὶ μᾶλλον, ἐλέγχει τὴν τῶν ἀντικειμένων κακόνοιαν. Εἰ γὰρ τὸ ἔν τινι εἶναι σημεῖον ποιοῦνται τοῦ μὴ

1. Πρβλ. Ἰω. 1,1 ἑξ.

κυρίως εἶναι, οὐδὲ τὸν Πατέρα κυρίως εἶναι πάντως συντίθενται, μεμαθηκότες ἐν τῷ Εὐαγγελίῳ ὅτι ὥσπερ ὁ Υἱὸς ἐν τῷ Πατρί, οὕτω καὶ ὁ Πατὴρ ἐν τῷ Υἱῷ μένει κατὰ τὴν τοῦ Κυρίου φωνήν[1]. Ἴσον γάρ ἐστι τῷ ἐν κόλποις[α] εἶναι τοῦ Πατρὸς τὸν Υἱὸν τὸ ἐν τῷ Υἱῷ τὸν Πατέρα εἶναι λέγειν. Ἐν παρόδῳ δὲ καὶ τοῦτο προσεξετάσωμεν. Ὅτε οὐκ ἦν, ὥς φασιν, ὁ Υἱός, τί περιεῖχε τοῦ Πατρὸς ὁ κόλπος; πάντως γὰρ ἢ πλήρη δώσουσιν αὐτὸν εἶναι ἢ κενὸν ὑποθήσονται. Εἰ μὲν οὖν πλήρης ἦν ὁ κόλπος, ὁ Υἱὸς πάντως ἦν τοῦ κόλπου τὸ πλήρωμα· εἰ δέ τινα κενότητα τοῖς τοῦ Πατρὸς ἐνθεωροῦσι κόλποις, οὐδὲν ἕτερον ἢ ἐκ παραυξήσεως αὐτῷ προσμαρτυροῦσι τὴν τελειότητα, ἀπὸ τοῦ κενοῦ τε καὶ λείποντος ἐπὶ τὸ πλῆρες μεθισταμένου καὶ τέλειον. Ἀλλ' οὐκ ἔγνωσαν οὐδὲ συνῆκαν, φησὶν ὁ Δαβὶδ περὶ τῶν ἐν σκότει διαπορευομένων[2]. Ὁ γὰρ ἐκπεπολεμωμένος τῷ ἀληθινῷ φωτὶ ἐν φωτὶ τὴν ψυχὴν ἔχειν οὐ δύναται. Διὰ τοῦτο προσκείμενον ἐκ τοῦ ἀκολούθου τὸ τὴν ἀσέβειαν ταύτην ἐπανορθούμενον ὥσπερ ἀορασίᾳ πληγέντες κατὰ τοὺς Σοδομίτας οὐ κατενόησαν[3].

Ἀλλὰ καὶ κυριεύεσθαι λέγει παρὰ τοῦ Πατρὸς τοῦ Υἱοῦ τὴν οὐσίαν, οὕτω λέγων τῷ ῥήματι· *οὐ γὰρ οἰκει***255***οῦται ταύτην τὴν ἀξίαν ὁ διὰ τὸν Πατέρα ὢν καὶ ζῶν, τῆς καὶ τούτου κυριευούσης οὐσίας πρὸς ἑαυτὴν ἑλκούσης τὴν τοῦ ὄντος ἔννοιαν*. Εἰ μὲν **[845]** οὖν τινι τῶν ἔξω σοφῶν ταῦτα δοκεῖ, μηδὲν ἐνοχλείσθω τὰ Εὐαγγέλια μηδὲ ἡ λοιπὴ τῆς θεοπνεύστου Γραφῆς διδασκαλία (τίς γὰρ κοινωνία τῷ Χριστιανῷ λόγῳ πρὸς τὴν μωρανθεῖσαν σοφίαν;)[4]· εἰ δὲ τοῖς γραφικοῖς ἐπερείδεται, δειξάτω τοιαύτην ἐκ τῶν ἁγίων φωνήν, καὶ ἡμεῖς σιωπήσομεν. Βοῶντος ἀκούω τοῦ Παύλου ὅτι «εἷς κύριος Ἰησοῦς Χριστός»[5]. Ἀλλ' ἀντιβοᾷ τῷ Παύλῳ Εὐνόμιος δοῦλον ὀνομάζων τὸν Χριστόν. Ἄλλο γάρ τι δουλείας ἡμεῖς οὐκ ἐπιγινώσκομεν γνώρισμα πλὴν τοῦ ὑποχείριον εἶναι καὶ κυριεύεσθαι. Ὁ δοῦλος δοῦλος πάντως ἐστίν· ὁ δὲ δοῦλος τῇ φύσει κύριος εἶναι οὐ δύναται, κἂν ἐκ καταχρήσεως λέγηται. Καὶ τί μοι φέρειν εἰς μαρτυρίαν τῆς τοῦ Κυρίου κυριότητος τὰς τοῦ Παύλου φωνάς; Αὐτὸς γὰρ ὁ Παύλου δεσπότης πρὸς τοὺς μαθητάς φησιν ἀληθῶς εἶναι Κύριος, ἀποδεχόμενος τὴν ὁμολογίαν τῶν διδάσκαλον αὐτὸν καὶ Κύριον ὀνομαζόντων. Λέγει γὰρ ὅτι ὑμεῖς καλεῖτέ με κύριον καὶ διδάσκαλον καὶ καλῶς

---

1. Πρβλ. Ἰω. 14,10. 2. Πρβλ. Ψαλ. 81,5. 3. Πρβλ. Γεν. 19,11. 4. Πρβλ. Α' Κορ. 1,20. 5. Α' Κορ. 8,6.

α. Πρβλ. Εὐσεβίου Καισαρείας, Τῆς Ἐκκλησιαστικῆς Θεολογίας Α, 20, ΒΕΠ 29,81,8. PG 24,869C. Μ. Ἀθανασίου, Ἔκθεσις πίστεως, ΒΕΠ 33,239, 21. PG 25,201B. 204B. Περὶ τῆς ἐν Νικαίᾳ Συνόδου, ΒΕΠ 31,162,38. PG 25, 453C. Κατὰ Ἀρειανῶν, ΒΕΠ 30,315,21. PG 26,489B. Περὶ πίστεως λόγος ὁ μείζων, ΒΕΠ 33,257,22. PG 26,1284A. Μ. Βασιλείου, Περὶ τοῦ Ἁγίου Πνεύματος, ΒΕΠ 52,241,27-30.

λέγετε· εἰμὶ γάρ[1]. Τὸ δὲ αὐτὸ τοῦτο καὶ τὸν Πατέρα παρ' αὐτῶν ἐνομοθέτησε λέγεσθαι εἰπὼν μὴ καλέσητε καθηγητὴν ἐπὶ τῆς γῆς· εἷς γάρ ἐστιν ὑμῶν καθηγητὴς ὁ Χριστός· καὶ μὴ καλέσητε πατέρα ἐπὶ τῆς γῆς· εἷς γάρ ἐστιν ὑμῶν Πατὴρ ὁ ἐν τοῖς οὐρανοῖς[2]. Τίνι τοίνυν προσεκτέον ἡμῖν ἐν μέσῳ τούτων ἀπειλημμένοις; Ἐκεῖθεν αὐτός τε ὁ Κύριος καὶ ὁ λαλοῦντα ἔχων ἐν ἑαυτῷ τὸν Χριστὸν[3] τὸ μὴ χρῆναι δοῦλον αὐτὸν **256** ἐννοεῖν ἐγκελεύεται, ἀλλ' οὕτω τιμᾶν αὐτὸν καθὼς τιμᾶται ὁ Πατήρ[4]· ἐντεῦθεν Εὐνόμιος δουλείας ἐπάγει τῷ Κυρίῳ γραφήν, κυριεύεσθαι λέγων τὸν τοῦ παντὸς ἐξημμένον τὸ κράτος. Ἆρ' ἀμφίβολος ἡμῖν τοῦ πρακτέου ἡ αἵρεσις ἢ παρ' ὀλίγον ἐστὶν ἡ τοῦ λυσιτελεστέρου διάκρισις; ἀτιμάσω Παύλου τὴν συμβουλήν, ὦ Εὐνόμιε; ἀπιστοτέραν ἡγήσομαι τῆς σῆς ἀπάτης τὴν τῆς ἀληθείας φωνήν; ἀλλ' «εἰ μὴ ἦλθον καὶ ἐλάλησα», φησίν, «αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον»[5]. Ἐπεὶ οὖν αὐτὸς ἐλάλησεν αὐτοῖς, ἀληθῶς λέγων ἑαυτὸν εἶναι Κύριον, οὐχὶ ψευδῶς ὀνομάζεσθαι (εἰμὶ γάρ, φησίν, οὐχὶ ὀνομάζομαι), τί ἀναγκαῖον ποιεῖν ᾧ ἀναπόδραστός ἐστιν ἐκ τοῦ προγνῶναι ἡ τιμωρία;

Ἀλλ' ἴσως πάλιν ἡμῖν πρὸς ταῦτα τὴν συνήθη σοφίαν ἀντιπροβάλλεται καὶ λέξει τὸν αὐτὸν καὶ δουλεύειν καὶ κύριον εἶναι, ὑπὸ μὲν τοῦ κρατοῦντος κυριευόμενον, τῶν δὲ λοιπῶν κυριεύοντα. Λέγεται γὰρ τὰ σοφὰ ταῦτα κατὰ τὰς τριόδους παρὰ τῶν ἐραστῶν τῆς ἀπάτης περιφερόμενα, οἳ διὰ τῶν ἀνθρωπίνων περιστάσεων τὰς ματαίας ἑαυτῶν ὑπολήψεις περὶ τὸ Θεῖον κρατύνουσιν· ἐπειδὴ γὰρ αἱ κατὰ τὸν βίον τοῦτον συντυχίαι τῶν τοιούτων ἡμῖν πραγμάτων τὰ ὑποδείγματα φέρουσιν, οἷον ἐπ' οἰκίας ἔστιν εὐπορωτέρας ἰδεῖν τὸν δραστικώτερόν τε καὶ εὐνούστερον τῶν ὁμοδούλων προτεταγμένον, προστάγματι τοῦ δεσπότου τὴν κατὰ τῶν ὁμοτίμων ὑπεροχὴν λαχόντα, ταύτην μετάγουσιν ἐπὶ τὰ θεῖα δόγματα τὴν διάνοιαν, ὥστε τὸν μονογενῆ Θεὸν ὑπεζευγμένον τῇ δυναστείᾳ τοῦ ὑπερέχοντος μηδὲν ἐμποδίζεσθαι τῇ **[848]** τοῦ δυναστεύοντος ἐξουσίᾳ πρὸς τὴν τῶν καταδεεστέρων ἡγεμονίαν. Ἀλλ' ἡμεῖς ἐρρῶσθαι φράσαντες τῇ τοιαύτῃ **257** σοφίᾳ κατὰ τὸ ἡμέτερον τῆς διανοίας μέτρον τὸν περὶ τούτου λόγον διασκεψώμεθα. Ἆρα τὸν Πατέρα φύσει Κύριον ὁμολογοῦσιν ἢ διὰ χειροτονίας τινὸς πρὸς τοῦτο ἐλθεῖν; Ἀλλ' οὐκ οἶμαι εἰς τοῦτο μανίας ἐλθεῖν τὸν καὶ ὁπωσοῦν διανοίας μετέχοντα, ὡς μὴ φύσει προσμαρτυρεῖν τῷ Θεῷ τῶν ὅλων τὴν κυριότητα. Ὃ γὰρ ἁπλοῦν τῇ φύσει καὶ ἀμερὲς καὶ ἀσύνθετον, ὅπερ ἂν τύχῃ ὄν, ὅλον διόλου τοῦτό ἐστιν, οὐκ ἐκ μεταβολῆς τινος ἕτερον ἐξ ἑτέρου γινόμενον, ἀλλ' ἐν ᾧ ἐστι διαμένον πρὸς τὸ ἀΐδιον. Τί οὖν καὶ περὶ τοῦ Μονογενοῦς ὑπειλήφασιν; ἆρα ἁπλῆν αὐτοῦ τὴν οὐσίαν ὁμολογοῦσιν ἤ τινα καὶ σύνθεσιν περὶ αὐτὴν

1. Πρβλ. Ἰω. 13,13. 2. Πρβλ. Ματθ. 23,8-10. 3. Πρβλ. Β' Κορ. 13,3. 4. Πρβλ. Ἰω. 5,23. 5. Ἰω. 15,22.

ἐννοοῦσιν; Εἰ μὲν οὖν ποικίλον τι χρῆμα καὶ πολυμερὲς εἶναι τοῦτον νομίζουσιν, οὐδὲ τὸ ὄνομα πάντως τῆς θεότητος αὐτῷ συγχωρήσουσιν, εἰς ὑλώδεις τινὰς καὶ σωματικὰς ὑπολήψεις τὸ περὶ τοῦ Χριστοῦ δόγμα μετάγοντες· εἰ δὲ ἁπλοῦν εἶναι συντίθενται, πῶς ἔστι τῇ ἁπλότητι τοῦ ὑποκειμένου τὴν τῶν ἐναντίων συνδρομὴν ἐνθεωρῆσαι; Ὡς γὰρ τῆς ζωῆς καὶ τοῦ θανάτου ἄμεσός ἐστιν ἡ πρὸς τὸ ἐναντίον ἀντιδιάστασις, οὕτως ἡ κυριότης πρὸς τὴν δουλείαν ἄμικτός ἐστι καὶ ἠλλοτριωμένη τοῖς ἰδιάζουσιν. Οὐ γὰρ ἄν τις ἑκάτερον τούτων ἐφ' ἑαυτοῦ θεωρῶν τὸν ἴσον ἀμφοτέροις ἁρμόσειε λόγον· ὧν δὲ ὁ λόγος οὐχ ὁ αὐτός, τούτων καὶ ἡ φύσις πάντως διάφορος. Εἰ οὖν ἁπλοῦς κατὰ τὴν φύσιν ὁ Κύριος, πῶς ἂν γένοιτο περὶ τὸ ὑποκείμενον ἡ τῶν ἐναντίων διπλόη, δουλείας συνανακιρναμένης ῾ῇ κυριότητι; ἀλλ' εἰ Κύριος κατὰ τὴν τῶν ἁγίων διδασκαλίαν ὁμολογεῖται, ἀμέτοχον αὐτὸν εἶναι τοῦ ἐναντίου ἡ ἁπλότης τοῦ ὑποκειμένου **258** μαρτύρεται· εἰ δὲ δουλεύειν αὐτὸν ἀποφαίνονται, μάτην αὐτῷ τὸ ὄνομα προσμαρτυροῦσι τῆς κυριότητος. Τὸ γὰρ ἁπλοῦν τῇ φύσει πρὸς τὰ ἐναντία τῶν ἰδιωμάτων οὐ διασχίζεται. Εἰ δὲ τὸ μὲν εἶναί φασιν αὐτὸν τὸ δὲ λέγεσθαι, τῇ φύσει μὲν δοῦλον, τῷ ὀνόματι δὲ Κύριον, ῥηξάτωσαν ἐν παρρησίᾳ τοιαύτην φωνήν, καὶ ἀναπαύσουσιν ἡμᾶς τῶν μακρῶν περὶ τὴν ἀντίρρησιν πόνων. Τίς γὰρ οὕτως ἐν τοῖς ματαίοις εὔσχολος, ὡς τὰ φανερά τε καὶ ἀναμφίβολα διὰ λογισμῶν ἐξελέγχειν; Οὐδὲ γὰρ εἴ τις ἑαυτοῦ καταμηνύσειε τοῦ φόνου τὸ μίασμα, πόνος τις ὑπολείπεται τοῖς κατηγόροις δι' ἀποδείξεών τινων ἄγειν τὴν μιαιφονίαν[α] εἰς ἔλεγχον. Οὕτω καὶ ἡμεῖς οὐκέτι τὸν ἐκ τῆς ἐξετάσεως ἔλεγχον τοῖς ἐναντίοις ἐποίσομεν, ὅταν μέχρι τούτου τῇ ἀσεβείᾳ προέλθωσιν. Ὁ γὰρ δοῦλον τῇ φύσει λέγων τὸν μονογενῆ Θεὸν ὁμόδουλον ἑαυτῷ τοῦτον δι' ὧν λέγει κατασκευάζει. Ἐκ δὲ τούτου διπλῆ ἡ ἀτοπία κατ' ἀνάγκην συνενεχθήσεται. Ἢ γὰρ καταφρονήσει τοῦ ὁμοδούλου καὶ τὴν πίστιν ἀρνήσεται, τὸν ζυγὸν τῆς τοῦ Χριστοῦ δεσποτείας ἀποσεισάμενος, ἢ ὑποκύψει τῷ δούλῳ καὶ ἀποστραφεὶς τὴν αὐτοκρατῆ τε καὶ ἀδέσποτον φύσιν τρόπον τινὰ ἑαυτὸν ἀντὶ Θεοῦ σεβασθήσεται. Εἰ γὰρ ἐν δουλείᾳ μὲν ἑαυτόν, ἐν δουλείᾳ δὲ ὁρᾷ καὶ τὸ σέβασμα, πρὸς ἑαυτὸν ἀτεχνῶς βλέπει ὁ ἄλλον ἑαυτὸν ἐν τῷ σεβάσματι βλέπων. Ἀλλὰ μὴν τὰ ἄλλα πάντα, ὅσα κατ' ἀνάγκην τῇ κακίᾳ ταύτῃ συνθεωρεῖται τοῦ δόγματος, τίς ἂν ἐξαριθμήσαιτο λόγος; τίς γὰρ οὐκ **[849]** οἶδεν ὅτι ὁ δοῦλος τῇ φύσει καὶ πρὸς δεσποτικὴν ἀνάγκην ἠσχολημένος οὐδὲ τοῦ κατὰ τὸν φόβον πάθους ἐκτὸς ἂν εἴη; Συνέζευκται γάρ πως τῇ φύσει τῆς δουλείας ὁ φόβος. Καὶ τούτου μάρτυς ὁ θεῖος ἀπόστολος εἰπὼν ὅτι «οὐκ ἐλάβετε πνεῦμα δουλείας πάλιν εἰς φόβον»[1]. Ὥστε καθ' ὁμοιότητα **259** τῶν ἀνθρώπων καὶ τὸ κατὰ τὸν φόβον πάθος ἐπιθρυλήσουσι τῷ ὁμοδούλῳ Θεῷ.

1. Ρωμ. 8,15.

α. Πρβλ. Ἱππολύτου, Εἰς τὰς Παροιμίας, ΒΕΠ 6,173,7. PG 10,616D.

Ἀλλ' ὁ μὲν τῆς αἱρέσεως Θεὸς τοιοῦτος. Ἡμεῖς δὲ οἱ κατὰ τὸν Ἀπόστολον ἐπ' ἐλευθερίᾳ παρὰ Χριστοῦ κληθέντες[1] τοῦ τῆς δουλείας ἡμᾶς ἐλευθερώσαντος[2], ὅσα φρονεῖν παρὰ τῶν Γραφῶν ἐδιδάχθημεν, δι' ὀλίγων ἐκθήσομαι. Ἐγὼ γὰρ ἐκ τῆς θείας διδασκαλίας ὁρμώμενος θαρρῶν ἀποφαίνομαι ὅτι οὐδὲ ἡμᾶς δούλους εἶναι ὁ θεῖος βούλεται λόγος, μετασκευασθείσης ἡμῖν πρὸς τὸ κρεῖττον τῆς φύσεως, καὶ ὁ πάντα λαβὼν τὰ ἡμέτερα, ἐφ' ᾧτε ἀντιδοῦναι τὰ ἴδια, ὡς τὰς νόσους καὶ τὸν θάνατον καὶ τὴν κατάραν καὶ τὴν ἁμαρτίαν, οὕτω καὶ τὴν δουλείαν ἀνέλαβεν, οὐχ ὡς αὐτὸς ἔχειν ἃ ἔλαβεν, ἀλλ' ὡς ἐκκαθᾶραι τῶν τοιούτων τὴν φύσιν, ἐξαφανισθέντων ἐν τῇ ἀκηράτῳ φύσει τῶν ἡμετέρων. Ὡς οὖν οὐκ ἔσται κατὰ τὴν ἐλπιζομένην ζωὴν οὐ νόσος, οὐ κατάρα, οὐχ ἁμαρτία, οὐ θάνατος, οὕτως εἰς ἀφανισμὸν καὶ ἡ δουλεία μετὰ τούτων διελεύσεται. Καὶ ὅτι ταῦτα ἀληθῆ λέγω, αὐτὴν πρὸς μαρτυρίαν καλῶ τὴν ἀλήθειαν, ἥ φησι πρὸς τοὺς μαθητὰς ὅτι οὐκέτι καλῶ ὑμᾶς δούλους, ἀλλὰ φίλους[3]. Εἰ οὖν τὸ καθ' ἡμᾶς ἔσται ποτὲ τοῦ τῆς δουλείας ὀνείδους ἐλεύθερον, πῶς ὁ τοῦ παντὸς Δεσπότης ὑπὸ τῆς παραπληξίας τε καὶ μανίας τῶν ἐξεστηκότων τούτων καταδουλοῦται, οἳ κατὰ τὸ ἀκόλουθον πάντως οὐδὲ γινώσκειν αὐτὸν τὰ τοῦ Πατρὸς διορίζονται διὰ τὴν περὶ τῶν δούλων ἀπόφασιν, ἥ φησιν ὅτι «ὁ δοῦλος οὐκ οἶδε τί ποιεῖ ὁ κύριος αὐτοῦ»[4]; Ἀλλ' ὅταν ταῦτα λέγωσιν, ἀκουσάτωσαν ὅτι πάντα ἐν ἑαυτῷ τὰ τοῦ Πατρὸς ὁ Υἱὸς ἔχει[5], καὶ πάντα βλέπει ὅσα ὁ Πατὴρ ποιεῖ, καὶ οὐδὲν τῶν **260** πατρικῶν ἀγαθῶν ἔξω τῆς τοῦ Μονογενοῦς ἐστι γνώσεως. Πῶς γὰρ ἄν τι τοῦ Πατρὸς μὴ ἔχοι, ὅλον ἔχων ἐν ἑαυτῷ τὸν Πατέρα; Οὐκοῦν εἰ δοῦλος μὲν οὐ γινώσκει τί ποιεῖ ὁ δεσπότης, ὁ δὲ πάντα ἐν ἑαυτῷ τὰ τοῦ Πατρὸς ἔχει, νηψάτωσάν ποτε οἱ τῇ μέθῃ παράφοροι καὶ ἀναβλεψάτωσαν νῦν γοῦν πρὸς τὴν ἀλήθειαν, ὅτι ὁ πάντα ἔχων ὅσα ὁ Πατὴρ ἔχει δεσπότης πάντων καὶ οὐχὶ δοῦλός ἐστι. Πῶς γὰρ δύναται ἡ ἀδέσποτος ὑπόστασις δουλικὸν ἔχειν ἐφ' ἑαυτῆς χαρακτῆρα καὶ ὁ τοῦ παντὸς βασιλεὺς μὴ ὁμότιμον ἔχειν ἑαυτῷ τὴν μορφήν; ἢ πῶς ἡ ἀτιμία τῆς ἀληθινῆς ἀπαυγάζεται δόξης; Ἀτιμία γάρ ἐστιν ἡ δουλεία. Πῶς δὲ ὁ τοῦ βασιλέως υἱὸς εἰς δουλείαν γεννᾶται; Οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν. Ἀλλ' ὡς φῶς ἐκ φωτὸς καὶ ζωὴ ἐκ ζωῆς καὶ ἐξ ἀληθείας ἀλήθεια, οὕτως καὶ ἐκ Κυρίου Κύριος, βασιλεὺς ἐκ βασιλέως, ἐκ Θεοῦ Θεός, ἐξ ἀδεσπότου ἀδέσποτος· ὅλον γὰρ ἔχων ἐν ἑαυτῷ τὸν Πατέρα, εἴ τι ὁ Πατὴρ ἔχει ἐν ἑαυτῷ, πάντως ἔχει· καὶ ἐπειδὴ πάντα τοῦ Πατρός ἐστιν ὅσα ὁ Υἱὸς ἔχει, ἀνάγκη πᾶσα παρὰ τῶν ἐχθρῶν τῆς τοῦ Θεοῦ δόξης, εἴπερ ὁ Υἱὸς δοῦλος, καὶ **[852]** τὸν Πατέρα εἰς δουλείαν κατάγεσθαι. Οὐδὲν γὰρ ἔστι τῶν ἐν τῷ Υἱῷ θεωρουμένων, ὃ μὴ τοῦ Πατρός ἐστι πάντως. Πάντα γάρ, φησί, τὰ ἐμὰ σὰ καὶ τὰ σὰ ἐμά. Τί

---

1. Πρβλ. Γαλ. 5,13. 2. Πρβλ. Γαλ. 5,1. 3. Πρβλ. Ἰω. 15,15. 4. Ἔνθ' ἀν. 5. Πρβλ. Ἰω. 16,15.

οὖν ἐροῦσιν οἱ δείλαιοι; τί [οὖν] εὐλογώτερον, τὸν Υἱὸν τῇ βασιλείᾳ τοῦ Πατρὸς ἐνδοξάζεσθαι, τὸν εἰπόντα ὅτι «τὰ σὰ ἐμὰ καὶ δεδόξασμαι ἐν αὐτοῖς»[1], ἢ τὸν Πατέρα τῇ ἀτιμίᾳ τῆς δουλείας τοῦ Υἱοῦ καθυβρίζεσθαι; Οὐ γάρ ἐστι τὸν πάντα τὰ τοῦ Υἱοῦ ἐν ἑαυτῷ περιέχοντα καὶ αὐτὸν ἐν τῷ Υἱῷ ὄντα μὴ καὶ ἐν τῇ δουλείᾳ τοῦ Υἱοῦ πάντως εἶναι καὶ ἐν ἑαυτῷ **261** τὴν δουλείαν ἔχειν. Ταῦτα κατορθοῖ διὰ τῆς σοφίας Εὐνόμιος, δι' ὧν καθυβρίζει τῇ δουλείᾳ τὸν Κύριον, τὴν αὐτὴν ἀτιμίαν τῇ ἀκηράτῳ δόξῃ τοῦ Πατρὸς προστριβόμενος.

Ἀλλ' ἐπαναδράμωμεν πάλιν ἐπὶ τὴν τῶν γεγραμμένων ἀκολουθίαν. Τί λέγει περὶ τοῦ Μονογενοῦς ὁ Εὐνόμιος; ὅτι οὐκ οἰκειοῦται ταύτην τὴν ἀξίαν. Ἀξίαν γὰρ ὀνομάζει τὴν τοῦ ὄντος προσηγορίαν. Ὢ παραλόγου φιλοσοφίας. Τίς τῶν πώποτε γεγονότων ἀνθρώπων εἴτε παρ' Ἕλλησιν εἴτε παρὰ τῇ βαρβαρικῇ φιλοσοφίᾳ, τίς τῶν καθ' ἡμᾶς, τίς τῶν ἐν παντὶ τῷ χρόνῳ ἀξίαν ὄνομα τῷ ὄντι ἔθετο; Πᾶν γὰρ τὸ ἐν ὑποστάσει θεωρούμενον ἡ κοινὴ τῶν λόγῳ κεχρημένων συνήθεια *εἶναι* λέγει· παρὰ δὲ τὸ εἶναι ἡ τοῦ ὄντος ἐπωνυμία παρεσχημάτισται. Ἀλλὰ νῦν καινοτομεῖται κατὰ τῆς τοῦ ὄντος σημασίας ἡ τῆς ἀξίας φωνή. Λέγει γὰρ τὸν Υἱὸν μὴ οἰκειοῦσθαι τὴν τοῦ ὄντος ἀξίαν τὸν διὰ τὸν Πατέρα ὄντα καὶ ζῶντα, οὔτε ⟨τὴν⟩ Γραφὴν ἔχων τοῦ λόγου προστήσασθαι οὔτε διά τινος ἀκολουθίας πρὸς τὴν ἄνοιαν ταύτην προαγαγὼν τὸν λόγον, ἀλλ' ὥς τινα φυσώδη τροφὴν τοῖς σπλάγχνοις ἐνθέμενος ἀκατάσκευόν τε καὶ ἀσυλλόγιστον, οἷόν τι πνεῦμα δυσῶδες τὴν βλασφημίαν ἐρεύγεται. Οὐκ οἰκειοῦται, φησί, ταύτην τὴν ἀξίαν. Δεδόσθω τὸ ὂν ἀξίαν κατονομάζεσθαι· τί οὖν ὁ ὢν οὐκ οἰκειοῦται τὸ εἶναι; Ὅτι, φησί, διὰ τὸν Πατέρα ἐστίν. Οὐκοῦν μὴ εἶναι λέγεις τὸν τὸ εἶναι μὴ οἰκειούμενον; Τὸ γὰρ μὴ οἰκειοῦσθαι τῷ ἀλλοτριοῦσθαι ταὐτὸν σημαίνει, καὶ πρόδηλος ἡ τῶν σημαινομένων ἀντιδιαίρεσις. Τό τε γὰρ οἰκεῖον οὐκ ἀλλότριον καὶ τὸ ἀλλότριον οὐκ οἰκεῖον. Ὁ οὖν μὴ οἰκειούμενος τὸ εἶναι ἠλλοτρίωται πάντως τοῦ εἶναι. Ὁ δὲ τοῦ εἶναι ἀλλότριος ἐν τῷ εἶναι οὐκ ἔστιν. Ἀλλὰ τὴν ἀνάγκην τῆς ἀτοπίας **262** ταύτης ἐπήγαγεν εἰπὼν τῆς καὶ τούτου κυριευούσης οὐσίας πρὸς ἑαυτὴν ἑλκούσης τὴν τοῦ ὄντος ἔννοιαν. Τούτου δὲ τὸ μὲν κατὰ τὴν σύμφρασιν ἀσυνάρτητον σιωπάσθω, τὸ δὲ σπουδαζόμενον ἐν τοῖς λεγομένοις ἐξεταζέσθω. Τίνος ἀποδείξαντος λόγου τὸ κυριεύειν τοῦ Μονογενοῦς τὴν τοῦ Πατρὸς οὐσίαν πάλιν ἐκ τῆς πληθώρας ἡμῖν προσερεύγεται; τίς εὐαγγελιστὴς τούτου προέστη τοῦ λόγου; τίς ἔφοδος διαλεκτική, ποῖαι προτάσεις, τίνες κατασκευαὶ τὸ κυριεύεσθαι τὸν μονογενῆ Θεὸν διὰ τίνος ἀκολουθίας ἀπέδειξαν; Ἀλλὰ πρὸς ἑαυτὴν ἕλκει, φησίν, ἡ τοῦ κυριεύ**[853]**ουσα οὐσία τὴν τοῦ Υἱοῦ ὄντος ἔννοιαν. Τί βούλεται

1. Ἰω. 17,10.

αὐτῷ ὁ ἑλκηθμὸς τοῦ ὄντος καὶ πῶς προσερρίφη τοῖς εἰρημένοις ἡ τοῦ ἕλκειν λέξις; κρινεῖ πάντως ὁ ἐπεσκεμμένος δύναμιν λόγων. Ἀλλὰ καὶ τοῦτο σιγήσομεν, ἐκεῖνον δὲ πάλιν τὸν λόγον ἀναληψόμεθα, ὅτι οὐ δίδωσιν εἶναι κατ' οὐσίαν ᾧ τὸ ὄνομα τοῦ ὄντος οὐ καταλείπει. Καὶ τί μάτην σκιαμαχεῖ περὶ τοῦ μὴ ὄντος μαχόμενος ὡς τοιοῦδε ὄντος; Τὸ γὰρ μὴ ὂν οὔτε ὅμοιόν τινι πάντως ἐστὶν οὔτε ἀνόμοιον. Ἀλλὰ διδοὺς τὸ εἶναι ἀπαγορεύει τὸ λέγεσθαι. Ὦ κενῆς ἀκριβείας! ἐν τῷ μείζονι συγχωροῦντα μικρολογεῖσθαι περὶ τὸν ψόφον τοῦ ῥήματος. Πῶς δὲ ὁ κυριεύων, ὥς φησι, τοῦ Υἱοῦ πρὸς ἑαυτὸν ἕλκει τοῦ ὄντος τὴν ἔννοιαν; Εἰ μὲν γὰρ τὴν ἑαυτοῦ οὐσίαν ἕλκειν φησὶ τὸν Πατέρα, περιττὸς οὗτος ὁ ἑλκηθμός· πάρεστι γὰρ αὐτῷ τὸ εἶναι καὶ μὴ ἑλκόμενον· εἰς δὲ τοῦ Υἱοῦ τὸ εἶναι παρὰ τοῦ Πατρός φησιν ἕλκεσθαι, πῶς ἀποσπασθήσεται τοῦ ὄντος τὸ εἶναι καὶ πρὸς τὸν ἕλκοντα μεταχωρήσει, κατιδεῖν οὐκ ἔχω. Ἆρα μὴ τὴν Σαβελλίου πλάνην φαντάζεται, ὡς οὐκ ὄντος τοῦ Υἱοῦ καθ' ἑαυτόν, τῇ δὲ τοῦ Πατρὸς ὑποστάσει προσαλιφέντος, καὶ τοῦτο βούλεται αὐτῷ **263** τὸ ἕλκεσθαι τὴν τοῦ ὄντος ἔννοιαν παρὰ τῆς τοῦ Υἱοῦ κυριευούσης οὐσίας; ἢ εἶναι καθ' ὑπόστασιν τὸν Υἱὸν οὐκ ἀρνούμενος τῆς τοῦ ὄντος αὐτόν φησι σημασίας ἀπομερίζεσθαι; καὶ πῶς ἔστι διαζευχθῆναι τῆς τοῦ εἶναι διανοίας τὸ ὄν; ἕως γὰρ ἂν ᾖ πᾶν ὅπερ ἂν ᾖ, μὴ εἶναι ὃ ἔστι φύσιν οὐκ ἔχει.

ΚΑΤΑ ΕΥΝΟΜΙΟΥ ΤΟΥ ΤΡΙΤΟΥ ΛΟΓΟΥ

ΤΟΜΟΣ Θ΄

264 **[856]** Ἀλλὰ καὶ πρὸς τὸ ἐφεξῆς τοῦ λόγου προέλθωμεν. Αὐτοῦ, φησί, τοῦ Μονογενοῦς ἀποδιδόντος τῷ Πατρὶ τὴν μόνῳ κατ᾽ ἀξίαν ὀφειλομένην ἐπωνυμίαν. Ὁ γὰρ τὴν τοῦ ἀγαθοῦ πρόσρησιν μόνῳ προσήκειν διδάξας ἐκείνῳ τῷ καὶ τῆς σφετέρας καὶ πάσης ἀγαθότητος αἰτίῳ καὶ πᾶν τό τε ὂν καὶ γινόμενον ἀγαθὸν ἐπ᾽ ἐκεῖνον φέρων σχολῇ γ᾽ ἂν τῶν ποτε γενομένων οἰκειώσαιτο τὴν ἐξουσίαν καὶ τὴν τοῦ ὄντος ἐπωνυμίαν. Ἕως μὲν οὖν τισι προκαλύμμασιν ὑποκρύπτων τὴν βλασφημίαν ταῖς τῶν λογισμῶν περιόδοις κατὰ τὸ λεληθὸς τοὺς ἀπατωμένους προσήγετο, προσέχειν ᾤμην δεῖν τὸν νοῦν τοῖς κατὰ τὸ λανθάνον κακουργουμένοις καὶ ὡς ἦν οἷόν τε παραγυμνοῦν τῷ λόγῳ τὸν ὄλεθρον. Ἐπεὶ δὲ παντὸς ἀπατηλοῦ προσωπείου τὸ ψεῦδος ἀπογυμνώσας λαμπρὰν ἐπὶ λέξεως τὴν βλασφημίαν ἐκτίθεται, περιττὸν ἡγοῦμαι τοῖς οὐκ ἀρνουμένοις τὴν ἀσέβειαν τοὺς διὰ τῶν λογισμῶν ἐλέγχους ἐπάγων μάταιον ὑπομένειν **[857]** ὄχλον. Τί γὰρ ἂν πλέον εὑρεθείη παρ᾽ ἡμῶν εἰς τὴν τῆς κακονοίας ἀπόδειξιν; Οἷόν ἐστιν τὸ ἐκ τοῦ προχείρου παρ᾽ αὐτῶν ἐν τοῖς γεγραμμένοις ἐπιδεικνύμενον. Μόνον ἄξιον τῆς τοῦ ἀγαθοῦ προσ**265**ηγορίας φησὶ τὸν Πατέρα, μόνῳ ἐκείνῳ τὴν τοιαύτην ἐπωνυμίαν ὀφείλεσθαι, ὡς καὶ τοῦ Υἱοῦ συντιθεμένου τὸ μόνῳ προσήκειν ἐκείνῳ τὴν ἀγαθότητα. Ἀπολελόγηται ὑπὲρ ἡμῶν ὁ κατήγορος. Τάχα γάρ τις ἐπηρεαστὴς ἐν τοῖς κατόπιν ἐνομιζόμην τοῖς ἐντυγχάνουσιν, ἐν οἷς ἀπεδείκνυον ἀλλότριον τῆς πατρικῆς ἀγαθότητος τοὺς χριστομάχους[α] κατασκευάζειν τὸν Κύριον· ἀλλὰ νῦν οἶμαι διὰ τῆς τῶν ἐναντίων ὁμολογίας ἀποδεδεῖχθαι τὸ μὴ συκοφαντικῶς ἡμᾶς τὸ τοιοῦτον ἔγκλημα τοῖς ἐχθροῖς ἐπιφέρειν. Ὁ γὰρ μόνῳ τῷ Πατρὶ κατ᾽ ἀξίαν ὀφείλεσθαι τοῦ ἀγαθοῦ τὴν ἐπωνυμίαν λέγων κἀκείνῳ μόνῳ προσήκειν εἰπὼν τὴν τοιαύτην φωνὴν

α. Πρβλ. Ἀλεξάνδρου Ἀλεξανδρείας, Ἐπιστολὴ τοῖς ἀγαπητοῖς καὶ τιμιωτάτοις συλλειτουργοῖς, ἁπανταχοῦ τῆς καθολικῆς Ἐκκλησίας, ΒΕΠ 18,271, 16. PG 18,572C. Μ. Ἀθανασίου, Κατὰ Ἀρειανῶν, λόγ. Α΄, ΒΕΠ 30,128,11. PG 26,25B. λόγ. Β΄, ΒΕΠ 30,190,11. PG 26,173B. Ἐπιστολή, Περὶ τῶν γενομένων ἐν τῇ Ἀριμίνῳ τῆς Ἰταλίας καὶ ἐν Σελευκείᾳ τῆς Ἰσαυρίας συνόδων, ΒΕΠ 31,305,38. PG 26,716D. Γρηγορίου Νύσσης, Κατὰ Εὐνομίου Γ΄, θ΄, κατωτέρω σ. 69, 37.

τὴν περιεσταλμένην ἐν τοῖς προάγουσι πονηρίαν νῦν ἀνακεκαλυμμένῳ δημοσιεύει τῷ λόγῳ. Μόνῳ φησὶ τῷ Πατρὶ προσήκειν τοῦ ἀγαθοῦ τὴν ἐπωνυμίαν. Ἆρα μετὰ τῆς ἐγκειμένης τῇ φωνῇ σημασίας ἢ διεζευγμένην τῆς οἰκείας ἐμφάσεως; Εἰ μὲν οὖν τὸ ὄνομα τοῦ ἀγαθοῦ μόνον ἀνατίθησι τῷ Πατρὶ κατ' ἐξαίρετον, ἐλεεινὸς ἂν εἴη τῆς ἀλογίας, ῥήματος διακένου ψόφον τῷ Πατρὶ χαριζόμενος· εἰ δὲ τὸ νόημα τὸ διὰ τοῦ ἀγαθοῦ σημαινόμενον μόνῳ προσήκειν οἴεται τῷ Θεῷ καὶ Πατρί, βδελυκτὸς ἂν εἴη τῆς ἀσεβείας, τῶν Μανιχαίων[α] τὴν νόσον ἐπὶ τῶν ἰδίων δογμάτων ἀνανεούμενος. Ὡς γὰρ ὑγεία καὶ νόσος, οὕτως καὶ ἀγαθότης καὶ πονηρία ταῖς ἀλλήλων ἀναιρέσεσι παρυφίστανται, ὥστε τὴν τοῦ ἑνὸς ἀπουσίαν ὕπαρξιν τοῦ ἑτέρου γίνεσθαι. Εἰ οὖν μόνῳ τῷ Πατρὶ προσήκειν λέγει τὴν ἀγαθότητα, ἀποκλείει ταύτης πᾶν ὅ,τιπέρ ἐστιν ἐν τοῖς οὖσι παρὰ τὸν Πατέρα νοούμενον, ὥστε τοῖς πᾶσι καὶ τὸν μονογενῆ Θεὸν τοῦ ἀγαθοῦ συναπείργεσθαι. Ὡς γὰρ ὁ μόνον γελαστικὸν εἶναι λέγων τὸν ἄνθρωπον τὸ μηδὲν τῶν λοιπῶν ζῴων τῆς ἰδιότητος ταύτης μετέχειν συνενεδείξατο, οὕτως ὁ ἐν μόνῳ τῷ Πατρὶ τὸ ἀγαθὸν εἶναι ἀποφηνάμενος χωρίζει τὰ πάντα τῆς κατὰ τὸ ἀγαθὸν ἰδιότητος. Εἰ οὖν μόνος ὁ Πατὴρ κατ' ἀξίαν ὀφειλομένην ἔχει τοῦ ἀγαθοῦ τὴν ἐπωνυμίαν, καθώς **266** φησιν ὁ Εὐνόμιος, οὐδενὶ τῶν ἄλλων ἡ τοιαύτη φωνὴ κυρίως ἐφαρμοσθήσεται. Πᾶσα δὲ προαίρεσις ὁρμητικὴ ἤτοι κατὰ τὸ ἀγαθὸν ἐνεργεῖται πάντως ἢ πρὸς τὸ ἀντικείμενον φέρεται. Τὸ γὰρ πρὸς οὐθέτερον ἐπιρρεπῶς ἔχειν, ἢ τῶν ἀψύχων ἴδιον ἢ τῶν ἀναισθήτων ἐστίν. Εἰ τοίνυν μόνος ὁ Πατὴρ ἀγαθὸς οὐκ ἐπίκτητον ἔχων ἀλλ' ἐν τῇ φύσει τὴν ἀγαθότητα, οὐ κοινωνεῖ δὲ τῷ Πατρὶ τῆς φύσεως ὁ Υἱός, καθὼς ἡ αἵρεσις βούλεται, ὁ τῆς ἀγαθῆς οὐσίας ἀμέτοχος καὶ τῆς τοῦ ἀγαθοῦ πάντως ἐπωνυμίας συνηλλοτρίωται. Ὁ δὲ μήτε τῆς φύσεως τοῦ ἀγαθοῦ μήτε τῆς ἐπωνυμίας μετέχων οὐκ ἀγνοεῖται πάντως ὅστις ἐστί, κἂν ἐγὼ φείσωμαι τοῦ βλασφήμου ὀνόματος. Παντὶ γὰρ δῆλόν ἐστιν ὅτι τὸ πονηρόν τε καὶ ἀντικείμενον εἰς τὴν τοῦ Υἱοῦ ἔννοιαν ὑποβληθῆναι φιλονεικεῖ ὁ Εὐνόμιος. Ὁ γὰρ μὴ ἀγαθὸς πρὸς ποῖον ὄνομα οἰκείως ἔχει, παντὶ φανερὸν τῷ διανοίας μετέχοντι. Ὡς γὰρ ὁ μὴ ἀνδρεῖος δειλὸς καὶ ὁ μὴ δίκαιος ἄδικος καὶ ὁ μὴ σοφὸς ἄφρων ἐστίν, οὕτως καὶ ὁ **[860]** μὴ ἀγαθὸς πρόδηλον ἔχει τὸ ἀντιφωνούμενον ὄνομα, πρὸς ὃ τὴν τοῦ Μονογενοῦς ἔννοιαν ἐξωθεῖν ὁ χριστομάχος βιάζεται, ἄλλος Μάνης ἢ Βαρδησάνης τῇ Ἐκκλησίᾳ γινόμενος. Ταῦτά ἐστιν ἐν οἷς οὐδὲν τὸν λόγον ἡμῶν εἶναί φαμεν τῆς σιωπῆς ἐναργέστερον. Μυρία γάρ τις εἰπὼν καὶ πάντας λογισμοὺς ἀνακινήσας οὐκ ἂν εἴποι τοιοῦτον εἰς κατηγορίαν οὐδέν, οἷον παρ' αὐτῶν ἐκείνων ἐν παρρησίᾳ κηρύσσεται. Τί γὰρ ἄν τις πρὸς κακίαν εὕροι πικρότερον ἢ τὸ μὴ λέγειν ἀγαθὸν εἶναι τὸν ἐν μορφῇ Θεοῦ ὑπάρχοντα καὶ οὐχ ἁρπαγμὸν ἡγη-

---

α. Πρβλ. Ἐπιφανίου Κύπρου, Κατὰ αἱρέσεων. PG 42,9A.

σάμενον τὸ εἶναι ἴσα Θεῷ[1], ἀλλ' ἐπὶ τὸ ταπεινὸν τῆς ἀνθρωπίνης καταβάντα φύσεως, διὰ μόνην φιλανθρωπίαν[α] τοῦτο ποιήσαντα; ἀντὶ τίνος οὖν, εἰπέ μοι, ταῦτα τῷ Κυρίῳ ἀνταποδίδοτε[2] (χρήσομαι γὰρ τῇ Μωυσέως πρὸς τοὺς Ἰσ**267**ραηλίτας φωνῇ); οὐκ ἀγαθὸς ὅστις σε κόνιν ἄψυχον ὄντα θεοειδεῖ κάλλει κατακοσμήσας ἔμψυχον εἰκόνα τῆς ἑαυτοῦ δυνάμεως ἀνεστήσατο; οὐκ ἀγαθὸς ὁ διὰ σὲ μορφὴν δούλου λαβὼν[3] καὶ «ἀντὶ τῆς προκειμένης αὐτῷ χαρᾶς»[4] τὰ παθήματα τῆς σῆς ἁμαρτίας ἀναδεξάμενος καὶ δοὺς ἑαυτὸν ἀντάλλαγμα τοῦ σοῦ θανάτου καὶ ὑπὲρ ἡμῶν κατάρα[5] καὶ ἁμαρτία γενόμενος[6]; οὐδὲ Μαρκίων ὑμᾶς, ὁ τῶν ὑμετέρων δογμάτων προστάτης, κατὰ τοῦτο τὸ μέρος ἐπανωρθώσατο; Ὦ κοινὸν μὲν πρὸς τὸ ὑμέτερον φρόνημα τῶν θεῶν ἡ δυὰς καὶ τὸ παρηλλάχθαι κατὰ τὴν φύσιν ἑκάτερον πρὸς τὸν ἕτερον οἴεσθαι, φιλανθρωπότερον δὲ τὸ τὴν ἀγαθότητα τῷ Θεῷ τοῦ Εὐαγγελίου προσμαρτυρεῖν· ὑμεῖς δὲ καὶ τῆς τοῦ ἀγαθοῦ φύσεως τὸν μονογενῆ Θεὸν ἀφορίζετε, ὡς ἂν καὶ τὸν Μαρκίωνα[β] τῇ κακίᾳ τοῦ δόγματος ὑμῶν παραδράμοιτε.

Ἀλλ' ἀντιλαμβάνονται τῶν γεγραμμένων καὶ οὔ φασι δίκαια πάσχειν ὑπὲρ τῶν τῆς Γραφῆς ῥημάτων κατηγορούμενοι. Αὐτὸν γὰρ λέγουσιν εἰρηκέναι τὸν Κύριον τὸ «οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς ὁ Θεός»[7]. Οὐκοῦν ὡς ἂν μὴ καὶ κατὰ τῶν θείων ῥημάτων ἡ συκοφαντία τὴν ἰσχὺν ἔχοι, αὐτὸν τὸν εὐαγγελικὸν λόγον ἐν ὀλίγῳ διαληψόμεθα. Νέον οἶδε τοῦτον ἡ ἱστορία τὸν πλούσιον πρὸς ὅν φησι τὴν φωνὴν ταύτην ὁ Κύριος, ἀπολαυστικὸν οἶμαί τινα τῶν κατὰ τὸν βίον ἡδέων καὶ φιλοκτήμονα. Λυπεῖσθαι γὰρ αὐτόν φησι πρὸς τὴν συμβουλὴν τῆς τῶν προσόντων αὐτῷ ἀποκτήσεως καὶ μὴ ἑλέσθαι τῶν κτημάτων τὴν ζωὴν ἀνταλλάξασθαι[8]. Οὗτος ἐπειδή τινα ζωῆς αἰωνίας ἐπιδεδημηκέναι διδάσκαλον ἤκουσεν, ἐλπίδι τοῦ εἰς ἀεὶ τρυφήσειν **268** παρατεινομένης αὐτῷ τῆς ζωῆς εἰς ἀτέλεστον προσῄει θωπεύων τῇ τοῦ ἀγαθοῦ προσηγορίᾳ τὸν Κύριον, μᾶλλον δὲ οὐχὶ τὸν νοούμενον Κύριον, ἀλλὰ τὸν φαινόμενον ἐν τῇ τοῦ δούλου μορφῇ[9]. Οὐ γὰρ τοιοῦτος ἦν, οἷος διασχεῖν τὸ καταπέτασμα τῆς σαρκὸς[10] καὶ διιδεῖν ἰσχῦσαι τὸ τῆς θεότητος ἄδυτον[γ]. Ὁ τοίνυν τὰς καρδίας ὁρῶν Κύριος εἶδε πρὸς ὅ τι βλέ-

1. Πρβλ. Φιλιπ. 2,6. 2. Πρβλ. Δευτ. 32,6. 3. Πρβλ. Γαλ. 1,4. 4. Ἑβρ. 12,2. 5. Πρβλ. Γαλ. 3,13. 6. Πρβλ. Β' Κορ. 5,21. 7. Μάρκ. 10,18. Λουκ. 18,19. 8. Πρβλ. Ματθ. 19,20,22. 9. Πρβλ. Φιλιπ. 2,7. 10. Πρβλ. Ἑβρ. 10,20.

α. Πρβλ. Μ. Ἀθανασίου, Περὶ τῆς ἐνανθρωπήσεως τοῦ Λόγου, ΒΕΠ 30, 75,31. PG 25,97C.

β. Πρβλ. Ἱππολύτου, Ἔλεγχος κατὰ πασῶν τῶν αἱρέσεων Ζ, ΒΕΠ 5, 331,8 ἑξ. PG 16,3331C ἑξ. Εὐσεβίου Καισαρείας, Ἐκκλησιαστικὴ ἱστορία, ΒΕΠ 19,335,10. PG 20,472C. Ἐπιφανίου Κύπρου, Κατὰ αἱρέσεων, PG 41, 696A.

γ. Γρηγορίου Νύσσης, Εἰς τὸν βίον Μωυσέως, W. Jaeger VII, I, 88,21. 93,1. PG 44,377D. 384A. Εἰς τὸ Ἆσμα Ἀσμάτων, W. Jaeger VI, 22,17. 40,10. 323,3. PG 44,772A. 785A. 1000D.

πων ὁ νέος ἱκέτευεν, ὅτι οὐχὶ πρὸς τὸ Θεῖον εἶχε τὴν ψυχὴν ἀτενίζουσαν, ἀλλὰ τὸν ἄνθρωπον ἐλιπάρει διδάσκαλον ἀγαθὸν ὀνομάζων διὰ **[861]** τὴν ἐλπίδα τοῦ μαθεῖν τὸ τοιοῦτον μάθημα, δι' οὗ κωλυθήσεσθαι προσεδόκα τὸν θάνατον. Οὐκοῦν εἰκότως ὁ παρακληθεὶς παρ' αὐτοῦ οὕτος καὶ ἀποκρίνεται. Τῆς γὰρ ἐντεύξεως οὐ πρὸς τὸν Θεὸν Λόγον γεγενημένης, ἀκολούθως καὶ ἡ ἀπόκρισις ἐκ τοῦ ἀνθρωπίνου πρὸς τὸν ἱκετεύσαντα γίνεται, διπλῆν ἐπάγουσα τῷ νέῳ τὴν παίδευσιν. Διδάσκει γὰρ κατὰ ταὐτὸν ὅτι τε τῷ βίῳ προσήκει καὶ οὐχὶ ῥημάτων εὐφημίᾳ θεραπεύειν τὸ Θεῖον ἐν τῷ τὰς ἐντολὰς ποιεῖν καὶ τῶν προσόντων πάντων ὠνεῖσθαι τὴν αἰώνιον ζωήν, καὶ ὅτι τὸ ἀνθρώπινον ἐν πονηρίᾳ διὰ τὴν ἁμαρτίαν γενόμενον ἀποκέκριται τῆς κυρίας τοῦ ἀγαθοῦ κλήσεως· καὶ διὰ τοῦτό φησι· τί με λέγεις ἀγαθόν; Διὰ τοῦ εἰπεῖν *ἐμὲ* τὴν ἀνθρωπίνην φύσιν τὴν περὶ αὐτὸν ὑποδεικνύων τῷ λόγῳ, τῇ δὲ θεότητι προσμαρτυρήσας τὴν ἀγαθότητα ἑαυτὸν ἄντικρυς ἀγαθὸν ἀπεφήνατο τὸν ἀληθῶς ὑπὸ τοῦ Εὐαγγελίου Θεὸν κηρυσσόμενον. Εἰ μὲν γὰρ ἀπεσχοινίζετο τῆς τοῦ Θεοῦ προσηγορίας ὁ μονογενὴς Υἱός, οὐκ ἦν ἄτοπον ἴσως τὸ ἀλλότριον αὐτὸν καὶ τῆς τοῦ ἀγαθοῦ προσηγορίας οἴεσθαι. Εἰ δὲ δὴ καὶ προφῆται καὶ εὐαγγελισταὶ καὶ ἀπόστολοι διαβοῶσι τοῦ Μονογενοῦς τὴν θεότητα, μαρτυρεῖται δὲ παρ' αὐτοῦ τοῦ Κυρίου τῷ Θεῷ προσήκειν τὸ τῆς ἀγαθότητος ὄνομα, πῶς οὐ κοινωνεῖ τῆς ἀγαθότητος ὁ κοινωνῶν τῆς θεότητος; **269** Ὅτι γὰρ καὶ προφῆται Θεὸν ὁμολογοῦσι τὸν Κύριον καὶ εὐαγγελισταὶ καὶ μαθηταὶ καὶ ἀπόστολοι, οὐδεὶς οὕτω τῶν θείων ἀμύητος ὡς λόγῳ δεῖσθαι περὶ τούτων μαθεῖν. Τίς γὰρ οὐκ οἶδεν ἐν τῇ τετάρτῃ καὶ τεσσαρακοστῇ ψαλμῳδίᾳ ὅτι Θεὸν παρὰ Θεοῦ χριόμενον τὸν Χριστὸν ὁ προφήτης διακηρύσσει τῷ λόγῳ[1], καὶ πάλιν τὸν Ἡσαΐαν οὕτω προδήλως βοῶντα τοῦ Υἱοῦ τὴν θεότητα, τίς ἀγνοεῖ τῶν καθωμιληκότων τῇ προφητείᾳ, ἐν οἷς μετὰ τῶν ἄλλων καὶ τοῦτό φησιν ὅτι «Σεβωεὶμ ἄνδρες ὑψηλοὶ ἐπὶ σὲ διαβήσονται καὶ σοὶ ἔσονται δοῦλοι καὶ ὀπίσω σου ἀκολουθήσουσι δεδεμένοι χειροπέδαις καὶ ἐν σοὶ προσεύξονται, ὅτι ἐν σοὶ ὁ Θεὸς καὶ οὐκ ἔστι Θεὸς πλὴν σοῦ· σὺ γὰρ εἶ ὁ Θεός»[2]. Τίς γὰρ ἄλλος Θεὸς ὁ ἐν ἑαυτῷ Θεὸν ἔχων καὶ αὐτὸς ὢν Θεὸς πλὴν τοῦ Μονογενοῦς[3], εἰπάτωσαν οἱ τῆς προφητείας ἀνήκοοι· τὴν δὲ τοῦ Ἐμμανουὴλ ἑρμηνείαν[4] καὶ τὴν τοῦ Θωμᾶ μετὰ τὴν ἐπίγνωσιν ὁμολογίαν[5] τήν τε τοῦ Ἰωάννου μεγαλοφωνίαν ὡς πρόδηλον οὖσαν καὶ τοῖς ἔξω τῆς πίστεως σιωπήσομαι. Ἀλλ' οὐδὲ τὰς Παύλου φωνὰς δι' ἀκριβείας οἶμαι δεῖν παρατίθεσθαι πᾶσιν οὔσας σχεδὸν διὰ στόματος, ὃς οὐ μόνον Θεόν, ἀλλὰ καὶ μέγαν Θεὸν καὶ ἐπὶ πάντων Θεὸν ὀνομάζει τὸν Κύριον, πρὸς μὲν Ῥωμαίους λέγων ὅτι «ὧν οἱ πατέρες καὶ ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων Θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας»[6], πρὸς δὲ τὸν μαθητὴν ἑαυτοῦ Τίτον

---

1. Πρβλ. Ψαλ. 44,8. 2. Ἠσ. 45,14-15. 3. Πρβλ. Ἰω. 10,38. 4. Πρβλ. Ματθ. 1,23. 5. Πρβλ. Ἰω. 20,28. 6. Ρωμ. 9,5.

γράφων κατὰ τὴν ἐπιφάνειαν τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ[1], Τιμοθέῳ δὲ διαρρήδην βοᾷ ὅτι ὁ Θεὸς «ἐφανερώθη ἐν σαρκί, ἐδι**270**καιώθη ἐν πνεύματι»[2]. Πανταχόθεν τοίνυν ἀποδειχθέντος τοῦ Θεὸν εἶναι τὸν μονογενῆ Υἱὸν πῶς ὁ Θεῷ προσ**[864]**ήκειν τὴν ἀγαθότητα λέγων τῆς ἐπωνυμίας ταύτης ἀλλοτρίαν ἀποδείκνυσι τοῦ Υἱοῦ τὴν θεότητα, καὶ ταῦτα αὐτοῦ τοῦ κυρίου τὸ ἀγαθὸν ἑαυτῷ προσμαρτυροῦντος ἐν τῇ περὶ τῶν μεμισθωμένων εἰς τὸν ἀμπελῶνα παραβολῇ; Ἐκεῖ γὰρ τῶν προκεκμηκότων δυσανασχετούντων τῇ τῶν μισθωμάτων ἰσομοιρίᾳ καὶ ζημίαν κρινόντων ἰδίαν τῶν τελευταίων τὴν εὐπραγίαν, φησὶ πρός τινα τῶν χαλεπαινόντων ὁ δίκαιος κριτὴς ὅτι ἑταῖρε, οὐκ ἀδικῶ σε· οὐχὶ δηναρίου συνεφώνησά σοι τὴν ἡμέραν; Ἰδοὺ ἔχεις τὸ σόν· θέλω δὲ καὶ τῷ ἐσχάτῳ χαρίσασθαι ὥσπερ καὶ σοί. Μὴ οὐκ ἔχω ἐξουσίαν ἐν τοῖς ἐμοῖς ποιεῖν ὃ θέλω; ἢ ὁ ὀφθαλμός σου πονηρός, ὅτι ἐγὼ ἀγαθός εἰμι[3]; Πάντως δὲ οὐδεὶς περὶ τούτου φιλονεικήσει, ὅτι ἡ τοῦ κατ' ἀξίαν διανομὴ ἴδιον τοῦ κριτοῦ ἔργον ἐστί· κριτὴν δὲ τὸν μονογενῆ Θεὸν εἶναι πάντες οἱ μαθηταὶ τοῦ Εὐαγγελίου συντίθενται. Ὁ γὰρ Πατήρ, φησί, κρίνει οὐδένα, ἀλλὰ τὴν κρίσιν πᾶσαν δέδωκε τῷ Υἱῷ[4]. Ἀλλ' οὐκ ἀφίστανται τῶν γεγραμμένων. Φασὶ γὰρ τὴν τοῦ ἑνὸς προσθήκην κυρίως εἰς τὸν Πατέρα βλέπειν. «Οὐδεὶς» γάρ, φησίν, «ἀγαθὸς εἰ μὴ εἷς ὁ Θεός»[5]. Ἆρ' οὖν ἀτονήσει πρὸς συνηγορίαν ἑαυτῆς ἡ ἀλήθεια; ἢ πολλαχόθεν ἔστιν ἐν εὐκολίᾳ πολλῇ καὶ τοῦτον ἐξελέγξαι τὸν παραλογισμὸν τῆς ἀπάτης; Ὁ γὰρ ταῦτα περὶ τοῦ Πατρὸς εἰπὼν κἀκεῖνα πρὸς τὸν Πατέρα φησὶν ὅτι πάντα τὰ ἐμὰ σά ἐστι καὶ τὰ σὰ ἐμὰ καὶ δεδόξασμαι ἐν αὐτοῖς[6]. Εἰ δὲ πάντα τὰ τοῦ Πατρὸς τοῦ Υἱοῦ φησιν εἶναι, ἓν δὲ **271** τῶν ἐν τῷ Πατρὶ θεωρουμένων ἡ ἀγαθότης, ἢ πάντα οὐκ ἔχει, εἴπερ τοῦτο οὐκ ἔχει, καὶ ψεύδεσθαι φήσουσι τὴν ἀλήθειαν, ἢ εἴπερ ἀθέμιτον καθυπονοεῖσθαι τὴν ὄντως ἀλήθειαν ὡς εἰς ψεῦδος ἐκφερομένην, ὁ πάντα τὰ τοῦ Πατρὸς ἑαυτοῦ λέγων οὐδὲ τῆς ἀγαθότητος ἐκτὸς εἶναι συνωμολόγησεν. Ὁ γὰρ ἐν ἑαυτῷ τὸν Πατέρα ἔχων καὶ τὰ τοῦ Πατρὸς ἐμπεριειληφὼς πάντα, μετὰ πάντων δηλονότι καὶ τὴν ἀγαθότητα ἔχει. Οὐκοῦν ἀγαθὸς ὁ Υἱός.

Ἀλλ' οὐδείς, φησίν, ἀγαθός, εἰ μὴ εἷς ὁ Θεός[7]· τοῦτο παρὰ τῶν ἐναντίων προφέρεται. Οὐδὲ αὐτὸς ἀποβάλλω τὸν λόγον, οὐ μὴν ἀρνοῦμαι διὰ τοῦτο τοῦ Υἱοῦ τὴν θεότητα. Ὁ δὲ ὁμολογῶν Θεὸν εἶναι τὸν Κύριον καὶ τὸ ἀγαθὸν αὐτῷ πάντως διὰ τῆς ὁμολογίας ταύτης συνεμαρτύρησεν. Εἰ γὰρ ἴδιον Θεοῦ ἡ ἀγαθότης[α], Θεὸς δὲ ὁ Κύριος,

---

1. Πρβλ. Τίτ. 2,13. 2. Α' Τιμ. 3,16. 3. Πρβλ. Ματθ. 20,13-15. 4. Πρβλ. Ἰω. 5,22. 5. Μάρκ. 10,18. Λουκ. 18,19. 6. Πρβλ. Ἰω. 17,10. 7. Πρβλ. Ματθ. 19,17.

α. Γρηγορίου Νύσσης, Εἰς τὸν βίον Μωυσέως, W. Jaeger VII, I, 4,6. PG 44,301A. Λόγος εἰς τοὺς κοιμηθέντας, W. Jaeger (ἔκδ. G. Hell) IX, 29,15. PG 46,497C.

ἀγαθὸς ἄρα διὰ τῶν τεθέντων ὁ Υἱὸς ἀναπέφηνεν. Ἀλλά, φησί, τοῦ ἑνὸς ἡ λέξις ἀποκρίνει τὸν Υἱὸν τῆς τοῦ ἀγαθοῦ κοινωνίας. Ἀλλὰ ῥᾴδιον δεῖξαι, ὅτι οὐδὲ τὸ ἓν τοῦτο διαχωρίζει τοῦ Υἱοῦ τὸν Πατέρα. Ἐπὶ μὲν γὰρ τῶν ἄλλων ἁπάντων τὸ ἓν ἀσυνδύαστον ἔχει τὴν σημασίαν, ἐπὶ δὲ τοῦ Πατρός τε καὶ τοῦ Υἱοῦ τὸ ἓν οὐκ ἐν μονότητι καθορᾶται. «Ἐγὼ» γάρ, φησί, «καὶ ὁ πατὴρ ἕν ἐσμεν»[1]. Εἰ οὖν εἷς μὲν ὁ ἀγαθός, ἑνότης δέ τις ἐν τῷ Υἱῷ καὶ τῷ Πατρὶ θεωρεῖται, ἄρα ὁ Κύριος τῷ ἑνὶ μαρτυρήσας τὴν ἀγαθότητα καὶ ἑαυτῷ διὰ τοῦ ἑνὸς τὴν ἐπωνυμίαν ταύτην προσεμαρτύρησε τῷ ἓν ὄντι πρὸς τὸν Πατέρα καὶ οὐκ ἀπορρηγνυμένῳ τῆς κατὰ φύσιν **[865]** ἑνότητος. Ἀλλ' ὅπως ἂν διὰ πάντων ἔκδηλον γένοιτο τοῦ σεμνοῦ λογογράφου τὸ φιλομαθὲς καὶ εὐπαίδευτον, καὶ αὐτὴν κατανοήσωμεν ἐπὶ λέξεως τῶν γεγραμμένων τὴν σύν**272**ταξιν. *Οὐκ οἰκειοῦται*, φησί, *τὴν τοῦ ὄντος ἀξίαν* ὁ Υἱός, ἀξίαν ὀνομάζων αὐτὸ τὸ εἶναι. Πῶς οἶδε κυρίως τοῖς πράγμασιν ἐφαρμόζειν τὰ ῥήματα. Καὶ ἐπειδὴ διὰ τὸν Πατέρα ἐστίν, ἀλλοτριοῦσθαι αὐτὸν ἑαυτοῦ λέγει, ὡς καὶ *τῆς τούτου κυριευούσης οὐσίας πρὸς ἑαυτὴν ἑλκούσης τὴν τοῦ ὄντος ἔννοιαν*· τοῦτο δὲ τοιοῦτόν ἐστιν, ὡς ἂν εἴ τις λέγοι ὅτι ὁ ἀργυρώνητος, καθ' ὃ ἔστι, κατὰ τὴν ἰδίαν ὑπόστασιν οὐκ ἐκεῖνός ἐστιν, ἀλλ' ὁ ἐωνημένος, τῆς κατ' οὐσίαν αὐτοῦ ὑποστάσεως εἰς τὴν τοῦ κυριεύσαντος φύσιν ἀναληφθείσης. Ταῦτα τὰ ὑψηλὰ τοῦ θεολόγου νοήματα, ἡ δὲ τῶν προειρημένων ἀπόδειξις οἵα; *Αὐτοῦ*, φησί, *τοῦ Μονογενοῦς ἀποδιδόντος τῷ Πατρὶ τὴν μόνῳ κατ' ἀξίαν ὀφειλομένην ἐπωνυμίαν*. Καὶ ταῦτα εἰπὼν ἐπάγει τὸ μόνον εἶναι ἀγαθὸν τὸν Πατέρα. Ποῦ τοίνυν ἐν τούτοις ἀρνεῖται ὁ Υἱὸς τὴν ἐπωνυμίαν τοῦ ὄντος; ὅπερ κατασκευάζει ὁ Εὐνόμιος, ταῦτα προστιθεὶς ἐπὶ λέξεως· *ὁ γὰρ τὴν τοῦ ἀγαθοῦ πρόσρησιν μόνῳ προσήκειν διδάξας ἐκείνῳ τῷ καὶ τῆς σφετέρας καὶ πάσης ἀγαθότητος αἰτίῳ καὶ πᾶν τό τε ὂν καὶ τὸ γινόμενον ἀγαθὸν ἐπ' ἐκεῖνον φέρων σχολῇ γ' ἂν τῶν ποτε γενομένων οἰκειώσαιτο τὴν ἐξουσίαν καὶ τὴν τοῦ ὄντος ἐπωνυμίαν*. Τί κοινωνεῖ τοῖς εἰρημένοις ἡ ἐξουσία; πῶς δὲ μετὰ ταύτης καὶ τῆς τοῦ ὄντος ἐπωνυμίας ὁ Υἱός[α] ἠλλοτρίωται; Ἀλλ' οὐκ οἶδα τί χρὴ πλέον ἐν τούτοις ποιεῖν, γελᾶν τὴν ἀμαθίαν ἢ ἐλεεῖν τὴν ἀπώλειαν. Ἥ τε γὰρ *τῆς σφετέρας* λέξις οὐχ οὕτως ἐκληφθεῖσα ὡς πέφυκέ τε καὶ εἴωθεν ἐν χρήσει γίνεσθαι παρὰ τοῖς εἰδόσι κεχρῆσθαι **273** λόγῳ πολλὴν αὐτῷ μαρτυρεῖ τῆς ἀντωνυμικῆς τεχνολογίας τὴν ἐπιστήμην,

---

1. Ἰω. 10,30.

α. Πρβλ. Μ. Ἀθανασίου, Περὶ τῆς ἐνσάρκου ἐπιφανείας, ΒΕΠ 33,226,15. PG 26,997A. Διάλογος Α', περὶ Ἁγίας Τριάδος, ΒΕΠ 36,59,6. PG 28,1145A.

ἣν καὶ τὰ παιδάρια παρὰ τοῖς γραμματισταῖς ἀμογητὶ διεξέρχεται, καὶ τὸ παρενεχθῆναι τοῦ προκειμένου γελοίως αὐτὸν πρὸς τὰ μηδὲν ἐπικοινωνοῦντα τῷ λόγῳ καὶ τὸ † σχήματι συμπεραστικῷ τὸ μὴ κοινωνεῖν τὸν Υἱὸν τῆς ἐπωνυμίας τοῦ ὄντος ταῖς ἀλλοκότοις † ἐφαρμοζόμενον κατασκευαῖς, καὶ πάντα τὰ τοιαῦτα καθάπερ ἐξεπίτηδες ἐπὶ γέλωτι σύγκειται, ὥστε τι καὶ παθεῖν τυχὸν τοὺς ἀμελεστέρους καὶ ἐπιγελάσαι τῷ ἀσυναρτήτῳ τῶν λόγων. Ἀλλὰ τὸ μὴ εἶναι τὸν Θεὸν Λόγον ἢ ἀγαθὸν πάντως μὴ εἶναι (ταῦτα γὰρ κατασκευάζει δι' ὧν τήν τε τοῦ ὄντος ἐπωνυμίαν καὶ τὴν τοῦ ἀγαθοῦ μὴ οἰκειοῦσθαι λέγει) καὶ τὸ κατασκευάζειν τὴν τῶν γινομένων ἐξουσίαν μὴ προσήκειν αὐτῷ, ταῦτα δακρύων ἄξια καὶ θρηνητικῆς συναυλίας.

Οὐδὲ γὰρ κατά τινα προπετῆ καὶ ἀνεπίσκεπτον ὁρμὴν ἅπαξ που τὸ τοιοῦτον παραφθεγξάμενος εἶτα ἐπανορθοῦται τοῖς ἐφεξῆς τὸ πλημμέλημα, ἀλλ' ἐμφιλοχωρεῖ τῇ κακίᾳ, τοῖς δευτέροις φιλονεικῶν ὑπερβαλέσθαι τὰ φθάσαντα. Λέγει γὰρ προϊὼν τοσοῦτον αὐτὸν εἶναι κάτω τῆς θείας φύσεως, ὅσον ἀπ' ἐκείνου πρὸς τὸ ταπεινότερον ἡ τῶν ἀγγέλων ὑποβέβηκε φύσις, οὐ τούτοις γράφων τοῖς ῥήμασιν, ἀλλὰ κατασκευάζων δι' ὧν λέγει τὴν τοιαύτην διάνοιαν. Ἔξεστι δὲ κρῖναι τὸν λόγον τοῖς ἐντυγχάνουσιν. Ἔχει γὰρ οὕτω τὰ γεγραμμένα· ὃς τῷ μὲν ἄγγελος ὠνομά**[868]**σθαι σαφῶς ἐδίδαξε δι' ὅτου διήγγειλε τοὺς λόγους καὶ τίς ὁ ὤν, τῷ δὲ καὶ Θεὸς προσειρῆσθαι τὴν ἰδίαν ἔδειξε κατὰ πάντων ὑπεροχήν. Ὁ **274** γὰρ τῶν δι' αὐτοῦ γενομένων Θεός, ἄγγελος τοῦ ἐπὶ πάντων Θεοῦ. Ἐγκόπτει μεταξὺ τὸν λόγον θυμὸς ἐμπεσὼν τῇ καρδίᾳ καὶ συγκέχυται πρὸς τὸ πάθος ὁ λογισμὸς εἰς ὀργὴν ὑπὸ τῶν λεγομένων παρακινούμενος. Καὶ τάχα μοι τὸ τοιοῦτον πάθος τῆς ψυχῆς οὐκ ἀσύγγνωστον. Τίνι γὰρ οὐκ ἂν ἐκ τούτων ὁ θυμὸς ἐπιζέσειε, τοῦ μὲν Ἀποστόλου πᾶσαν ἀγγελικὴν φύσιν ὑποχείριον εἶναι τοῦ Κυρίου βοῶντος, συμπαραλαμβάνοντος δὲ εἰς μαρτυρίαν τοῦ δόγματος καὶ τὴν προφητικὴν μεγαλοφωνίαν; Ὅταν γάρ, φησίν, εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, λέγει καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι αὐτοῦ[1], καὶ τὸ «ὁ θρόνος σου ὁ Θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος»[2], καὶ τὸ «σὺ δὲ ὁ αὐτὸς εἶ καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν»[3]· πάντα πρὸς ἔνδειξιν τοῦ μονογενοῦς Θεοῦ ταῦτα τοῦ Ἀποστόλου διεξιόντος, τί πάθω τὸν τῶν ἀγγέλων Κύριον ἄγγελον εἶναι παρὰ τοῦ χριστομάχου ἀκούων, οὐ κατὰ τὸ συμβὰν τὸν τοιοῦτον ἀπορρίψαντος λόγον, ἀλλ' ἐναγωνιζομένου τῇ ἀτοπίᾳ, ὡς μηδὲν πλέον Ἰωάννου καὶ Μωυσέως τὸν Κύριον ἔχειν κατασκευάζεσθαι; Λέγει γὰρ περὶ ἐκείνου ὁ λόγος· «οὗτός ἐστι περὶ οὗ γέγραπται· ἰδοὺ ἐγὼ

---

1. Πρβλ. Ἑβρ. 1,6. Ψαλ. 96,7. 2. Ἑβρ. 1,8. Ψαλ. 44,7. 3. Ἑβρ. 1,12. Ψαλ. 101,28.

ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου»[1]. Ἄγγελος οὖν ὁ Ἰωάννης. Ἀλλὰ κἂν Θεὸν ὀνομάζῃ τὸν Κύριον ὁ ἐχθρὸς τοῦ Κυρίου, ἀναλογεῖν αὐτὸν κατασκευάζει τῇ Μωυσέως θεότητι, ἐπεὶ κἀκεῖνος τοῦ μὲν ἐπὶ πάντων Θεοῦ θεράπων, τῶν δὲ Αἰγυπτίων ἐτάχθη θεός. Καίτοι καὶ τὸ ἐπὶ πάντων, καθὼς καὶ ἐν τοῖς κατόπιν εἴρηται, κοινὸν τῷ Υἱῷ πρὸς τὸν Πατέρα, τοῦ Ἀποστόλου τὴν τοιαύτην αὐτῷ προσμεμαρτυρηκότος φωνὴν ἐν οἷς φησιν «ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ **275** σάρκα, ὁ ὢν ἐπὶ πάντων Θεός»[2]. Ἀλλ' οὗτος εἰς ἀγγέλου τάξιν κατάγει τὸν τῶν ἀγγέλων Κύριον, ὥσπερ οὐκ ἀκηκοὼς ὅτι οἱ ἄγγελοι λειτουργικὰ πνεύματα καὶ πυρὸς φλόγες εἰσί[3]. Διὰ τούτων γὰρ ὁ Ἀπόστολος ἀσύγχυτον καὶ σαφῆ ποιεῖται τὴν τῶν ὑποκειμένων διάκρισιν, τὴν μὲν ὑποχείριον φύσιν πνεῦμά τι εἶναι καὶ πῦρ ὁριζόμενος, τὴν δὲ κυριεύουσαν δύναμιν τῷ τῆς θεότητος διασημαίνων ὀνόματι. Καὶ τοσούτων ὄντων τῶν τὴν δόξαν τοῦ μονογενοῦς Θεοῦ διαγγελλόντων μόνος τοῖς πᾶσιν ἀντιβοᾷ ὁ Εὐνόμιος ἄγγελον αὐτὸν τοῦ ἐπὶ πάντων λέγων Θεοῦ, τῇ μὲν πρὸς τὸν ἐπὶ πάντων ἀντιδιαστολῇ ἕνα τῶν πάντων εἶναι διοριζόμενος, τῇ δὲ πρὸς τοὺς ἀγγέλους τοῦ ὀνόματος κοινωνίᾳ τὸ μηδὲν ἐκείνων παρηλλάχθαι τῇ φύσει κατασκευάζων. Πολλάκις γὰρ τὸ τοιοῦτον ἐν τοῖς κατόπιν φησίν, ὅτι ὅσα τῆς αὐτῆς κοινωνεῖ προσηγορίας, οὐδ' ἂν κατὰ τὴν φύσιν ἑτέρως ἔχοι. Ἆρ' οὖν ἔτι τῶν εὐθυνόντων ὁ λόγος προσδέεται περὶ τοῦ διαρρήδην βοῶντος τὸν ἄγγελον μὴ τὸν ἴδιον, ἀλλὰ τὸν τοῦ ὄντος ἀπαγγέλλειν λόγον; Διὰ γὰρ τούτου δείκνυται ὅτι ὁ ἐν ἀρχῇ ὢν Λόγος [Θεὸς Λόγος] οὐκ αὐτὸς Λόγος ἐστίν, ἀλλ' ἑτέρου τινὸς Λόγου γίνεται λόγος, διάκονός τε καὶ ἄγγελος ἐκείνου **[869]** γινόμενος. Κἀκεῖνο δὲ τίς ἀγνοεῖ τῶν πάντων ὅτι τῷ ὄντι τὸ μὴ ὂν ἀντιδιαιρεῖται μόνον; Ὥστε ὁ τὸν Υἱὸν ἀντιδιαστείλας τῷ ὄντι σαφῶς ἰουδαΐζει, τὴν τοῦ Μονογενοῦς ὑπόστασιν ὑπεκκλέπτων τοῦ δόγματος. Ὃν γὰρ ἔξω τῆς τοῦ ὄντος ἐπωνυμίας λέγει, καὶ τοῦ εἶναι πάντως ἐξῃρῆσθαι κατασκευάζει. Οὐ γὰρ δὴ τὸ εἶναι διδοὺς πρὸς τὸν τοῦ ῥήματος ἦχον διενεχθήσεται.

276 Ἀλλὰ καὶ τῇ Γραφῇ κρατύνειν ἐπιχειρεῖ τὴν ἀτοπίαν καὶ προβάλλεται τὸν Μωυσέα συνήγορον κατὰ τῆς ἀληθείας. Ὡς γὰρ ἐκεῖθεν ἡμῖν διαλεγόμενος τοὺς οἰκείους μύθους κατ' ἐξουσίαν διέξεισι λέγων ὅτι ὁ μὲν ἀποστέλλων Μωυσέα αὐτὸς ἦν ὁ ὤν, δι' οὗ δὲ ἀπέστελλε καὶ ἐλάλει, τοῦ μὲν ὄντος ἄγγελος, τῶν δὲ ἄλλων ἁπάντων Θεός. Ἀλλ' ὅτι μὲν οὐκ ἐκ τῶν γεγραμμένων ἐστὶν ἡ ῥῆσις, ἐξ αὐτῆς ἐστι τῆς Γραφῆς ὁ ἔλεγχος· εἰ δὲ τὸν νοῦν φησι τοῦτον εἶναι τοῦ γράμματος, αὐτὸς ἡμῖν ἐξεταστέος ὁ πρωτότυπος τῆς Γραφῆς λόγος. Καὶ πρῶτόν γε κατανοήσωμεν ὅτι τῶν μετ' αὐτὸν Θεὸν ὁ Εὐ-

1. Ματθ. 11,10. Πρβλ. Μαλ. 3,1. 2. Ρωμ. 9,5. 3. Πρβλ. Ἑβρ. 1,7. Ψαλ. 103,4.

νόμιος ὀνομάσας τὸν Κύριον οὐδὲν αὐτῷ πλέον παρὰ τὴν ἀγγελικὴν δίδωσι φύσιν. Οὐδὲ γὰρ ὁ Μωυσῆς ἀκούσας θεὸς εἶναι τοῦ Φαραὼ ἐξέβη τὴν ἀνθρωπότητα[1], ἀλλ' ἐν τῇ φύσει τὸ ὁμότιμον ἔχων τῇ τῆς ἐξουσίας ὑπεροχῇ τῶν ὁμογενῶν ὑπερήρθη καὶ οὐδὲν ἐκώλυσεν αὐτὸν πρὸς τὸ μὴ εἶναι ἄνθρωπον τὸ κληθῆναι θεόν. Οὕτω καὶ ἐνταῦθα ἕνα τῶν ἀγγέλων ὁ Εὐνόμιος αὐτὸν εἶναι κατασκευάσας θεραπεύει τὸ τοιοῦτο πλημμέλημα τῇ τῆς θεότητος κλήσει κατὰ τὸν ἀποδοθέντα λόγον, ὁμωνυμίᾳ τινὶ πρὸς αὐτὸν τὴν τοῦ Θεοῦ προσηγορίαν κοινοποιήσας. Ἐξετάσωμεν πάλιν αὐτὰ τὰ ῥήματα τῆς βλασφημίας ἐκθέμενοι. Ὁ ἀποστέλλων, φησί, τὸν Μωυσέα αὐτὸς ἦν ὁ ὤν, δι' οὗ δὲ ἀπέστειλεν, ὁ τοῦ ὄντος ἄγγελος ἦν, οὕτως ὀνομάζων τὸν Κύριον. Οὐκοῦν ὑπ' αὐτῆς ἐλέγχεται τῆς Γραφῆς ἡ ἀτοπία τοῦ λογογράφου, ἐν οἷς ὁ Μωυσῆς ἱκετεύει τὸν Κύριον μὴ ἄγγελον τῇ ἡγεμονίᾳ τοῦ λαοῦ ἐπιστῆσαι, ἀλλ' αὐτὸν τῆς πορείας αὐτῶν ἀφηγήσασθαι. Ἔχει δὲ οὕτως ἡ λέξις ἐκ προσώπου τοῦ Θεοῦ· «βάδιζε, κατά**277**βηθι καὶ ὁδήγησον τὸν λαὸν τοῦτον εἰς τὸν τόπον ὃν εἶπόν σοι· καὶ ἰδοὺ ὁ ἄγγελός μου προπορεύσεταί σου ᾗ ἂν ἡμέρᾳ ἐπισκέπτωμαι»[2]. Καὶ πάλιν μετ' ὀλίγα φησί «καὶ συναποστελῶ πρότερόν σου τὸν ἄγγελόν μου»[3]. Εἶτα μικρὸν κατὰ τὴν ἀκολουθίαν γίνεται παρὰ τοῦ θεράποντος πρὸς τὸν Θεὸν ἱκετηρία τοῦτον ἔχουσα τὸν τρόπον· Εἰ εὕρηκα χάριν ἐναντίον σου, συμπορευθήτω ὁ Κύριός μου μεθ' ἡμῶν[4]· καὶ πάλιν «εἰ μὴ αὐτὸς συμπορεύῃ ἡμῖν, μή με ἀναγάγῃς ἐντεῦθεν»[5]· εἶτα ἀπόκρισις τοῦ Θεοῦ πρὸς τὸν Μωυσέα· «καὶ τοῦτόν σοι τὸν λόγον ὃν εἴρηκας ποιήσω· εὕρηκας γὰρ χάριν ἐνώπιόν μου καὶ οἶδά σε παρὰ πάντας»[6]. Οὐκοῦν εἰ Μωυσῆς μὲν παραιτεῖται τὸν ἄγγελον, αὐτὸς δὲ ὁ χρηματίζων αὐτῷ συνέμπορος γίνεται καὶ καθηγεμὼν τῆς στρατιᾶς, φανερῶς ἀποδείκνυται διὰ τούτων, ὅτι ὁ τῇ τοῦ ὄντος ἐπωνυμίᾳ ἑαυτὸν γνωρίσας ὁ μονογενής ἐστι Θεός. Εἰ δὲ πρὸς τοῦτό τις ἀντιλέγοι, τῆς ἰουδαϊκῆς ὑπολήψεως ἔσται συνήγορος, τὸν Υἱὸν μὴ συμπαραλαμβάνων εἰς τὴν τοῦ λαοῦ σωτηρίαν. **[872]** Εἰ γὰρ ἄγγελος μὲν τοῖς Ἰσραηλίταις οὐ συναπέρχεται, ὁ δὲ διὰ τῆς τοῦ ὄντος ἐπωνυμίας δηλούμενος ὁ Μονογενὴς οὐκ ἔστι, καθὼς ὁ Εὐνόμιος βούλεται, οὐδὲν ἄλλο ἢ τὰ ἐκ τῆς συναγωγῆς δόγματα πρὸς τὴν Ἐκκλησίαν τοῦ Θεοῦ μεταφέρεται. Οὐκοῦν τῶν δύο τὸ ἕτερον ἐξ ἀνάγκης ὁμολογήσουσιν, ἢ μηδαμοῦ παρεῖναι τῷ Μωυσεῖ τὸν μονογενῆ Θεὸν ἢ αὐτὸν τὸν Υἱὸν εἶναι τὸν ὄντα, παρ' οὗ ὁ λόγος πρὸς τὸν θεράποντα γίνεται.

Ἀλλ' ἀντιλέγει τοῖς εἰρημένοις αὐτὴν τὴν Γραφὴν προτεινόμενος λέγουσαν ἀγγέλου προτετάχθαι φω**278**νήν, καὶ οὕτως ἐπῆχθαι τὸν τοῦ ὄντος διάλογον[7]. Τοῦτο δὲ

---

1. Πρβλ. Ἐξ 7,1. 2. Ἐξ. 32,34. 3. Ἐξ. 33,2. 4. Πρβλ. Ἐξ. 34,9. 5. Ἐξ. 33,15. 6. Ἐξ. 33,17. 7. Πρβλ. Ἐξ. 3,2,14.

οὐκ ἀντίρρησις, ἀλλὰ βεβαίωσις τῶν ἡμετέρων ἐστίν. Καὶ ἡμεῖς γάρ φαμεν ἐναργῶς τὸν προφήτην τὸ περὶ τοῦ Χριστοῦ μυστήριον ἐμφανὲς ποιῆσαι τοῖς ἀνθρώποις βουλόμενον ἄγγελον τὸν ὄντα προσαγορεῦσαι, ὡς ἂν μὴ μόνης τῆς τοῦ ὄντος ἐπωνυμίας κατὰ τὸν διάλογον εὑρισκομένης πρὸς τὸν Πατέρα ὁ νοῦς τῶν λεγομένων ἐπαναφέροιτο. Ἀλλ' ὥσπερ ὁ ἡμέτερος λόγος τῶν τοῦ νοῦ κινημάτων μηνυτής τε καὶ ἄγγελος γίνεται, οὕτω φαμὲν καὶ τὸν ἀληθινὸν Λόγον τὸν ἐν ἀρχῇ ὄντα διαγγέλλοντα τοῦ ἰδίου Πατρὸς τὴν βουλὴν τῇ ἐνεργείᾳ τῆς ἀγγελίας ἐπονομαζόμενον ἄγγελον λέγεσθαι. Καὶ ὥσπερ ὁ ὑψηλὸς Ἰωάννης πρότερον αὐτὸν Λόγον εἰπὼν οὕτως ἐπάγει τὸ Θεὸν εἶναι τὸν Λόγον, ὡς ἂν μὴ προηγησαμένης τῆς τοῦ Θεοῦ προσηγορίας πρὸς τὸν Πατέρα ταῖς ὑπονοίαις ἀπενεχθείημεν, οὕτω καὶ ὁ μέγας Μωυσῆς ἄγγελον προονομάσας αὐτὸν εἶναι τὸν ὄντα τοῖς ἐφεξῆς ἐκδιδάσκει λόγοις, ὡς ἂν φανερῶς τὸ κατὰ τὸν Χριστὸν προαγγελθείη μυστήριον, διὰ μὲν τοῦ ἀγγέλου τὸν ἑρμηνέα τοῦ πατρικοῦ βουλήματος λόγον τῆς Γραφῆς διδασκούσης, διὰ δὲ τῆς τοῦ ὄντος προσηγορίας τὴν κατ' αὐτὸ τὸ εἶναι τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα φυσικὴν οἰκειότητα. Εἰ δὲ καὶ τὸν Ἡσαΐαν προβάλοιτο ὡς εἰπόντα καλεῖσθαι τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς ἄγγελον, οὐδὲ οὕτως ἀνατρέψει τὸν ἡμέτερον λόγον. Σαφὲς γὰρ ἐκεῖ καὶ ἀναντίρρητον ὡς ἡ κατὰ τὸ ἀνθρώπινον οἰκονομία διὰ τῆς προφητείας σημαίνεται. «Παιδίον» **279** γάρ, φησίν, «ἐγεννήθη ἡμῖν καὶ υἱὸς ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ, καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς ἄγγελος»[1]. Πρὸς δὲ καὶ τὸν Δαβὶδ οἶμαι βλέποντα τὴν τῆς βασιλείας κατάστασιν διηγεῖσθαι, οὐχ ὡς οὐκ ὄντος βασιλέως, ἀλλ' ὡς τῆς δουλικῆς ταπεινότητος, ἣν ὑπῆλθε κατ' οἰκονομίαν ὁ Κύριος, εἰς τὴν τῆς βασιλείας ἀξίαν ἀναληφθείσης. «Κατεστάθην» γάρ, φησί, «βασιλεὺς ὑπ' αὐτοῦ, ἐπὶ Σιὼν ὄρος τὸ ἅγιον αὐτοῦ, διαγγέλλων τὸ πρόσταγμα Κυρίου»[2]. Οὐκοῦν ἄγγελός τε καὶ Λόγος[4] σφραγίς[5] τε καὶ εἰκὼν[6] καὶ πάντα τὰ τοιαῦτα κατὰ τὴν αὐτὴν ἔννοιαν λέγεται ὁ τὴν πατρικὴν ἀγαθότητα δι' ἑαυτοῦ γνωρίζων. Ὅ τε γὰρ ἄγγελος μηνυτής τινος γίνεται, καὶ ὁ λόγος ὡσαύτως ἐκκαλύπτει τὸ ἐγκείμενον νόημα, καὶ ἡ σφραγὶς ἐν τῷ ἰδίῳ τύπῳ τὸ ἀρχέτυπον δείκνυσι, καὶ **[873]** ἡ εἰκὼν τὸ τοῦ ἀπεικονισθέντος κάλλος δι' ἑαυτῆς ἑρμηνεύει, ὡς ἰσοδυναμεῖν ταῦτα πάντα τῷ σημαινομένῳ πρὸς ἄλληλα. Διὰ τοῦτο τὸ ἄγγελος τῆς τοῦ ὄντος ἐπωνυμίας προτέτακται, ἄγγελος μὲν λεγόμενος ὡς μηνυτὴς τοῦ Πατρός, ὢν δὲ ὡς οὐκ ἔχων ὄνομα γνωριστικὸν τῆς οὐσίας, ἀλλὰ πάσης ὑπερκείμενος τῆς ὀνοματικῆς σημασίας. Διὸ καὶ τὸ ὄνομα αὐτοῦ ὑπὲρ πᾶν εἶναι ὄνομα[7] παρὰ τοῦ Ἀποστόλου μεμαρτύρηται, οὐχ ὡς ἕν τι

---

1. Ἡσ. 9,5. 2. Ψαλ. 2,6-7. 3. Πρβλ. Ἡσ. 9,5. 4. Πρβλ. Ἰω. 1,1,14. 5. Πρβλ. Ἰω. 6,27. 6. Πρβλ. Β' Κορ. 4,4. 7. Πρβλ. Φιλιπ. 2,10.

προτετιμημένον τῶν ἄλλων, ἀλλ' ὡς ὑπὲρ πᾶν ὄνομα ὄντος τοῦ ὄντως ὄντος.

Ἀλλ' ὁρῶ γὰρ εἰς ἄμετρον ἤδη τὸν λόγον παρατεινόμενον καὶ δέδοικα τὸ δοκεῖν ἀδόλεσχός τις εἶναι καὶ περιττὸς τὴν φωνὴν εἰς πλῆθος προαγαγὼν τὴν ἀντίρρησιν, **280** καίτοι πολλὰ τῆς διὰ μέσου λογογραφίας τοῦ ἀντιπάλου παραδραμὼν προμηθείᾳ τοῦ μὴ πρὸς πολλὰς ἐπῶν μυριάδας ἐκταθῆναι τὸν λόγον. Τοῖς γὰρ φιλοπονωτέροις καὶ τὸ μὴ σύντομον διαβολῆς ἐστιν ἀφορμή, οἷς δὲ μὴ πρὸς τὴν χρείαν, ἀλλὰ πρὸς τὴν τῶν ἀργῶν τε καὶ ἀσπούδων ἐπιθυμίαν βλέπει ὁ νοῦς, δι' εὐχῆς ἐστιν ὀλίγοις βήμασι πολλὰ στάδια τῆς ὁδοῦ διανύειν. Τί οὖν χρὴ πράττειν ἐφελκομένης ἡμᾶς ἐπὶ τὸ πρόσω τῆς βλασφημίας; ἢ τάχα περιττόν ἐστι καὶ ὄντως ἀδόλεσχον τοῖς ὁμοίοις τῶν ἐπιχειρημάτων ἐναγωνίζεσθαι; Πᾶσα γὰρ αὐτῶν ἡ σπουδὴ καὶ κατὰ τὸν ἐφεξῆς αὐτοῦ λόγον σύμφωνος τοῖς προεξητασμένοις ἐστίν, οὐδὲν καινὸν εἰς κατασκευὴν παρὰ τὰ προλαβόντα τῶν ἐπιχειρημάτων ἔχουσα. Εἰ τοίνυν ἔρρωται ἡμῖν ἡ τῶν προεκτεθέντων ἀνατροπή, καὶ τὰ λειπόμενα τοῖς προεξητασμένοις συναπελήλεγκται· εἰ δὲ τοῖς ἐριστικοῖς καὶ ἀντιτύποις ἐν τῷ παρειμένῳ τὸ κράτιστον εἶναι δοκεῖ, ἀναγκαῖον ἂν εἴη τούτων ἕνεκεν διὰ βραχέων ἐπιδραμεῖν τὸ ὑπόλοιπον.

Λέγει μὴ εἶναι τὸν Κύριον πρὸ τῆς ἰδίας γεννήσεως ὁ μηδενὶ τοῦ Πατρὸς αὐτὸν διειργόμενον ἐπιδεικνύειν ἔχων, καὶ τοῦτό φησιν οὐκ ἀπὸ Γραφῆς τὸν λόγον πιστούμενος, ἀλλ' ἐκ τῶν ἰδίων λογισμῶν κατασκευάζων τὸ λῆμμα. Τοῦτο δὲ κοινὸν πρὸς ἅπαντα τὰ τῆς κτίσεως ἀποδέδεικται μέρη· οὐ βάτραχος, οὐ σκώληξ, οὐ κάνθαρος, οὐ πόα, οὐκ ἄκανθα, οὐκ ἄλλο τι τῶν εὐτελεστάτων πρὸ τῆς ἰδίας συστάσεως ἦν. Ὥστε ὅπερ διὰ τῆς λογικῆς τεχνολογίας ἐπὶ τοῦ Υἱοῦ σὺν ἱδρῶτι καὶ πόνῳ κατασκευάζει, τοῦτο καὶ ἐπὶ τῶν τυχόντων τῆς κτίσεως μορίων προωμολόγηται, καὶ ὁ πολύς ἐστι πόνος τῷ λογογράφῳ δεῖξαι τοῖς ἐσχάτοις **281** τῶν ἐν κτίσει τὸν μονογενῆ Θεὸν ἐν τῇ κοινωνίᾳ τῶν ἰδιωμάτων ὁμότιμον. Οὐκοῦν ἱκανὸν τεκμήριον τοῦ κακῶς αὐτοὺς περὶ τῶν δογμάτων φρονεῖν τὸ συμβαίνειν αὐτοῖς τὰς ὑπολήψεις τήν τε περὶ τοῦ μονογενοῦς Θεοῦ καὶ τὴν περὶ τῆς τῶν βατράχων γενέσεως. Εἶτά φησιν ἴσον κατ' ἀλήθειαν καὶ δύναμιν τῷ ἀγέννητον μὴ εἶναι τὸ πρὸ γεννήσεως μὴ εἶναι. Πάλιν ὁ αὐτὸς ἁρμόσει καὶ πρὸς τοῦτό μοι λόγος, ὅτι καὶ ἐπὶ κυνὸς καὶ ψύλλης καὶ ὄφεως καὶ οὑτινοσοῦν τῶν ἐσχάτων τὸ ἴσον εἰπών τις οὐκ ἁμαρτήσεται, ἐπείπερ ἴσον κατὰ ἀλήθειαν καὶ δύναμιν τῷ **[876]** ἀγέννητον μὴ εἶναι τὸν κύνα τὸ πρὸ τῆς γεννήσεως αὐτὸν μὴ εἶναι. Εἰ δὲ κατὰ τὸν διορισμὸν αὐτῶν, ὃν πολλαχῇ διωρίσαντο, ὅσα κοινωνεῖ τῶν ἰδιωμάτων, κοινωνεῖ καὶ τῆς φύσεως, ἴδιον δὲ τοῦ κυνὸς καὶ τῶν καθ' ἕκαστον τὸ πρὸ τοῦ γενέσθαι μὴ εἶναι, ὅπερ καὶ ἐπὶ τοῦ Υἱοῦ κατασκευάζειν οἴεται χρῆναι, τὸ λειπόμενον τῆς κατασκευῆς ὁ ἀκροατὴς πάντως ἐκ τοῦ ἀκολούθου κατόψεται.

Ἀλλὰ πρὸς τὸ μετριώτερον μετάγει τὸν λόγον, νέμων τι καὶ φιλανθρωπίας αὐτῷ, καί φησιν οὐ μόνον ὄντα καὶ ὑπὲρ πάντα τὰ ὄντα φαμὲν εἶναι τὸν Υἱὸν ὁ μικρὸν ἐν τοῖς κατόπιν τῆς τοῦ ὄντος ἐπωνυμίας αὐτὸν ἀποσχοινίζων, ἀλλὰ καὶ Κύριον αὐτόν, φησί, καὶ δημιουργὸν καὶ Θεὸν πάσης αἰσθητῆς τε καὶ νοητῆς οὐσίας λέγομεν. Ἣν τί οἴεται, κτιστὴν εἶναι ἢ ἄκτιστον; εἰ γὰρ πάσης νοητῆς οὐσίας ὁμολογεῖ Κύριον καὶ Θεὸν καὶ δημιουργὸν εἶναι τὸν Υἱόν, ἀνάγκη πᾶσα, εἰ μὲν ἄκτιστον εἶναι λέγοι ταύτην, ψεύδεσθαι τῆς ἀκτίστου φύσεως τὴν δημιουργίαν τῷ Υἱῷ προσμαρτυροῦντα, εἰ δὲ κτιστὴν πιστεύοι, αὐτὸν ἑαυτοῦ κτίστην εἶναι κατασκευάζει. **282** Εἰ γὰρ μὴ τῷ καθ' ἑαυτὸν ἀκτίστῳ τῆς νοητῆς οὐσίας ἀφορίζοιτο ἡ δημιουργία, οὐδὲν ἔτι τὸ διακρῖνον ὑπολειφθήσεται, τῆς τε αἰσθητῆς κτίσεως καὶ τῆς νοερᾶς οὐσίας ἐπικοίνου νοουμένης. Ἀλλ' ἐπάγει τούτοις ὅτι ἐν τῇ τῶν ὄντων κτίσει παρὰ τοῦ Πατρὸς ἐπιτέτραπται τὴν τῶν ἁπάντων, ὁρατῶν τε καὶ ἀοράτων, δημιουργίαν καὶ τῶν γενομένων τὴν πρόνοιαν, ἀρκούσης αὐτῷ τῆς ἄνωθεν ἀποκληρωθείσης δυνάμεως πρὸς τὰς γενέσεις τῶν δημιουργηθέντων. Ταῦτα βιάζεται μὲν τὸ πλῆθος τῶν γεγραμμένων ἐν συντόμῳ παραδραμεῖν, παρακατέχει δέ πως ἡ βλασφημία τὸν λόγον, πολὺν ἑσμὸν νοημάτων οἷόν τινων ἰοβόλων σφηκῶν περιέχουσα. Ἐπετράπη, φησί, παρὰ τοῦ Πατρὸς τὴν δημιουργίαν. Εἰ δὲ περὶ χειροτέχνου τινὸς ὁ λόγος ἐγίνετο κατὰ γνώμην τοῦ μισθουμένου μεταχειριζομένου τὴν ἐργασίαν, ἆρ' οὐκ ἂν τοῖς αὐτοῖς ἐχρήσατο λόγοις; Καὶ περὶ τοῦ Βεσελεὴλ τὸ ἴσον οὐχ ἁμαρτάνομεν λέγοντες ὅτι ἐπιτραπεὶς παρὰ τοῦ Μωυσέως τὴν σκηνοποιΐαν δημιουργὸς τῶν ἐκεῖ μνημονευθέντων ἐγένετο, οὐκ ἂν ἐπὶ τὴν πρᾶξιν ἐλθὼν μὴ πρότερον θείᾳ τε δυνάμει τὴν ἐπιστήμην κτησάμενος καὶ τῇ τοῦ Μωϋσέως ἐπιτροπῇ τῆς ἐνεργείας κατατολμήσας[1]. Οὐκοῦν ἡ τοῦ ἐπιτετράφθαι λέξις ἐπίκτητον αὐτῷ γεγενῆσθαι τὴν δημιουργικὴν ἐνδείκνυται δύναμίν τε καὶ ἐξουσίαν, ὡς πρὶν ἐπιτραπῆναι μήτε θαρσοῦντα μήτε δυνάμενον, ἐπεὶ δὲ τὴν τῶν ἔργων ἐξουσίαν ἔλαβε καὶ ἀποχρῶσαν πρὸς τὰ ἔργα τὴν δύναμιν, οὕτω γεγενῆσθαι δημιουργὸν τῶν ὄντων, ἀρκούσης αὐτῷ, καθώς φησιν ὁ Εὐνόμιος, τῆς ἄνωθεν ἀποκληρωθείσης δυνάμεως. Ἆρα μὴ κατά τινα ἱερατείαν τῶν γενεθλιακῶν λόγων καὶ ἐν εἱμαρμένῃ τινὶ τοῦ Υἱοῦ τὴν **283** γέννησιν τίθεται, καθάπερ φασὶν οἱ τὴν ματαίαν ταύτην ἐξησκηκότες **[877]** ἀπάτην κατὰ τὰς ποιὰς τῶν ἀστέρων ἐπιπλοκάς τε καὶ ἀποστάσεις τὰς ἀποκληρώσεις τῶν βίων τοῖς τικτομένοις συμβαίνειν, τῆς ἄνωθεν

1. Πρβλ. Ἐξ. 31,2 ἑξ.

εἱρμῷ τινι φερομένης δινήσεως τὰς περί τι δυνάμεις τοῖς γινομένοις ἐπικλωθούσης; Τάχα τι τοιοῦτον ὁ σοφὸς ἐννοεῖ καί φησι τῷ ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ κυριότητος[1] καὶ παντὸς ὀνόματος ὀνομαζομένου οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι καθάπερ ἐν κοίλοις τισὶ καθειργμένῳ χωρίοις ἄνωθεν ἀποκεκληρῶσθαι διαμεμετρημένην πρὸς τὴν ποσότητα τῶν γινομένων τὴν δύναμιν. Παραδραμοῦμαι καὶ τοῦτον διὰ συντομίας τὸν λόγον, ἐξ ὀλίγης τῆς τῶν ἐξετασθέντων ἀρχῆς σπέρματα πρὸς τὴν κατανόησιν τῆς βλασφημίας τοῖς συνετωτέροις τῶν ἐντυγχανόντων καταβαλλόμενος. Εἶτα διὰ τῶν ἐφεξῆς ἀπολογία τις ὑπὲρ ἡμῶν αὐτῷ γέγραπται. Οὐ γὰρ ἂν ἔτι δοκοίημεν τοῖς ἐντυγχάνουσι παραστοχάζεσθαι τῆς διανοίας τοῦ λόγου καὶ πρὸς τὸ ὑπεύθυνον μεθερμηνεύειν τὰ ῥήματα, αὐτῆς τῆς ἐκείνου φωνῆς ὁμολογούσης τὴν ἀτοπίαν. Ἔχει γὰρ οὕτω τὰ γεγραμμένα· ἢ γ ὰ ρ ο ὐ χ ὶ γ ῆ μ ὲ ν κ α ὶ ἄ γ γ ε λ ο ς ο ὐ κ ὄ ν τ α γ έ γ ο ν ε ν; ὁρᾶτε τὸν ὑψηλὸν θεολόγον ὡς οὐκ αἰσχύνεται τὸν αὐτὸν γῇ τε καὶ ἀγγέλοις καὶ αὐτῷ τῷ ποιητῇ τοῦ παντὸς ἐφαρμόζων λόγον; Οὐκοῦν εἰ τὰ αὐτὰ πρέπειν οἴεται περί τε τῆς γῆς καὶ τοῦ Κυρίου λέγειν, ἢ καὶ ταύτην πάντως θεοποιήσει ἢ καὶ ἐκεῖνον ταύτῃ συνατιμάσει.

Εἶτα προστίθησι τούτοις δι' ὧν ἀπογυμνοῦται πλέον ἡ βλασφημία, ὡς μηδὲ παιδὶ δυσκατανόητον εἶναι τὸ ἄτοπον. Φησὶ γὰρ ὅτι μ α κ ρ ὸ ν ἂ ν ε ἴ η π ά σ α ς ἐ π ε ξ ι έ ν α ι τ ῶ ν ν ο η τ ῶ ν τ ὰ ς γ ε ν έ σ ε ι ς ἢ τ ὰ ς ο ὐ σ ί α ς, α ἷ ς ἁ π ά σ α ι ς ο ὐ χ ὶ κ ο ι ν ή τ ι ς ἡ τ ο ῦ μ ὴ ὄ ν τ ο ς φ ύ σ ι ς, ἀ λ λ ὰ **284** κ α τ ὰ τ ὰ ς τ ο ῦ δ η μ ι ο υ ρ γ ή σ α ν τ ο ς ἐ ν ε ρ γ ε ί α ς ἡ π α ρ α λ λ α γ ή. Ταῦτα γὰρ καὶ σιωπώντων ἡμῶν ἀρίδηλον ἔχει καὶ περιφανῆ τὴν κατὰ τοῦ Υἱοῦ βλασφημίαν, ὅταν ὁμολογῇ τὸ κατὰ πάσης γενέσεως καὶ οὐσίας λεγόμενον μηδὲν ἀπᾴδειν τοῦ περὶ τῆς θείας τοῦ Μονογενοῦς ὑποστάσεως λόγου. Ἀλλά μοι δοκεῖ καλῶς ἔχειν ὑπερβάντα τὴν διὰ μέσου τῆς βλασφημίας κατασκευὴν τρόπον τινὰ προδιελεγχθεῖσαν ἐν τοῖς ἐξητασμένοις ἐπὶ τὰ κεφάλαια τῆς τοῦ δόγματος αὐτῶν κατηγορίας ἐλθεῖν. Εὑρεθήσεται γὰρ μάταιον μὲν ἀποδεικνὺς τὸ τῆς παλιγγενεσίας μυστήριον, ἀνόνητον δὲ τὴν μυστικὴν δωροφορίαν, τήν τε μετουσίαν τούτων εἰς οὐδὲν πλέον τοῖς μετέχουσι γινομένην. Φησὶ γὰρ μετὰ τοὺς συντόνους ἐκείνους ἀγῶνας, ἐν οἷς Οὐαλεντίνους τε καὶ Κηρίνθους καὶ Βασιλίδας καὶ Μοντανοὺς καὶ Μαρκίωνας εἰς διαβολὴν τοῦ καθ' ἡμᾶς προεστήσατο δόγματος, καὶ κατασκευάσας τὸ μηδὲ πρὸς τὴν τῶν Χριστιανῶν προσηγορίαν οἰκείως ἔχειν τοὺς ἄγνωστον ἀποφαινομένους τὴν θείαν φύσιν, ἄγνωστον δὲ καὶ τὸν τῆς γεννήσεως τρόπον, καὶ συναριθμήσας τοῖς διαβεβλημένοις ἡμᾶς, οὕτως ἐπάγει τὸν παρ' ἑαυτοῦ λόγον ἐν τούτοις τοῖς

---

1. Πρβλ. Ἐφ. 1,21.

ῥήμασιν· ἡμεῖς δὲ πειθόμενοι τοῖς ἁγίοις καὶ μακαρίοις ἀνδράσιν οὔτε τῇ σεμνότητι τῶν ὀνομάτων οὔτε ἐθῶν καὶ μυστικῶν συμβόλων ἰδιότητι κυροῦσθαί φαμεν τὸ τῆς **[880]** εὐσεβείας μυστήριον, τῇ δὲ τῶν δογμάτων ἀκριβείᾳ. Ὅτι μὲν οὖν οὐδὲ τότε τοῖς εὐαγγελισταῖς οὔτε τοῖς ἀποστόλοις οὔτε τινὶ τῶν τῆς ἀρχαιοτέρας γραφῆς καθηγησαμένων πεισθεὶς ταῦτα γράφει, παντὶ δῆλον τῷ τὴν ἱεράν τε καὶ θείαν οὐκ ἀγνοοῦντι Γραφήν. Ἀκόλουθον δ' ἂν εἴη ἁγίους αὐτὸν καὶ μακαρίους ἄνδρας οἴεσθαι λέγειν Μανιχαῖον, Νικόλαον, Κόλουθον, **285** Ἀέτιον, Ἄρειον καὶ πάντας τοὺς τοῦ αὐτοῦ χοροῦ, οἷς ἀκολουθῶν ταῦτα νομοθετεῖ, ὅτι οὔτε τῶν ὀνομάτων ἡ ὁμολογία οὔτε τὰ ἔθη τῆς Ἐκκλησίας οὔτε τὰ μυστικὰ σύμβολα κυροῖ τὴν εὐσέβειαν. Ἡμεῖς δὲ μεμαθηκότες παρὰ τῆς ἁγίας φωνῆς ὅτι ἂν μή τις γεννηθῇ ἄνωθεν δι' ὕδατος καὶ πνεύματος, οὐ μὴ εἰσέλθῃ εἰς τὴν βασιλείαν τοῦ Θεοῦ[2], καὶ ὅτι ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα ἐκεῖνος ζήσεται εἰς τὸν αἰῶνα[2], πεπείσμεθα τῇ ὁμολογίᾳ τῶν θείων ὀνομάτων, Πατρὸς λέγω καὶ Υἱοῦ καὶ Πνεύματος Ἁγίου, κυροῦσθαι τὸ τῆς εὐσεβείας μυστήριον[3] καὶ τῇ τῶν μυστικῶν ἐθῶν τε καὶ συμβόλων κοινωνίᾳ τὴν σωτηρίαν κρατύνεσθαι· δόγματα δὲ δι' ἐπιμελείας καὶ τοῖς ἔξω τοῦ μυστηρίου πολλάκις ἐξήτασται, καὶ πολλῶν ἔστιν ἀκούειν ὑπόθεσιν ἑαυτοῖς εἰς λόγων ἅμιλλαν τὸ ἡμέτερον δόγμα προβαλλομένων, καί τινας αὐτῶν ⟨ὁρῶμεν⟩ καὶ κατεπιτυγχάνοντας τῆς ἀληθείας πολλάκις καὶ οὐδὲν ἧττον ἠλλοτριωμένους τῆς πίστεως. Ἐπειδὴ τοίνυν καταφρονεῖ μὲν τῶν σεμνῶν ὀνομάτων, δι' ὧν τῆς θειοτέρας γεννήσεως ἡ δύναμις τοῖς διὰ πίστεως μετιοῦσι τὴν χάριν νέμει, περιορᾷ δὲ τὴν τῶν μυστικῶν συμβόλων τε καὶ ἐθῶν κοινωνίαν, ἐν οἷς ὁ Χριστιανισμὸς τὴν ἰσχὺν ἔχει, εἴπωμεν τὸ τοῦ προφήτου μικρὸν παρῳδήσαντες πρὸς τοὺς ἀκροατὰς τῆς ἀπάτης ὅτι «ἕως πότε βαρυκάρδιοι; ἵνα τί ἀγαπᾶτε τὴν ἀπώλειαν καὶ ζητεῖτε ψεῦδος;»[4] πῶς οὐχ ὁρᾶτε τὸν διώκτην τῆς πίστεως εἰς παράβασιν τοῦ Χριστιανισμοῦ τοὺς πειθομένους αὐτῷ προκαλούμενον; εἰ γὰρ ἄχρηστος μὲν ἡ τῶν σεμνῶν τε καὶ τιμίων τῆς Ἁγίας Τριάδος ὀνομάτων ὁμολογία, ἀνόητα δὲ τὰ ἔθη τῆς Ἐκκλησίας, ἐν δὲ τοῖς ἔθεσι τούτοις ἐστὶν ἡ σφραγίς, ἡ προσευχή, τὸ βάπτισμα, ἡ τῶν ἁμαρ**286**τιῶν ἐξαγόρευσις, ἡ περὶ τὰς ἐντολὰς προθυμία, ἡ περὶ τὸ ἦθος κατόρθωσις, τὸ κατὰ σωφροσύνην βιοῦν, τὸ πρὸς τὸ δίκαιον βλέπειν, τὸ μὴ ταῖς ἐπιθυμίαις ἐρεθίζεσθαι μήτε ἡδονῆς ἡττᾶσθαι μήτε ἀρετῆς ἀπολείπεσθαι, εἰ οὖν μηδὲν τῶν τοιούτων ἐθῶν ἐπ' ἀγαθῷ κατορθοῦσθαι λέγει μηδὲ τὰ μυστικὰ σύμβολα φυλακτήρια μὲν τῶν περὶ τὴν ψυχὴν ἀγαθῶν,

---

1. Πρβλ. Ἰω. 3,3. 2. Πρβλ. Ἰω. 6,54. 3. Πρβλ. Α' Τιμ. 3,16. 4. Ψαλ. 4,3.

καθὼς πεπιστεύκαμεν, γίνεσθαι, ἀποτρόπαια δὲ τῶν κατ' ἐπιβουλὴν τοῦ πονηροῦ τοῖς πεπιστευκόσιν ἐπαγομένων, τί ἄλλο καὶ οὐχὶ φανερῶς ἐμβοᾷ τοῖς ἀνθρώποις λῆρον ἡγεῖσθαι τῶν Χριστιανῶν τὸ μυστήριον, καταγελᾶν τῆς σεμνότητος τῶν θείων ὀνομάτων, παίγνιον οἴεσθαι τὰ τῆς Ἐκκλησίας ἔθη, φλυαρίαν τινὰ καὶ μωρίαν τὰ κατὰ τὸ μυστήριον ἐνεργούμενα πάντα; τί πλέον οἱ τῷ Ἑλληνισμῷ παραμένοντες εἰς διαβολὴν τοῦ καθ' ἡμᾶς προφέρουσι δόγματος; οὐχὶ κἀκεῖνοι γέλωτος ἀφορμὴν τὸ σεμνὸν ποιοῦνται τῶν ὀνομάτων, **[881]** ἐν οἷς ἡ πίστις κρατύνεται, καὶ διαχλευάζουσι τὰ μυστικὰ σύμβολα καὶ τὰ διατηρούμενα παρὰ τῶν μεμυημένων ἔθη; τὸ δὲ ἐν δόγμασι δεῖν μόνοις οἴεσθαι τὴν εὐσέβειαν εἶναι, τίνος οὕτως ἴδιον ὡς τῶν Ἑλλήνων ἐστίν; Ἐπεὶ κἀκεῖνοί φασιν εἶναί τι κατὰ τὴν ἑαυτῶν ὑπόληψιν τοῦ κηρύγματος ἡμῶν πιθανώτερον καί τινα μέγαν ἐξ αὐτῶν τινες ὑποτίθενται Θεὸν ὑπερανεστηκότα τῶν ἄλλων καὶ ὑποχειρίους τινὰς δυνάμεις ὁμολογοῦσι, διά τινος τάξεως καὶ ἀκολουθίας ἀλλήλων μὲν πρὸς τὸ μεῖζον ἢ καταδεέστερον διαφερούσας, ὑπεζευγμένας δὲ πάσας ἐπίσης τῷ ὑπερέχοντι. Ταῦτα τοίνυν καὶ οἱ καθηγηταὶ τῆς νέας εἰδωλολατρίας κηρύσσουσι, καὶ οὐ δεδοίκασιν οἱ ἑπόμενοι τὴν ἐπικειμένην τοῖς παραβεβηκόσι κατάκρισιν, ὥσπερ οὐ συνιέντες ὅτι τὸ ἔργῳ τι ποιῆσαι τῶν ἀτόπων τοῦ διὰ ῥήματος ἐξαμαρτεῖν μόνου παρὰ πολὺ χαλεπώτερον. Οἱ τοίνυν **287** ἔργῳ μὲν τὴν πίστιν ἀρνούμενοι καὶ τὰ ἔθη φαυλίζοντες καὶ τὴν τῶν ὀνομάτων ὁμολογίαν περιορῶντες καὶ τὸν ἐκ τῶν μυστικῶν συμβόλων ἁγιασμὸν ἀντ' οὐδενὸς εἶναι κρίνοντες, πρὸς δὲ τὰ σεσοφισμένα ῥήματα βλέπειν ἀναπεισθέντες καὶ ἐν τῇ τοῦ γεννητοῦ καὶ ἀγεννήτου τεχνολογίᾳ τὴν σωτηρίαν εἶναι νομίζοντες τί ἄλλο καὶ οὐχὶ παραβάται τῶν τῆς σωτηρίας δογμάτων εἰσίν;

Εἰ δέ τις οἴεται ταῦτα κατά τινα συκοφαντίαν παρ' ἡμῶν αὐτοῖς ἐπιφέρεσθαι, καθ' ἑαυτὸν διασκεψάσθω τὰ παρ' αὐτοῦ γεγραμμένα, τά τε προτεθέντα ἡμῖν εἰς ἐξέτασιν καὶ ὅσα κατὰ τὸ ἀκόλουθον τοῖς εἰρημένοις ἐπάγεται. Φησὶ γὰρ τὸν τοῦ Κυρίου νόμον παραγραφόμενος (νόμος γάρ ἐστιν ἡ τῆς θείας μυσταγωγίας παράδοσις) μὴ εἰς Πατέρα τε καὶ Υἱὸν καὶ Ἅγιον Πνεῦμα τὸ βάπτισμα γίνεσθαι, καθὼς ἐνετείλατο τοῖς μαθηταῖς παραδιδοὺς τὸ μυστήριον, ἀλλ' εἰς δημιουργὸν καὶ κτίστην καὶ οὐ μόνον Πατέρα, φησί, τοῦ Μονογενοῦς, ἀλλὰ καὶ Θεόν. Ὢ ὁ ποτίζων τὸν πλησίον αὐτοῦ ἀνατροπὴν θολεράν[1] πῶς ἀναταράσσει τῇ ἰλυώδει προσθήκῃ καὶ ἀναθολοῖ τὴν ἀλήθειαν, πῶς οὐ δέδοικε τὴν ἐπικειμένην ἀρὰν κατὰ τῶν προστιθέντων τι ταῖς θείαις φωναῖς ἢ ὑφαιρεῖν τολμώντων;[2] Ἀναγνῶμεν ἐπ' αὐτῶν τῶν ῥημάτων τὴν τοῦ Κυρίου φωνήν. «Πορευθέντες», φησί, «μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτί-

1. Πρβλ. Ἀββ. 2,15. 2. Πρβλ. Ἀποκ. 22,18.

ζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος»[1]. Ποῦ κτίσμα[α] τὸν Υἱὸν προσηγόρευσε; ποῦ κτίστην καὶ δημιουργὸν τοῦ Μονογενοῦς τὸν Πατέρα ὁ λόγος ἐδίδαξε; ποῦ δοῦλος Θεοῦ ἐν τοῖς εἰρημένοις ὁ Υἱὸς εἶναι διδάσκεται; ποῦ Θεὸς τοῦ Υἱοῦ ἐν τῇ παραδόσει τοῦ μυστηρίου κηρύσσεται; ἆρα νοεῖτε καὶ συνίετε οἱ δι' ἀπάτης κατασυρέντες πρὸς τὴν ἀπώλειαν, τίνα τῶν ἰδίων ψυχῶν **288** καθηγητὴν προεστήσασθε τὸν νοθεύοντα τὰς ἁγίας Γραφάς, τὸν μεταποιοῦντα τὰς θείας φωνάς, τὸν ἀναθολοῦντα τῷ ἰδίῳ βορβόρῳ τὸ καθαρὸν τῶν τῆς εὐσεβείας δογμάτων, τὸν μὴ μόνον καθ' ἡμῶν τὴν ἑαυτοῦ γλῶσσαν ὁπλίζοντα, ἀλλὰ καὶ αὐτὰς μετασκευάζειν ἐπιχει**[884]**ροῦντα τὰς ἁγίας φωνάς, τὸν κυριωτέραν τὴν ἰδίαν διαστροφὴν τῆς τοῦ Κυρίου διδασκαλίας ἀποδεῖξαι φιλονεικοῦντα; οὔπω καθορᾶτε ὅτι ἀντεγείρει ἑαυτὸν τῷ προσκυνουμένῳ ὀνόματι, ὥστε σιωπηθῆναι μὲν τῷ χρόνῳ τὸ τοῦ Κυρίου ὄνομα, ἀντεισαχθῆναι δὲ ταῖς ἐκκλησίαις ἀντὶ τοῦ Χριστοῦ τὸν Εὐνόμιον; οὔπω λογίζεσθε ὅτι μελέτη καὶ παρασκευὴ καὶ προοίμιον τῆς τοῦ ἀντιχρίστου[2][β] παρουσίας τὸ ἄθεον τοῦτο παρὰ τοῦ διαβόλου προκαταβέβληται κήρυγμα; ὁ γὰρ τῶν τοῦ Χριστοῦ λόγων κυριωτέρας τὰς ἰδίας φωνὰς ἀποδεῖξαι φιλονεικῶν καὶ μεταλλάξαι τὴν πίστιν ἀπὸ τῶν θείων ὀνομάτων καὶ τῶν μυστικῶν ἐθῶν καὶ συμβόλων εἰς τὴν ἰδίαν ἀπάτην, τί ἂν ἄλλο κυρίως καὶ οὐχὶ ἀντίχριστος λέγοιτο;

---

1. Ματθ. 28,19. 2. Πρβλ. Α' Ἰω. 2,18,22.

α. Πρβλ. Μ. Ἀθανασίου, Κατὰ Ἀρειανῶν λόγ. Α', ΒΕΠ 30,148,39. PG 26,76C. Ἐπιστολὴ Α', ΒΕΠ 33,116,35 ἑξ. PG 26,597A.

β. Πρβλ. Ἱππολύτου, Ἀπόδειξις περὶ Χριστοῦ καὶ Ἀντιχρίστου, ΒΕΠ 6, 197,1 ἑξ. PG 10,725B ἑξ. Μ. Ἀθανασίου, Πρὸς Ἀντίοχον ἄρχοντα, ΒΕΠ 35, 132,28 ἑξ. PG 28,665A ἑξ.

ΚΑΤΑ ΕΥΝΟΜΙΟΥ ΤΟΥ ΤΡΙΤΟΥ ΛΟΓΟΥ

ΤΟΜΟΣ Ι'

289 **[884]** Ἀλλ' ἴδωμεν καὶ τὸ ἐκ τοῦ ἀκολούθου τῇ βλασφημίᾳ προσκείμενον, ὅπερ ἐστὶν αὐτὸ τὸ κεφάλαιον τῆς τοῦ δόγματος αὐτῶν συνηγορίας. Οἴονται γὰρ **[885]** ἰσχυροτάτην ἀπόδειξιν ὧν λέγουσιν ἔχειν οἱ τὸ μεγαλεῖον τῆς τοῦ Μονογενοῦς δόξης εἰς ταπεινὰς καὶ δουλοπρεπεῖς ὑπολήψεις κατάγοντες τὸν πρὸς τὴν Μαρίαν τοῦ Κυρίου λόγον, ὃν μετὰ τὴν ἀνάστασιν πρὸ τῆς ἀνόδου πεποίηται λέγων «μή μου ἅπτου· οὔπω γὰρ ἀναβέβηκα πρὸς τὸν Πατέρα μου»· πορεύθητι δὲ πρὸς τοὺς ἀδελφούς μου καὶ εἰπὲ αὐτοῖς ὅτι «ἀναβαίνω πρὸς τὸν Πατέρα μου καὶ Πατέρα ὑμῶν καὶ Θεόν μου καὶ Θεὸν ὑμῶν»[1]. Τὴν μὲν οὖν εὐσεβῆ τῶν εἰρημένων διάνοιαν, καθ' ἣν πεπιστεύκαμεν εἰρῆσθαι ταῦτα πρὸς τὴν Μαρίαν, πρόδηλον οἶμαι τοῖς παραδεξαμένοις ἐν ἀληθείᾳ τὴν πίστιν. Προστεθήσεται δὲ ὅμως καὶ παρ' ἡμῶν ὁ περὶ τούτου λόγος ἐν τῷ καθήκοντι τόπῳ· τέως δὲ μαθεῖν ἄξιον παρὰ τῶν προφερόντων ἡμῖν τὰς τοιαύτας φωνὰς ὅ τι τὸ ἀναβαῖνον[2] καὶ τὸ ὁρώμενον[3] καὶ τὸ διὰ τῆς ἀφῆς γνωριζόμενον[4] καὶ ἔτι πρὸς τούτοις τὸ τοῖς ἀνθρώποις διὰ τῆς ἀδελφότητος οἰκειούμενον, ἆρα τῆς θείας ἢ τῆς ἀνθρωπίνης φύσεως ἴδιον εἶναι νομίζουσιν. Εἰ μὲν γὰρ τὸ ψηλαφητὸν καὶ ὁρατὸν καὶ βρώσει καὶ πόσει διοικούμενον καὶ τοῖς ἀνθρώποις ὁμογενὲς καὶ ἀδελφὸν καὶ ὅσα περὶ τὴν σωματικὴν καθορᾶται φύσιν, **290** πάντα ταῦτα καὶ ἐν θεότητι βλέπουσι, λεγέτωσαν περὶ τοῦ μονογενοῦς Θεοῦ καὶ ταῦτα καὶ ὅσα βούλονται μαρτυρείτωσαν αὐτῷ, καὶ τὴν πορευτικὴν ἐνέργειαν καὶ τὴν τοπικὴν μετάστασιν, ὅπερ ἴδιον τῶν ἐν σώματι περιγεγραμμένων ἐστίν. Εἰ δὲ ὁ μὲν διὰ τῆς Μαρίας ἀδελφοῖς διαλέγεται, ὁ δὲ μονογενὴς ἀδελφοὺς οὐκ ἔχει (πῶς γὰρ ἂν ἐν ἀδελφοῖς τὸ μονογενὲς διασῴζοιτο;) καὶ ὁ εἰπὼν «πνεῦμα ὁ Θεός»[5], φησὶ πρὸς τοὺς μαθητὰς ὁ αὐτὸς ὅτι «ψηλαφήσατέ με»[6], ἵνα δείξῃ ὅτι ψηλαφητὴ μὲν ἡ ἀνθρωπίνη φύσις, ἀναφὲς δὲ τὸ Θεῖον, καὶ ὁ εἰπὼν πορεύομαι[7], τὴν τοπικὴν διασημαίνει μετάστασιν, ὁ δὲ τὰ πάντα ἐμπεριειληφώς, ἐν ᾧ, καθώς φησιν ὁ Ἀπόστολος, ἐκτίσθη τὰ πάντα καὶ ἐν ᾧ τὰ πάντα συνέστηκεν[8], οὐδὲν ἐν τοῖς οὖσιν ἔξω ἑαυτοῦ ἔχει εἰς ὃ κατά τινα κίνησιν ἡ μεταχώρησις γίνεται (οὐδὲ γὰρ ἔστιν ἑτέρως ἐνεργῆσαι τὴν κίνησιν, μὴ τοῦ μεθισταμένου τὸν μὲν ἐν ᾧ ἦν ἀπολεί-

---

1. Ἰω. 20,17. 2. Πρβλ. ἔνθ' ἀν. 3. Πρβλ. Ἰω. 20,25,29. 4. Πρβλ. Ἰω. 20,25,27. 5. Ἰω. 4,24. 6. Λουκ. 24,39. 7. Πρβλ. Ἰω. 20,17. 8. Πρβλ. Κολ. 1,16-17.

ποντος, ἕτερον δὲ ἀντιμεταλαμβάνοντος τόπον, τὸ δὲ διὰ πάντων ἧκον καὶ ἐν πᾶσιν ὂν καὶ πάντα περικρατοῦν καὶ ὑπ' οὐδενὸς τῶν ὄντων περιειργόμενον οὐκ ἔχει ὅπου μεταχωρήσει τῷ μηδὲν εἶναι κενὸν τοῦ θείου πληρώματος), πῶς καταλιπόντες οὗτοι τὸ ἐκ τοῦ φαινομένου τὰς φωνὰς γίνεσθαι ταύτας τῇ θείᾳ τε καὶ ὑπερεχούσῃ πάντα νοῦν ἐφαρμόζουσι φύσει, σαφῶς τοῦ Ἀποστόλου ἐν τῇ πρὸς Ἀθηναίους δημηγορίᾳ τὸ τοιοῦτον ἀπαγορεύοντος ἐπὶ Θεοῦ νομίζειν, ὡς οὐχὶ διὰ ψηλαφήσεως[α] εὑρισκομένης τῆς θείας δυνάμεως, ἀλλὰ διὰ νοητῆς θεω**291**ρίας καὶ πίστεως;[1] ἢ πάλιν ὁ βεβρωκὼς ἐν ὀφθαλμοῖς τῶν μαθητῶν καὶ ὁ ἐπαγγειλάμενος ἐν τῇ Γαλιλαίᾳ προάξειν τε καὶ ὀφθήσεσθαι[2], τίνα τὸν ὀφθησόμενον αὐτοῖς μηνύει; ἄρα τὸν Θεόν, ὃν οὔτε ἑώρακέ τις οὔτε ἰδεῖν δύναται, ἢ τὸν σωματικὸν χαρακτῆρα τουτέστι τὴν τοῦ δούλου μορφήν, ἐν ᾗ ἦν ὁ Θεός; εἰ τοίνυν φανερῶς διὰ τῶν εἰρημένων **[888]** πρὸς τὸ βλεπόμενον καὶ ἀντιτυποῦν καὶ κινούμενον καὶ ὁμογενὲς τῇ φύσει τῶν μαθητῶν ἡ διάνοια τῶν εἰρημένων φέρεται, τῶν δὲ τοιούτων οὐδὲν περὶ τὸν ἀόρατόν τε καὶ ἀσώματον καὶ ἀναφῆ καὶ ἀνείδεον καθορᾶται, πῶς αὐτὸν τὸν μονογενῆ Θεὸν τὸν ἐν ἀρχῇ ὄντα καὶ ἐν τῷ Πατρὶ ὄντα εἰς τὸ ὁμότιμον Πέτρῳ καὶ Ἀνδρέᾳ καὶ Ἰωάννῃ καὶ τοῖς λοιποῖς τῶν ἀποστόλων κατάγουσιν ἐν τῷ καὶ ἀδελφοὺς αὐτοὺς λέγειν εἶναι τοῦ Μονογενοῦς καὶ ὁμοδούλους; Καὶ πᾶσα πρὸς τοῦτον αὐτοῖς τὸν σκοπὸν ἡ σπουδὴ βλέπει, τὸ δεῖξαι τοσοῦτον ἀφεστῶτα κατὰ τὸ μεγαλεῖον τῆς φύσεως τὸν Υἱὸν τῆς τοῦ Πατρὸς ἀξίας τε καὶ δυνάμεως καὶ οὐσίας, ὅσον καὶ τῆς ἀνθρωπίνης οὐσίας ὑπερανέστηκε. Καὶ τῆς διανοίας ταύτης τοῦτον τὸν λόγον ποιοῦνται συνήγορον τὸν ἐκ τοῦ ἴσου τήν τε τοῦ Πατρὸς καὶ τὴν τοῦ Θεοῦ φωνὴν ἐπί τε τοῦ Κυρίου καὶ τῶν μαθητῶν τοῦ Κυρίου κοινοποιοῦντα, ὡς μηδεμιᾶς μεταξὺ νοουμένης κατὰ τὴν φυσικὴν ἀξίαν διαφορᾶς ἐν τῷ παραπλησίως αὐτὸν καὶ τούτου κἀκείνων Πατέρα τε καὶ Θεὸν εἶναι νομίζεσθαι.

Καὶ τοιαύτη τίς ἐστιν ἡ κατὰ τὸ ἀκόλουθον τῆς βλασφημίας κατασκευή, ὡς ἢ καὶ τοῖς μαθηταῖς διὰ τῆς σχετικῆς σημασίας τὸ κοινὸν τῆς **292** οὐσίας πρὸς τὸν Πατέρα συμμαρτυρεῖσθαι ἢ μηδὲ τὸν Κύριον διὰ τῆς φωνῆς ταύτης εἰς κοινωνίαν τῆς τοῦ Πατρὸς ἄγειν φύσεως, καὶ ὡς τὴν δουλείαν τῶν μαθητῶν τὸ Θεὸν αὐτῶν ὀνομασθῆναι τὸν ἐπὶ πάντων παρίστησι, κατὰ τὸν αὐτὸν λόγον καὶ τὸν Υἱὸν δουλεύειν τῷ Θεῷ διὰ τῶν εἰρημένων ὁμολογεῖσθαι. Ὅτι μὲν οὖν οὐ τῇ

---

1. Πρβλ. Πράξ. 17,27. 2. Πρβλ. Ματθ. 26,32. Μάρκ. 14,28. 16,7.

α. Πρβλ. Μ. Ἀθανασίου, Περὶ σαρκώσεως τοῦ Κυρίου κατὰ Ἀπολιναρίου, λόγ. Α', ΒΕΠ 37,269,7.

Θεότητι τοῦ Μονογενοῦς ἐφαρμόζεται τὰ πρὸς τὴν Μαρίαν ῥήματα[1], δι' αὐτῆς ἔστι τῆς τῶν εἰρημένων διανοίας μαθεῖν. Ὁ γὰρ διὰ πάντων πρὸς τὸ ὁμότιμον τῆς ἀνθρωπίνης βραχύτητος ἑαυτὸν ταπεινώσας, ἐκεῖνος φθέγγεται τὰ εἰρημένα. Τίς δὲ αὐτῶν τῶν ῥημάτων ἐστὶν ἡ διάνοια, τὴν μὲν ἀκρίβειαν εἰδεῖεν ἂν οἱ διὰ τοῦ Πνεύματος τὰ βάθη τοῦ μυστηρίου διερευνώμενοι[2]· ὅσα δὲ καὶ εἰς ⟨τὴν⟩ ἡμετέραν ἥκει κατάληψιν κατὰ τὴν τῶν πατέρων ὑφήγησιν, ταῦτα δι' ὀλίγων παραθησόμεθα. Ὁ τῇ φύσει Πατὴρ τῶν ὄντων, ἐξ οὗ τὰ πάντα τὴν γένεσιν ἔχει, εἷς παρὰ τῆς τοῦ Ἀποστόλου μεγαλοφωνίας ἀνακεκήρυκται. Εἷς γὰρ Θεός, φησί, καὶ Πατήρ, ἐξ οὗ τὰ πάντα[3]. Οὐκοῦν ἡ ἀνθρωπίνη φύσις οὐκ ἀλλαχόθεν ἐπεισῆλθε τῇ κτίσει οὐδὲ αὐτομάτως ἐνεφύη τοῖς γεγονόσιν, ἀλλὰ τὸν ποιητὴν καὶ αὐτὴ τῆς ἰδίας συστάσεως οὐκ ἄλλον ἔσχεν ἢ τὸν Πατέρα τῶν πάντων. Καὶ αὐτὸ δὲ τὸ τῆς θεότητος ὄνομα, εἴτε τὴν ἐποπτικὴν εἴτε τὴν προνοητικὴν ἐξουσίαν σημαίνει, οἰκείως ἔχει πρὸς τὸ ἀνθρώπινον. Ὁ γὰρ τὴν δύναμιν παρασχὼν τοῖς οὖσι τοῦ εἶναι, Θεὸς καὶ ἐπόπτης τῶν ὑπ' ἐκείνου γε**293**γονότων ἐστίν. Ἀλλ' ἐπειδὴ κατ' ἐπιβουλὴν τοῦ ἐνσπείραντος ἡμῖν τὸ τῆς ἀπειθείας ζιζάνιον οὐκέτι τοῦ πατρικοῦ χαρακτῆρος ἡ φύσις ἡμῶν τὴν εἰκόνα ἐφ' ἑαυτῆς διεσώσατο, ἀλλὰ πρὸς τὸ αἶσχος τῆς ἁμαρτίας μετεμορφώθη, διὰ τοῦτο διὰ τῆς κατὰ τὴν προαίρεσιν ὁμοιότητος εἰς τὴν πονηρὰν **[889]** συγγένειαν τοῦ πατρὸς τῆς ἁμαρτίας εἰσεποιήθη[4]· ὡς μηκέτι τοῦ ἀποκηρυχθέντος ἐν τῇ ἰδίᾳ κακίᾳ τὸν ἀγαθόν τε καὶ ἀληθινὸν εἶναι Πατέρα τε καὶ Θεόν, ἀλλ' ἀντὶ μὲν τοῦ φύσει ὄντος Θεοῦ τοὺς φύσει μὴ ὄντας θεοὺς τιμηθῆναι, καθώς φησιν ὁ Ἀπόστολος[5], ἀντὶ δὲ τοῦ ἀληθινοῦ Πατρὸς τὸν ψευδώνυμον νομισθῆναι πατέρα, καθώς που δι' αἰνίγματος ὁ προφήτης Ἱερεμίας λέγει ὅτι «ἐφώνησε πέρδιξ, συνήγαγεν ἃ οὐκ ἔτεκεν»[6]. Ἐπειδὴ τοίνυν τὸ κεφάλαιον τῆς συμφορᾶς ἡμῶν τοῦτο ἦν, τὸ ἐξοικειωθῆναι τοῦ ἀγαθοῦ Πατρὸς τὸ ἀνθρώπινον καὶ τῆς θείας ἐπόψεώς τε καὶ κηδεμονίας ἔξω γενέσθαι, διὰ τοῦτο ὁ πᾶσαν τὴν λογικὴν κτίσιν ποιμαίνων καταλιπὼν ἐν τοῖς ὑψηλοῖς τὴν ἀπλανῆ τε καὶ ὑπερκόσμιον ποίμνην τὸ πεπλανημένον πρόβατον[7], τὴν ἡμετέραν λέγω φύσιν, ὑπὸ φιλανθρωπίας μετέρχεται. Πολλοστὸν γάρ ἐστι καὶ ἐλάχιστον μέρος, εἰ πρὸς τὸ πᾶν κρίνοιτο, ἡ ἀνθρωπίνη φύσις ἡ μόνη κατὰ τὸ τῆς παραβολῆς αἴνιγμα τῆς λογικῆς ἑκατοντάδος διὰ τῆς κακίας ἀποφοιτήσασα. Ἐπεὶ οὖν ἀποξενωθεῖσαν τοῦ Θεοῦ τὴν ἡμετέραν ζωὴν δι' ἑαυτῆς πάλιν ἐπὶ τὸν ὑψηλόν τε καὶ οὐράνιον χῶρον ἀναληφθῆναι ἀμήχανον ἦν, διὰ τοῦτο, καθώς φησιν ὁ Ἀπόστολος, ὁ μὴ γνοὺς ἁμαρτίαν ὑπὲρ ἡμῶν ἁμαρτία γίνεται[8] καὶ τῆς κατάρας ἡμᾶς ἐλευθεροῖ τὴν ἡμετέραν κα-

1. Πρβλ. Ἰω. 20,17. 2. Πρβλ. Α' Κορ. 2,,10. 3. Πρβλ. Α' Κορ. 8,6. 4. Πρβλ. Ἰω. 8,38,41. Α' Ἰω. 3,8. 5,19. 5. Πρβλ. Γαλ. 4,8. 6. Ἱερ. 17,11. 7. Πρβλ. Ματθ. 18,12. Λουκ. 15,4. 8. Πρβλ. Β' Κορ. 5,21.

τάραν οἰκειωσάμενος καὶ τὴν ἔχθραν ἡμῶν τὴν διὰ τῆς **294** ἁμαρτίας πρὸς τὸν Θεὸν γεγενημένην ἀναλαβὼν καὶ ἐν ἑαυτῷ ἀποκτείνας κατὰ τὸν τοῦ Ἀποστόλου λόγον (ἔχθρα δὲ ἦν ἡ ἁμαρτία)[1] καὶ γενόμενος ὅπερ ἡμεῖς δι' ἑαυτοῦ πάλιν συνῆψε τῷ Θεῷ τὸ ἀνθρώπινον. Τὸν γὰρ καινὸν ἐκεῖνον ἄνθρωπον τὸν κατὰ Θεὸν κτισθέντα[2], ἐν ᾧ κατῴκησε τὸ πλήρωμα τῆς θεότητος σωματικῶς[3], τοῦτον διὰ καθαρότητος τῇ συγγενείᾳ τοῦ Πατρὸς τῆς φύσεως ἡμῶν προσοικειώσας πᾶσαν τὴν κοινωνὸν τοῦ σώματος αὐτοῦ καὶ συγγενῆ φύσιν πρὸς τὴν αὐτὴν χάριν συνεφειλκύσατο. Καὶ τοῦτο διὰ τῆς γυναικὸς οὐ πρὸς ἐκείνους τοὺς μαθητὰς μόνον, ἀλλὰ καὶ πρὸς πάντας τοὺς μέχρι τοῦ νῦν μαθητευομένους τῷ λόγῳ εὐαγγελίζεται, ὅτι οὐκέτι ἐν ἀποκηρύκτοις ὁ ἄνθρωπος οὐδὲ τῆς τοῦ Θεοῦ βασιλείας ἀπόβλητος, ἀλλὰ πάλιν υἱός, πάλιν ὑπὸ τὸν Θεὸν τεταγμένος, τῇ ἀπαρχῇ τῆς ἀνθρωπότητος συναγιασθέντος καὶ τοῦ φυράματος[4]. «Ἰδοὺ γάρ», φησίν, «ἐγὼ καὶ τὰ παιδία ἅ μοι ἔδωκεν ὁ Θεός»[5]· ὅθεν ὑμεῖς ἀπεφοιτήσατε σάρκες καὶ αἷμα διὰ τὴν ἁμαρτίαν γενόμενοι, ἐκεῖ πάλιν ὑμᾶς ἀναλαβὼν ἐπανήγαγεν ὁ δι' ἡμᾶς κεκοινωνηκὼς σαρκός τε καὶ αἵματος[6]. Καὶ οὕτω γέγονε καὶ ἡμέτερος Πατὴρ καὶ Θεός, οὗ πρότερον διὰ τῆς ἀποστασίας ἠλλοτριώθημεν. Οὐκοῦν εὐαγγελίζεται τὴν ἀγαθὴν ταύτην εὐεργεσίαν διὰ τῶν εἰρημένων ὁ Κύριος, καὶ ἔστι τὰ ῥήματα οὐ τῆς τοῦ Υἱοῦ ταπεινότητος ἔλεγχος, ἀλλὰ τῆς ἡμετέρας πρὸς τὸν Θεὸν καταλλαγῆς[7] εὐαγγέλια. Τὸ γὰρ περὶ τὸν κατὰ Χριστὸν ἄνθρωπον γεγενημένον κοινὴ τῆς φύσεως τῶν ἀνθρώπων χάρις ἐστίν. Ὥσπερ γὰρ τὸ κατωφερὲς καὶ εἰς γῆν **[892]** βριθὸν τοῦ σώματος διαέριον ἐπὶ τοὺς οὐρανοὺς ἰδόντες φερόμενον πιστεύομεν **295** κατὰ τὸν τοῦ Ἀποστόλου λόγον καὶ ἡμεῖς ἁρπαγήσεσθαι ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα[8], οὕτως ἀκηκοότες, ὅτι τῆς ἡμετέρας ἀπαρχῆς[9] πατὴρ καὶ Θεὸς γέγονεν ὁ ἀληθινὸς Θεὸς καὶ Πατήρ, οὐκέτι ἀμφιβάλλομεν τὸν αὐτὸν ἡμέτερον Πατέρα καὶ Θεὸν γενέσθαι, μαθόντες ὅτι εἰς τὴν αὐτὴν εἰσελευσόμεθα, ὅπου πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθεν ὁ Χριστός[10]. Τὸ δὲ διὰ γυναικὸς τὴν χάριν μηνύεσθαι, καὶ αὐτὸ σύμφωνόν ἐστι τῷ ἀποδοθέντι νοήματι. Ἐπειδὴ γάρ, καθώς φησιν ὁ Ἀπόστολος, «ἡ γυνὴ ἐξαπατηθεῖσα ἐν παραβάσει γέγονε»[11] καὶ τῆς ἀποστάσεως τῆς ἀπὸ τοῦ Θεοῦ διὰ τῆς παρακοῆς προηγήσατο, διὰ τοῦτο πρώτη τῆς ἀναστάσεως γίνεται μάρτυς, ἵνα τὴν ἐκ τῆς παραβάσεως καταστροφὴν διὰ τῆς κατὰ τὴν ἀνάστασιν πίστεως ἀνορθώσῃ, καὶ ὥσπερ τῶν τοῦ ὄφεως λόγων[12] τὸ κατ' ἀρχὰς γενομένη πρὸς τὸν ἄνδρα διάκονός τε καὶ σύμβουλος ἀρχὴν τοῦ κακοῦ τῷ βίῳ κατ' ἀκολουθίαν εἰσήνεγκεν, οὕτω τοῦ θανατώσαντος τὸν ἀποστάτην δράκοντα τοὺς λόγους τοῖς

1. Πρβλ. Ἐφ. 2,16. 2. Πρβλ. Ἐφ. 4,24. 3. Πρβλ. Κολ. 2,9. 4. Πρβλ. Ρωμ. 11,16. 5. Ἡσ. 8,18. 6. Πρβλ. Ἑβρ. 2,14. 7. Πρβλ Ρωμ. 5,11. 8. Πρβλ. Α' Θεσ. 4,17. 9. Πρβλ. Ἰακ. 1,18. Β' Θεσ. 2,13. 10. Πρβλ. Ἑβρ. 6,20. 11. Α' Τιμ. 2,14. 12. Πρβλ. Γεν. 3,1.

μαθηταῖς διακομίσασα ἀρχηγὸς τοῖς ἀνθρώποις τῆς πίστεως γένηται, δι' ἧς εἰκότως ἀναλύεται ἡ πρώτη τοῦ θανάτου ἀπόφασις. Ἀλλ' εὑρεθῆναι μὲν εἰκὸς παρὰ τῶν ἐπιμελεστέρων ὠφελιμωτέραν τινὰ τῶν προκειμένων ἐξήγησιν· εἰ δὲ καὶ μηδὲν εὑρίσκοιτο, ἐκείνην πάντως ἀργεῖν τὴν παρὰ τῶν ἐχθρῶν προφερομένην συγκρίσει τῆς εὑρεθείσης πάντα οἶμαι τὸν εὐσεβοῦντα συνθήσεσθαι. Ἡ μὲν γὰρ ἐπὶ καθαιρέσει τῆς τοῦ Μονογενοῦς δόξης συμπέπλασται καὶ πλέον οὐδέν· αὕτη δὲ τῆς κατὰ τὸν ἄνθρωπον οἰκονομίας τὸν σκοπὸν περιέχει. Ἐδείχθη γὰρ ὅτι οὐχ ὁ ἀναφὴς τε καὶ ἀμετάθετος καὶ ἀόρατος, ἀλλὰ τὸ **296** βλεπόμενόν τε καὶ κινούμενον καὶ ψηλαφώμενον, ὅπερ τῆς ἀνθρωπίνης φύσεως ἴδιόν ἐστι, τῇ Μαρίᾳ τὴν ἐντολὴν ἐδίδου πρὸς τοὺς ἀδελφοὺς διακονῆσαι τὸν λόγον[1].

Ἔτι καὶ τοῦτο προσεξετάσωμεν, οἵαν πεποίηται τὴν ἀπολογίαν ὑπὲρ ὧν ἀπηλέγχθη παρὰ τοῦ μεγάλου Βασιλείου εἰς τὴν τοῦ σκότους μοῖραν τὸν μονογενῆ Θεὸν ἀφορίζων ἐν τῷ λέγειν ὅσον διέστηκε τὸ γεννητὸν πρὸς τὸ ἀγέννητον, τοσοῦτον παρήλλακται τὸ φῶς πρὸς τὸ φῶς[α]. Δείξαντος γὰρ ἐκείνου μὴ κατὰ ὕφεσίν τινα καὶ ἐπίτασιν τοῦ γεννητοῦ πρὸς τὸ ἀγέννητον τὴν διάστασιν εἶναι, ἀλλ' ἐκ διαμέτρου τὴν ἀντίθεσιν ἐν τοῖς σημαινομένοις ὑπάρχειν, καὶ συλλογισαμένου διὰ τῆς τῶν τεθέντων ἀκολουθίας ὅτι ἀναλόγως τῇ ἀγεννησίᾳ καὶ τῇ γεννήσει τοῦ πατρικοῦ φωτὸς πρὸς τὸ τοῦ Υἱοῦ παραλλάσσοντος ἀνάγκη πᾶσα μὴ ἐλάττωσιν φωτὸς ἐπὶ τοῦ Υἱοῦ νοηθῆναι, ἀλλὰ παντελῆ ἀλλοτρίωσιν (ὡς γὰρ οὐκ ἔστιν εἰπεῖν ὑφειμένην ἀγεννησίαν εἶναι τὴν γέννησιν, ἀλλὰ καθόλου διέστηκεν ἀντιθετικῶς ἀπ' ἀλλήλων τὰ σημαινόμενα τῆς ἀγεννησίας καὶ τῆς γεννήσεως, οὕτως εἰ τὴν αὐτὴν φυλάσσοι παραλλαγὴν τὸ πατρικὸν φῶς πρὸς τὸ ἐν τῷ Υἱῷ νοούμενον, οὐκέτι φῶς ἐκ τῆς ἀκολουθίας ὁ Υἱὸς εἶναι ὑποληφθήσεται, **[893]** ἐπίσης αὐτῆς τε τῆς ἀγεννησίας καὶ τοῦ κατ' αὐτὴν φωτὸς ἔξω γινόμενος· ὁ δὲ ἄλλο τι παρὰ τὸ φῶς ὤν, δηλαδὴ πρὸς τὸ ἀντικείμενον οἰκείως κατὰ τὸ ἀκόλουθον ἕξει)· ταύτης τοίνυν τῆς ἀτοπίας ἐκ τῶν τεθέν**297**των ἀναφανείσης, ἀναλύειν ἐπιχειρεῖ ὁ Εὐνόμιος ταῖς τεχνικαῖς ἐφόδοις τῶν ἀποδείξεων οὑτωσὶ λέγων· ἴσμεν γάρ, ἴσμεν τὸ φῶς τὸ ἀληθινόν, ἴσμεν τὸν κτίσαντα τὸ φῶς μετὰ τὸν οὐρανὸν καὶ τὴν γῆν, ἠκούσαμεν αὐτῆς τῆς ζωῆς καὶ ἀληθείας Χριστοῦ λέγοντος τοῖς ἑαυτοῦ μαθηταῖς· «ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου»[2]· μεμαθήκαμεν παρὰ τοῦ μακαρίου Παύλου φῶς ἀπρό-

---

1. Πρβλ. Ἰω. 20,17. 2. Ματθ. 5,14.

α. Πρβλ. Μ. Βασιλείου, Κατὰ Εὐνομίου, Περὶ Υἱοῦ, λόγ. Β', ΒΕΠ 52, 210,30 ἑξ.

σιτον[1] ὀνομάζοντος τὸν ἐπὶ πάντων Θεὸν τῇ τε προσθήκῃ διορίζοντος καὶ τὴν ὑπεροχὴν τοῦ φωτὸς ἐκδιδάσκοντος· εἶτα τοσαύτην φωτὸς παραλλαγὴν μεμαθηκότες οὐκ ἀνεξόμεθα μέχρι ψιλῆς γοῦν ἀκοῆς τὴν αὐτὴν εἶναι φωτὸς ἔννοιαν. Ἆρα σπουδάζων τὰ τοιαῦτα διὰ τῶν ἐπιχειρημάτων κατὰ τῆς ἀληθείας προβάλλεται ἢ τῆς ἀναισθησίας τῶν ἑπομένων αὐτοῦ ταῖς ἀπάταις ἀποπειρώμενος, πότερον δύνανται συνιδεῖν τὸν παιδιώδη παραλογισμὸν τοῦ σοφίσματος ἢ καὶ πρὸς τὴν οὕτω πρόδηλον ἀπάτην ἀναισθητοῦσιν; Ἐγὼ μὲν γὰρ οἶμαι μηδένα οὕτως ἀνόητον, ὡς μὴ συνιέναι τὴν ἐκ τῆς ὁμωνυμίας ἀπάτην, δι' ἧς ὁ Εὐνόμιος ἑαυτόν τε καὶ τοὺς κατ' αὐτὸν παρακρούεται. Φῶς οἱ μαθηταί, φησίν, ὠνομάσθησαν, φῶς δὲ λέγεται καὶ τὸ ἐν τῇ κτίσει γενόμενον. Εἶτα τίς οὐκ οἶδεν ὅτι ⟨τὸ⟩ ὄνομα μόνον ἐν τούτοις ἐστὶ κοινόν, τὸ δὲ σημαινόμενον ἐφ' ἑκατέρου διάφορον; Τὸ μὲν γὰρ ἡλιακὸν φῶς ὄψεώς ἐστι διακριτικόν, ὁ δὲ τῆς διδασκαλίας τῶν μαθητῶν λόγος ταῖς ψυχαῖς τὸν φωτισμὸν τῆς ἀληθείας ἐντίθησιν. Εἰ μὲν οὖν ταύτην καὶ ἐπ' ἐκείνου τοῦ φωτὸς τὴν διαφορὰν οἶδεν, ὡς τὸ μὲν σώματος οἴεσθαι, τὸ δὲ ψυχῆς εἶναι φῶς, οὐκέτι ἡμῖν ἔσται πρὸς αὐτὸν λόγος οὐδείς, αὐτῆς τῆς ἀπολογίας καὶ πρὸ τῶν ἡμετέρων αὐτὸν λόγων κατακρινούσης. Εἰ δὲ τὴν τοιαύτην ἐπ' ἐκείνου τοῦ φωτὸς διαφορὰν κατὰ τὸν τῆς ἐνεργείας τρόπον εὑρεῖν οὐκ **298** ἔχει (οὐ γὰρ τὸ μὲν ὀφθαλμῶν σαρκός, τὸ δὲ διανοίας ἐστὶ φωτιστικόν, ἀλλὰ μία καὶ τούτου κἀκείνου τοῦ φωτὸς ἡ ἐνέργεια ἐπὶ τῶν αὐτῶν ἐνεργουμένη), πῶς διὰ τῶν ἡλιακῶν ἀκτίνων καὶ τῶν ἀποστολικῶν λόγων τὸ παρηλλάχθαι τὸ μονογενὲς φῶς πρὸς τὸ πατρικὸν φῶς ἀποδείκνυσιν; Ἀλλ' ὁ μὲν Υἱὸς ἀληθινόν[2], φησί, λέγεται φῶς, ὁ δὲ Πατὴρ ἀπρόσιτον[3]. Οὐκοῦν οἱ προσδιορισμοὶ τὴν κατὰ τὸ μεῖζον διαφορὰν τοῦ πατρικοῦ φωτὸς ἑρμηνεύουσιν. Ἄλλο γάρ τι τὸ ἀληθινὸν καὶ ἄλλο τὸ ἀπρόσιτον οἴεται. Εἶτα τίς οὕτως ἠλίθιος, ὡς μὴ συνιδεῖν τὴν τῶν σημαινομένων ταυτότητα; Τὸ γὰρ ἀληθινόν τε καὶ τὸ ἀπρόσιτον ἐπίσης τοῖς κατὰ τὸ ἐναντίον νοουμένοις ἐστὶν ἀπροσπέλαστον. Ὡς γὰρ τὸ ἀληθὲς τὴν τοῦ ψεύδους οὐ προσδέχεται μίξιν, οὕτως καὶ τὸ ἀπρόσιτον τὸν τοῦ ἐναντίου προσεγγισμὸν οὐ προσίεται. Κακῷ γὰρ πάντως ἀπρόσιτόν ἐστι τὸ ἀπρόσιτον. Τὸ δὲ τοῦ Υἱοῦ φῶς κακὸν οὐκ ἔστιν· πῶς γὰρ ἂν ἐν κακίᾳ τις τὸ **[896]** ἀληθινὸν βλέποι; Ἐπεὶ οὖν οὐ κακὸν ἡ ἀλήθεια, οὐκ ἄν τις καὶ τῇ ἀληθείᾳ τὸ ἐν τῷ Πατρὶ φῶς ἀπρόσιτον εἶναι λέγοι. Εἰ γὰρ ἀποσείοιτο τὴν ἀλήθειαν, τῷ ψεύδει πάντως συνενεχθήσεται. Τοιαύτη γὰρ τῶν ἀντικειμένων ἡ φύσις, ὡς ἐν τῇ ἀπουσίᾳ τοῦ κρείττονος τὸ ἐξ ἀντιθέτου νοούμενον ἀναφαίνεσθαι. Εἰ μὲν οὖν τις λέγοι

1. Πρβλ. Α' Τιμ. 6,16. 2. Πρβλ. Ἰω. 1,9. Α' Ἰω. 2,8. 3. Πρβλ. Α' Τιμ. 6,16.

πόρρω τῆς ἐναντίας παραθέσεως τὸ ἐν τῷ Πατρὶ φῶς θεωρεῖσθαι, ἐστοχασμένως τοῦ ἀποστολικοῦ βουλήματος ἑρμηνεύσει τοῦ ἀπροσίτου τὴν λέξιν. Εἰ δὲ τὴν πρὸς τὸ ἀγαθὸν ἀλλοτρίωσιν σημαίνειν τὸ ἀπρόσιτον λέγοι, οὐδὲν ἕτερον ἢ αὐτὸν ἑαυτῷ ἐχθρόν τε καὶ ἀλλότριον ὑποθήσεται, ἀγαθὸν ὄντα καὶ ἀγαθῷ ἀντικείμενον. Ἀλλὰ μὴν τοῦτο τῶν ἀμηχάνων ἐστί· τὸ γὰρ ἀγαθὸν οἰκείως ἔχει τῷ ἀγαθῷ. Οὐκ ἄρα τὸ φῶς τοῦτο πρὸς ἐκεῖνο παρήλλακται· ὅ τε **299** γὰρ Υἱὸς φῶς ἀληθινὸν ὅ τε Πατὴρ φῶς ἐστιν ἀπρόσιτον. Εἴποιμι δ' ἂν καταθαρσήσας ὅτι καὶ ὁ ὑπαλλάσσων ἐφ' ἑκατέρου τὰς τοιαύτας προσηγορίας οὐχ ἁμαρτήσεται. Τό τε γὰρ ἀληθινὸν ἀπρόσιτόν ἐστι τῷ ψεύδει, [καὶ] τὸ ἀπρόσιτόν τε πάλιν ἐν ἀκραιφνεῖ τῇ ἀληθείᾳ καταλαμβάνεται. Οὐκοῦν ταὐτὸν τῷ ἀληθινῷ τὸ ἀπρόσιτον, ὅτι κατὰ τὸ ἴσον ἐστὶ τὸ ἐν ἑκατέρῳ σημαινόμενον τῷ κακῷ ἀπροσπέλαστον. Τίνα οὖν ἐν τούτοις ἐπινοεῖ τὴν παραλλαγὴν ὁ διὰ τῆς τῶν φώτων ὁμωνυμίας ἑαυτόν τε καὶ τοὺς καθ' ἑαυτὸν φενακίζων; Ἀλλὰ μηδὲ τοῦτο παραδράμωμεν ἀνεξέταστον, ὅτι παραποιήσας τὴν τοῦ Ἀποστόλου ῥῆσιν κατὰ τὸ ἑαυτῷ δοκοῦν ὡς παρ' ἐκείνου τὸν λόγον ἐκτίθεται. Φησὶ γὰρ ὁ Παῦλος ὅτι «φῶς οἰκῶν ἀπρόσιτον»[1]. Διαφέρει δὲ πολὺ τὸ αὐτόν τε εἶναι καὶ τὸ ἔν τινι λέγειν εἶναι. Ὁ γὰρ εἰπὼν ὅτι φῶς οἰκῶν ἀπρόσιτον[α], τῇ τῆς οἰκήσεως φωνῇ οὐκ αὐτόν, ἀλλὰ τὸ περὶ αὐτὸν ἐνεδείξατο, ὅπερ ἴσον ἐστὶ κατὰ τὸν ἡμέτερον λόγον τῷ εὐαγγελικῷ ῥήματι τῷ λέγοντι ἐν τῷ Υἱῷ τὸν Πατέρα εἶναι. Φῶς γὰρ ἀληθινὸν ὁ Υἱός, ἀπρόσιτος δὲ τῷ ψεύδει ἐστὶν ἡ ἀλήθεια· φῶς ἀπρόσιτον ἄρα ὁ Υἱός, ἐν ᾧ οἰκεῖ ὁ Πατὴρ [ἤτοι ἐν ᾧ ἐστιν ὁ Πατήρ].

Ἀλλ' ἐναγωνίζεται τοῖς ματαίοις καί φησιν ἐξ αὐτῶν τῶν πραγμάτων καὶ τῶν πεπιστευμένων λογίων παρέχομαι τῶν λεγομένων τὴν πίστιν. Ἡ μὲν οὖν ὑπόσχεσις αὕτη· εἰ δὲ κατ' ἀξίαν τῶν ἐπηγγελμένων προάγει τὸν λόγον, ὁ συνετὸς πάντως ἀκροατὴς ἐπισκοπήσει. Ὁ μακάριος, φησίν, Ἰωάννης ἐν ἀρχῇ εἶναι τὸν Λόγον φήσας καὶ τοῦτον ζωὴν προσειπών, εἶτα τὴν ζωὴν φῶς ὀνομάσας, μικρὸν **300** ὑποβὰς καὶ ὁ λόγος σὰρξ ἐγένετο, φησίν. Εἰ τοίνυν τὸ μὲν φῶς ἐστιν ἡ ζωή, ἡ δὲ ζωὴ ὁ Λόγος, ὁ δὲ Λόγος σὰρξ ἐγένετο, αὐτόθεν γίνεται φανερὸν ὅτι τὸ φῶς ἐν σαρκὶ γέγονε. Τί οὖν; ἐπειδὴ τὸ φῶς καὶ ἡ ζωὴ καὶ ὁ Θεὸς καὶ ὁ Λόγος ἐν σαρκὶ ἐφανερώθη, διὰ τοῦτο παρήλλακται πρὸς τὸ ἐν

1. Α' Τιμ. 6,16.

α. Πρβλ. Κλήμεντος Ἀλεξανδρέως, Ἐκ τῶν τοῦ Θεοδότου Ἐπιτομαί, ΒΕΠ 8,321,8. PG 9,664A. Ἱππολύτου, Λόγος εἰς τὰ ἅγια Θεοφάνεια, ΒΕΠ 6,266,23. PG 10,853C. Εὐσεβίου Καισαρείας , Τῆς Ἐκκλησιαστικῆς Θεολογίας Α,20, ΒΕΠ 29,79,26. PG 24,868A. Μ. Βασιλείου, Περὶ τοῦ Ἁγίου Πνεύματος, ΒΕΠ 52,249,25.

τῷ Πατρὶ φῶς τὸ ἀληθινὸν φῶς; Καὶ μὴν μαρτυρεῖται παρὰ τοῦ Εὐαγγελίου, ὅτι καὶ ἐν τῷ σκότει γενόμενον ἀπρόσιτον ἔμεινε τῇ ἐναντίᾳ φύσει. Τὸ γὰρ φῶς ἐν τῇ σκοτίᾳ, φησίν, ἔλαμψε, καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβεν[1]. Εἰ μὲν οὖν ἠλλοιώθη πρὸς τὸ ἐναντίον καὶ ἐδυναστεύθη τῷ ζόφῳ τὸ φῶς ἐν τῇ σκοτίᾳ γενόμενον, ἰσχυρὸν ἂν ἦν πρὸς ἀπόδει[897]ξιν τοῖς βουλομένοις ἐπιδεικνύειν, ὅσον πρὸς τὸ χεῖρον παρήλλακται τοῦτο τὸ φῶς πρὸς τὸ ἐν τῷ Πατρὶ θεωρούμενον· εἰ δὲ καὶ ὁ Λόγος, κἂν ἐν σαρκὶ γένηται, Λόγος μένει, καὶ τὸ φῶς, κἂν ἐν τῇ σκοτίᾳ λάμψῃ, φῶς οὐδὲν ἧττόν ἐστι, τοῦ ἐναντίου τὴν κοινωνίαν οὐ προσδεχόμενον, καὶ ἡ ζωή, κἂν ἐν τῷ θανάτῳ γένηται, ἐν ἑαυτῇ φυλάσσεται, καὶ ὁ Θεός, κἂν τὴν τοῦ δούλου μορφὴν ὑπέλθῃ, οὐκ αὐτὸς γίνεται δοῦλος, ἀλλ' εἰς κυριότητα καὶ βασιλείαν ἐξαιρεῖται τὸ ὑποχείριον, Κύριον καὶ Χριστὸν ποιῶν τὸ ταπεινὸν καὶ ἀνθρώπινον, πῶς διὰ τούτου πρὸς τὸ χεῖρον τὴν παραλλαγὴν τοῦ φωτὸς ἐπιδείκνυσιν, ἴσως ἑκατέρου τὸ ἄτρεπτον εἰς κακίαν καὶ τὸ ἀναλλοίωτον ἔχοντος, οὐδὲ τούτῳ προσέχων, ὅτι ὁ πρὸς τὸν σαρκωθέντα Λόγον ἰδών, ὃς ἦν καὶ φῶς καὶ ζωὴ καὶ Θεός, ἐπέγνω διὰ τῆς ὀφθείσης δόξης τὸν Πατέρα τῆς δόξης[α] εἰπὼν «ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς Μονογενοῦς παρὰ Πατρός»[2].

301 Ἀλλ' ἦλθεν ἐπὶ τὸν ἀνανταγώνιστον λόγον τὸν πάλαι μὲν ἡμῖν ἐκ τῆς ἀκολουθίας τῶν λεγομένων πεφωραμένον, νῦν δὲ γυμνῇ τῇ φωνῇ προφερόμενον. Βούλεται γὰρ ἐμπαθῆ τινα καὶ ἐπίκηρον καὶ οὐδὲν τῆς ὑλικῆς καὶ ῥοώδους φύσεως διαφέρουσαν ἐπιδεῖξαι τοῦ Υἱοῦ τὴν οὐσίαν, ὡς ἂν διὰ τούτου τὴν πρὸς τὸν Πατέρα διαφορὰν ἀποδείξειεν. Φησὶ γὰρ εἰ μὲν ἔχει δεικνύναι καὶ τὸν ἐπὶ πάντων Θεόν, ὅσπερ ἐστὶν ἀπρόσιτον φῶς, ἐν σαρκὶ γενόμενον ἢ γενέσθαι δυνάμενον ὑπ' ἐξουσίαν ἐλθεῖν, προστάγμασιν ὑπακοῦσαι, νόμοις ἀνθρωπίνοις πολιτεύεσθαι, σταυρὸν ἐνεγκεῖν, ἴσον λεγέτω τῷ φωτὶ τὸ φῶς. Εἰ ταῦτα παρ' ἡμῶν προεφέρετο διὰ τῶν προκατεσκευασμένων κατὰ τὸ ἀκόλουθον ἐξευρισκόντων, μὴ συμμαρτυρούμενα ταῖς ἐκείνου φωναῖς. Τίς οὐκ ἂν ἡμᾶς συκοφαντεῖν ᾐτιάσατο, ὡς περινοίᾳ τινὶ λόγων πρὸς τὴν ἀτοπίαν ταύτην τὸ δόγμα τῶν ὑπεναντίων ἐκβάλλοντας; Νυνὶ δὲ συνηγορία τίς ἐστι τοῦ πεφροντισμένως ἡμᾶς μετὰ τῆς ἀληθείας εὐθύνειν τὸν τῆς αἱρέσεως λόγον τὸ μηδὲ παρ' αὐτῶν ἐκείνων τὴν κατὰ τὸ ἀκόλουθον ἀναφαινομένην ἀτοπίαν σιωπηθῆναι. Ἰδοὺ γὰρ πῶς ἀπαρακάλυπτός ἐστι καὶ πεπαρρησιασμένη ἡ κατὰ τοῦ μονογενοῦς Θεοῦ μάχη, καὶ τὸ κατὰ φιλανθρωπίαν

---

1. Πρβλ. Ἰω. 1,5. 2. Ἰω. 1,14.

α. Πρβλ. Γρηγορίου Νύσσης, Εἰς τὸν βίον τοῦ Μωυσέως, W. Jaeger VI, I, 86,11 ἑξ. PG 44,376D.

ἔργον διαβολὴ καὶ κατηγορία τῆς τοῦ Υἱοῦ τοῦ Θεοῦ φύσεως παρὰ τῶν ἐχθρῶν ἐνομίσθη, ὡς οὐχὶ προνοητικῶς, ἀλλὰ φυσικῶς αὐτοῦ πρὸς τὸν ἐν σαρκὶ βίον καὶ τὸ τοῦ σταυροῦ πάθος κατολισθήσαντος. Καὶ ὥσπερ φύσις ἐστὶ τῷ λίθῳ ἡ ἐπὶ τὸ κάτω φορὰ καὶ τῷ πυρὶ τὸ ἔμπαλιν, καὶ οὐκ ἀντιμεταλαμβάνουσι τὰς ἀλλήλων ἰδιότητας αἱ ὗλαι, ὥστε ἀνωφερῆ μὲν εἶναι τὸν λίθον, βρίθειν δὲ τὸ πῦρ ἐπὶ τὸ κάτω φερόμενον, οὕτως κατασκευάζουσι τῇ μὲν τοῦ Υἱοῦ **302** φύσει συνουσιῶσθαι τὰ πάθη καὶ διὰ τοῦτο πρὸς τὸ συγγενὲς ἑαυτῇ καὶ οἰκεῖον ἐλθεῖν, τὴν δὲ τοῦ Πατρὸς ἐλευθέραν οὖσαν τῶν τοιούτων παθῶν ἀπρόσιτον μεῖναι τῇ τῶν κακῶν προσβολῇ. Φησὶ γὰρ τὸν ἐπὶ πάντων Θεόν, ὅσπερ ἐστὶν ἀπρόσιτον φῶς, μήτε γενόμενον ἐν σαρκὶ μήτε γενέσθαι δυνάμενον. Ἤρκει τὸ πρότερον τῶν εἰ**[900]**ρημένων εἰπεῖν, ὅτι ὁ Πατὴρ οὐκ ἐν σαρκὶ ἐγένετο· νυνὶ δὲ διπλῆ τίς ἐστι διὰ τῆς προσθήκης ἡ τοῦ ἀτόπου κατασκευή. Ἢ γὰρ τοῦ Υἱοῦ κατηγορεῖ κακίαν ἢ τοῦ Πατρὸς ἀδυναμίαν. Εἰ μὲν γὰρ κακὸν ἡ τῆς σαρκὸς κοινωνία, τῷ μονογενεῖ Θεῷ προσμαρτυρεῖ τὴν κακίαν· εἰ δὲ ἀγαθὸν ἡ φιλανθρωπία, ἀδύνατον εἰς τὸ ἀγαθὸν ἀποδείκνυσι τὸν Πατέρα, λέγων μὴ ἂν αὐτὸν δυνηθῆναι τὴν τοιαύτην χάριν διὰ σαρκὸς ἐνεργῆσαι. Καίτοι τίς οὐκ οἶδε τῶν πάντων, ὅτι ἡ ζωοποιὸς δύναμις ὁμοίως ἐκ Πατρός τε καὶ Υἱοῦ πρόεισιν εἰς ἐνέργειαν; «Ὥσπερ γάρ», φησίν, «ὁ Πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποεῖ, οὕτως καὶ ὁ υἱὸς οὓς θέλει ζωοποιεῖ»[1], ἡμᾶς δηλαδὴ νεκροὺς λέγων τοὺς τῆς ἀληθινῆς ἀποπεσόντας ζωῆς. Εἰ οὖν ὥσπερ ὁ Πατὴρ ζωοποιεῖ, οὕτω καὶ οὐκ ἄλλως ὁ Υἱὸς τὴν αὐτὴν ἐνεργεῖ χάριν, πῶς ὁ θεομάχος κατ' ἀμφοτέρων κινεῖ τὴν βλάσφημον γλῶσσαν, τὸν μὲν Πατέρα τῇ πρὸς τὸ ἀγαθὸν ἀδυναμίᾳ, τὸν δὲ Υἱὸν τῇ πρὸς τὸ κακὸν οἰκειότητι καθυβρίζων;

Ἀλλ' οὐκ ἔστι, φησί, τῷ φωτὶ τὸ φῶς ἴσον, διότι τὸ μὲν ἀληθινόν, τὸ δὲ ἀπρόσιτον λέγεται. Τὸ οὖν ἀληθινὸν ἐν ἐλαττώσει κρίνεται; διὰ τί; καὶ μὴν ἐκείνων ἐστὶ λόγος, ὅτι διὰ τοῦτο μείζων καὶ ὑψηλοτέρα τοῦ Πατρὸς ἡ θεότης παρὰ τὴν τοῦ Υἱοῦ νοεῖται, διότι ὁ μὲν ἀληθινὸς Θεὸς ἐν **303** τῷ Εὐαγγελίῳ προσείρηται[2], ὁ δὲ χωρὶς τῆς τοῦ ἀληθινοῦ προσθήκης. Πῶς οὖν ὁ αὐτὸς λόγος ἐπὶ μὲν τῆς θεότητος αὔξησιν, ἐπὶ δὲ τοῦ φωτὸς ἐλάττωσιν τοῦ νοουμένου σημαίνει; Εἰ γὰρ διὰ τοῦτο μείζονα τοῦ Υἱοῦ τὸν Πατέρα φησίν, ὅτι ἀληθινὸς Θεός ἐστι, κατὰ τὸν αὐτὸν λόγον μείζων ἂν ὁμολογηθείη τοῦ Πατρὸς ὁ Υἱός, ὅτι ὁ μὲν ἀληθινὸν φῶς, ὁ δὲ οὐχ οὕτως κατονομάζεται. Ἀ λ λ ὰ τ ο ῦ τ ο μ έ ν, φησί, τ ὸ φ ῶ ς τ ὰ τ ῆ ς φ ι λ α ν θ ρ ω π ί α ς ἐ ν ή ρ γ η σ ε ν, ἐ κ ε ῖ ν ο δ ὲ π ρ ὸ ς τ ὴ ν τ ο ι α ύ τ η ν χ ά ρ ι ν ἀ ν ε ν έ ρ γ η τ ο ν ἔ μ ε ι ν ε. Καινὸς προτιμήσεως τρόπος· τὸ ἄπρακτον εἰς φιλανθρωπίαν τοῦ ἐνεργήσαντος ὑπέρτερον κρίνουσιν. Ἀλλ' οὔτε ἔστιν οὔτε γενήσεται τοιοῦτον ἐν

1. Ἰω. 5,21. 2. Πρβλ. Ἰω. 17,3.

Χριστιανοῖς ποτε νόημα, δι' οὗ κατασκευάζεται μὴ πᾶν ἀγαθόν, ὅ,τι περ ἐν τοῖς οὖσίν ἐστιν, ἐκ τοῦ Πατρὸς τὴν αἰτίαν ἔχειν. Τῶν δὲ καθ' ἡμᾶς ἀγαθῶν τὸ κεφάλαιον ἡ πρὸς τὴν ζωὴν ἐπάνοδος παρὰ τοῖς εὖ φρονοῦσι πεπίστευται· αὕτη δὲ διὰ τῆς κατὰ τὸν ἄνθρωπον οἰκονομίας τοῦ Κυρίου κατώρθωται, οὐκ ἀπράκτου καὶ ἀνενεργήτου, καθὼς ἡ αἵρεσις βούλεται, τοῦ Πατρὸς ἐν τῷ καιρῷ τῆς οἰκονομίας ἀπιδιάσαντος. Οὐ γὰρ τοῦτο ἐνδείκνυται ὁ εἰπὼν ὅτι «ὁ πέμψας με μετ' ἐμοῦ ἐστι»[1], καὶ «ὁ πατὴρ ἐν ἐμοὶ μένων ποιεῖ τὰ ἔργα ταῦτα»[2]. Πῶς οὖν ἡ αἵρεσις μόνῳ τῷ Υἱῷ τὴν ὑπὲρ ἡμῶν χάριν προσμαρτυροῦσα ἀπόμοιρον ποιεῖ τὸν Πατέρα τῆς ἐπὶ τοῖς κατορθωθεῖσιν εὐχαριστίας; Μόνοις γὰρ κατὰ φύσιν ὀφείλεται τοῖς εὐεργέταις ἡ τῆς εὐχαριστίας ἀντίδοσις, ὁ δὲ πρὸς εὐεργεσίαν ἀδύνατος ἔξω τοῦ εὐχαριστεῖσθαι πάντως ἐστίν. Ὁρᾷς ὡς διὰ πάντων αὐτοῖς **304** πρὸς τοὐναντίον ὁ σκοπὸς περιτρέπεται τῆς κατὰ τοῦ Μονογενοῦς βλασφημίας, κατὰ τὸ ἀκόλουθον ἐπὶ τὸν Πατέρα μεταβαινούσης. Καί μοι δοκεῖ κατ' ἀνάγκην τὸ τοιοῦτον συμβαίνειν. Εἰ γὰρ ὁ τιμῶν τὸν Υἱὸν τιμᾷ τὸν Πατέρα[3], κατὰ τὴν θείαν ἀπόφασιν, δῆλον ὅτι καὶ ἡ πρὸς τὸ ἐναντίον κατὰ τοῦ Υἱοῦ σπουδὴ ἐπὶ τὸν Πατέρα **[901]** τὴν ἀναφορὰν ἔχει. Ἐγὼ δέ φημι δεῖν τοῖς ἁπλούστερον δεχομένοις τὸ περὶ τὸν σταυρὸν καὶ τὴν ἀνάστασιν κήρυγμα ἴσης εὐχαριστίας πρός τε τὸν Υἱὸν καὶ τὸν Πατέρα τὴν αὐτὴν χάριν ὑπόθεσιν γίνεσθαι, καὶ τὸ πατρικὸν θέλημα τοῦ Υἱοῦ τελειώσαντος (τοῦτο δέ ἐστι τὸ πάντας ἀνθρώπους σωθῆναι[4], καθώς φησιν ὁ Ἀπόστολος) ὁμοίως ἐπὶ τῇ χάριτι ταύτῃ τιμᾶν τὸν Πατέρα τε καὶ τὸν Υἱόν, ὡς οὐκ ἂν γενομένης ἡμῖν τῆς σωτηρίας, εἰ μὴ τὸ ἀγαθὸν θέλημα τοῦ Πατρὸς διὰ τῆς ἰδίας δυνάμεως αὐτοῦ προῆλθεν ἡμῖν εἰς ἐνέργειαν. Δύναμιν δὲ τοῦ Πατρὸς τὸν Υἱὸν[α] εἶναι[5] παρὰ τῶν Γραφῶν μεμαθήκαμεν.

Πάλιν δὲ τὰ εἰρημένα κατανοήσωμεν. *Εἰ μὲν ἔχει δεικνύναι*, φησί, *τὸν ἐπὶ πάντων Θεόν, ὅσπερ ἐστὶν ἀπρόσιτον φῶς, ἐν σαρκὶ γενόμενον ἢ γενέσθαι δυνάμενον, ἴσον λεγέτω τῷ φωτὶ τὸ φῶς.* Πρόδηλος γὰρ ὁ τῶν εἰρημένων σκοπὸς δι' αὐτῆς τῆς τῶν ῥημάτων κατασκευῆς, ὅτι οὐκ οἴεται τῇ παντοδυνάμῳ θεότητι τὸν Υἱὸν καὶ πρὸς τὸ τοιοῦτον εἶδος τῆς φιλανθρωπίας ἰσχῦσαι, ἀλλὰ τῷ φύσεως ἐμπαθοῦς εἶναι τὸ κατὰ τὸν σταυρὸν δέξασθαι πάθος. Ἀλλά μοι σκοπουμένῳ καὶ ἀναζητοῦντι, πόθεν ταῖς τοιαύταις τῶν ὑπολήψεων περὶ τὸ Θεῖον συνέπεσεν, ὡς τὸ μὲν ἀγέννητον φῶς ἀπρόσιτον **305** εἶναι

---

1. Ἰω. 8,29. 2. Ἰω. 14,10. 3. Πρβλ. Ἰω. 5,23. 4. Πρβλ. Α' Τιμ. 2,4. 5. Πρβλ. Α' Κορ. 1,24.

α. Πρβλ. Ἰουστίνου, Διάλογος πρὸς Τρύφωνα Ἰουδαῖον ΒΕΠ 3,265,23 ἑξ. 306,24. PG 6,613C. 721A. Μ. Ἀθανασίου, Ἐπιστολή, ὅτι ἡ ἐν Νικαίᾳ Σύνοδος ..., ΒΕΠ 31,158,3. PG 25,444C. Ἐπιφανίου Κύπρου, Κατὰ αἱρέσεων, PG 42,388A.

τῷ ἐναντίῳ καὶ καθαρῶς ἀπαθὲς καὶ ἀκήρατον οἴεσθαι, τὸ δὲ γεννητὸν ἐπαμφοτερίζειν κατὰ τὴν φύσιν, ὡς οὐκ ἀκραιφνές τε καὶ καθαρὸν ἐν ἀπαθείᾳ φυλάσσειν τὸ Θεῖον, ἀλλά τινα συμμιγῆ τε καὶ σύγκρατον ἐκ τῶν ἐναντίων τὴν οὐσίαν ἔχει, τὴν καὶ τῆς τοῦ ἀγαθοῦ μετουσίας ὀρεγομένην καὶ πρὸς ἐμπαθῆ διάθεσιν μεταρρέουσαν, ἐπειδὴ παρὰ τῆς Γραφῆς οὐκ ἦν τῆς τοιαύτης ἀτοπίας τὰς ὑποθέσεις εὑρεῖν, ἐπῆλθέ μοι λογίσασθαι, μή ποτε ἄρα τὰς τῶν Αἰγυπτίων περὶ τὸ Θεῖον μυθολογίας θαυμάσας τὰς ἐκείνων δόξας τοῖς περὶ τοῦ Μονογενοῦς ἐγκαταμίγνυσι λόγοις. Φασὶ γὰρ ἐκείνους τὴν ἀλλόκοτον εἰδωλοποιΐαν, ὅταν ἀνθρωπίνοις μέλεσιν ἀλόγων τινῶν μορφὰς ἐφαρμόζωσιν, αἴνιγμα λέγειν εἶναι τῆς συμμίκτου φύσεως, ἣν προσαγορεύουσι δαίμονα, ταύτην δὲ λεπτοτέραν μὲν τῶν ἀνθρώπων εἶναι καὶ πολὺ τῇ δυνάμει τὴν ἡμετέραν ὑπερφέρουσαν φύσιν, τὸ δὲ Θεῖον οὐκ ἀμιγὲς οὐδὲ ἄκρατον ἔχειν, ἀλλὰ καὶ ψυχῆς φύσει καὶ σώματος αἰσθήσει συγκεκραμένον, ἡδονήν τε καὶ πόνον ἀναδεχόμενον, ὧν οὐδὲν περὶ τὸν ἀγέννητον εἶναι Θεόν. Καὶ γὰρ κἀκεῖνοι λέγουσι τοῦτο τὸ ὄνομα, τῷ ὑπερέχοντι κατὰ τὰς ὑπολήψεις αὐτῶν Θεῷ τὴν ἀ γ ε ν ν η σ ί α ν ἐπιφημίζοντες. Ἔοικεν οὖν ἡμῖν ὁ σοφὸς θεολόγος οὗτος ἐκ τῶν Αἰγυπτίων ἀδύτων[α] Ἄνουβιν ἢ Ἶσιν ἢ Ὄσιριν τῷ κηρύγματι τῶν Χριστιανῶν ἐπεισάγειν πλὴν τῆς τῶν ὀνομάτων ὁμολογίας· διαφέρει δὲ πάντως οὐδὲν εἰς ἀσέβειαν ὅ τε ὁμολογῶν τὰ τῶν εἰδώλων ὀνόματα καὶ ὁ τὰς περὶ τούτων δόξας ἐν ἑαυτῷ κρατύνας, τῶν δὲ ὀνομάτων φειδόμενος. Εἰ τοίνυν ἐκ μὲν τῆς θείας Γραφῆς συνηγορίαν τινὰ τῆς ἀσεβείας ταύτης εὑρεῖν οὐκ ἔστιν, ἐκ δὲ τῶν ἱερογλυφικῶν αἰνιγμάτων ὁ λό**[904]**γος αὐτοῖς τὴν ἰσχὺν ἔχει, πάντως οὐκ ἄδηλον τί προσήκει τοὺς εὖ φρονοῦντας **306** περὶ τούτων λογίσασθαι. Ὅτι δ' οὐκ ἐπηρεαστικῶς ταύτην τὴν διαβολὴν ἐπιφέρομεν, αὐτὸς ἂν γένοιτο ἡμῖν μάρτυς διὰ τῶν ἰδίων λόγων Εὐνόμιος, ὁ τὸν ἀγέννητον μὲν ἀπρόσιτον φῶς λέγων καὶ εἰς πεῖραν παθημάτων ἐλθεῖν μὴ δυνάμενον, ἐπὶ δὲ τοῦ γεννητοῦ κατάλληλόν τε καὶ συγγενῆ τὴν τοιαύτην διάθεσιν εἶναι διοριζόμενος· ὡς μηδὲ χάριν τῷ μονογενεῖ Θεῷ τὸν ἄνθρωπον ὧν ἕνεκεν ἔπαθεν ἔχειν, εἴπερ αὐτομάτως κατὰ τὸν λόγον αὐτῶν πρὸς τὴν τῶν παθημάτων πεῖραν κατώλισθεν, τῆς ἐμπαθοῦς οὐσίας φυσικῶς πρὸς τοῦτο κατασυρείσης, ὅπερ οὐδεμιᾶς ἄξιον εὐχαριστίας ἐστί. Τίς γὰρ ἂν ἐν χάριτος δέξαιτο μέρει τὸ κατ' ἀνάγκην συμβαῖνον, κἂν ἐπικερδὲς καὶ ὠφέλιμον ᾖ; Οὔτε γὰρ τῷ πυρὶ τῆς θερμότητος οὔτε τῷ ὕδατι τῆς ῥοῆς χάριν γινώσκομεν, εἰς τὴν ἀνάγκην τῆς φύσεως ἀνάγοντες τὸ γινόμενον, διὰ τὸ μὴ δύνασθαι τὸ πῦρ τῆς θερμαντικῆς ἐνεργείας ἀπολειφθῆναι ἢ στάσιμον ἐπὶ πρανοῦς μεῖναι τὸ ὕδωρ, αὐτομάτως τῆς τοπικῆς ἐπικλίσεως ἐφελκομένης

α. Πρβλ. Κλήμεντος Ἀλεξανδρέως, Στρωματεῖς Α, XV, ΒΕΠ 7,261,39. PG 8,768A.

ἐπὶ τὸ πρόσω τὴν κίνησιν. Εἰ οὖν φύσεως ἀνάγκῃ τὴν διὰ σαρκὸς εὐεργεσίαν παρὰ τοῦ Υἱοῦ γεγενῆσθαι τοῖς ἀνθρώποις λέγουσιν, οὐδεμίαν πάντως χάριν γινώσκουσιν, ὅτι οὐκ εἰς δύναμιν ἐξουσιαστικήν, ἀλλ᾿ εἰς φυσικὴν ἀνάγκην τὸ γεγονὸς ἀναφέρουσιν. Εἰ δὲ τῆς δωρεᾶς αἰσθανόμενοι τὴν εὐεργεσίαν ἀτιμάζουσι, δέδοικα μὴ πρὸς τοὐναντίον περιτραπῇ πάλιν αὐτοῖς ἡ ἀσέβεια καὶ προτιμοτέραν ποιήσωνται τὴν ἐμπαθῆ τοῦ Υἱοῦ διάθεσιν τῆς πατρικῆς ἀπαθείας, ἐν τῷ καθ᾿ ἑαυτοὺς ἀγαθῷ τὴν τοῦ καλοῦ κρίσιν ποιούμενοι. Εἰ γὰρ καὶ τὸν Υἱόν, καθὼς περὶ τοῦ Πατρὸς δογματίζουσιν, ἀπαράδεκτον εἶναι συνέβη τοῦ πάθους, ἀδιόρθωτος ἔμεινεν **307** ἂν ἡ τῆς φύσεως ἡμῶν συμφορά, οὐκ ὄντος τοῦ διὰ τῆς οἰκείας πείρας εἰς ἀφθαρσίαν ἐξαιρουμένου τὸν ἄνθρωπον, καὶ οὕτω λανθάνει τῶν σοφιστῶν ἡ δεινότης, δι᾿ ὧν καθαιρεῖν ἐπιχειρεῖ τοῦ μονογενοῦς Θεοῦ τὸ μεγαλεῖον, εἰς μείζονάς τε καὶ προτιμοτέρας ὑπολήψεις αὐτὸν περιάγουσα, ἐπείπερ ὁ δυνάμενος δρᾶσαι τοῦ ἀδυνατοῦντος πρὸς τὸ ἀγαθὸν προτιμότερος.

Ἀλλ᾿ αἰσθάνομαι ὑπατακτοῦντος τοῦ λόγου· οὐ γὰρ ἐπιμένει τῷ καθήκοντι δρόμῳ, κατὰ τοὺς θερμούς τε καὶ θυμώδεις τῶν πώλων ταῖς τῶν ἀνταγωνιστῶν βλασφημίαις συνεκφερόμενος πρὸς τὰ τῆς ὑποθέσεως ἄτοπα. Οὐκοῦν καθεκτέον αὐτὸν πέρα τοῦ μέτρου πρὸς κατασκευὴν τῶν ἀτόπων ἀφηνιάζοντα. Συγγνώσεται δὲ πάντως ὁ εὐγνώμων ἀκροατὴς ἐπὶ τοῖς εἰρημένοις, οὐχ ἡμῖν τὴν ἀνακύπτουσαν ἐκ τῆς ἐξετάσεως ἀτοπίαν, ἀλλὰ τοῖς τὰς πονηρὰς ὑποτιθεμένοις ἀρχὰς λογιζόμενος. Ἡμῖν δὲ πρὸς ἕτερόν τι τῶν εἰρημένων μετακτέον τὴν θεωρίαν. Φησὶ γὰρ ὅτι καὶ σύνθετον ἡμῖν τὸν Θεὸν ἀπεργάζεται τῷ κοινὸν μὲν ὑποθέσθαι τὸ φῶς, ἰδιότησι δέ τισι καὶ ποικίλαις διαφοραῖς θατέρου χωρίζειν θάτερον. Σύνθετον γὰρ οὐδὲν ἧττον τὸ κοινότητι μιᾷ συνενηνεγμένον, διαφοραῖς δέ **[905]** τισι καὶ συνδρομαῖς ἰδιωμάτων χωριζόμενον. Πρὸς ταῦτα δὲ βραχὺς ἡμῖν ὁ λόγος καὶ εὐαπάλλακτος. Ὃ γὰρ τοῖς ἡμετέροις ἐπεγκαλεῖ δόγμασιν, εἰ μὴ διὰ τῶν ἰδίων κατασκευάζει λόγων, καθ᾿ ἡμῶν αὐτῶν ὁμολογοῦμεν τὸ ἔγκλημα. Σκεψώμεθα γὰρ τὰ παρ᾿ αὐτοῦ γεγραμμένα. Φῶς ἀληθινὸν ὀνομάζει τὸν Κύριον, ἀπρόσιτον δὲ φῶς τὸν Πατέρα. Οὐκοῦν τὴν κατὰ τὸ φῶς κοινωνίαν καὶ αὐτὸς ὡμολόγησεν, οὕτως ὀνομάσας ἑκάτερον. Τῶν δὲ προσηγοριῶν προσφυῶς **308** τοῖς πράγμασιν ἐφηρμοσμένων, καθὼς πολλαχῇ διωρίσατο, οὐ ψιλὴν νοοῦμεν τοῦ φωτὸς τὴν φωνὴν δίχα τινὸς διανοίας ἐπὶ τῆς θείας φύσεως λέγεσθαι, ἀλλά τινος ὑποκειμένου κατηγορεῖσθαι. Οὐκοῦν τῇ κατὰ τὸ ὄνομα κοινωνίᾳ καὶ τὴν τῶν σημαινομένων ὁμολογοῦσι ταυτότητα, ἐπείπερ ὧν τὰ ὀνόματα τὰ αὐτά, τούτων ἀπεφήναντο μηδὲ τὰς φύσεις ἑτέρως ἔχειν. Ἑνὸς τοίνυν ὄντος τοῦ κατὰ τὸ φῶς σημαινομένου ἡ τοῦ ἀπροσίτου καὶ τοῦ ἀληθινοῦ προσθήκη κατὰ τὸν τῆς αἱρέσεως

λόγον τὸ κοινὸν διορίζει τοῖς ἰδιάζουσιν, ὡς ἄλλο μὲν τὸ τοῦ Πατρὸς φῶς, ἕτερον δὲ τὸ τοῦ Υἱοῦ νοηθῆναι, τοῖς ἰδιώμασιν ἀπ' ἀλλήλων διακρινόμενα. Ἢ τοίνυν ἀνατρεψάτω τὰ ἴδια, ἵνα μὴ σύνθετον δι' ὧν λέγει κατασκευάσῃ τὸ Θεῖον, ἢ μηδὲ ἡμῶν ταῦτα κατηγορείτω, ἅπερ ἐν τοῖς ἰδίοις βλέπει λόγοις. Οὐδὲν γὰρ τὴν ἁπλότητα διὰ τούτων ὁ λόγος λυμαίνεται, ἐπειδὴ κοινότης τε καὶ ἰδιότης οὐσία οὐκ ἔστιν, ὥστε τὴν συνδρομὴν τούτων σύνθετον ἀποδεικνύειν τὸ ὑποκείμενον. Ἀλλ' ἡ μὲν οὐσία καθ' ἑαυτὴν ὅ τί ποτε κατὰ τὴν φύσιν ἐστὶ διαμένει, ἐκεῖνο οὖσα ὅπερ ἐστί· ταῦτα δὲ τῶν περὶ αὐτὴν νοουμένων τε καὶ θεωρουμένων εἶναι πᾶς τις ἂν εἴποι διανοίας μετέχων, ἐπεὶ καὶ πρὸς ἡμᾶς τοὺς ἀνθρώπους ἔστι τι κοινὸν τῆς θείας φύσεως κατανοῆσαι, ἀλλ' οὐ διὰ τοῦτο ἀνθρωπότης τὸ Θεῖον ἢ θεότης ἐστὶ τὸ ἀνθρώπινον. Ἀγαθὸν γὰρ τὸν Θεὸν εἶναι[1] πιστεύοντες[α] οἴδαμεν καὶ ἐπ' ἀνθρώπου τοῦτο τὸ ὄνομα παρὰ τῆς Γραφῆς τεταγμένον. Ἀλλὰ διαιρεῖ τὴν ἐκ τῆς ὁμωνυμίας κοινότητα τὸ ἰδιάζον ἐφ' ἑκατέρου τῆς σημασίας. Ὁ μὲν γὰρ πηγὴ τῆς ἀγαθότητος[β] ὢν ἀπ' αὐτῆς ὀνομάζεται, ὁ δὲ μετέχων τῆς ἀγαθότητος συμμετέχει καὶ τοῦ ὀνόματος[γ]· καὶ οὐ διὰ τοῦτο σύνθετος ὁ Θεός, ὅτι κοινωνεῖ πρὸς τὸν ἄνθρωπον τῆς τοῦ ἀγαθοῦ προσηγορίας. **309** Οὐκοῦν φανερῶς ἐκ τούτων ὁμολογεῖται ὅτι ἄλλος ὁ τῆς κοινότητος καὶ ἄλλος ὁ τῆς οὐσίας ἐστὶ λόγος, καὶ οὐδὲν μᾶλλον διὰ τοῦτο σύνθεσίς τις καὶ πολυμέρεια περὶ τὴν ἁπλῆν τε καὶ ἄποσον κατασκευάζεται φύσιν, εἴ τι τῶν ἐπιθεωρουμένων ἢ ἐν ἰδιότητι βλέποιτο ἢ κατὰ κοινοῦ τινος τὴν σημασίαν ἔχοι.

Ἀλλ' ἐφ' ἕτερον, εἰ δοκεῖ, τῶν εἰρημένων μετέλθωμεν τὸν διὰ μέσου λῆρον χαίρειν ἐάσαντες, ᾧ φιλοπόνως τὴν Ἀριστοτελικὴν τῶν ὄντων διαίρεσιν ἐπιθρυλῶν τῷ ἡμετέρῳ λόγῳ ἐξείργασται γένη καὶ εἴδη καὶ διαφορὰς καὶ ἄτομα καὶ πᾶσαν τὴν ἐν ταῖς κατηγορίαις τεχνολογίαν ἐπὶ διαβολῇ τῶν ἡμε**[908]**τέρων δογμάτων προεχειρίσατο. Ταῦτα τοίνυν ἐάσαντες ἐπὶ τὸ βαρὺ καὶ δυσανταγώνιστον αὐτοῦ τῷ λόγῳ μετέλθωμεν. Δημοσθενικῷ γὰρ θυμῷ τὸν ἑαυτοῦ λόγον τονώσας ἄλλος τι ἡμῖν ἐξ Ὀλτισήριδος Παιανιεὺς ἀναπέφηνε, τὸ δριμὺ τοῦ ῥήτορος ἐν τῷ καθ' ἡμῶν ἀγῶνι μιμούμενος. Ἐκθήσομαι δὲ κατὰ λέξιν αὐτὰ τοῦ λογογράφου τὰ ῥήματα. *Ναί, φησίν, ἀλλ' εἰ τοῦ γεννητοῦ πρὸς τὸ ἀγέννητον ἐναντίως ἔχοντος κατ' ἴσον ὑποβαίνοι τὸ γεννητὸν φῶς πρὸς τὸ ἀγέννητον φῶς, τὸ μὲν γενήσεται φῶς, τὸ δὲ σκότος.* Τὸ μὲν οὖν ὀξὺ καὶ εὔστοχον τῆς πρὸς τὴν ἀντί-

---

1. Πρβλ. Λουκ. 18,20.

α. Πρβλ. Κλήμεντος Ἀλεξάνδρεως, Παιδαγωγὸς Α, VIII, ΒΕΠ 7,109, 11 ἑξ. PG 8,325C.

β. Πρβλ. Μ. Βασιλείου, Κατὰ Εὐνομίου, Περὶ Υἱοῦ λόγ. Β', ΒΕΠ 52, 209,40-41.

γ. Πρβλ. Μ. Ἀθανασίου, Διάλογος Α', 12, ΒΕΠ 36,54,19. PG 28,1136B.

θεσιν ἀπαντήσεως, ὅτῳ σχολή, διὰ τῶν ἐκείνου μαθέτω λόγων. Ἐγὼ δὲ τὸν τῶν ἡμετέρων ὑποκριτὴν ἀξιώσαιμ' ἂν ἢ τὰ ἡμέτερα λέγειν (ἢ ὡς ἐγγυτάτω προσάγειν τοῦ λόγου τὴν μίμησιν) ἢ καθὼς πεπαίδευται καὶ δύναται κεχρημένον τῷ λόγῳ ἐκ τοῦ ἰδίου προσώπου καὶ μὴ ἐξ ἡμῶν διαλέγεσθαι. Μήποτε γὰρ οὕτω παραχθείη τῶν ἡμετέρων μηδείς, ὥστε τοῦ γεννητοῦ πρὸς τὸ ἀγέννητον ἐναντίως κατὰ τὸ σημαινόμενον **310** ἔχοντος ὑπόβασιν τοῦ ἑτέρου τὸ ἕτερον οἴεσθαι. Πᾶν γὰρ τὸ ἀντικείμενον οὐκ ἐν ὑφέσει τὴν διαφοράν, ἀλλ' ἐν παντελεῖ τῇ κατὰ τὸ σημαινόμενον ἀλλοτριώσει τὴν ἀντιδιαστολὴν ἔχει, οἷον καθεύδειν τινὰ λέγομεν ἢ μὴ καθεύδειν, καθῆσθαι ἢ μὴ καθῆσθαι, γεγεννῆσθαι ἢ μὴ γεγεννῆσθαι, τἄλλα πάντα κατὰ τὸν αὐτὸν τύπον· ὧν ἡ τοῦ ἑνὸς ἄρσις θέσις τοῦ ἀντικειμένου γίνεται. Ὥσπερ οὖν τὸ ζῆν οὐχὶ ὕφεσίς ἐστι τοῦ μὴ ζῆν, ἀλλὰ παντελὴς ἐναντίωσις, οὕτω τὸ γεγεννῆσθαι οὐχ ὕφεσις τοῦ μὴ γεννηθέντος ἐνοήσαμεν, ἀλλ' ἀντίθεσίν τινα καὶ ἀντιδιαστολὴν ἀμεσίτευτον, ὡς τὸ ἐν ἑκατέρῳ σημαινόμενον μηδενὶ τρόπῳ κοινωνεῖν πρὸς τὸ ἕτερον μήτε ἐν ὀλίγῳ μήτε ἐν πλείονι. Ὁ τοίνυν τὸ ἐξ ἐναντίου νοούμενον ὑποβαίνειν πρὸς τὸ ἀντικείμενον λέγων ἐκ τοῦ ἰδίου προαγέτω προσώπου τὸν λόγον. Ὁ γὰρ ἡμέτερος ἰδιωτισμὸς τὰ τοῖς ἀντικειμένοις ἀναλογοῦντα κατὰ τὸ ἴσον τοῖς πρωτοτύποις καὶ πρὸς ἑαυτὰ λέγει διίστασθαι. Ὥστε εἰ καὶ τῷ φωτὶ τὴν αὐτὴν παραλλαγὴν ἣν τῷ γεννητῷ πρὸς τὸ ἀγέννητον ἐνορᾷ ὁ Εὐνόμιος, τὸν ἡμέτερον ἐπαναλήψομαι λόγον, ὅτι ὡς ἐκεῖ τὸ ἕτερον τῆς ἀντιφάσεως μέρος ἀκοινώνητον πρὸς τὸ ἀντικείμενον μένει, οὕτως εἴπερ τῷ ἑνὶ μέρει τῶν ἀντιθέτων τὸ φῶς συναρμοσθείη, τὸ λειπόμενον συζυγὲς τῷ σκότῳ πάντως ἀναδειχθήσεται, τῆς ἀντιθετικῆς ἀνάγκης ἀναλόγως τοῖς προάγουσι καὶ τὸν τοῦ φωτὸς λόγον πρὸς τὸ ἀντικείμενον διαστελλούσης. Ταῦτα ἡμεῖς οἱ δίχα λογικῆς ἐντρεχείας ἐπιχειροῦντες τῷ γράφειν, καθώς φησιν ὁ διαβάλλων ἡμᾶς, πρὸς τὸν νέον Παιανιέα διὰ τῆς ἐπιχωρίου γλώττης ὑπαγροικίζομεν. Πῶς δὲ πρὸς τὴν ἀντίθεσιν ταύτην διηγωνίσατο τοὺς θερμοὺς ἐκείνους καὶ πῦρ **311** πνέοντας λόγους κατὰ τὴν Δημοσθενικὴν εὐτονίαν καθ' ἡμῶν προβαλλόμενος, ὅσοις καθ' ἡδονήν ἐστι τὸ γελᾶν, αὐτοῖς ἐπερχέσθωσαν τοῖς γεγραμμένοις τῷ ῥήτορι. Τὸ γὰρ ἡμέτερον πρὸς μὲν ἔλεγχον τῶν τῆς ἀσεβείας δογμάτων οὐ λίαν δυσκίνητον, πρὸς δὲ τὸ κωμῳδεῖν τὴν ἀμαθίαν τῶν ἀπαιδεύτων παντελῶς ἐστιν ἀνεπιτήδειον.

⟨ΛΟΓΟΣ ΑΝΤΙΡΡΗΤΙΚΟΣ ΠΡΟΣ ΤΗΝ ΕΥΝΟΜΙΟΥ ΕΚΘΕΣΙΝ⟩

312 [465] Ἡ τῶν Χριστιανῶν πίστις ἡ εἰς πάντα τὰ ἔθνη κατὰ τὸ πρόσταγμα τοῦ Κυρίου παρὰ τῶν μαθητῶν κηρυχθεῖσα[1] οὔτε ἐξ ἀνθρώπων ἐστὶν οὔτε δι᾿ ἀνθρώπων, ἀλλὰ δι᾿ αὐτοῦ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὃς λόγος[2] ὢν καὶ ζωὴ[3] καὶ φῶς[4] καὶ ἀλήθεια[5] καὶ Θεὸς καὶ σοφία[6] καὶ πάντα, ὅσα κατὰ φύσιν ἐστί, διὰ τοῦτο μάλιστα ἐν ὁμοιώματι ἀνθρώπου γενόμενος[7] **[468]** καὶ μετασχὼν τῆς φύσεως ἡμῶν «κατὰ πάντα καθ᾿ ὁμοιότητα χωρὶς ἁμαρτίας»[8], καθ᾿ ὁμοιότητα δὲ τῷ μετὰ ψυχῆς καὶ σώματος ἀναλαβεῖν ὅλον τὸν ἄνθρωπον, ὥστε δι᾿ ἀμφοτέρων ἡμῖν γενέσθαι τὴν σωτηρίαν. Οὗτος «ἐπὶ τῆς γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις συνανεστράφη»[9], ἵνα μηκέτι οἱ ἄνθρωποι κατὰ τὰς ἑαυτῶν γνώμας περὶ τοῦ ὄντος δοξάζωσι, τὰς γινομένας αὐτοῖς ἀπὸ στοχασμῶν τινων ὑπονοίας δόγμα ποιούμενοι, ἀλλὰ πεισθέντες ὅτι ἀληθῶς Θεὸς ἐφανερώθη ἐν σαρκί, ἐκεῖνο μόνον ἀληθινὸν τῆς εὐσεβείας μυστήριον εἶναι πιστεύσωμεν[10], ὃ δι᾿ αὐτοῦ ἡμῖν τοῦ Λόγου καὶ Θεοῦ παρεδόθη τοῦ δι᾿ ἑαυτοῦ τοῖς ἀποστόλοις λαλήσαντος. Τὴν δὲ ἐκ τῆς ἀρχαιοτέρας Γραφῆς ἐκ νόμου **313** τε καὶ προφητείας καὶ τῆς παροιμιώδους σοφίας γενομένην περὶ τῆς ὑπερκειμένης φύσεως διδασκαλίαν δι᾿ ἐσόπτρου τινὸς καὶ αἰνίγματος[11] ὡς μαρτυρίαν τῆς ἀποκαλυφθείσης ἡμῖν ἀληθείας δεχόμεθα, εὐσεβῶς τὴν διάνοιαν τῶν ῥητῶν ἐκλαμβάνοντες, ὡς συμφωνεῖν τῇ παρὰ τοῦ Δεσπότου τῶν ὅλων ἐκτεθείσῃ πίστει, ἣν ἐπὶ λέξεως καθαρὰν καὶ ἀπαρεγχείρητον φυλάσσομεν ὡς παρελάβομεν, καὶ τὴν ἐν ὀλίγῳ παρατροπὴν τῶν παραδοθέντων ῥημάτων ἐσχάτην κρίνοντες βλασφημίαν τε καὶ ἀσέβειαν. Πιστεύομεν οὖν καθὼς ἐξέθετο τοῖς μαθηταῖς τὴν πίστιν ὁ Κύριος ὁ εἰπὼν ὅτι «πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος»[12]· οὗτός ἐστιν ὁ λόγος τοῦ μυστηρίου, ἐν ᾧ διὰ τῆς ἄνωθεν γεννήσεως[13] μετασκευάζεται ἡμῶν ἡ φύσις ἀπὸ τοῦ φθαρτοῦ πρὸς τὸ ἄφθαρτον, ἐκ τοῦ παλαιοῦ ἀνθρώπου ἀνακαινιζομένη κατ᾿ εἰκόνα τοῦ κτίσαντος[14] ἐν ἀρχῇ τὸ θεοειδὲς ὁμοίωμα. Ταύτης οὖν παρὰ τοῦ Θεοῦ τοῖς ἀποστόλοις παραδοθείσης τῆς πίστεως οὔτε ὑφαί-

---

1. Πρβλ. Ματθ. 28,19. Λουκ. 24,47. 2. Πρβλ. Ἰω. 1,1. 3. Πρβλ. Ἰω. 14,6. 4. Πρβλ. Ἰω. 8,12. 5. Πρβλ. Ἰω. 14,6. 6. Πρβλ. Α΄ Κορ. 1,24. 7. Πρβλ. Φιλιπ. 2,7. 8. Ἑβρ. 4,15. 8. Βαρ. 3,38. 10. Πρβλ. Α΄ Τιμ. 3,16. 11. Πρβλ. Α΄ Κορ. 13,12. 12. Ματθ. 28,19. 13. Πρβλ. Ἰω. 3,3. 14. Πρβλ. Κολ. 3,10.

ρεσιν οὔτε παραλλαγὴν οὔτε προσθήκην ποιούμεθα, σαφῶς εἰδότες ὅτι ὁ τολμῶν τὴν θείαν φωνὴν διὰ κακουργίας σοφιστικῆς παρατρέπειν, οὗτος ἐκ τοῦ πατρὸς τοῦ διαβόλου ἐστίν, ὃς ἀφεὶς τῆς ἀληθείας τὰ ῥήματα ἐκ τῶν ἰδίων λαλεῖ, πατὴρ ψεύδους γινόμενος[1]. Πᾶν γὰρ τὸ παρὰ τὴν ἀλήθειαν λεγόμενον ψεῦδός ἐστι[α] πάντως καὶ οὐκ ἀλήθεια.

Ἐπεὶ οὖν τὸ δόγμα τοῦτο παρ' αὐτῆς ἐκτίθεται τῆς **314** ἀληθείας, εἴ τι παρεπινοοῦσιν ἐπὶ ἀθετήσει τῆς θείας ταύτης φωνῆς οἱ τῶν πονηρῶν αἱρέσεων εὑρεταί, ὡς ἀντὶ μὲν τοῦ Πατρὸς κτίστην αὐτὸν καὶ δημιουργὸν τοῦ Υἱοῦ ὀνομάζειν, ἀντὶ δὲ τοῦ Υἱοῦ ἔργον καὶ κτίσμα καὶ ποίημα, ἀντὶ δὲ τοῦ Ἁγίου Πνεύματος κτίσμα κτίσματος καὶ ἔργον ἔργου καὶ πάντα ὅσα τοῖς θεομάχοις περὶ αὐτοῦ λέγειν δοκεῖ, πάντα τὰ τοιαῦτα ἄρνησιν τῆς ἀποκαλυφθείσης ἡμῖν ἐν τῷ δόγματι τούτῳ θεότητος καὶ παράβασιν ὀνομάζομεν. Ἅπαξ γὰρ μεμαθήκαμεν παρὰ τοῦ Κυρίου, πρὸς ὃ βλέπειν χρὴ τῇ διανοίᾳ, δι' οὗ γίνεται ἡ ἀπὸ τοῦ θνητοῦ πρὸς τὸ ἀθάνατον τῆς φύσεως ἡμῶν μεταστοιχείωσις· τοῦτο δέ ἐστιν ὁ Πατὴρ καὶ ὁ Υἱὸς καὶ τὸ Ἅγιον Πνεῦμα. Φοβερὸν οὖν εἶναί φαμεν καὶ ὀλέθριον παραλογίσασθαι μὲν τὰς θείας ταύτας φωνάς, ἀντεπινοεῖν δὲ τὰς ἐπὶ ἀθετήσει τούτων παρευρισκο**[469]**μένας, ὥσπερ ἐπιδιορθουμένους τὸν Θεὸν Λόγον τὸν νομοθετήσαντα ταύτας τὰς φωνὰς ἡμῖν ἐπὶ τῆς πίστεως ἔχειν. Ἑκάστη γὰρ τῶν κλήσεων τούτων διὰ τῆς προσφυοῦς σημασίας νοουμένη κανὼν ἀληθείας καὶ νόμος εὐσεβείας τοῖς Χριστιανοῖς γίνεται. Πολλῶν γὰρ ὄντων καὶ ἄλλων ὀνομάτων, οἷς τὸ Θεῖον διασημαίνεται ἐν ἱστορίᾳ τε καὶ προφητείᾳ καὶ νόμῳ, πάντα καταλιπὼν ὁ Δεσπότης Χριστὸς ὡς μᾶλλον ἡμᾶς προσάγεσθαι δυναμένας τῇ περὶ τοῦ ὄντος πίστει ταύτας τὰς φωνὰς παρατίθεται, ἀρκεῖν ἀποφηνάμενος παραμένειν ἡμᾶς τῇ τοῦ Πατρός τε καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος κλήσει εἰς κατανόησιν τοῦ ὄντως ὄντος, ὅπερ καὶ ἕν ἐστι καὶ οὐχ ἕν. Τῷ μὲν γὰρ λόγῳ τῆς οὐσίας ἕν ἐστι, διὸ καὶ εἰς ἓν ὄνομα βλέπειν ὁ Δεσπότης ἐνομοθέτησε· τοῖς δὲ γνωριστικοῖς τῶν ὑποστά**315**σεων ἰδιώμασιν εἰς Πατρός τε καὶ Υἱοῦ καὶ Πνεύματος Ἁγίου πίστιν διῄρηται, ἀδιαστάτως τε μεριζόμενον καὶ ἀσυγχύτως ἑνούμενον. Ὅταν γὰρ ἀκούσωμεν Πατέρα, ταύτην ἀναλαμβάνομεν τὴν διάνοιαν, ὅτι τὸ ὄνομα τοῦτο οὐκ ἐφ' ἑαυτοῦ νοεῖται μόνον, ἀλλὰ καὶ τὴν πρὸς τὸν Υἱὸν σχέσιν διὰ τῆς ἰδίας ἐμφάσεως ἀποσημαίνει. Οὐ γὰρ ἂν Πατὴρ κεχωρισμένος ἐφ' ἑαυτοῦ νοηθείη, μὴ Υἱοῦ συνημμένου διὰ τῆς τοῦ Πατρὸς ἐκφωνήσεως[β]. Πατέρα οὖν μαθόντες τῇ αὐτῇ φωνῇ καὶ τὴν εἰς τὸν Υἱὸν πίστιν συνεδιδάχθημεν. Ἐπειδὴ τοίνυν τὸ

---

1. Πρβλ. Ἰω. 8,44.

α. Πρβλ. Ἀριστ., Μεταφυσικὴ V, 7, 1011β 26. Πλάτ., Σοφιστὴς 260C.

β. Πρβλ. Μ. Ἀθανασίου, Εἰς τὸ «πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου», ΒΕΠ 33,245,30. PG 25,215D. Ἀπολογητικὸς Δεύτερος, ΒΕΠ 31,86, 15. PG 25,336B.

Θεῖον τῇ φύσει, ὅπερ ἐστὶ καθὸ ἔστιν, ἀεὶ ὡσαύτως ἔχει, οὔτε ποτέ τι μὴ ὂν ὃ νῦν ἐστιν οὔτε ποτέ τι ἐσόμενον ὃ νῦν οὐκ ἔστιν, Πατὴρ δὲ ὠνομάσθη παρὰ τοῦ Λόγου ὁ ἀληθινὸς Πατήρ, τῷ δὲ Πατρὶ καὶ ὁ Υἱὸς συνεμφαίνεται, ἀναγκαίως πιστεύομεν, ὅτι ὁ μηδεμίαν τροπὴν ἢ ἀλλοίωσιν ἐν τῇ φύσει παραδεχόμενος, ὃ νῦν ἐστι, καὶ ἀεὶ πάντως ἦν ἤ, εἴ ποτέ τι οὐκ ἦν, οὐδὲ νῦν πάντως ἐστίν. Ἐπεὶ οὖν Πατὴρ ὑπὸ τοῦ ἀληθινοῦ Λόγου κατονομάζεται, πάντοτε πάντως καὶ ἦν Πατὴρ καί ἐστι καὶ ἔσται ὡς ἦν. Οὐ γὰρ δὲ θέμις ἐπὶ τῆς θείας τε καὶ ἀκηράτου φύσεως μὴ πάντοτε τὸ καλὸν περὶ αὐτὴν εἶναι λέγειν. Εἰ γὰρ μὴ ἀεὶ ἦν ὃ νῦν ἐστιν, ἐτράπη πάντως ἢ πρὸς τὸ χεῖρον ἀπὸ τοῦ κρείττονος ἢ πρὸς τὸ κρεῖττον ἀπὸ τοῦ χείρονος· τούτων δὲ ἴσον ἐστὶ τὸ ἀσεβὲς καθ' ἑκάτερον, ὁπότερον ἂν ἐπὶ τῆς θείας λέγηται φύσεως. Ἀλλὰ μὴν ἀνεπίδεκτόν ἐστι τὸ Θεῖον τροπῆς τε καὶ ἀλλοιώσεως. Ἄρα πᾶν ὅ,τι πέρ ἐστι καλὸν καὶ ἀγαθόν, ἀεὶ περὶ τὴν τοῦ καλοῦ θεωρεῖται πηγήν· καλὸν δὲ καὶ καλοῦ παντὸς ἐπέκεινα ὁ μονογενής ἐστι Θεὸς ὁ ὢν ἐν τοῖς κόλποις τοῦ Πατρός[1][a], ὢν ἐν τοῖς κόλποις, οὐχὶ ἐγγενόμενος.

316 Οὐκοῦν ἀποδέδεικται διὰ τούτων τὸ ἐξ ἀϊδίου τὸν Υἱὸν ἐνθεωρεῖσθαι τῷ Πατρὶ τῷ ἐν ᾧ ἐστι, ζωὴν ὄντα καὶ φῶς καὶ ἀλήθειαν καὶ πᾶν ἀγαθὸν ὄνομά τε καὶ νόημα, ὧν χωρὶς ἐφ' ἑαυτοῦ λέγειν εἶναί ποτε τὸν Πατέρα τῆς ἐσχάτης ἀσεβείας ἅμα καὶ παραπληξίας ἐστί. Εἰ γὰρ ὁ Υἱός, καθὼς ἡ Γραφὴ λέγει, δύναμίς ἐστι Θεοῦ καὶ σοφία[2] καὶ ἀλήθεια[3] καὶ φῶς[4] **[472]** καὶ ἁγιασμὸς[5] καὶ εἰρήνη[6] καὶ ζωὴ[7] καὶ τὰ τοιαῦτα, πρὸ τοῦ τὸν Υἱὸν εἶναι, καθὼς τοῖς αἱρετικοῖς δοκεῖ, οὐδὲ ταῦτα ἦν πάντως. Τούτων δὲ μὴ ὄντων κενὸν πάντως τῶν τοιούτων ἀγαθῶν τὸν πατρῷον ἐννοήσουσι κόλπον. Ὡς ἂν οὖν μήτε ὁ Πατὴρ ἔρημός ποτε τῶν ἑαυτοῦ ἀγαθῶν ἐννοηθείη μηδὲ εἰς ταύτην τὴν ἀτοπίαν ἐκπέσοι τὸ δόγμα, ἀναγκαίως κατὰ τὴν φωνὴν τοῦ Δεσπότου τῇ ἀϊδιότητι τοῦ Πατρὸς ἡ περὶ τοῦ Υἱοῦ πίστις συνθεωρεῖται. Οὗ χάριν πάντα καταλιπὼν τὰ ὀνόματα, ὅσα πρὸς ἔνδειξιν τῆς ὑπερκειμένης φύσεως λέγεται, τὴν τοῦ Πατρὸς κλῆσιν ὡς ἐνδεικτικωτέραν τῆς ἀληθείας ἐκτίθεται ἡμῖν ἐπὶ τῆς πίστεως, ἥτις καθὼς εἴρηται τῇ σχετικῇ διανοίᾳ καὶ τὸν Υἱὸν μεθ' ἑαυτῆς συνενδείκνυται. Τοῦ δὲ Υἱοῦ, ὅς ἐστιν ἐν τῷ Πατρί[8], ἀεὶ ὄντος ὅπερ ἐστίν, καθὼς εἴρηται καὶ ἐν τοῖς ἔμπροσθεν λόγοις, ὅτι τὸ Θεῖον τῇ φύσει τὴν πρὸς τὸ μεῖζον αὔξησιν οὐ προσδέχεται (οὐ γὰρ ὁρᾷ τι ἔξω ἑαυ-

---

1. Πρβλ. Ἰω. 1,18. 2. Πρβλ. Α' Κορ. 1,24. 3. Πρβλ. Ἰω. 14,6. 4. Πρβλ. Ἰω. 8,12. 5. Πρβλ. Α' Θεσ. 4,3. 6. Πρβλ. Ἐφ. 2,14. 7. Πρβλ. Ἰω. 11,25. 8. Πρβλ. Ἰω. 10,38.

α. Πρβλ. Ἀρχελάου, Διάλεξις αὐτοῦ πρὸς τὸν αἱρεσιάρχην Μάνητα, PG 10,1437A-C. Εὐσεβίου Καισαρείας, Τῆς Ἐκκλησιαστικῆς Θεολογίας Α, 20, ΒΕΠ 29,81,8. PG 24,869C. Μ. Ἀθανασίου, Ἐπιστολή, ὅτι ἡ ἐν Νικαίᾳ ..., ΒΕΠ 31,162,38. PG 25,453C. Μ. Βασιλείου, Περὶ τοῦ Ἁγίου Πνεύματος, ΒΕΠ 52,241,27-28.

τοῦ ἀγαθὸν ἄλλο, οὗ κατὰ μετουσίαν προσλαμβάνει τὸ πλέον), ἀλλ' ἀεὶ ὡσαύτως ἔχοντος, οὔτε ἀποβάλλοντος ὃ ἔχει οὔτε **317** προσλαμβάνοντος ὃ μὴ ἔχει (οὔτε γάρ τι τῶν ἀποβλήτων ἔχει, καὶ εἴ τι μακάριον καὶ ἀκήρατον καὶ ἀληθινὸν καὶ ἀγαθὸν περὶ αὐτὸν καὶ ἐν αὐτῷ πάντως ἐστίν, ἀναγκαίως ὁρῶμεν οὐκ ἐξ ἐπικτήσεως αὐτῷ προσγινόμενον τὸ Πνεῦμα τὸ ἀγαθόν τε καὶ Ἅγιον, ὅπερ ἐστὶν εὐθές[1], ἡγεμονικόν[2], ζωοποιόν[3] [α], τὸ πάσης τῆς κτίσεως περικρατητικόν τε καὶ ἁγιαστικόν, ὃ πάντα ἐν πᾶσιν ἐνεργεῖ καθὼς βούλεται, ὡς μηδέν τι μεταξὺ διάλειμμα τοῦ Χριστοῦ πρὸς τὸ χρίσμα νοεῖν ἢ τοῦ βασιλέως πρὸς τὴν βασιλείαν ἢ τῆς σοφίας πρὸς τὸ πνεῦμα τῆς σοφίας ἢ τῆς ἀληθείας πρὸς τὸ πνεῦμα τῆς ἀληθείας ἢ τῆς δυνάμεως πρὸς τὸ πνεῦμα τῆς δυνάμεως), ἀλλ' ἐξ ἀϊδίου τῷ Πατρὶ τοῦ Υἱοῦ ἐνθεωρουμένου, ὅς ἐστι σοφία τε καὶ ἀλήθεια καὶ βουλὴ καὶ ἰσχὺς καὶ γνῶσις καὶ σύνεσις, ἐξ ἀϊδίου καὶ τὸ Πνεῦμα τὸ Ἅγιον αὐτῷ συνθεωρεῖται, ὅπερ ἐστὶ πνεῦμα σοφίας[4] τε καὶ ἀληθείας[5] καὶ βουλῆς καὶ συνέσεως καὶ πάντα τὰ ἄλλα ὅσα ὁ Υἱός ἐστί τε καὶ ὀνομάζεται. Διὰ τοῦτό φαμεν συνημμένον ἅμα καὶ διακεκριμένον παραδεδόσθαι τοῖς ἁγίοις μαθηταῖς τὸ τῆς εὐσεβείας μυστήριον[6], τὸ δεῖν πιστεύειν εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος. Ἡ μὲν γὰρ τῶν ὑποστάσεων ἰδιότης τρανήν τε καὶ ἀσύγχυτον ποιεῖται τὴν τῶν προσώπων διαστολήν, ἓν δὲ ὄνομα προκείμενον τῆς κατὰ τὴν πίστιν ἐκθέσεως σαφῶς ἡμῖν τὴν ἑνότητα τῆς οὐσίας τῶν ἐν τῇ πίστει προσώπων διερμηνεύει, Πατρός τε λέγω καὶ Υἱοῦ καὶ Πνεύματος Ἁγίου[β]. Διὰ γὰρ τῶν κλήσεων τούτων οὐ φύσεως διαφορὰν διδασκόμεθα, ἀλλὰ μόνας τὰς τῶν ὑποστάσεων γνωριστικὰς ἰδιότητας· ὥστε γινώσκειν ἡμᾶς μήτε Υἱὸν τὸν Πατέρα εἶναι μήτε Πατέρα τὸν Υἱὸν μήτε Υἱὸν ἢ Πατέρα τὸ Πνεῦμα τὸ Ἅγιον, ἀλλ' ἕκαστον ἐν τῷ ἰδιάζοντι τῆς ὑποστάσεως χαρακτῆρι γνωρίζειν, ἐν **318** ἀορίστῳ τελειότητι καὶ ἐφ' ἑαυτοῦ θεωρούμενον καὶ ἀπὸ τοῦ συνημμένου οὐ διαιρούμενον.

Τί οὖν σημαίνει τὸ ἀκατονόμαστον ὄνομα, περὶ οὗ **[473]** εἰπὼν ὁ Κύριος ὅτι «βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα»[7], οὐ προσέθηκεν αὐτὴν τὴν σημαντικὴν φωνὴν τὴν ὑπὸ τοῦ ὀνόματος δηλουμένην; Ταύτην ἔχομεν περὶ αὐτοῦ τὴν διάνοιαν ὅτι πάντα τὰ ἐν τῇ κτίσει ὄντα διὰ τῆς τῶν ὀνομάτων σημασίας περιλαμβάνεται. Ὅ τε γὰρ οὐρανὸν εἰπὼν ἐπὶ τὸ δηλούμενον ὑπὸ τοῦ ὀνόματος κτίσμα τὴν διάνοιαν τοῦ ἀκούοντος ἤγαγε καὶ ὁ ἀνθρώπου ἢ τινος ἑτέρου τῶν ζῴων

---

1. Πρβλ. Ψαλ. 50,12. 2. Πρβλ. Ψαλ. 50,14. 3. Πρβλ. Ἰω. 6,63. Α' Κορ. 15,45. 4. Πρβλ. Ἐφ. 1,17. 5. Πρβλ. Α' Ἰω. 4,6. 6. Πρβλ. Α' Τιμ. 3,16. 7. Ματθ. 28,19.

α. Πρβλ. Κλήμεντος Ἀλεξανδρέως, Στρωματεῖς ΣΤ', XVII, ΒΕΠ 9,238,5. PG 9,388B.

β. Πρβλ. Μ. Βασιλείου, Περὶ τοῦ Ἁγίου Πνεύματος, ΒΕΠ 52,261,10 ἑξ.

μνησθεὶς ἐπ' ὀνόματος εὐθὺς τὸ εἶδος τοῦ ζῴου τῷ ἀκηκοότι ἐνετυπώσατο, καὶ τὰ ἄλλα πάντα ὡσαύτως διὰ τῶν ἐπικειμένων ὀνομάτων ἐνζωγραφεῖται τῇ καρδίᾳ τοῦ διὰ τῆς ἀκοῆς παραδεξαμένου τὴν προσηγορίαν τὴν ἐπικειμένην τῷ πράγματι. Μόνη δὲ ἡ ἄκτιστος φύσις ἡ ἐν τῷ Πατρί τε καὶ Υἱῷ καὶ Πνεύματι Ἁγίῳ πιστευομένη κρείττων πάσης ἐστὶν ὀνοματικῆς σημασίας. Διὰ τοῦτο ὄνομα εἰπὼν ὁ Λόγος ἐν τῇ παραδόσει τῆς πίστεως τὸ τί οὐ προσέθηκε (πῶς γὰρ ἂν εὑρεθείη ὄνομα ἐπὶ πράγματος ὃ ὑπὲρ πᾶν ἐστιν ὄνομα;[1][α]), ἀλλ' ἐξουσίαν ἔδωκεν, ὅπως ἂν χωρήσῃ ἡ διάνοια ἡμῶν εὐσεβῶς κινουμένη εὑρεῖν τι ὄνομα τῆς ὑπερκειμένης φύσεως ἐνδεικτικόν, τοῦτο ὁμοίως ἐφαρμόζειν Πατρί τε καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι, εἴτε τὸ ἀγαθὸν εἴτε τὸ ἄφθαρτον, ὅπερ νομίσει ἕκαστος ἄξιον εἶναι πρὸς ἔνδειξιν τῆς ἀκηράτου παραλαμβάνεσθαι φύσεως. Καὶ τοῦτο δέ μοι δοκεῖ διὰ τῆς ἐκθέσεως ταύτης νομοθετεῖν ὁ Λόγος, τὸ πεπεῖσθαι ἄρρητόν τε καὶ ἀκατάληπτον τὸ τῆς θείας **319** οὐσίας ὄνομα εἶναι· φανερὸν γὰρ ὅτι ἡ τοῦ Πατρὸς κλῆσις οὐκ οὐσίας ἐστὶ παραστατική, ἀλλὰ τὴν πρὸς τὸν Υἱὸν σχέσιν ἀποσημαίνει. Οὐκοῦν εἰ δυνατὸν ἦν τῇ ἀνθρωπίνῃ φύσει οὐσίαν διδαχθῆναι Θεοῦ, ὁ πάντας θέλων σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν[2] οὐκ ἂν τὴν περὶ τούτου γνῶσιν ἀπεσιώπησε. Νῦν δὲ τῷ μηδὲν περὶ τῆς οὐσίας εἰπεῖν ἔδειξεν, ὅτι ἐκείνης μὲν ἡ γνῶσις ἀμήχανος, ὃ δὲ χωροῦμεν μαθόντες οὐδὲν τοῦ ἀχωρήτου δεόμεθα, ἀρκοῦσαν ἔχοντες πρὸς σωτηρίαν ἡμῶν τῆς παραδοθείσης διδασκαλίας τὴν πίστιν. Τὸ γὰρ μαθεῖν ὅτι ἐκεῖνός ἐστι τὸ ὄντως ὄν, ᾧ διὰ τῆς σχετικῆς ἐννοίας ἡ τοῦ Υἱοῦ μεγαλειότης συναναφαίνεται, ἡ τελειοτάτη διδασκαλία τῆς εὐσεβείας ἐστί, τοῦ Υἱοῦ, καθὼς εἴρηται, συνημμένως μεθ' ἑαυτοῦ τὸ Πνεῦμα τῆς ζωῆς τε καὶ ἀληθείας συνενδεικνυμένου, ἐπειδὴ αὐτός ἐστι καὶ ζωὴ καὶ ἀλήθεια[3].

Τούτων οὕτω διῃρημένων πᾶσαν αἱρετικὴν ὑπόληψιν ἐν τοῖς θείοις δόγμασιν ἀναθεματίζοντες πιστεύομεν, καθὼς ἐδιδάχθημεν ὑπὸ τῆς τοῦ Κυρίου φωνῆς, εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος[4], ὁμολογοῦντες μετὰ τῆς πίστεως ταύτης καὶ τὴν γενομένην παρὰ τοῦ Δεσπότου τῆς κτίσεως ὑπὲρ τῶν ἀνθρώπων οἰκονομίαν, «ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών»[5] καὶ σαρκωθεὶς ἐν τῇ ἁγίᾳ παρθένῳ ἐλυτρώσατο ἡμᾶς ἐκ τοῦ θανάτου,

---

1. Πρβλ. Φιλιπ. 2,9. ᾿Εφ. 1,21. 2. Πρβλ. Α' Τιμ. 2,4. 3. Πρβλ. ᾿Ιω. 14,6. 4. Πρβλ. Ματθ. 28,19. 5. Φιλιπ. 2,6.

α. Πρβλ. Γρηγορίου Νύσσης, Κατὰ Εὐνομίου, ἀνωτέρω σ. 49,34. Πρβλ. ᾿Ιουστίνου, ᾿Απολογία πρώτη ὑπὲρ Χριστιανῶν πρὸς ᾿Αντωνῖνον τὸν εὐσεβῆ, ΒΕΠ 3,195,4. PG 6,421B. Μ. Βασιλείου, Εὐσταθίῳ ἀρχιάτρῳ, ἐπιστολὴ 189, ΒΕΠ 55,214,21 ἑξ. Γρηγορίου Νύσσης, Κατὰ Εὐνομίου, ΒΕΠ 67,370,33 καὶ ἀνωτέρω σ. 72,37. Περὶ τοῦ μὴ εἶναι τρεῖς θεοὺς πρὸς ᾿Αβλάβιον, κατωτέρω σ. 174-2.

ἐν ᾧ κατειχόμεθα **[476]** ὑπὸ τῆς ἑαυτῶν ἁμαρτίας πεπραμένοι[1], δοὺς ἀντάλλαγμα τῆς λυτρώσεως τῶν ψυχῶν[2] ἡμῶν τὸ τίμιον αὐτοῦ αἷμα[3], ὃ ἐξέχεε διὰ τοῦ σταυροῦ· καὶ ὁδοποιήσας ἡμῖν δι' ἑαυτοῦ τὴν ἐκ νεκρῶν ἀνάστασιν ἥξει **320** καιροῖς ἰδίοις ἐν τῇ δόξῃ τοῦ Πατρὸς κρῖναι πᾶσαν ψυχὴν ἐν δικαιοσύνῃ[4], ὅτε πάντες οἱ ἐν τοῖς μνημείοις ἀκούσονται τῆς φωνῆς αὐτοῦ, καὶ ἐξελεύσονται οἱ μὲν τὰ ἀγαθὰ ποιήσαντες εἰς ἀνάστασιν ζωῆς, οἱ δὲ τὰ φαῦλα πράξαντες εἰς ἀνάστασιν κρίσεως[5]. Ὡς ἂν δὲ μή τινι τῶν ἁπλουστέρων ἀνεξετάστως παρεμπεσοῦσα ἡ αἱρετικὴ διαφθορὰ ἡ νῦν παρὰ τοῦ Εὐνομίου διασπειρομένη βλάψειε τὸν ἀκέραιον, ἀναγκαίως κατὰ μέρος προτιθέντες τὴν περιφερομένην παρ' αὐτῶν ἔκθεσιν διελέγξαι τὴν κακίαν τοῦ δόγματος αὐτῶν πειρασόμεθα.

Ἔχει τοίνυν ἡ λέξις τοῦ δόγματος αὐτῶν οὕτω· πιστεύομεν εἰς τὸν ἕνα καὶ μόνον ἀληθινὸν Θεὸν κατὰ τὴν αὐτοῦ τοῦ Κυρίου διδασκαλίαν, οὐκ ἐψευσμένῃ φωνῇ τιμῶντες αὐτόν (ἔστι γὰρ ἀψευδής), ἀλλ' ὄντως ὄντα φύσει τε καὶ δόξῃ Θεὸν ἕνα ἀνάρχως, ἀϊδίως, ἀτελευτήτως μόνον. Ὁ κατὰ τὴν τοῦ Κυρίου διδασκαλίαν πιστεύειν ἐπαγγειλάμενος μὴ παρατρεπέτω τὴν παρὰ τοῦ Δεσπότου τῶν ὅλων γενομένην τῆς πίστεως ἔκθεσιν πρὸς τὸ ἑαυτῷ δοκοῦν, ἀλλ' ἀκολουθείτω ταῖς παρὰ τῆς ἀληθείας φωναῖς. Ἐκεῖ τοίνυν τοῦ λόγου τῆς πίστεως περιέχοντος τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, τίνα συμφωνίαν ἔχει τὰ νῦν ἐκτεθειμένα πρὸς τὰς τοῦ Δεσπότου φωνάς, ὥστε εἰς τὴν ἐκείνου διδασκαλίαν τὸ τοιοῦτον ἀναφέρειν δόγμα; Ποῦ τοίνυν εἶπε δεῖν πιστεύειν εἰς τὸν ἕνα καὶ μόνον ἀληθινὸν Θεὸν ἐν τοῖς εὐαγγελικοῖς λόγοις **321** ὁ Κύριος, οὐκ ἂν ἔχοιεν ἐπιδεῖξαι, εἰ μή τι νέον ἐστὶ παρ' αὐτοῖς Εὐαγγέλιον[6]. Ἃ γὰρ ἐξ ἀρχαίων μέχρι τοῦ νῦν κατὰ διαδοχὴν ἐν ταῖς ἐκκλησίαις ἀναγινώσκεται, ταύτην τὴν φωνὴν οὐ περιέχει τὴν λέγουσαν δεῖν πιστεύειν ἢ βαπτίζειν εἰς τὸν ἕνα καὶ μόνον ἀληθινὸν Θεόν, καθὼς οὗτοι λέγουσιν, ἀλλ' εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος. Ὡς δὲ ἡμεῖς παρὰ τῆς τοῦ Δεσπότου φωνῆς ἐδιδάχθημεν, τοῦτό φαμεν, ὅτι τὸ ἓν οὐ τὸν Πατέρα σημαίνει μόνον, ἀλλὰ καὶ τὸν Υἱὸν τῷ Πατρὶ συνενδείκνυται, οὕτως εἰπόντος τοῦ Κυρίου ὅτι «ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν»[7]. Ὁμοίως δὲ καὶ τὸ Θεὸς ὄνομα ἐπίσης ἐπικέκληται τῇ τε ἀρχῇ ἐν ᾗ ὁ Λόγος καὶ τῷ ἐν τῇ ἀρχῇ ὄντι Λόγῳ (εἶπε γὰρ ὅτι «καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ Λόγος»[8],) ὥστε καὶ ἐν τῷ τῆς θεότητος σημαινομένῳ ὁμοίως

---

1. Πρβλ. Ρωμ. 7,14. 2. Πρβλ. Ματθ. 16,26. 3. Πρβλ. Α' Πέτρ. 1,19. 4. Πρβλ. Πράξ. 17,31. 5. Πρβλ. Ἰω. 5,28. 6. Πρβλ. Β' Κορ. 11,4. 7. Ἰω. 10,30. 8. Ἰω. 1,1.

τῷ Πατρὶ καὶ τὸν Υἱὸν συνθεωρεῖσθαι. Πρὸς τούτοις δὲ καὶ τὸ ἀληθινὸν ἄλλο τι παρὰ τὴν ἀλήθειαν νοηθῆναι οὐ δύναται. Ὅτι δὲ ἀλήθεια ὁ Κύριος, οὐδεὶς ἀντιλέξει πάντως, εἰ μή τις εἴη τῆς ἀληθείας ἀλλότριος.

Εἰ τοίνυν καὶ ἐν τῷ ἑνὶ ὁ Λόγος ἐστὶν καὶ Θεός ἐστι καὶ ἀλήθεια[1], καθὼς ἐν τῷ Εὐαγγελίῳ κηρύσσεται, εἰς ποίαν τοῦ Κυρίου διδασκαλίαν ἀναφέρει τὸ δόγμα ὁ ταῖς διασταλτικαῖς ταύταις φωναῖς κεχρημένος; Ἡ γὰρ ἀντιδιαστολὴ τοῦ μόνου πρὸς τὸν μὴ μόνον ἐστὶ καὶ τοῦ Θεοῦ πρὸς τὸν μὴ Θεὸν καὶ τοῦ ἀληθινοῦ πρὸς τὸν **[477]** μὴ ἀληθινόν. Εἰ μὲν οὖν πρὸς τὰ εἴδωλα βλέποντες πρὸς ἐκεῖνα ποιοῦνται τὴν τῶν ῥημάτων ἀντιδιαίρεσιν, καὶ ἡμεῖς συντιθέμεθα· καθ' ὁμωνυμίαν γὰρ τὸ τῆς θεότητος ὄνομα τοῖς εἰδώλοις τῶν ἐθνῶν ἐπιλέγεται· «πάντες γὰρ οἱ θεοὶ **322** τῶν ἐθνῶν δαιμόνια»[2] [α] [καὶ ἄλλως· πρὸς τὸ πλῆθος ἀντιδιαιρεῖ τὸ μόνον καὶ πρὸς τὰ ψευδῆ τὸ ἀληθινὸν καὶ τοὺς μὴ ὄντας θεοὺς πρὸς τὸν ὄντα Θεόν]· εἰ δὲ πρὸς τὸν μονογενῆ Θεὸν ἡ ἀντιδιαίρεσις γίνεται, μαθέτωσαν οἱ σοφοὶ ὅτι ἀλήθεια πρὸς μόνον τὸ ψεῦδος τὴν ἀντιδιαστολὴν ἔχει καὶ Θεὸς πρὸς τὸν μὴ ὄντα Θεόν. Τοῦ δὲ Κυρίου, ὅς ἐστιν ἀλήθεια[3], Θεοῦ ὄντος καὶ ἐν τῷ Πατρὶ[4] ὄντος καὶ ἓν πρὸς τὸν Πατέρα ὄντος[5], αἱ διασταλτικαὶ αὗται φωναὶ ἐπὶ τοῦ δόγματος χώραν οὐκ ἔχουσιν. Ὁ γὰρ ἀληθῶς εἰς τὸν ἕνα πιστεύων βλέπει ἐν τῷ ἑνὶ τὸν διὰ πάντων αὐτῷ ἡνωμένον ἐν ἀληθείᾳ τε καὶ θεότητι καὶ οὐσίᾳ καὶ ζωῇ καὶ σοφίᾳ καὶ πᾶσιν ἁπαξαπλῶς ἤ, εἰ μὴ βλέπει ἐν τῷ ἑνὶ τὸν ταῦτα ὄντα, εἰς οὐδὲν ἔχει τὴν πίστιν. Χωρὶς γὰρ Υἱοῦ Πατὴρ οὔτε ἔστιν οὔτε λέγεται οὔτε μὴν χωρὶς δυνάμεως ὁ δυνατὸς οὔτε χωρὶς σοφίας ὁ σοφός· Χριστὸς γὰρ Θεοῦ δύναμις καὶ Θεοῦ σοφία[6]· ὥστε ὁ τῆς δυνάμεως ἢ τῆς σοφίας ἢ τῆς ἀληθείας ἢ τῆς ζωῆς ἢ τοῦ ἀληθινοῦ φωτὸς ἐκτὸς βλέπειν φανταζόμενος ἢ οὐδὲν βλέπει ἢ τὸ κακὸν πάντως βλέπει. Ἡ γὰρ τῶν ἀγαθῶν ὑπεξαίρεσις τοῦ κακοῦ θέσις καὶ ὕπαρξις γίνεται.

Οὐκ ἐψευσμένῃ, φησί, φωνῇ τιμῶντες αὐτόν· ἔστι γὰρ ἀψευδής. Ταύτῃ τῇ φωνῇ εὔχομαι τὸν Εὐνόμιον ἐπιμένειν, μαρτυροῦντα τῇ ἀληθείᾳ[7] ὅτι ἐστὶν ἀψευδής. Εἰ γὰρ οὕτω φρονοίη, ὅτι πᾶν τὸ παρὰ τοῦ Κυρίου λεγόμενον τοῦ ψεύδους κεχώρισται, πεισθήσεται πάντως ἀληθεύειν τὸν εἰπόντα ὅτι «ἐγὼ ἐν τῷ Πατρὶ καὶ ὁ Πατὴρ ἐν ἐμοί ἐστι»[8], δηλαδὴ ὅλος ἐν ὅλῳ, οὔτε τοῦ Πατρὸς **323** ἐν τῷ Υἱῷ περιττεύοντος οὔτε τοῦ Υἱοῦ ἐν τῷ Πατρὶ λείποντος, καὶ ὅτι οὕτω χρὴ τιμᾶσθαι τὸν Υἱόν, καθὼς τιμᾶται ὁ

---

1. Πρβλ. 'Ιω. 14,6. 2. Ψαλ. 95,5. 3. Πρβλ. 'Ιω. 14,6. 4. Πρβλ. 'Ιω. 10,38. 5. Πρβλ. 'Ιω. 10,29. 6. Πρβλ. Α' Κορ. 1,24. 7. Πρβλ. Γ' 'Ιω. 3. 8. 'Ιω. 14,11. Πρβλ. 'Ιω. 10,38.

α. Πρβλ. 'Ωριγένους, Κατὰ Κέλσου Γ', II, ΒΕΠ 9,183,19. PG 11,924A. Εἰς μαρτύριον προτρεπτικὸς XXXII, ΒΕΠ 9,53,24. PG 11,604B.

Πατήρ[1], καὶ ὅτι «ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα»[2], καὶ ὅτι οὐδεὶς οἶδε τὸν Υἱὸν εἰ μὴ ὁ Πατήρ, καὶ ὅτι καὶ τὸν Πατέρα οὐδεὶς ἐπιγινώσκει εἰ μὴ ὁ Υἱός[3]· δι' ὧν ἁπάντων οὔτε δόξης οὔτε οὐσίας οὔτε ἄλλου τινὸς παραλλαγὴ ὑπονοεῖται ἐπὶ Πατρὸς καὶ Υἱοῦ τοῖς ταύτας τὰς φωνὰς ὡς ἀληθινὰς δεξαμένοις. Ὄντως ὄντα, φησί, φύσει τε καὶ δόξῃ Θεὸν ἕνα. Τὸ ὄντως ὂν ἀντιδιαιρεῖται πρὸς τὸ μὴ ὄντως ὄν[α]. Ἔστι δὲ ὄντως ὂν ἕκαστον τῶν ὄντων καθὸ ἔστιν· τὸ δὲ μέχρι φαντασίας τινὸς καὶ ὑπονοίας δοκοῦν μὲν εἶναι μὴ ὂν δέ, τοῦτο οὐκ ὄντως ἔστιν, ὡς τὸ ἐνύπνιον φάσμα ἢ ὁ ἐπὶ τῆς εἰκόνος ἄνθρωπος· ταῦτα γὰρ καὶ τὰ τοιαῦτα μέχρι φαντασίας ὄντα τὸ ὄντως εἶναι οὐκ ἔχει. Εἰ μὲν οὖν κατὰ τὴν ἰουδαϊκὴν ὑπόληψιν κατασκευάζουσι καθόλου μὴ εἶναι τὸν μονογενῆ Θεόν, καλῶς τῷ Πατρὶ μόνῳ τὸ ὄντως εἶναι προσμαρτυροῦσιν· εἰ δὲ οὐκ ἀρνοῦνται τὸν πάντων ποιητὴν ὅτι ἔστι, πεισθήτωσαν μὴ ἀποστερεῖν τὸν ὄντως ὄντα τοῦ ὄντως εἶναι[β], ὃς ἑαυτὸν ἐν τῇ γενομένῃ Μωυσεῖ θεοφανείᾳ ὄντα ὠνόμασεν εἰπὼν ὅτι «ἐγώ εἰμι ὁ ὤν»[4], καθὼς ὁ Εὐνόμιος ἐν τοῖς ἐφεξῆς λόγοις τούτῳ συν**[480]**τίθεται, αὐτὸν εἶναι λέγων τὸν τῷ Μωυσεῖ φανέντα. Εἶτα φύσει τε καὶ δόξῃ Θεόν φησιν ἕνα. Εἰ μὲν οὖν ἐστιν ὁ Θεὸς χωρὶς τοῦ εἶναι φύσει Θεός, αὐτὸς ἂν εἰδείη ὁ ταῦτα λέγων· εἰ δὲ οὐκ ἔστι Θεὸς ὁ μὴ φύσει Θεὸς ὤν, μαθέτωσαν παρὰ τοῦ μεγάλου Παύλου, ὅτι οἱ δουλεύοντες τοῖς μὴ φύσει ⟨οὖσι⟩ θεοῖς Θεῷ οὐ δουλεύουσιν[5], ἡμεῖς δὲ δουλεύομεν Θεῷ ζῶντι τε καὶ ἀληθινῷ[6], καθὼς ὁ Ἀπόστολος **324** λέγει, ᾧ δὲ δουλεύομεν, Ἰησοῦς ἐστιν ὁ Χριστός. Τούτῳ γὰρ καὶ ὁ ἀπόστολος Παῦλος δουλεύειν καυχᾶται λέγων· «Παῦλος, δοῦλος Ἰησοῦ Χριστοῦ»[7]. Ἡμεῖς τοίνυν οἱ μηκέτι δουλεύοντες τοῖς μὴ φύσει οὖσι θεοῖς ἐπέγνωμεν τὸν φύσει ὄντα Θεόν, ᾧ πᾶν γόνυ κάμπτει ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων[8]. Ὧ οὐκ ἂν ἐδουλεύσαμεν, εἰ μὴ ἐπιστεύσαμεν ὅτι οὗτός ἐστιν ὁ ζῶν τε καὶ ἀληθινὸς Θεός, ᾧ πᾶσα γλῶσσα ἐξομολογεῖται, ὅτι Κύριος Ἰησοῦς εἰς δόξαν Θεοῦ Πατρός[9].

Θεόν, φησίν, ἕνα ἀνάρχως, ἀϊδίως, ἀτελευτήτως μόνον. Πάλιν «νοήσατε ἄκακοι πανουργίαν»[10], φησὶν ὁ Σολομών, μή ποτε εἰς ἄρνησιν τῆς τοῦ Μονογενοῦς θεότητος ἀπατηθέντες ἐκπέσητε. Ἀτελεύτητόν ἐστι τὸ θανάτου καὶ φθορᾶς ἀνεπίδεκτον, ὡσαύτως δὲ καὶ ἀΐδιον τὸ μὴ πρόσκαιρον λέγεται. Ὃ τοίνυν μήτε ἀΐδιόν ἐστι μήτε ἀτελεύτητον, τοῦτο πάντως ἐν τῇ φθαρτῇ τε καὶ ἐπικήρῳ θεωρεῖται φύσει. Οὐκοῦν ὁ τὸ ἀτελεύτητον τῷ ἑνὶ καὶ

1. Πρβλ. Ἰω. 5,23. 2. Ἰω. 14,9. 3. Πρβλ. Ματθ. 11,27. 4. Ἐξ. 3,14. 5. Πρβλ. Γαλ. 4,8. 6. Πρβλ. Α' Θεσσ. 1,9. 7. Ρωμ. 1,1. 8. Πρβλ. Φιλιπ. 2,10. 9. Πρβλ. Φιλιπ. 2,11. 10. Παρμ. 8,5.

α. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος κατηχητικός, PG 45,65D.

β. Πρβλ. Γρηγορίου Θεολόγου, Συντακτήριος εἰς τὴν τῶν ρν' ἐπισκόπων παρουσίαν, ΒΕΠ 60,129,28 ἑξ.

μόνῳ προσμαρτυρῶν Θεῷ, μὴ συμπεριλαμβάνων δὲ τὸν Υἱὸν τῇ τοῦ ἀτελευτήτου καὶ ἀϊδίου σημασίᾳ, φθαρτὸν αὐτὸν εἶναι καὶ πρόσκαιρον διὰ τοῦ τοιούτου λόγου κατασκευάζει τὸν τῷ ἀϊδίῳ καὶ ἀτελευτήτῳ ἀντιδιαστελλόμενον. Ἡμεῖς δὲ κἂν ἀκούσωμεν ὅτι μόνος ὁ Θεὸς ἔχει τὴν ἀθανασίαν[1], τὸν Υἱὸν διὰ τῆς ἀθανασίας νοοῦμεν (ἀθανασία[α] γάρ ἐστιν ἡ ζωή, ἥτις ἐστὶν ὁ Κύριος ὁ εἰπὼν ὅτι ἐγώ εἰμι ἡ ζωή[2])· κἂν λέγηται φῶς οἰκεῖν ἀπρόσιτον[3], πάλιν τὸ ἀληθινὸν φῶς, ὅπερ ἐστὶ τῷ ψεύδει ἀπρόσιτον, τὸν Μονογενῆ νοεῖσθαι οὐκ **325** ἀμφιβάλλομεν, ἐν ᾧ τὸν Πατέρα εἶναι παρ' αὐτῆς τῆς ἀληθείας ἐμάθομεν. Ἐκ τούτων δὲ ὁ ἀκροατὴς ἐπιλεξάσθω τὸ εὐσεβέστερον, εἴτε οὕτω χρὴ περὶ τοῦ Μονογενοῦς θεοπρεπῶς δοξάζειν εἴτε φθαρτόν τε καὶ πρόσκαιρον εἶναι λέγειν, ὡς ὑφηγεῖται ἡ αἵρεσις.

Οὐ τὴν οὐσίαν, φησί, καθ' ἥν ἐστιν εἷς, χωριζόμενον ἢ μεριζόμενον εἰς πλείους, ἢ ἄλλοτε ἄλλον γινόμενον ἢ τοῦ εἶναι ὅ ἐστι μεθιστάμενον, οὐδὲ ἐκ μιᾶς οὐσίας εἰς ὑπόστασιν τρισσὴν σχιζόμενον· πάντῃ γὰρ καὶ καθάπαξ ἐστὶν εἷς, κατὰ τὰ αὐτά τε καὶ ὡσαύτως διαμένων μόνος. Ἐκ τούτων δὲ τῶν παρατεθέντων προσήκει τὸν συνετὸν ἀκροατὴν διακρῖναι πρῶτον μὲν τὰ χωρὶς διανοίας ἐνριφέντα τῷ λόγῳ διάκενα ῥήματα ἀπὸ τῶν δοκούντων νοῦν ἔχειν, μετὰ ταῦτα δὲ τὴν εὑρισκομένην ἐν τοῖς ὑπολοίποις διάνοιαν τῶν εἰρημένων ἐπισκοπεῖν, εἰ συμβαίνει τῇ περὶ τὸν Χριστὸν εὐσεβείᾳ. Τὰ μὲν οὖν πρῶτα τῶν παρατεθέντων καθόλου πάσης καὶ καλῆς καὶ κακῆς διανοίας κεχώρισται. Τίνα γὰρ **[481]** διάνοιαν ἔχει τὸ οὐ τὴν οὐσίαν, καθ' ἥν ἐστιν εἷς, χωριζόμενον εἰς πλείους, ἢ ἄλλοτε ἄλλον γινόμενον ἢ τοῦ εἶναι ὅ ἐστι μεθιστάμενον, οὔτ' ἂν αὐτὸς εἴποι οὔτε τινὰ τῶν συμμαχούντων αὐτῷ νομίζω δύνασθαι ἂν ἐξευρεῖν σκιάν τινα διανοίας ἐν τοῖς εἰρημένοις. Οὐ τὴν οὐσίαν, καθ' ἥν ἐστιν εἷς, χωριζόμενον. Αὐτὸν λέγει τῆς οὐσίας ἑαυτοῦ μὴ χωρίζεσθαι, ἢ τὴν οὐσίαν λέγει ἐπ' αὐτοῦ μὴ μερίζεσθαι; Ψόφος τίς ἐστι καὶ ἦχος μάταιος εἰκῇ συγκείμενος ὁ ἀσήμαντος οὗτος λόγος. Καὶ τί χρὴ **326** παραμένειν τῇ ἐξετάσει τῶν ἀδιανοήτων τούτων ῥημάτων; πῶς γάρ τις τῆς ἑαυτοῦ οὐσίας χωρισθεὶς ἐν τῷ εἶναι μένει; ἢ πῶς ἡ οὐσία

1. Πρβλ. Α' Τιμ. 6,16. 2. Πρβλ. Ἰω. 11,25. 14,6. 3. Πρβλ. Α' Τιμ. 6,16.

α. Πρβλ. Ἰουστίνου, Ἀποκρίσεις πρὸς τοὺς ὀρθοδόξους περί τινων ἀναγκαίων ζητημάτων, ΒΕΠ 4,99,30-33. PG 6,1304A. Ὠριγένους, Κατὰ Κέλσου LXXXI, ΒΕΠ 9,231,22-23. PG 11,1025A. Μ. Ἀθανασίου, Ἐπιστολὴ περὶ τῶν γενομένων ἐν τῇ Ἀριμίνῳ τῆς Ἰταλίας καὶ ἐν Σελευκείᾳ τῆς Ἰσαυρίας συνόδων, ΒΕΠ 31,302,16. PG 26,708D. Ἐπιφανίου Κύπρου, Κατὰ αἱρέσεων, PG 41,1097C.

τινὸς μερισθεῖσα ἐφ' ἑαυτῆς δείκνυται; ἢ πῶς ἐστι δυνατὸν ἀπὸ τοῦ ἐν ᾧ ἐστιν ἐκβάντα ἄλλον γενέσθαι ἔξω ἑαυτοῦ γενόμενον; Ἀλλ' οὐδὲ ἐκ μιᾶς, φησίν, οὐσίας εἰς ὑποστάσεις τρεῖς σχιζόμενον· πάντη γὰρ καὶ καθάπαξ ἐστὶν εἷς, κατὰ τὰ αὐτά τε καὶ ὡσαύτως διαμένων μόνος. Τὸ μὲν οὖν ἀδιανόητον ἐν τοῖς εἰρημένοις παντὶ δῆλον οἶμαι καὶ πρὸ τῶν ἡμετέρων εἶναι λόγων· τούτοις δὲ ἀντιλεγέτω ὁ νομίζων εἶναί τινα ἐν τοῖς λεγομένοις νοῦν ἢ διάνοιαν· ὁ γὰρ κρίνειν ἐπεσκεμμένος λόγου δύναμιν ἀπαξιώσει τοῖς ἀνυποστάτοις συμπλέκεσθαι. Τίνα γὰρ ἰσχὺν ἔχει κατὰ τοῦ ἡμετέρου δόγματος τὸ λέγειν οὐ τὴν οὐσίαν, καθ' ἥν ἐστιν εἷς, χωριζόμενον ἢ μεριζόμενον εἰς πλείους, ἢ ἄλλοτε ἄλλον γινόμενον ἢ τοῦ εἶναι ὅ ἐστι μεθιστάμενον, οὐδὲ ἐκ μιᾶς οὐσίας εἰς ὑποστάσεις τρεῖς σχιζόμενον, ἃ μήτε λέγεται παρὰ τῶν Χριστιανῶν μήτε πιστεύεται μήτε ἐκ τοῦ ἀκολούθου διὰ τῶν παρ' ἡμῖν ὁμολογουμένων νοεῖται; τίς γὰρ εἶπε τοῦτό ποτε ἢ λέγοντος ἤκουσεν ἐν τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ, ὅτι ὁ Πατὴρ τὴν οὐσίαν ἢ χωρίζεται ἢ μερίζεται ἢ ἄλλοτε ἄλλος γίνεται ἔξω ἑαυτοῦ γινόμενος ἢ εἰς ὑποστάσεις τρεῖς σχίζεται; Ἑαυτῷ ταῦτα λαλεῖ ὁ Εὐνόμιος, οὐ πρὸς ἡμᾶς μαχόμενος, ἀλλ' ἰδίους φληνάφους εἴρων, πολλὴν καταμίξας τῇ ἀσεβείᾳ τῶν λεγομένων τὴν ἄνοιαν. Ἡμεῖς γὰρ ἐπίσης ἀσεβές τε καὶ ἄθεον λέγομεν καὶ τὸ κτιστὸν λέγειν τὸν Δεσπότην τῆς κτίσεως καὶ **327** τὸ οἴεσθαι τὸν Πατέρα, καθὸ ἔστι, χωρίζεσθαι ἢ τέμνεσθαι ἢ ἑαυτοῦ ἐξίστασθαι ἢ εἰς ὑποστάσεις τρεῖς σχίζεσθαι, ὥσπερ τινὰ πηλὸν ἢ κηρὸν ἐν μορφαῖς διαφόροις διαπλασσόμενον[α].

Ἀλλὰ τοὺς ἐφεξῆς λόγους σκεψώμεθα· πάντη γὰρ καὶ καθάπαξ ἐστὶν εἷς, κατὰ τὰ αὐτά τε καὶ ὡσαύτως διαμένων μόνος. Εἰ περὶ τοῦ Πατρὸς λέγει, τούτῳ καὶ ἡμεῖς συντιθέμεθα· εἷς γάρ ἐστιν ὡς ἀληθῶς ὁ Πατὴρ μόνος καὶ πάντη καθάπαξ κατὰ τὰ αὐτά τε καὶ ὡσαύτως ἔχων, καὶ οὐδέποτε, ὅπερ ἐστίν, οὔτε μὴ ὢν οὔτε μὴ ἐσόμενος. Εἰ τοίνυν πρὸς τὸν Πατέρα βλέπει ἡ τοιαύτη φωνή, μὴ μαχέσθω τῷ δόγματι τῆς εὐσεβείας, συμφωνῶν τῇ Ἐκκλησίᾳ κατὰ τοῦτο τὸ μέρος. Ὁ γὰρ ὁμολογῶν τὸν Πατέρα πάντοτε ⟨κατὰ τὰ αὐτά τε⟩ καὶ ὡσαύτως ἔχειν ἕνα καὶ μόνον ὄντα, τὸν τῆς εὐσεβείας κρατύνει λόγον, βλέπων ἐν τῷ Πατρὶ **[484]** τὸν Υἱόν, οὗ χωρὶς Πατὴρ οὔτε ἔστιν οὔτε λέγεται. Εἰ δὲ ἄλλον τινὰ

α. Πρβλ. Τατιανοῦ, Λόγος αὐτοῦ πρὸς Ἕλληνας, ΒΕΠ 4,245,7 ἑξ. PG 6,817A. Κλήμεντος Ἀλεξανδρέως, Στρωματεῖς Ζ', ΙΙ, ΒΕΠ 8,246,7 ἑξ. PG 9, 408C. Μ. Ἀθανασίου, Ἔκθεσις πίστεως, ΒΕΠ 33,240,1 ἑξ. PG 25,204A. Ἐπιστολή, ὅτι ἡ ἐν Νικαίᾳ Σύνοδος...., ΒΕΠ 31,166,26 ἑξ. PG 25,461D. Διδύμου Ἀλεξανδρέως, Ἀντιρρητικὸς κατὰ Εὐνομίου, ΒΕΠ 44,254,39-258,17. PG 29,753A-760D.

παρὰ τὸν Πατέρα Θεὸν ἀναπλάσσει, Ἰουδαίοις διαλεγέσθω ἢ τοῖς λεγομένοις Ὑψιστιανοῖς[α], ὧν αὕτη ἐστὶν ἡ πρὸς τοὺς Χριστιανοὺς διαφορά, τὸ Θεὸν μὲν αὐτοὺς ὁμολογεῖν εἶναί τινα, ὃν ὀνομάζουσιν Ὕψιστον ἢ Παντοκράτορα, Πατέρα δὲ αὐτὸν εἶναι μὴ παραδέχεσθαι· ὁ δὲ Χριστιανός, εἰ μὴ τῷ Πατρὶ πιστεύοι, Χριστιανὸς οὐκ ἔστιν. Ἃ δὲ τούτοις ἐφεξῆς προστίθησι, ταῦτά ἐστιν. Οὐ κοινωνὸν ἔχων, φησί, τῆς θεότητος, οὐ μερίτην τῆς δόξης, οὐ σύγκληρον τῆς ἐξουσίας, οὐ σύνθρονον τῆς βασιλείας· εἷς γάρ ἐστι καὶ μόνος Θεὸς ὁ παντοκράτωρ[1], «Θεὸς θεῶν»[2], «βασιλεὺς τῶν βασιλευόντων, Κύριος τῶν κυριευόντων»[3]. Οὐκ οἶδα πρὸς τίνα βλέπων ὁ Εὐνόμιος τὸ μὴ κοινωνεῖν αὐτῷ τῆς θεότητος τὸν Πατέρα διαμαρτύρεται. Εἰ μὲν γὰρ πρὸς **328** τὰ εἴδωλα τὰ μάταια καὶ τὴν πεπλανημένην τῶν εἰδωλολατρούντων ὑπόληψιν τὰ τοιαῦτα λέγει, καθὼς καὶ ὁ Παῦλος βοᾷ ὅτι οὐκ ἔστι συμφώνησις Χριστῷ πρὸς Βελίαρ οὐδὲ κοινωνία ναῷ Θεοῦ μετὰ εἰδώλων[4], καὶ ἡμεῖς συντιθέμεθα· εἰ δὲ τὸν μονογενῆ Θεὸν διὰ τῶν λεγομένων τῆς πατρικῆς ἀφορίζει θεότητος, μαθέτω ὅτι διλήμματον τῆς ἀσεβείας κατηγορίαν ἐφ' ἑαυτοῦ κατασκευάζει. Ἢ γὰρ ἀρνεῖται καθόλου Θεὸν εἶναι τὸν μονογενῆ Θεόν, ἵνα φυλάξῃ τῷ Πατρὶ τὸ ἐν τῇ θεότητι πρὸς τὸν Υἱὸν ἀκοινώνητον, καὶ διὰ τούτου παραβάτης ἐλέγχεται, τὸν Θεὸν τῶν Χριστιανῶν ἀρνησάμενος, ἢ εἰ δοίη κἀκεῖνον εἶναι Θεὸν κατὰ τὴν φύσιν τῷ ἀληθινῷ Θεῷ μὴ συμβαίνοντα, ἀνάγκη πᾶσα θεοὺς αὐτὸν πρεσβεύειν ὁμολογεῖν τῇ διαφορᾷ τῶν φύσεων ἀπ' ἀλλήλων διεσχισμένους. Ἑλέσθω τούτων ὃ βούλεται, ἢ ἀρνεῖσθαι τοῦ Υἱοῦ τὴν θεότητα ἢ θεοὺς ἐπεισάγειν τῷ δόγματι· ὅπερ γὰρ ἂν ἕληται τούτων, ἴσον ἐστὶν εἰς ἀσέβειαν. Ἡμεῖς γὰρ παρὰ τῶν θεοπνεύστων τῆς Γραφῆς λόγων μυσταγωγούμενοι οὐχὶ κοινωνίαν θεότητος ὁρῶμεν ἐν Πατρί τε καὶ Υἱῷ, ἀλλ' ἑνότητα, τοῦτο τοῦ Δεσπότου διὰ τῶν ἰδίων λόγων διδάξαντος ἐν οἷς φησιν «ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν»[5], καὶ ὅτι «ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα»[6]. Εἰ γὰρ μὴ τῆς αὐτῆς ἦν φύσεως, πῶς ἂν ἢ ἔσχεν ἐν ἑαυτῷ τὸ ἀλλότριον ἢ πῶς ἂν ἔδειξεν ἐφ' ἑαυτοῦ τὸ ἀνόμοιον, μὴ δεχομένης τῆς ξένης τε καὶ ἀλλοτρίας φύσεως τὸν τοῦ ἑτερογενοῦς χαρακτῆρα; Λέγει δὲ ὅτι οὐδὲ μερίτην ἔχει τῆς δόξης. Τοῦτο δὲ ὡς ἔχει λέγει, εἰ καὶ μὴ οἶδεν ὃ λέγει· οὐ γὰρ μερίζεται ὁ Υἱὸς πρὸς τὸν Πατέρα τὴν δόξαν, ἀλλ' ὅλην **329** ἔχει τοῦ Πατρὸς τὴν δόξαν, ὡς καὶ ὁ Πατὴρ πᾶσαν ἔχει τοῦ Υἱοῦ τὴν δόξαν. Οὕτως γὰρ εἶπε πρὸς τὸν Πατέρα ὅτι «πάντα τὰ ἐμὰ σά ἐστιν καὶ τὰ

---

1. Πρβλ. Ἀποκ. 15,3. 16,7. 19,7. 2. Ψαλ. 49,1. 3. Α' Τιμ. 6,15. 4. Πρβλ. Β' Κορ. 6,15-16. 5. Ἰω. 10,30. 6. Ἰω. 14,9.

α. Πρβλ. Γρηγορίου Θεολόγου, Ἐπιτάφιος εἰς τὸν πατέρα, παρόντος Βασιλείου, ΒΕΠ 59,113,17-18.

σὰ ἐμά»[1]. Διὸ καὶ ἐν τῷ καιρῷ τῆς κρίσεως ἐπιφανήσεσθαι ἑαυτόν φησιν ἐν τῇ δόξῃ τοῦ Πατρός[2], ὅτε μέλλει ἀποδιδόναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ[3]. Δείκνυσι δὲ διὰ τῆς φωνῆς ταύτης τὸ ἡνωμένον τῆς φύσεως· ὡς γὰρ «ἄλλη δόξα ἡλίου καὶ ἄλλη δόξα σελήνης»[4], διὰ τὸ μὴ συμβαίνειν πρὸς ἄλληλα **[485]** τῶν στοιχείων τὴν φύσιν (ὡς εἴ γε ἡ αὐτὴ δόξα ἐπ' ἀμφοτέρων ἦν, οὐκ ἄν τις διαφορὰ τῆς φύσεως αὐτῶν ἐνομίσθη), οὕτως ὁ ἑαυτὸν ἐν τῇ τοῦ Πατρὸς δόξῃ φανήσεσθαι προειπὼν ἔδειξε διὰ τῆς κατὰ τὴν δόξαν ταυτότητος τὴν κοινωνίαν τῆς φύσεως.

Τὸ δὲ μὴ *σύνθρονον τῆς βασιλείας* εἶναι λέγειν τῷ Πατρὶ τὸν Υἱὸν πολλὴν μαρτυρεῖ τῷ Εὐνομίῳ τὴν τῶν θείων λογίων μελέτην, ὃς ἐκ τῆς ἄγαν προσοχῆς τῶν θεοπνεύστων Γραφῶν οὔπω ἤκουσεν ὅτι τὰ ἄνω φρονεῖτε, οὗ ὁ Χριστός ἐστιν, ἐν δεξιᾷ τοῦ Πατρὸς καθήμενος[5], καὶ ὅτι «ἐν δεξιᾷ τοῦ θρόνου τοῦ Θεοῦ κεκάθικεν»[6], καὶ ἄλλα τοιαῦτα πολλά, ὧν οὐκ ἂν ῥᾳδίως τις τὸ πλῆθος ἐξαριθμήσειεν· ἅπερ μήπω μαθὼν ὁ Εὐνόμιος ἀπαγορεύει *σύνθρονον* εἶναι τῷ Πατρὶ τὸν Υἱόν. Τὸ δὲ *σύγκληρον τῆς ἐξουσίας* μᾶλλον ὡς ἀνόητον παραδραμεῖν χρὴ ἢ ὡς ἀσεβὲς διελέγξαι. Τίνα γὰρ διάνοιαν ἔχει ἡ τοῦ *συγκλήρου* λέξις, ἐκ τῆς κοινῆς τοῦ λόγου καταχρήσεως οὐκ ἔστιν εὑρεῖν. Ἐπὶ τὸν ἱματισμὸν τοῦ Κυρίου βάλλουσι κλῆρον[7], καθὼς ἡ Γραφὴ λέγει, οἱ μὴ βουλόμενοι διασχίσαι
330 τὸν δεσποτικὸν χιτῶνα, ἀλλ' ἑνὸς αὐτῶν ποιῆσαι κτῆμα, ᾧ ἂν ὁ κλῆρος χαρίσηται. Οἱ τοίνυν πρὸς ἀλλήλους ὑπὲρ τοῦ χιτῶνος διακληρούμενοι δύνανται ἴσως *σύγκληροι* λέγεσθαι· ἐνταῦθα δὲ ἐπὶ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος ἐν τῇ φύσει οὔσης τῆς ἐξουσίας (τό τε γὰρ Πνεῦμα τὸ Ἅγιον ὅπου θέλει πνεῖ[8] καὶ πάντα ἐν πᾶσιν ἐνεργεῖ καθὼς βούλεται[9], καὶ ὁ Υἱὸς δι' οὗ τὰ πάντα ἐγένετο[10], ὁρατά τε καὶ ἀόρατα, ἐν τοῖς οὐρανοῖς καὶ ἐπὶ τῆς γῆς, πάντα ὅσα ἠθέλησεν ἐποίησεν καὶ οὓς θέλει ζωοποιεῖ[11], καὶ ὁ Πατὴρ ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ τοὺς χρόνους ἔθετο[12], ἀπὸ τῶν χρόνων δὲ καὶ πάντα τὰ ἐν τῷ χρόνῳ γεγενημένα νοοῦμεν εἶναι τῷ Πατρὶ ὑπεξούσια)· εἰ οὖν ἐν ἐξουσίᾳ τοῦ ποιεῖν ἃ βούλεται ὁ Πατὴρ καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ Ἅγιον, ὡς εἴπομεν, ἀποδέδεικται, τίνα νοῦν ἡ τοῦ *συγκλήρου* τῆς ἐξουσίας λέξις ἔχει, κατιδεῖν οὐκ ἔστιν. Ὁ γὰρ πάντων κληρονόμος, ὁ τῶν αἰώνων δημιουργός[13], ὁ τῇ δόξῃ τοῦ Πατρὸς συνεκλάμπων καὶ χαρακτηρίζων ἐν ἑαυτῷ τοῦ Πατρὸς τὴν ὑπόστασιν[14], πάντα ὅσα ἔχει ὁ Πατὴρ αὐτὸς ἔχει[15] καὶ πάσης τῆς ἐξουσίας Κύριός

---

1. Ἰω. 17,10. 2. Πρβλ. Ματθ. 25,31. 3. Πρβλ. Ρωμ. 2,6. 4. Α' Κορ. 15,41. 5. Πρβλ. Κολ. 3,1-2. 6. Ἑβρ. 12,2. 7. Πρβλ. Ἰω. 19,24. Ψαλ. 21,19. 8. Πρβλ. Ἰω. 3,8. 9. Πρβλ. Α' Κορ. 12,6,11. 10. Πρβλ. Ἰω. 1,3. Κολ. 1,16. 11. Πρβλ. Ἰω. 5,21. 12. Πρβλ. Πράξ. 1,7. 13. Πρβλ. Ἑβρ. 1,2. 14. Πρβλ. Ἑβρ. 1,2-3. 15. Πρβλ. Ἰω. 16,15.

ἐστιν[1], οὐ μεθισταμένης ἀπὸ τοῦ Πατρὸς εἰς τὸν Υἱὸν τῆς ἀξίας, ἀλλὰ καὶ παρ' αὐτῷ μενούσης καὶ ἐν ἐκείνῳ οὔσης. Ὅ τε γὰρ ἐν τῷ Πατρὶ ὢν μετὰ πάσης δηλαδὴ τῆς ἑαυτοῦ δυνάμεώς ἐστιν ἐν τῷ Πατρὶ καὶ ὁ ἐν ἑαυτῷ τὸν Πατέρα ἔχων πᾶσαν ἐμπεριέχει τὴν πατρικὴν ἐξουσίαν καὶ δύναμιν. Ὅλον γὰρ ἔχει ἐν ἑαυτῷ τὸν Πατέρα καὶ οὐχὶ μέρος αὐτοῦ· ὁ δὲ ὅλον ἔχων καὶ τὴν ἐξουσίαν αὐτοῦ πάντως ἔχει. Τί οὖν νοῶν Εὐνόμιος **331** ἀποφαίνεται μὴ ἔχειν τὸν Πατέρα σύγκληρον τῆς ἐξουσίας, εἴποιεν ἂν ἴσως οἱ τῆς ματαιότητος αὐτοῦ μαθηταί· ὁ γὰρ εἰδὼς ἐπαΐειν λόγων τὰ δίχα διανοίας λεγόμενα, ὁμολογεῖ συνεῖναι μὴ δύνασθαι. Οὐκ ἔχει, φησί, σύγκληρον **[488]** τῆς ἐξουσίας ὁ Πατήρ. Τίς γάρ ἐστιν ὁ λέγων ἐκ διακληρώσεως ὑπὲρ τῆς ἐξουσίας πρὸς ἀλλήλους τόν τε Πατέρα καὶ τὸν Υἱὸν διαμάχεσθαι; Οἷς μεσιτεύων ὁ ἱερὸς Εὐνόμιος διὰ φιλικῆς συμβάσεως ἄνευ κλήρου νέμει τῷ Πατρὶ μόνῳ τὰ πρεσβεῖα τῆς ἐξουσίας. Ὁρᾶτε τὸ καταγέλαστον καὶ παιδαριῶδες τῆς χαμαιζήλου ταύτης τῶν δογμάτων ἐκθέσεως. Ἆρα ὁ τὰ σύμπαντα φέρων τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ[2], λέγων ἃ γενέσθαι θέλει καὶ ποιῶν ἐν τῇ τοῦ προστάγματος δυνάμει ἃ βούλεται, οὗ σύνδρομός ἐστι τῇ βουλήσει ἡ δύναμις καὶ μέτρον τῆς δυνάμεως αὐτοῦ τὸ θέλημα γίνεται («αὐτὸς γάρ», φησίν, «εἶπε καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο καὶ ἐκτίσθησαν»[3]), ὁ πάντα δι' ἑαυτοῦ ποιήσας καὶ ἐν ἑαυτῷ συστήσας[4], οὗ χωρὶς τῶν ὄντων οὐδὲν οὔτε ἐγένετο[5] οὔτε ἐν τῷ εἶναι μένει, οὗτος ἀναμένει ἐκ διακληρώσεώς τινος σχεῖν τὴν ἐξουσίαν; Κρίνατε οἱ ἀκούοντες, εἰ ὁ ταῦτα λέγων ἐν τῷ καθεστηκότι τὴν διάνοιαν ἔχει.

Εἷς γάρ ἐστι, φησί, καὶ μόνος Θεὸς παντοκράτωρ. Εἰ μὲν οὖν τὸν Πατέρα διὰ τῆς τοῦ παντοκράτορος προσηγορίας ἐνδείκνυται, ἡμέτερον λέγει τὸν λόγον καὶ οὐκ ἀλλότριον· εἰ δὲ ἄλλον τινὰ παρὰ τὸν Πατέρα νοεῖ παντοκράτορα, καὶ τὴν περιτομήν, εἰ δοκεῖ, κηρυσσέτω ὁ τῶν δογμάτων τῶν ἰουδαϊκῶν προστάτης. Τῶν γὰρ Χριστιανῶν ἡ πίστις πρὸς τὸν Πατέρα βλέπει, πάντα δέ ἐστιν ὁ Πατήρ, **332** ὕψιστος[6], παντοκράτωρ[7], βασιλεὺς τῶν βασιλευόντων, Κύριος τῶν κυριευόντων[8], καὶ πάντα ὅσα τῆς ὑψηλῆς ἔχεται σημασίας, τοῦ Πατρός ἐστιν ἴδια· τὰ δὲ τοῦ Πατρὸς τοῦ Υἱοῦ ἐστι πάντα, ὥστε τούτου ὄντος κἀκεῖνα δεχόμεθα. Εἰ δὲ ἀφεὶς τὸν Πατέρα ἄλλον παντοκράτορα[α] λέγει, τὰ τῶν Ἰουδαίων λέγει ἢ καὶ τοῖς Πλάτωνος ἕπεται λόγοις· καὶ γὰρ κἀκεῖνόν φασι τὸν φιλόσοφον λέγειν εἶναί τινα ὑπεράνωθεν κτίστην καὶ ποιητὴν ὑποβεβηκό-

---

1. Πρβλ. Ματθ. 28,18. 2. Πρβλ. Ἑβρ. 1,3. 3. Ψαλ. 32,9. 4. Πρβλ. Κολ. 1,16-17. 5. Πρβλ. Ἰω. 1,3. 6. Πρβλ. Πράξ. 7,48. 7. Πρβλ. Ἀποκ. 1,8. 8. Πρβλ. Α' Τιμ. 6,15.

α. Πρβλ. Γρηγορίου Νύσσης, Κατὰ Εὐνομίου. κατωτέρω σ. 134,24 ἑξ. Διδύμου Ἀλεξανδρέως, Ἀντιρρητικός, κατὰ Εὐνομίου, ΒΕΠ 44,225,7. PG 29,677B.

των τινῶν[α] θεῶν. Ὥσπερ οὖν ἐν τοῖς ἰουδαϊκοῖς καὶ πλατωνικοῖς δόγμασιν ὁ τὸν Πατέρα μὴ παραδεχόμενος Χριστιανὸς οὐκ ἔστιν, κἂν παντοκράτορά τινα πρεσβεύῃ ἐπὶ τοῦ δόγματος, οὕτω καὶ ὁ Εὐνόμιος καταψεύδεται τοῦ ὀνόματος, ἰουδαΐζων μὲν τῷ φρονήματι ἢ τὰ τῶν Ἑλλήνων πρεσβεύων, τὴν δὲ τῶν Χριστιανῶν προσηγορίαν ὑποδυόμενος. Ἀλλὰ καὶ περὶ τῶν κατὰ τὸ ἀκόλουθον ἐκτεθειμένων ὁ αὐτὸς ἔσται λόγος. Λέγει γὰρ ὅτι Θεὸς θεῶν. Προσθέντες ἡμεῖς τὸ τοῦ Πατρὸς ὄνομα τὴν φωνὴν οἰκειούμεθα, εἰδότες ὅτι ὁ Πατὴρ Θεός ἐστι τῶν θεῶν. Τὰ δὲ τοῦ Πατρὸς πάντα τοῦ Υἱοῦ ἐστι πάντως. Καὶ Κύριος τῶν κυριευόντων. Ὁ αὐτὸς καὶ περὶ τούτου λόγος. Καὶ ὕψιστος[β] ἐπὶ πᾶσαν τὴν γῆν. Ὃν γὰρ ἂν τῇ διανοίᾳ λάβῃς, ἐκεῖνος ὕψιστος ἐπὶ πᾶσαν τὴν γῆν, ὁμοίως ἄνωθεν τοῖς ἐπιγείοις τῆς ἐπισκοπῆς γινομένης παρά τε τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος. Ἀλλὰ καὶ τὰ ἐφεξῆς τοῖς εἰρημένοις προσκείμενα· ὕψιστος ἐν οὐρανοῖς, ὕψιστος ἐν ὑψίστοις, ἐπουράνιος, ἀληθινὸς ἐν τῷ εἶναι ἀεὶ ὅ ἐστι καὶ διαμένων, ἀληθινὸς ἐν ἔργοις, ἀληθινὸς ἐν λόγοις· ταῦτα **[489]** γὰρ πάντα ἐπίσης ἐνορᾷ ὁ τῶν Χριστιανῶν ὀφθαλμὸς ἐπὶ Πατρὸς καὶ Υἱοῦ καὶ Ἁγίου Πνεύ**333**ματος. Εἰ δὴ μόνον ἑνί τινι τῶν ἐν τῇ πίστει παραδοθέντων προσώπων ὁ Εὐνόμιος ταῦτα νέμει, τολμησάτω μὴ ἀληθινὸν εἰπεῖν ἐν λόγοις τὸν εἰπόντα ὅτι ἐγώ εἰμι ἡ ἀλήθεια[1], ἢ τὸ Πνεῦμα τῆς ἀληθείας[2], ἢ ἀληθινὸν ἐν ἔργοις μὴ συνθέσθω τὸν ποιοῦντα κρῖμα καὶ δικαιοσύνην ἢ τὸ Πνεῦμα τὸ ἐνεργοῦν πάντα ἐν πᾶσι καθὼς βούλεται[3]. Ταῦτα γὰρ εἰ μὴ προσμαρτυροίη τοῖς παραδοθεῖσιν ἐν τῇ πίστει προσώποις, καθόλου τὴν τῶν Χριστιανῶν παραγράφεται πίστιν. Πῶς γάρ τις πίστεως ἄξιον οἰήσεται τὸν ψευδῆ μὲν ἐν τοῖς λόγοις, μὴ ἀληθινὸν δὲ ἐν τοῖς ἔργοις αὐτοῦ;

Ἀλλὰ πρὸς τὸ ἐφεξῆς τῷ λόγῳ προέλθωμεν. Φησὶ γὰρ ὅτι ἀρχῆς ἁπάσης ὑποταγῆς, ἐξουσίας, βασιλείας ἀνώτερος. Ἡμέτερος οὗτος ὁ λόγος καὶ τῆς καθολικῆς Ἐκκλησίας ἴδιος, τὸ πιστεύειν τὴν θείαν φύσιν πάσης ἀρχῆς ἀνωτέραν εἶναι, ὑποχείριον δὲ ἑαυτῆς ἔχειν πᾶν ὅ,τι πέρ ἐστιν ἐν τοῖς οὖσι νοούμενον. Θεία δὲ φύσις ὁ Πατὴρ καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ Ἅγιον. Εἰ δὲ μόνῳ τῷ Πατρὶ ταύτην προσμαρτυρεῖ τὴν δύναμιν καὶ εἰ μόνον αὐτὸν τροπῆς τε καὶ μεταβολῆς ἐλεύθερον ἀποφαίνεται καὶ εἰ μόνον αὐτὸν λέγει ἀκήρατον, πρόδηλον τὸ ἐκ τούτων κατασκευαζόμενον, ὅτι ὁ

---

1. Πρβλ. Ἰω. 14,6. 2. Πρβλ. Ἰω. 14,17. 3. Πρβλ. Α΄ Κορ. 12,6,11.

α. Πρβλ. Πλάτ., Τίμαιος, 39Ε-41Α.

β. Πρβλ. Θεοφίλου Ἀντιοχείας, Πρὸς Αὐτόλυκον Α, 4, ΒΕΠ 5,14,36-37. PG 6,1029B.

ταῦτα μὴ ἔχων τρεπτός ἐστι πάντως καὶ φθαρτὸς καὶ μεταβλητὸς καὶ ἐπίκηρος. Οὐκοῦν ταῦτα δογματίζει ὁ Εὐνόμιος ἐπὶ τοῦ μονογενοῦς Θεοῦ καὶ τοῦ Ἁγίου Πνεύματος· οὐ γὰρ ἂν ἐχρήσατο τῇ ἀντιδιαστολῇ, τούτοις ἀντιδιαιρῶν τὸν Πατέρα, μὴ ταύτην τὴν διάνοιαν ἔχων περὶ τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος. Τὸ λοιπόν, ἀδελφοί, δοκιμάσατε, εἰ μὴ διώκτης ἐστὶ τῆς τῶν Χριστιανῶν πίστεως ταῦτα φρονῶν. Τίς γὰρ τὸ τρεπόμενον **334** καὶ μεταβαλλόμενον καὶ τὸ ἐπίκηρον καταδέξεται σεβάσμιον ἑαυτῷ κρῖναι; Οὐκοῦν ὅλος ὁ σκοπός ἐστι τῷ κατασκευάζοντι τὰ τοιαῦτα νοήματα, ἐκβαλεῖν τῆς Ἐκκλησίας τὴν εἰς τὸν Υἱὸν καὶ τὸ Ἅγιον Πνεῦμα πίστιν, δι' ὧν κατασκευάζει μήτε ἀκήρατον εἶναι μήτε ἄτρεπτον μήτε ἀμετάβλητον ἢ αὐτὴν τὴν ἀλήθειαν ἢ «τὸ πνεῦμα τῆς ἀληθείας»[1].

Ἴδωμεν δὲ καὶ οἷα τοῖς εἰρημένοις προστίθησιν. Οὐκ ἐν τῷ γεννᾶν, φησί, τὴν ἰδίαν οὐσίαν μερίζων καὶ ὁ αὐτὸς γεννῶν καὶ γεννώμενος ἢ ὁ αὐτὸς Πατὴρ γινόμενος καὶ υἱός· ἔστι γὰρ ἄφθαρτος. Τοιοῦτον τάχα ἐστίν, ὅ φησι περὶ τῶν ἀσεβῶν ὁ προφήτης, ὅτι «ἱστὸν ἀράχνης ὑφαίνουσιν»[2]. Ὡς γὰρ ἐπ' ἐκείνου σχῆμα μέν ἐστι τοῦ ὑφάσματος, ὑπόστασις δὲ οὐκ ἔστιν ἐν τῷ σχήματι (ὁ γὰρ ἀψάμενος οὐδενὸς ὑφεστῶτος ἅπτεται, περιφθειρομένων τῇ τῶν δακτύλων ἀφῇ τῶν ἀραχνίων νημάτων), τοιαύτη ἐστὶν καὶ ἡ τῶν ματαίων λέξεων ἀνυπόστατος ἱστουργία. Οὐκ ἐν τῷ γεννᾶν, φησί, τὴν ἰδίαν οὐσίαν μερίζων καὶ ὁ αὐτὸς γεννῶν καὶ γεννώμενος. Ἆρα λόγον ὀνομάσαι χρὴ τὰ λεγόμενα ἢ μᾶλλον φλέγματός τινος ὄγκον ἀπό τινος ὑδερικῆς πληθώρας ἀναπτυόμενον; τί γάρ ἐστι τὸ τὴν ἑαυτοῦ μερίζειν οὐσίαν ἐν τῷ γεννᾶν καὶ τὸν αὐτὸν εἶναι **[492]** γεννῶντά τε καὶ γεννώμενον; τίς οὕτω παράφορος, τίς οὕτως ἐξεστηκὼς τὴν διάνοιαν, ὡς τοῦτον εἰπεῖν τὸν λόγον πρὸς ὃν μάχεσθαι δοκεῖ ὁ Εὐνόμιος; Ἡ μὲν γὰρ Ἐκκλησία πιστεύει τὸν ἀληθινὸν Πατέρα ἀληθῶς εἶναι Υἱοῦ Πατέρα, ἰδίου, καθώς φησιν ὁ Ἀπόστολος, οὐκ ἀλλοτρίου. Οὕτω γὰρ ἔν τινι τῶν ἐπιστολῶν ἀπεφήνατο· «ὃς τοῦ ἰδίου Υἱοῦ οὐκ ἐφείσατο»[3], **335** ἀντιδιαστέλλων τῇ τοῦ ἰδίου προσθήκῃ τοὺς χάριτι καὶ οὐ φύσει τῆς υἱοθεσίας ἠξιωμένους. Ὁ δὲ ταύτην ἡμῶν διαβάλλων τὴν ὑπόληψιν τί λέγει; Οὐκ ἐν τῷ γεννᾶν τὴν οὐσίαν ἑαυτοῦ μερίζων οὐδὲ ⟨ὁ⟩ αὐτὸς γεννῶν καὶ γεννώμενος ἢ ὁ αὐτὸς Πατὴρ γινόμενος καὶ Υἱός· ἔστι γὰρ ἄφθαρτος. Ἀκούων τις Λόγον ἐν ἀρχῇ ὄντα καὶ Θεὸν ὄντα τὸν Λόγον[4] καὶ Λόγον ἐκ τοῦ Πατρὸς ἐξελθόντα[5] οὕτω καταρρυπαίνει τὸ ἀκήρατον δόγμα τοῖς αἰσχροῖς τούτοις

1. Ἰω. 14,17. 2. Ἠσ. 59,5. 3. Ρωμ. 8,32. 4. Πρβλ. Ἰω. 1,1. 5. Πρβλ. Ἰω. 8,42.

καὶ ὀδωδόσι νοήμασι λέγων οὐκ ἐν τῷ γεννᾶν τὴν οὐσίαν μερίζει; ὢ τῆς βδελυρίας τῶν αἰσχρῶν τούτων καὶ ῥυπαρῶν νοημάτων! Πῶς οὐ συνίησιν ὁ τὰ τοιαῦτα λέγων, ὅτι οὐδὲ διὰ σαρκὸς ὁ Θεὸς φανερούμενος[1] τὸ τῆς ἀνθρωπίνης φύσεως πάθος πρὸς τὴν τοῦ ἰδίου σώματος σύστασιν παρεδέξατο, ἀλλὰ καὶ παιδίον ἐγεννήθη ἡμῖν ἐκ Πνεύματος Ἁγίου[2] δυνάμεως καὶ οὔτε ἡ παρθένος ἔπαθεν οὔτε τὸ Πνεῦμα ἐμειώθη οὔτε ἡ δύναμις τοῦ ὑψίστου ἀπεμερίσθη; Καὶ γὰρ καὶ τὸ Πνεῦμα ὅλον ἐστὶ καὶ ἡ τοῦ Ὑψίστου δύναμις ἀμείωτος ἔμεινε καὶ τὸ Παιδίον ἐγεννήθη ὅλον καὶ τὴν τῆς μητρὸς ἀφθορίαν οὐκ ἐλυμήνατο. Εἶτα σὰρξ μὲν ἀπὸ σαρκὸς ἐγεννήθη δίχα πάθους, τὸ δὲ τῆς δόξης ἀπαύγασμα οὐ βούλεται ἀπ' αὐτῆς εἶναι ὁ Εὐνόμιος τῆς δόξης, ἐπειδὴ οὔτε μειοῦται γεννῶσα τὸ φῶς ἡ δόξα οὔτε μερίζεται; καὶ ὁ μὲν ἀνθρώπινος λόγος ἀμερίστως ἐκ τοῦ νοῦ γεννᾶται, ὁ δὲ Θεὸς Λόγος, ἐὰν μὴ μερισθῇ τοῦ Πατρὸς ἡ οὐσία, ἐκ τοῦ Πατρὸς γεννηθῆναι οὐ δύναται; ἆρά τις οὕτως **336** ἐστὶν ἠλίθιος, ὡς μὴ συνεῖναι τὴν ἀλογίαν τοῦ δόγματος; Οὐκ ἐν τῷ γεννᾶν, φησί, τὴν ἰδίαν οὐσίαν μερίζων. Τίνος γὰρ ἐν τῷ γεννᾶν ἡ ἰδία οὐσία μερίζεται; Οὐσία γὰρ ἐπὶ μὲν τῶν ἀνθρώπων ἡ ἀνθρωπίνη φύσις, ἐπὶ δὲ τῶν ἀλόγων γενικῶς μὲν ἡ ἄλογος, ἰδικῶς δὲ ἐπὶ τῶν βοῶν καὶ ἐπὶ τῶν προβάτων καὶ ἐπὶ πάντων τῶν ἀλόγων ⟨ἡ⟩ κατὰ τὰς τῶν ἰδιωμάτων διαφορὰς θεωρουμένη. Τί τοίνυν ἐκ τούτων μερίζει τὴν ἰδίαν οὐσίαν διὰ τοῦ τόκου; οὐκ ἀεὶ μένει διὰ τῆς διαδοχῆς τῶν ἐπιγινομένων ἐφ' ἑκάστου τῶν ζῴων ἀκεραία ἡ φύσις; Εἶτα ἄνθρωπος μὲν ἐξ ἑαυτοῦ τίκτων ἄνθρωπον οὐ μερίζει τὴν φύσιν, ἀλλὰ καὶ ἐν τῷ γεννήσαντι καὶ ἐν τῷ γεννηθέντι ὅλη ἐστίν, οὐκ ἐκ τούτου πρὸς ἐκεῖνον ἀποσχιζομένη καὶ μεθισταμένη οὐδὲ ἐν τούτῳ κολοβουμένη, ὅταν ἐν ἐκείνῳ τελεία γένηται, ἀλλὰ καὶ πᾶσα ἐν τούτῳ οὖσα καὶ πᾶσα ἐν ἐκείνῳ εὑρισκομένη· καὶ γὰρ καὶ πρὶν γεννῆσαι τὸν ἐξ αὐτοῦ ὁ ἄνθρωπος ζῷον ἦν λογικόν, θνητόν, νοῦ καὶ ἐπιστήμης δεκτικόν, καὶ ὅτε ἐγέννησε τὸν τοιοῦτον ἄνθρωπον· ὥστε ἐν ἐκείνῳ δειχθῆναι πάντα τὰ ἰδιώματα τῆς φύσεως, ὡς οὐκ ἀπώλεσε τὸ εἶναι ἄνθρω**[493]**πος ἐξ ἑαυτοῦ γεννήσας τὸν ἄνθρωπον, ἀλλ' ὃ ἦν πρὸ τούτου, καὶ μετὰ τοῦτο διέμεινεν, οὐδὲν διὰ τοῦ γενέσθαι τὸν ἐξ αὐτοῦ ἄνθρωπον τῆς ἑαυτοῦ φύσεως ἐλαττώσας· καὶ ἄνθρωπος μὲν ἐξ ἀνθρώπου γεννᾶται καὶ ἡ τοῦ γεννῶντος οὐ μερίζεται φύσις, τὸν δὲ μονογενῆ Θεὸν **337** τὸν ὄντα ἐν τοῖς κόλποις τοῦ Πατρὸς[3] οὐ δέχεται ὁ Εὐνόμιος ἀληθῶς ἐκ τοῦ Πατρὸς εἶναι, δεδοικὼς μὴ ἀκρωτηριάσῃ τὴν ἀκήρατον τοῦ Πατρὸς φύσιν διὰ τῆς τοῦ Μονογενοῦς ὑποστάσεως, ἀλλ' εἰπὼν ὅτι οὐ τὴν οὐσίαν ἐν τῷ γεννᾶν μερίζων, προσέθηκεν ἢ ⟨ὁ⟩ αὐτὸς γεννῶν καὶ γεννώ-

---

1. Πρβλ. Α' Τιμ. 3,16. 2. Πρβλ. Ματθ. 1,18. Λουκ. 1,27. 3. Πρβλ. Ἰω. 1,18.

μενος ἢ ⟨ὁ⟩ αὐτὸς Πατὴρ γινόμενος καὶ Υἱός, καὶ οἴεται διὰ τῶν ἀσυναρτήτων τούτων ῥημάτων σαθροποιεῖν τὸν ἀληθῆ τῆς εὐσεβείας λόγον ἢ ἰσχύν τινα πορίζειν τῇ ἀσεβείᾳ, οὐκ εἰδὼς ὅτι δι' ὧν ἐπινοεῖ κατασκευάζειν τὸ ἄτοπον, διὰ τούτων συνήγορος τῆς ἀληθείας εὑρίσκεται. Φαμὲν γὰρ καὶ ἡμεῖς, ὅτι ὁ πάντα τὰ τοῦ ἰδίου Πατρὸς ἔχων ἄλλος ἐκεῖνός ἐστι πλὴν τοῦ Πατὴρ εἶναι, καὶ ὁ πάντα τὰ τοῦ Υἱοῦ ἔχων ὅλον τὸν Υἱὸν ἐν ἑαυτῷ δείκνυσι πλὴν τοῦ Υἱὸς γενέσθαι· ὥστε ἡ τοῦ ἀτόπου κατασκευή, ἣν κατασκευάζει νῦν ὁ Εὐνόμιος, συμμαχία τῆς ἀληθείας γίνεται, πρὸς τὸ σαφέστερον διασταλέντος παρ' ἡμῶν τοῦ νοήματος κατὰ τὴν τοῦ εὐαγγελικοῦ λόγου ὑφήγησιν. Εἰ γὰρ ὁ ἑωρακὼς τὸν Υἱὸν ὁρᾷ τὸν Πατέρα[1], ἄλλον ἑαυτὸν ἐγέννησεν ὁ Πατήρ, οὔτε ἑαυτοῦ ἐξιστάμενος καὶ ἐν ἐκείνῳ ὅλος φαινόμενος, ὡς διὰ τούτων τὸ δοκοῦν κατὰ τῆς εὐσεβείας εἰρῆσθαι συμμαχίαν ἀποδειχθῆναι τοῦ ὑγιαίνοντος δόγματος.

'Αλλ' οὔτε τὴν ἰδίαν οὐσίαν, φησίν, ἐν τῷ γεννᾶν μερίζων καὶ ⟨ὁ⟩ αὐτὸς γεννῶν καὶ γεννώμενος ἢ ⟨ὁ⟩ αὐτὸς Πατὴρ γινόμενος καὶ Υἱός· ἔστι γὰρ ἄφθαρτος. Ὦ τῆς ἀνάγκης τοῦ συμπεράσματος! Τί λέγεις, ὦ σοφώτατε; διότι ἄφθαρτός ἐστιν, οὐ μερίζει τὴν ἰδίαν οὐσίαν γεννῶν τὸν Υἱὸν οὐδὲ ἑαυτὸν γεννᾷ **338** καὶ παρ' ἑαυτοῦ γεννᾶται οὔτε Πατὴρ ἅμα γίνεται ἑαυτοῦ καὶ Υἱός, ἐπειδή ἐστιν ἄφθαρτος[α]; οὐκοῦν εἴ τίς ἐστι φθαρτῆς φύσεως, τέμνει τὴν οὐσίαν ἐν τῷ γεννᾶν καὶ ὑφ' ἑαυτοῦ γεννᾶται καὶ ἑαυτὸν γεννᾷ καὶ πατὴρ καὶ υἱὸς αὐτὸς ἑαυτοῦ γίνεται, διότι ἄφθαρτος οὐκ ἔστιν[β]; Εἰ δὲ ταῦτα οὕτως ἔχει, οὐκ ἐγέννησε διὰ τὸ φθαρτὸς εἶναι ὁ 'Αβραὰμ τὸν 'Ισμαὴλ τε καὶ 'Ισαάκ, ἀλλ' ἑαυτὸν διά τε τῆς παιδίσκης καὶ τῆς νομίμου γαμετῆς ἐτεκνώσατο ἤ, κατὰ τὴν ἑτέραν τερατείαν τοῦ λόγου, ἐμέρισεν εἰς τοὺς γεννηθέντας ἑαυτοῦ τὴν οὐσίαν[2]· καὶ πρῶτον μὲν ἐπὶ τοῦ διὰ τῆς Ἄγαρ τόκου εἰς δύο τμήματα διαιρεθεὶς ἐν τῷ ἑνὶ τῶν ἡμιτόμων γίνεται 'Ισμαὴλ καὶ ἐν τῷ ἑτέρῳ διαμένει ἥμισυς 'Αβραάμ, μετὰ ταῦτα δὲ τὸ λειπόμενον τῆς τοῦ 'Αβραὰμ οὐσίας ἀπομερισθὲν τὸν 'Ισαὰκ ὑπεστήσατο. Οὐκοῦν τὸ τέταρτον τῆς τοῦ 'Αβραὰμ οὐσίας εἰς τὸν διπλοῦν τόκον τοῦ 'Ισαὰκ ἐμερίσθη, ὥστε τὸ ὄγδοον ἐν ἑκατέρῳ τῶν ἐγγόνων γενέσθαι. Πῶς ἄν τις ἐν τοῖς δώδεκα πατριάρχαις κερματίσειεν εἰς μέρη διαλεπτύνων τὸ ὄγδοον ἢ ἐν ταῖς πέντε καὶ ἑβδομήκοντα ψυχαῖς[3], ἐν αἷς ὁ 'Ιακὼβ κατῆλθεν εἰς **[496]** Αἴγυπτον; Καὶ τί

1. Πρβλ. 'Ιω. 14,9. 2. Πρβλ. Γεν. 17,20-21. Γαλ. 4,24 ἑξ. 3. Πρβλ. Γεν. 46,27.

α. Πρβλ. Κλήμεντος 'Αλεξανδρέως, Στρωματεῖς ΣΤ', XII, ΒΕΠ 8,217,20. PG 9,325B. Γρηγορίου Νύσσης, Περὶ τοῦ μὴ εἶναι τρεῖς θεοὺς πρὸς 'Αβλάβιον, κατωτέρω σ. 174,16.

β. Πρβλ. 'Ιππολύτου, Περὶ ἀναστάσεως καὶ ἀφθαρσίας, ΒΕΠ 6,192,4-11. PG 10,861C.

ταῦτα λέγω, δέον ἀπὸ τοῦ πρώτου ἀνθρώπου διελέγξαι τῶν λεγομένων τὴν ἄνοιαν· εἰ γὰρ μόνου τοῦ ἀφθάρτου ἐστὶν μὴ μερίζειν τὴν φύσιν ἐν τῷ γεννᾶν, φθαρτὸς δὲ ὁ Ἀδάμ, πρὸς ὃν ἐρρήθη ὅτι «γῆ εἶ καὶ εἰς γῆ ἀπελεύσῃ»[1], ἐμέριζε πάντως ἑαυτοῦ τὴν οὐσίαν, κατὰ τὸν λόγον τοῦ Εὐνομίου εἰς τοὺς παρ' ἑαυτοῦ γεννωμένους τεμνόμενος· τῷ δὲ πλήθει **339** τῶν ἐπιγινομένων, ἀναγκαίως τοῦ εὑρισκομένου παρ' ἑκάστῳ τῆς οὐσίας τμήματος κατὰ τὸν ἀριθμὸν τῶν τικτομένων διαιρουμένου, προδαπανᾶται τῆς τοῦ Ἀβραὰμ ὑποστάσεως ἡ τοῦ Ἀδὰμ οὐσία, ταῖς ἀπείροις τῶν ἐξ αὐτοῦ γεγονότων μυριάσι διὰ τῶν λεπτῶν τε καὶ ἀτόμων ἐκείνων μορίων σκεδασθεῖσα, καὶ οὐκέτι ἐνευρίσκεται λείψανον οὐσίας τὸ ἐκ τοῦ Ἀδὰμ εἰς τὸν Ἀβραὰμ καὶ τοὺς ἐξ αὐτοῦ μεριζόμενον, προαναλωθείσης ἐν ταῖς ἀπείροις τῶν πρὸ αὐτοῦ γεγονότων μυριάσι διὰ τῆς λεπτομερείας τῶν τμημάτων τῆς φύσεως.

Ὁρᾶτε τὴν ἄνοιαν τοῦ μὴ εἰδότος ἃ λέγει μηδὲ περὶ τίνων διαβεβαιοῦται[2]. Ἐν γὰρ τῷ εἰπεῖν· ἐπειδὴ ἄφθαρτός ἐστιν, οὔτε μερίζει τὴν οὐσίαν οὔτε ἑαυτὸν γεννᾷ οὔτε ἑαυτοῦ Πατὴρ γίνεται, ἔδωκεν ἐπὶ παντὸς τοῦ φθορᾷ ὑποκειμένου ἐκ τοῦ ἀκολούθου ἐκεῖνα νοεῖν ἐπὶ τῆς γεννήσεως συμβαίνειν, ὅσα μόνῳ τῷ ἀφθάρτῳ μὴ προσεῖναι διισχυρίσατο. Ἀλλὰ πολλῶν ὄντων καὶ ἄλλων τῶν δυναμένων ἐπιδεῖξαι τὴν ματαιότητα τῶν λεγομένων, ἀρκεῖν οἴομαι πρὸς ἀπόδειξιν τῆς ἀνοίας τὰ εἰρημένα. Τοῦτο δὲ πάντως προωμολόγηται παρὰ τοῖς ἐπισταμένοις πρὸς τὸ ἀκόλουθον βλέπειν, ὅτι μόνῳ τῷ Πατρὶ προσμαρτυρήσας τὸ ἄφθαρτον πάντα τὰ μετὰ τὸν Πατέρα νοούμενα τῇ πρὸς τὸ ἄφθαρτον ἀντιδιαστολῇ φθαρτὰ εἶναι κατασκευάζει, ὡς μηδὲ τὸν Υἱὸν φθορᾶς ἀποδεικνύειν ἐλεύθερον. Εἰ οὖν ἀντιδιαστέλλει τὸν Υἱὸν τῷ ἀφθάρτῳ, οὐ μόνον φθαρτὸν αὐτὸν εἶναι διορίζεται, ἀλλὰ καὶ τὰ ἄλλα πάντα περὶ αὐτοῦ κατασκευάζει, ὅσα μόνῳ τῷ ἀφθάρτῳ μὴ προσεῖναι λέγει. Ἀναγκαίως γὰρ **340** εἰ μόνος ὁ Πατὴρ οὔτε ἑαυτὸν γεννᾷ οὔτε ὑφ' ἑαυτοῦ γεννᾶται, πᾶν ὃ μὴ ἄφθαρτόν ἐστι καὶ ἑαυτὸ γεννᾷ καὶ ὑφ' ἑαυτοῦ γεννᾶται καὶ πατὴρ καὶ υἱὸς αὐτὸ ἑαυτοῦ γίνεται, πρὸς ἑκάτερα τῆς οὐσίας μεθαρμοζόμενον. Εἰ γὰρ μόνου τοῦ Πατρός ἐστι τὸ ἄφθαρτον εἶναι, ἴδιον δὲ τοῦ ἀφθάρτου τὸ μὴ ταῦτα εἶναι, οὔτε ἄφθαρτος πάντως ὁ Υἱὸς κατὰ τὸν τῆς αἱρέσεως λόγον καὶ ταῦτα πάντα περὶ αὐτὸν πάντως ἐστί, τὸ μερίζεσθαι τὴν οὐσίαν, τὸ τίκτειν ἑαυτὸν καὶ ὑφ' ἑαυτοῦ γεννᾶσθαι, ⟨τὸ⟩ πατέρα καὶ υἱὸν αὐτὸν ἑαυτοῦ γίνεσθαι.

Ἢ μάταιον ἴσως ἐπὶ πλέον ἐμφιλοχωρεῖν τοῖς ἀνοήτοις, ἀλλὰ πρὸς τὸ ἐφεξῆς τοῦ λόγου μετέλθωμεν. Προστίθησι γὰρ τούτοις· οὐκ ἐν τῷ ποιεῖν ὕλης ἢ μερῶν ἢ φυσικῶν ὀργάνων προσδεόμενος· ἔστι γὰρ παντὸς ἀπροσ-

1. Γεν. 3,19. 2. Πρβλ. Α΄ Τίμ. 1,7.

δ ε ή ς. Τοῦτο τὸ νόημα, εἰ καὶ ἀτονώτερον κατὰ τὴν λέξιν ἐκτίθεται ὁ Εὐνόμιος, ὅμως τῆς εὐσεβείας οὐκ ἀποβάλλομεν. Μαθόντες γὰρ ὅτι **[497]** «αὐτὸς εἶπε καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο καὶ ἐκτίσθησαν»[1], οἴδαμεν ὅτι ποιητής ἐστι τῆς ὕλης ὁ Λόγος, εὐθὺς συναπεργαζόμενος μετὰ τῆς ὕλης καὶ τὰς ποιότητας, ὡς εἶναι αὐτῷ τὰ πάντα καὶ ἀντὶ πάντων τὴν ὁρμὴν τοῦ παντοδυνάμου θελήματος, ὕλην, ὄργανον, τόπον, χρόνον, οὐσίαν, ποιότητα, πᾶν ὅ,τιπέρ ἐστιν ἐν τῇ κτίσει νοούμενον. Ὁμοῦ τε γὰρ ἠθέλησε τὸ δέον γενέσθαι καὶ συνέδραμεν ἡ ἐξεργαστικὴ τῶν ὄντων δύναμις τῷ νοήματι, ἔργον ποιοῦσα τὸ θέλημα. Οὕτω γὰρ φιλοσοφεῖ περὶ τῆς θείας δυνάμεως ὁ πολὺς Μωυσῆς ἐν τῇ κοσμογενείᾳ, προστακτικαῖς φωναῖς ἀνατιθεὶς ἑκάστου τῶν ἐν τῇ κτίσει φαινομένων τὴν ποίησιν. Εἶπε γάρ, φησίν, ὁ Θεὸς ὅτι «γενηθήτω φῶς, καὶ ἐγένετο **341** φῶς»[2]. Καὶ περὶ τῶν ἄλλων ὡσαύτως οὔτε ὕλης ἐμνήσθη οὔτε ὀργανικῆς ὑπουργίας. Οὐκοῦν οὐκ ἀπόβλητος ἐν τῷ μέρει τούτῳ τοῦ Εὐνομίου ὁ λόγος. Ὁ γὰρ Θεὸς κτίζων, ὅσα διὰ κτίσεως ἔσχε τὴν γένεσιν, οὔτε τινὸς ὑποκειμένης ὕλης οὔτε ὀργάνων εἰς τὴν κατασκευὴν ἐδεήθη· ἀπροσδεὴς γὰρ ἀλλοτρίας βοηθείας ἡ τοῦ Θεοῦ δύναμίς τε καὶ σοφία. Χριστὸς δέ ἐστιν ἡ τοῦ Θεοῦ δύναμις καὶ σοφία[3], δι' οὗ τὰ πάντα ἐγένετο καὶ οὗ χωρὶς τῶν ὄντων ἔστιν οὐδέν[4], καθὼς Ἰωάννης μαρτύρεται. Εἰ οὖν πάντα δι' αὐτοῦ ἐγένετο, ὁρατά τε καὶ ἀόρατα, ἐξαρκεῖ δὲ πρὸς τὴν τῶν ὄντων ὑπόστασιν ἡ βούλησις μόνη (δύναμις γάρ ἐστιν ἡ βούλησις), τὸν ἡμέτερον εἶπε λόγον ἐν ἀτονούσῃ τῇ λέξει Εὐνόμιος. Ὁ γὰρ τὰ σύμπαντα φέρων τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ[5] τίνος ἂν ὀργάνου καὶ ποίας ὕλης δεηθείη ἐν τῷ φέρειν διὰ τοῦ παντοδυνάμου ῥήματος τὴν τῶν ὄντων ὑπόστασιν; Εἰ δὲ ὅπερ ἐπὶ τῆς κτίσεως περὶ τοῦ Μονογενοῦς πεπιστεύκαμεν, τοῦτο ἐπὶ τοῦ Υἱοῦ κατασκευάζει, ὡς ὁμοιοτρόπως αὐτὸν τοῦ Πατρὸς κτίσαντος, καθάπερ παρὰ τοῦ Υἱοῦ ἡ κτίσις ἐγένετο, τὸν ἐν τοῖς ἔμπροσθεν ῥηθέντα λόγον καὶ νῦν πάλιν ἀναλαμβάνομεν, ὅτι ἡ τοιαύτη ὑπόληψις ἄρνησις τῆς τοῦ Μονογενοῦς ἐστι θεότητος. Ἡμεῖς γὰρ ἴδιον εἶναι τῶν εἰδωλολατρούντων παρὰ τῆς μεγάλης τοῦ Παύλου φωνῆς μεμαθήκαμεν τὸ σέβεσθαι καὶ λατρεύειν τῇ κτίσει παρὰ τὸν κτίσαντα[6], καὶ τοῦ Δαβὶδ εἰπόντος ὅτι «οὐκ ἔσται ἐν σοὶ Θεὸς πρόσφατος, οὐδὲ προσκυνήσεις Θεῷ ἀλλατρίῳ»[7], κανόνι τούτῳ καὶ γνώμονι χρώμεθα πρὸς τὴν τοῦ προσκυνουμένου ἐπίγνωσιν, ὥστε πεπεῖσθαι τοῦτο ἀληθῶς εἶναι **342** Θεὸν ὃ μήτε πρόσφατόν ἐστι μήτε ἀλλότριον. Ἐπειδὴ τοίνυν Θεὸν πιστεύειν εἶναι τὸν μονογενῆ Θεὸν ἐδιδάχθημεν, τὸ μήτε πρόσφατον αὐτὸν εἶναι μήτε ἀλλότριον συνομολογοῦμεν διὰ τοῦ πιστεύειν ὅτι ἐστὶ Θεός. Εἰ οὖν Θεός ἐστι, πρόσφατος οὐκ ἔστιν· εἰ δὲ μὴ πρόσφατος, ἀΐδιος πάντως

1. Ψαλ. 32,9. 2. Γεν. 1,3. 3. Πρβλ. Α' Κορ. 1,24. 4. Πρβλ. Ἰω. 1,3. 5. Πρβλ. Ἑβρ. 1,3. 6. Πρβλ. Ρωμ. 1,25. 7. Ψαλ. 80,9.

ἐστίν. Οὔτε οὖν πρόσφατός[α] ἐστιν ὁ ἀΐδιος οὔτε ἀλλότριος τῆς ἀληθινῆς θεότητος ὁ ἐκ τοῦ Πατρὸς ὢν καὶ ἐν τοῖς κόλποις ὢν τοῦ Πατρὸς καὶ ἐν ἑαυτῷ τὸν Πατέρα ἔχων. Ὥστε ὁ ἀποσχίζων τῆς τοῦ Πατρὸς φύσεως τὸν Υἱὸν ἢ καθόλου ἀθετεῖ τὴν προσκύνησιν, ἵνα μὴ ἀλλοτρίῳ Θεῷ προσκυνήσῃ, **[500]** ἢ εἴδωλον σέβεται, κτίσμα καὶ οὐ Θεὸν τῆς προσκυνήσεως αὐτοῦ προστησάμενος καὶ Χριστὸν ὄνομα τῷ εἰδώλῳ θέμενος.

Ὅτι δὲ πρὸς ταύτην βλέπει τὴν διάνοιαν ἐν τῇ περὶ τοῦ Μονογενοῦς ὑπολήψει, φανερώτερον ἂν γένοιτο δι' ὧν τὰ περὶ αὐτοῦ τοῦ Μονογενοῦς διεξέρχεται, τοῦτον ἔχοντα τὸν τρόπον· *πιστεύομεν καὶ εἰς τὸν τοῦ Θεοῦ Υἱόν, τὸν μονογενῆ Θεόν, πρωτότοκον πάσης κτίσεως, Υἱὸν ἀληθινόν, οὐκ ἀγέννητον, ἀληθῶς γεννηθέντα πρὸ αἰώνων, οὐκ ἄνευ τῆς πρὸ τοῦ εἶναι γεννήσεως ὀνομαζόμενον Υἱόν, πρὸ πάσης κτίσεως γενόμενον, οὐκ ἄκτιστον.* Ἀρκεῖν ἡγοῦμαι μόνην τὴν ἀνάγνωσιν τῶν ἐκτεθέντων καὶ δίχα τῆς παρ' ἡμῶν ἐξετάσεως φανερῶσαι τοῦ δόγματος τὴν ἀσέβειαν. Πρωτότοκον γὰρ εἰπὼν αὐτόν, ἵνα μή τινα τοῖς ἀκούουσιν ἀμφιβολίαν ἐμποιήσῃ τοῦ μὴ εἶναι αὐτὸν κτιστόν, ἐπήγαγεν εὐθὺς τὸ *οὐκ ἄκτιστον*, ἵνα μή ποτε τῆς τοῦ Υἱοῦ σημασίας ὡς πέφυκε νοηθείσης εὐσεβές τι περὶ αὐτοῦ νόημα τοῖς ἀκηκοόσιν ἐγγένηται· τούτου χάριν ὁμολογήσας ἐν πρώτοις Υἱὸν Θεοῦ καὶ μονογενῆ Θεὸν εὐθὺς **343** διὰ τῶν ἐπιφερομένων παρατρέπει τῶν ἀκουόντων τὴν γνώμην πρὸς τὴν αἱρετικὴν διάνοιαν ἀπὸ τῆς εὐσεβοῦς ὑπολήψεως. Ὁ γὰρ ἀκούσας Υἱὸν Θεοῦ καὶ μονογενῆ Θεὸν ἀναγκαίως πρὸς τὰς ὑψηλοτέρας ἐμφάσεις ἀνάγεται διὰ τῆς τῶν φωνῶν τούτων σημασίας χειραγωγούμενος, τῷ μηδεμίαν φύσεως διαφορὰν ὑπὸ τῆς Θεὸς φωνῆς καὶ ὑπὸ τῆς σημασίας τοῦ Υἱοῦ παρεισάγεσθαι. Πῶς γὰρ ἂν ἄλλο τι παρὰ τὴν τοῦ Πατρὸς νοηθείη φύσιν ὁ ἀληθῶς Θεοῦ Υἱὸς ὢν καὶ αὐτὸς Θεὸς ὤν; Ἀλλ' ἵνα μὴ φθάσῃ ταῖς καρδίαις τῶν ἀκηκοότων ἐντυπωθῆναι διὰ τῶν ὀνομάτων τούτων τὰ τῆς εὐσεβείας νοήματα, εὐθὺς λέγει κτίσεως αὐτὸν πρωτότοκον *οὐκ ἄνευ τῆς πρὸ τοῦ εἶναι γεννήσεως ὀνομαζόμενον Υἱόν, πρὸ πάσης κτίσεως γενόμενον, οὐκ ἄκτιστον*. Ὡς ἂν οὖν φανείη καὶ τὰς πρώτας φωνὰς ὁ κακοῦργος ἀντὶ δελεάματος τοῖς ἀνθρώποις προτείνων, ὥστε παραδεχθῆναι τὸ δηλητήριον οἷόν τινι μέλιτι τοῖς εὐσεβεστέροις ὀνόμασι γλυκαινόμενον, μικρὸν τῷ λόγῳ προσδιατρίψωμεν. Τίς οὐκ οἶδεν ὅση τοῦ μονογενοῦς πρὸς τὸν πρωτότοκον ἡ κατὰ τὸ σημαινόμενόν ἐστι διαφορά; Οὔτε γὰρ μονογενὴς μετὰ ἀδελφῶν νοεῖται οὔτε χωρὶς ἀδελφῶν

α. Πρβλ. Διδύμου Ἀλεξανδρέως, Ἀντιρρητικός, κατὰ Εὐνομίου, ΒΕΠ 44, 230,8. PG 29,689B.

ὁ πρωτότοκος[α], ἀλλ' ὁ μὲν πρωτότοκος μονογενὴς οὐκ ἔστιν· ἀδελφῶν γάρ ἐστι πάντως πρωτότοκος· ὁ δὲ μονογενὴς ἀδελφὸν οὐκ ἔχει· οὐ γὰρ ἂν εἴη μονογενὴς ἐν ἀδελφοῖς ἀριθμούμενος. Καὶ ἔτι πρὸς τούτοις, ἧσπερ ἂν οὐσίας ὦσιν οἱ ἀδελφοὶ τοῦ πρωτοτόκου, τῆς αὐτῆς ἔσται πάντως καὶ ὁ πρωτότοκος. Καὶ οὐ τοῦτο μόνον ὑπὸ τῆς φωνῆς ταύτης σημαίνεται, ἀλλ' ὅτι καὶ παρὰ τοῦ αὐτοῦ τὸ εἶναι ἔχει αὐτός τε ὁ πρωτότοκος καὶ οἱ μετ' ἐκεῖνον γενόμενοι, οὐδὲν τοῦ πρωτοτόκου πρὸς τὴν γέννησιν τῶν ἐφεξῆς συνεισφέροντος. Ὡς διὰ τούτων ψευδῆ τοῦ Ἰωάννου τὴν φωνὴν **344** εἶναι κατασκευάζεσθαι τὴν μαρτυροῦσαν ὅτι «πάντα δι' αὐτοῦ ἐγένετο»[1]. Εἰ γὰρ πρωτότοκός ἐστιν, μόνοις τοῖς κατὰ τὸν χρόνον πρεσβείοις τῶν μετ' αὐτὸν γεγονότων διαφέρει πάντως, ἄλλου **[501]** ὄντος δι' οὗ καὶ τούτῳ καὶ τοῖς λοιποῖς, ἡ πρὸς τὸ εἶναι γέγονε δύναμις. Ἀλλ' ὡς ἂν μή τινι τῶν συκοφαντούντων ὑπόνοιαν δοίημεν ὡς μὴ παραδεχόμενοι τὰς θεοπνεύστους φωνὰς δι' ὧν ἐνιστάμεθα, πρότερον τὴν ἡμετέραν διάνοιαν, ἣν ἔχομεν περὶ τῶν ὀνομάτων τούτων, παραθησόμεθα, εἶθ' οὕτω τὴν τοῦ βελτίονος κρίσιν τοῖς ἀκροωμένοις προσθήσομεν.

Ὁ μέγας Παῦλος εἰδὼς ὅτι παντὸς ἀγαθοῦ ἀρχηγός τε καὶ αἴτιος ὁ μονογενής ἐστι Θεὸς ὁ ἐν πᾶσι πρωτεύων[2], προσμαρτυρεῖ αὐτῷ τὸ μὴ μόνον τὴν τῶν ὄντων κτίσιν δι' ἐκείνου γενέσθαι, ἀλλ' ὅτι τῆς ἀρχαίας τῶν ἀνθρώπων κτίσεως παλαιωθείσης τε καὶ ἀφανισθείσης, καθὼς αὐτὸς ὀνομάζει, ἄλλης δὲ καινῆς κτίσεως ἐν Χριστῷ γενομένης[3], οὐδὲ ταύτης ἄλλος τις καθηγήσατο, ἀλλὰ πάσης τῆς διὰ τοῦ Εὐαγγελίου τῶν ἀνθρώπων γενομένης κτίσεως αὐτός ἐστιν ὁ πρωτότοκος. Καὶ ὡς ἂν σαφέστερον γένοιτο τὸ περὶ τούτου νόημα, οὑτωσὶ τὸν λόγον διαληψόμεθα. Τετράκις τῆς φωνῆς ταύτης μέμνηται ὁ θεῖος Ἀπόστολος, ἅπαξ μὲν οὕτως εἰπὼν ὅτι πρωτότοκος πάσης κτίσεως[4], πάλιν δὲ ὅτι πρωτότοκος ἐν πολλοῖς ἀδελφοῖς, ἐκ τρίτου δὲ ὅτι πρωτότοκος ἐκ τῶν νεκρῶν[5], μετὰ ταῦτα δὲ ἀπόλυτόν τε καὶ ἀσυζυγῆ τὴν φωνὴν παρατίθεται εἰπών· «ὅταν δὲ πάλιν εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, λέγει· καὶ **345** προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ»[6]. Οὐκοῦν ἥνπερ ἂν διάνοιαν ἐπὶ τῶν ἄλλων συζυγιῶν τοῦ ὀνόματος τούτου κατανοήσωμεν, ἀκολούθως τὴν αὐτὴν καὶ τῷ πρωτοτόκῳ τῆς κτίσεως ἐφαρμόσομεν. Μιᾶς γὰρ καὶ τῆς αὐτῆς οὔσης φωνῆς, ἀνάγκη πᾶσα μίαν εἶναι καὶ τὴν σημαινομένην διάνοιαν. Πῶς γίνεται τοίνυν πρωτότοκος ἐν πολλοῖς ἀδελφοῖς[7]; πῶς δὲ ἐκ νεκρῶν πρωτότοκος[8]; ἢ τοῦτο πάντως ἐστὶ δῆλον, ὅτι διὰ τὸ

---

1. Ἰω. 1,3. 2. Πρβλ. Κολ. 1,18. 3. Πρβλ. Β' Κορ. 5,17. 4. Πρβλ. Κολ. 1,15. Ρωμ. 8,29. 5. Πρβλ. Κολ. 1,18. 6. Ἑβρ. 1,6. 7. Πρβλ. Ρωμ. 8,29. 8. Πρβλ. Κολ. 1,18.

α. Πρβλ. Μ. Ἀθανασίου, Πρὸς τοὺς κελεύοντας ἁπλῶς πιστεύειν τοῖς λεγομένοις καὶ μὴ κατανοεῖν τὸ πρέπον ἢ ἀπρεπές, ΒΕΠ 37,64,35. PG 28,1392A.

γενέσθαι ἡμᾶς αἷμα καὶ σάρκα, καθώς φησιν ἡ Γραφή[1], ὁ δι' ἡμᾶς γενόμενος καθ' ἡμᾶς καὶ σαρκὸς καὶ αἵματος κοινωνήσας, μέλλων ἡμᾶς μεταποιεῖν ἐκ τοῦ φθαρτοῦ πρὸς τὸ ἄφθαρτον διὰ τῆς ἄνωθεν γεννήσεως[2] τῆς δι' ὕδατος καὶ πνεύματος αὐτὸς τοῦ τοιούτου τόκου καθηγήσατο, διὰ τοῦ ἰδίου βαπτίσματος τὸ Ἅγιον Πνεῦμα ἐπὶ τὸ ὕδωρ ἐπισπασάμενος, ὥστε πάντων τῶν πνευματικῶς ἀναγεννωμένων πρωτότοκον αὐτὸν γενέσθαι καὶ ἀδελφοὺς ὀνομάσαι τοὺς τῆς ὁμοίας αὐτῷ διὰ τοῦ ὕδατος καὶ τοῦ πνεύματος[3] μετεσχηκότας γεννήσεως. Ἐπειδὴ δὲ καὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως ἔδει αὐτὸν ἐναποθέσθαι τῇ φύσει τὴν δύναμιν, πάλιν γίνεται ἀπαρχὴ τῶν κεκοιμημένων καὶ πρωτότοκος ἐκ τῶν νεκρῶν ὁ πρῶτος δι' ἑαυτοῦ λύσας τὰς ὠδῖνας τοῦ θανάτου[4], ὥστε καὶ ἡμῖν ὁδοποιηθῆναι τὴν ἐκ τοῦ θανάτου παλιγγενεσίαν, διὰ τῆς τοῦ Κυρίου ἀναστάσεως τῆς ὠδῖνος τοῦ θανάτου λυθείσης, ἐν ᾧ κατειχόμεθα. Ὥσπερ οὖν μετασχὼν τῆς διὰ τοῦ λουτροῦ ἀναγεννήσεως ἀδελφῶν πρωτότοκος γίνεται, καὶ πάλιν ἀπαρχὴν τῆς ἀναστάσεως αὐτὸν ποιήσας, πρωτότοκος ἐκ τῶν νεκρῶν ὀνομάζεται, οὕτως ἐν πᾶσι πρωτεύων μετὰ τὸ παρελθεῖν τὰ ἀρχαῖα πάντα[5], **[504]** καθώς φησιν ὁ Ἀπόστολος, τῆς καινῆς **346** ἐν Χριστῷ κτίσεως τῶν ἀνθρώπων πρωτότοκος γίνεται, διὰ τῆς διπλῆς παλιγγενεσίας, τῆς τε κατὰ τὸ ἅγιον βάπτισμα καὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως, ἀρχηγὸς τῆς ζωῆς καθ' ἑκάτερον ἡμῖν γενόμενος καὶ ἀπαρχὴ καὶ πρωτότοκος. Οὗτος οὖν ὁ πρωτότοκος καὶ ἀδελφοὺς ἔχει, περὶ ὧν φησι πρὸς τὴν Μαρίαν ὅτι πορεύθητι καὶ εἰπὲ τοῖς ἀδελφοῖς μου, πορεύομαι πρὸς τὸν Πατέρα μου καὶ Πατέρα ὑμῶν καὶ Θεόν μου καὶ Θεὸν ὑμῶν[6]. Ὅλον γὰρ τῆς κατὰ ἄνθρωπον οἰκονομίας ἀνακεφαλαιοῦται τὸν σκοπὸν διὰ τῶν εἰρημένων. Ἀποστάντες γὰρ τοῦ Θεοῦ οἱ ἄνθρωποι ἐδούλευσαν τοῖς φύσει μὴ οὖσι θεοῖς[7], καὶ ὄντες τέκνα Θεοῦ τῷ πονηρῷ τε καὶ ψευδωνύμῳ πατρὶ προσῳκειώθησαν. Διὰ τοῦτο ὁ μεσίτης Θεοῦ καὶ ἀνθρώπων[8] πάσης τῆς ἀνθρωπίνης φύσεως τὴν ἀπαρχὴν ἀναλαβὼν οὐκ ἐκ τοῦ θείου προσώπου, ἀλλ' ἐκ τοῦ ἡμετέρου πέμπει τοῖς ἀδελφοῖς ἑαυτοῦ τὰ δηλώματα, λέγων ὅτι· πορεύομαι δι' ἐμαυτοῦ ποιῆσαι ὑμῶν πατέρα τὸν ἀληθινὸν Πατέρα, οὗ ἐχωρίσθητε, καὶ ποιῆσαι δι' ἐμαυτοῦ Θεὸν ὑμῶν τὸν ἀληθινὸν Θεόν, οὗ ἀπέστητε· διὰ γὰρ τῆς ἀπαρχῆς, ἣν ἀνέλαβον, προσάγω ἅπαν τῷ Θεῷ καὶ Πατρὶ ἐν ἐμαυτῷ τὸ ἀνθρώπινον.

Τῆς οὖν ἀπαρχῆς Θεὸν ἑαυτῆς ποιησαμένης τὸν ὄντα Θεὸν καὶ πατέρα τὸν ἀγαθὸν Πατέρα, πάσῃ κατορθοῦται τῇ φύσει τὸ ἀγαθὸν καὶ πάντων ἀνθρώπων γίνεται διὰ τῆς ἀπαρχῆς Πατὴρ καὶ Θεός. «Εἰ δὲ ἡ ἀπαρχὴ ἁγία», φησί, «καὶ τὸ φύραμα»[9]. Ὅπου δὲ ἡ ἀπαρχή

1. Πρβλ. Ματθ. 16,17. Ἰω. 1,13. Α' Κορ. 15,50. 2. Πρβλ. Ἰω. 3,3. 3. Πρβλ. Ἰω. 3,5. 4. Πρβλ. Πράξ. 2,24. 5. Πρβλ. Β' Κορ. 5,17. 6. Πρβλ. Ἰω. 20,17. 7. Πρβλ. Γαλ. 4,8. 8. Πρβλ. Α' Τιμ. 2,5. 9. Ρωμ. 11,16.

[Χριστός], Χριστὸς δὲ ἡ ἀπαρχή[α], ἐκεῖ καὶ οἱ τοῦ Χριστοῦ[1], καθώς φησιν ὁ Ἀπό**347**στολος. Ἐν οἷς οὖν διὰ συζυγίας τὴν μνήμην τοῦ πρωτοτόκου πεποίηται νεκρῶν τε καὶ κτίσεως καὶ ἀδελφῶν μνημονεύσας, ταῦτα καὶ τὰ τοιαῦτα νοεῖν ὑποτίθεται· ὅπου δὲ δίχα τῆς τοιαύτης προσθήκης φησίν «ὅταν δὲ πάλιν εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, λέγει»[2], ἡ τοῦ πάλιν προσθήκη τὴν ἐπὶ τέλει γενησομένην τοῦ Δεσπότου τῶν ὅλων ἐμφάνειαν προσαγορεύει. Ὡς γὰρ ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμπτει, ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων[3], καίτοι ὁ Υἱὸς τὸ ἀνθρώπινον ὄνομα οὐκ ἔχει τῷ ὑπὲρ πᾶν εἶναι ὄνομα[4], οὕτως παρὰ πάσης τῆς ὑπερκοσμίου κτίσεως προσκυνεῖσθαι τὸν πρωτότοκον λέγει τὸν δι' ἡμᾶς οὕτως ὠνομασμένον, πάλιν εἰς τὴν οἰκουμένην εἰσιόντα, ὅταν κρίνῃ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ καὶ λαοὺς ἐν εὐθύτητι[5]. Οὕτω διακρίνεται παρὰ τοῦ λόγου τῆς εὐσεβείας τό τε τοῦ πρωτοτόκου καὶ τὸ τοῦ μονογενοῦς σημαινόμενον, ἑκατέρῳ τῶν ὀνομάτων τῆς καταλλήλου σημασίας φυλασσομένης· ὁ δὲ εἰς τὴν προαιώνιον ὕπαρξιν ἀνάγων τοῦ πρωτοτόκου τὸ ὄνομα πῶς διασῴζει τὴν τοῦ μονογενοῦς ἔννοιαν; Ὁ συνετὸς ἀκροατὴς ἐπισκεψάσθω, εἰ συμβαίνει ταῦτα πρὸς ἄλληλα, μήτε τοῦ πρωτοτόκου χωρὶς ἀδελφῶν νοουμένου μήτε τοῦ μονογενοῦς μετὰ ἀδελφῶν. Ὅταν μὲν γὰρ εἴπῃ ὅτι «Ἐν ἀρχῇ ἦν ὁ λόγος»[6], διὰ τούτου τὸν Μονογενῆ ἐνοήσαμεν· ὅταν δὲ ἐπαγάγῃ ὅτι «ὁ λόγος σὰρξ ἐγένετο»[7], διὰ τούτου τὸν πρωτότοκον τῇ διανοίᾳ παρ**[505]**εδεξάμεθα· καὶ οὕτως ἀσύγχυτος μένει τῆς εὐσεβείας ὁ λόγος, φυλάσσων ἑκατέρῳ τῶν ὀνομάτων τὰς προσφυεῖς σημασίας, ὡς ἐν μὲν τῷ μονογενεῖ βλέπειν τὸ προαιώνιον, **348** διὰ δὲ τοῦ πρωτοτόκου τῆς κτίσεως τὴν διὰ σαρκὸς τοῦ προαιωνίου φανέρωσιν.

Πάλιν δὲ τοῦ Εὐνομίου τὸν λόγον ἐπὶ λέξεως ἀναλάβωμεν. Πιστεύομεν καὶ εἰς τὸν τοῦ Θεοῦ Υἱόν, τὸν μονογενῆ Θεόν, τὸν πρωτότοκον πάσης κτίσεως, Υἱὸν ἀληθινόν, οὐκ ἀγέννητον, ἀληθῶς γεννηθέντα πρὸ αἰώνων. Ὅτι μὲν οὖν μετάγει τὴν τῆς γεννήσεως ἔμφασιν εἰς τὸ τῆς κτίσεως σημαινόμενον, δῆλόν ἐστιν ἐξ ὧν διαρρήδην κτιστὸν αὐτὸν προσηγόρευσε, γενόμενον αὐτὸν εἰπὼν καὶ οὐκ ἄκτιστον. Ἡμεῖς δέ, ὡς ἂν μάλιστα τὸ ἀνεπίσκεπτον αὐτοῦ καὶ ἀπαίδευτον ἐν τοῖς δόγμασιν φανερωθείη, ἀφέντες τὸ σχετλιάζειν ἐπὶ τῷ προδήλῳ τῆς βλασφημίας τεχνικῇ τινι διαιρέσει τὸν περὶ τούτου λόγον διαληψόμεθα. Δοκεῖ γάρ μοι καλῶς ἔχειν αὐτὸ τὸ

---

1. Πρβλ. Α´ Κορ. 15,23. 2. Ἑβρ. 1,6. 3. Πρβλ. Φιλιπ. 2,10. 4. Πρβλ. Φιλιπ. 2,9. Ἐφ. 1,21. 5. Πρβλ. Ψαλ. 97,9. 6. Ἰω. 1,1. 7. Ἰω. 1,14.

α. Πρβλ. Μ. Ἀθανασίου, Κατὰ Ἀρειανῶν Δ´, 33, ΒΕΠ 30,327,36 ἑξ. PG 28,1385Α. Γρηγορίου Νύσσης, Εἰς τό· «Ὅταν ὑποταγῇ αὐτῷ τὰ πάντα...». ΒΕΠ 66,432,29. 433,27.

τῆς γεννήσεως σημαινόμενον δι' ἐπιμελεστέρας ἐξετάσεως διασκοπῆσαι τῷ λόγῳ. Ὅτι μὲν οὖν τὸ ἐξ αἰτίας εἶναί τινος τὸ ὄνομα τοῦτο παρίστησι, παντὶ δῆλόν ἐστι, καὶ οὐδὲν οἶμαι χρῆναι περὶ τούτου διαγωνίζεσθαι· ἀλλ' ἐπειδὴ διάφορος τῶν ἐξ αἰτίας ὑφεστώτων ὁ λόγος ἐστί, τοῦτ' οἶμαι προσήκειν διά τινος τεχνικῆς διαιρέσεως σαφηνισθῆναι τῷ λόγῳ. Τῶν τοίνυν ἔκ τινος αἰτίας γεγενημένων ταύτας τὰς διαφορὰς κατειλήφαμεν. Τὰ μὲν γὰρ ἐξ ὕλης ἐστὶ καὶ τέχνης, ὡς αἱ τῶν οἰκοδομημάτων καὶ τῶν λοιπῶν ἔργων κατασκευαὶ ⟨αἱ⟩ διὰ τῆς καταλλήλου ὕλης γινόμεναι, ὧν καθηγεῖταί τις τέχνη πρὸς τὸν ἴδιον σκοπὸν τὸ προτεθὲν συμπεραίνουσα, τὰ δὲ ἐξ ὕλης καὶ φύσεως· τὰς γὰρ ἐξ ἀλλήλων γενέσεις τῶν ζῴων ἡ φύσις **349** οἰκοδομεῖ, διὰ τῆς ἐν τοῖς σώμασιν ὑλικῆς ὑποστάσεως τὸ ἑαυτῆς ἐνεργοῦσα· τὰ δὲ ἐξ ὑλικῆς ἀπορροίας, ἐφ' ὧν καὶ τὸ προηγούμενον μένει οἷόν ἐστιν καὶ τὸ ἀπ' ἐκείνου ῥέον ἐφ' ἑαυτοῦ καθορᾶται, ὡς ἐπὶ τοῦ ἡλίου καὶ τῆς ἀκτῖνος ἢ ἐπὶ τῆς λαμπάδος καὶ τῆς αὐγῆς ἢ ἐπὶ τῶν ἀρωμάτων τε καὶ τῶν μύρων καὶ τῆς ἐκεῖθεν ἐκδιδομένης ποιότητος. Ταῦτα γὰρ ἐφ' ἑαυτῶν ἀμείωτα μένοντα εὐθὺς ἔχει συμπαρομαρτοῦσαν ἕκαστον τὴν ἀπ' αὐτῶν ἐκδιδομένην φυσικὴν ἰδιότητα, οἷον ὁ μὲν ἥλιος τὴν ἀκτῖνα, ἡ δὲ λαμπὰς τὴν αὐγήν, τὰ δὲ ἀρώματα τὴν τῷ ἀέρι ἐντικτομένην ἐξ αὐτῶν εὐωδίαν. Ἔστι καὶ ἕτερον εἶδος παρὰ ταῦτα γεννήσεως, οὗ ἡ μὲν αἰτία ἄυλός ἐστι καὶ ἀσώματος[α], ἡ δὲ γέννησις αἰσθητή τε καὶ διὰ σώματος, λέγω δὲ τὸν ἐκ τοῦ νοῦ γεννώμενον λόγον· ἀσώματος γὰρ ὢν καθ' ἑαυτὸν ὁ νοῦς διὰ τῶν αἰσθητῶν ὀργάνων τίκτει τὸν λόγον. Τοσαύτας γεννήσεων διαφοράς, οἷον ἐν γενικῇ τινι θεωρίᾳ κατενοήσαμεν.

Τούτων τοίνυν τῶν τῆς γεννήσεως τρόπων οὕτως ἡμῖν διῃρημένων, καιρὸς ἂν εἴη κατιδεῖν, πῶς ἡ φιλάνθρωπος τοῦ Ἁγίου Πνεύματος οἰκονομία παραδιδοῦσα τὰ θεῖα μυστήρια διὰ τῶν ἡμῖν χωρητῶν τὴν διδασκαλίαν ποιεῖται τῶν ὑπὲρ λόγον. Πάντα γὰρ τὰ **[508]** τῆς γεννήσεως εἴδη, ὅσα ἡ ἀνθρωπίνη γινώσκει διάνοια, ἡ θεόπνευστος διδασκαλία πρὸς τὴν παράστασιν τῆς ἀρρήτου δυνάμεως παραλαμβάνει, οὐ συμπαραδεχομένη τὰς σωματικὰς τῶν ὀνομάτων ἐμφάσεις. Ὅταν μὲν γὰρ περὶ τῆς κατασκευαστικῆς λέγῃ δυνάμεως, γέννησιν μὲν ὀνομάζει τὴν τοιαύτην ἐνέργειαν διὰ τὸ δεῖν πρὸς τὸ ταπεινὸν τῆς ἡμετέρας δυνάμεως καταβῆναι **350** τὸν Λόγον, οὐ μὴν συνενδείκνυται τὰ ὅσα παρ' ἡμῖν τῇ κατασκευαστικῇ γενέσει

α. Πρβλ. Εἰρηναίου, Ἔλεγχος καὶ ἀνατροπὴ τῆς ψευδωνύμου γνώσεως, βιβλ. Γ', ΒΕΠ 5,150,5-12. PG 7,939A. Ὠριγένους, Κατὰ Κέλσου, Στ', LXXIII, ΒΕΠ 10,115,28 ἑξ. PG 11,1408C. Σχόλια εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον PG 17,289C. Μ. Βασιλείου, Εἰς τὴν ἁγίαν τοῦ Χριστοῦ Γέννησιν, ΒΕΠ 54, 228,3 ἑξ. Γρηγορίου Νύσσης, Πρὸς τὰ Ἀπολιναρίου Ἀντιρρητικός, W. Jaeger III,I, 174,13 ἑξ. PG 45,1184B. Ἐπιτάφιος εἰς τὸν ἴδιον ἀδελφὸν Βασίλειον, PG 46,789A.

συνθεωρεῖται, οὐ τόπον, οὐ χρόνον, οὐχ ὕλης παρασκευήν, οὐκ ὀργάνων συνεργίαν, οὐ τὸν ἐπὶ τοῖς γινομένοις κόπον, ἀλλὰ ταῦτα ἡμῖν καταλιποῦσα μεγαλοφυῶς τε καὶ ὑψηλῶς τῷ Θεῷ προσμαρτυρεῖ τῶν ὄντων τὴν γένεσιν ἐν οἷς φησιν ὅτι «αὐτὸς εἶπε καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο καὶ ἐκτίσθησαν»[1]. Πάλιν ὅταν τὴν ἀπόρρητόν τε καὶ ὑπὲρ λόγον τοῦ Μονογενοῦς ἐκ τοῦ Πατρὸς ὕπαρξιν ἑρμηνεύῃ, διὰ τὸ ἀχώρητον εἶναι τὴν ἀνθρωπίνην πτωχείαν τῶν ὑπὲρ λόγον τε καὶ ἔννοιαν διδαγμάτων κἀκεῖ τοῖς ἡμετέροις συγκέχρηται καὶ Υἱὸν ὀνομάζει, ὅπερ ἡ παρ' ἡμῖν συνήθεια τοῖς ἀπὸ ὕλης καὶ φύσεως ἀποτικτομένοις ὄνομα τίθεται. 'Αλλ' ὥσπερ τὴν [διὰ] τῆς κτίσεως γένεσιν εἰπὼν ὁ λόγος ἐπὶ Θεοῦ τὸ διά τινος ὕλης γενέσθαι αὐτὴν οὐ προσέθηκεν, οὐσίαν ὕλης καὶ τόπον καὶ χρόνον καὶ πάντα τὰ τοιαῦτα τὴν τοῦ θείου θελήματος εἶναι δύναμιν ἀποφηνάμενος, οὕτως καὶ ἐνταῦθα Υἱὸν εἰπὼν ἀφῆκε πάντα τά τε ἄλλα, ὅσα περὶ τὴν κάτω γέννησιν ἡ ἀνθρωπίνη φύσις ὁρᾷ, πάθη τε λέγω καὶ διαθέσεις καὶ τὴν ἐκ τοῦ χρόνου συνεργίαν καὶ τὴν τοῦ τόπου χρείαν καὶ πρὸ πάντων τὴν ὕλην, ὧν ἄνευ πάντων ἡ κάτω γέννησις ἐκ τῆς φύσεως οὐ συνίσταται. Πάσης δὲ τῆς τοιαύτης ⟨ἐννοίας⟩ ὑλικῆς τε καὶ διαστηματικῆς μὴ συμπαραληφθείσης ἐν τῇ τοῦ Υἱοῦ σημασίᾳ, μόνη ὑπελείφθη ἡ φύσις, καὶ διὰ τοῦτο τῇ τοῦ Υἱοῦ φωνῇ τὸ οἰκεῖον καὶ γνήσιον τῆς ἐκ τοῦ Πα- **351** τρὸς ἀναδείξεως ἐπὶ τοῦ Μονογενοῦς ἑρμηνεύεται. Καὶ ἐπειδὴ οὐχ ἱκανὸν ἦν τὸ τοιοῦτον τῆς γεννήσεως εἶδος ἀρκοῦσαν ἡμῖν ἐμποιῆσαι τῆς ἀρρήτου τοῦ Μονογενοῦς ὑπάρξεως τὴν φαντασίαν, συμπαραλαμβάνει καὶ τὸ ἕτερον τῆς γεννήσεως εἶδος πρὸς σημασίαν τῆς τοῦ Υἱοῦ θεολογίας τὸ ἐκ τῆς ὑλικῆς ἀπορροίας, καί φησιν ἀπαύγασμα δόξης[2] καὶ ὀσμὴν μύρου[3] καὶ ἀτμίδα Θεοῦ[4], ἅπερ ἐν τῇ ἐκτεθείσῃ παρ' ἡμῶν τεχνολογίᾳ ἡ καθ' ἡμᾶς συνήθεια ὑλικὴν ἀπόρροιαν ὀνομάζει. 'Αλλ' ὥσπερ ἐν τοῖς προειρημένοις οὔτε ἡ τῆς κτίσεως γένεσις οὔτε ἡ τοῦ Υἱοῦ σημασία ἢ χρόνον ἢ ὕλην ἢ τόπον ἢ πάθος συμπαρεδέξατο, οὕτως καὶ ἐνταῦθα πάσης τῆς ὑλικῆς ἐννοίας ⟨ἐκκαθάρας⟩ τὴν τοῦ ἀπαυγάσματος καὶ τῶν λοιπῶν τῶν μνημονευθέντων σημασίαν, μόνον τὸ θεοπρεπὲς τοῦ τοιούτου τῆς γεννήσεως εἴδους ὁ λόγος παραλαβὼν ἐνδείκνυται τὸ δεῖν ἐξ αὐτοῦ τε καὶ μετ' αὐτοῦ κατὰ ταὐτὸν νοεῖσθαι διὰ τῆς κατὰ τὴν λέξιν ταύτην ἐμφάσεως. Οὔτε γὰρ **[509]** ἡ ἀτμὶς τὴν εἰς ἀέρα διάχυσιν ἐκ τῆς ὑποκειμένης ὕλης παρίστησιν οὔτε ἡ ὀσμὴ τὴν ἐκ τῆς ποιότητος τοῦ μύρου γινομένην πρὸς τὸν ἀέρα μετάστασιν οὔτε τὸ ἀπαύγασμα τὴν τοῦ ἡλιακοῦ σώματος διὰ τῶν ἀκτίνων γινομένην ἀπόρροιαν, ἀλλὰ τοῦτο μόνον ἐκ πάντων, καθὼς εἴρηται, διὰ τοῦ τοιούτου τῆς γεννήσεως τρόπου δηλοῦται, τὸ ἐξ ἐκείνου τε εἶναι καὶ μετ' ἐκείνου νοεῖσθαι, μηδενὸς διαστήματος με-

1. Ψαλ. 32,9. 148,5. 2. Πρβλ. Ἑβρ. 1,3. 3. Πρβλ. Ἰω. 12,3. 4. Πρβλ. Σ. Σολ. 7,25.

ταξὺ τοῦ Πατρὸς καὶ τοῦ ἐξ αὐτοῦ μεσιτεύοντος. Ἐπειδὴ δὲ διὰ πλείονα φιλανθρωπίαν ἡ τοῦ Ἁγίου Πνεύματος χάρις πολλαχόθεν ἡμῖν ἐγγενέσθαι τὰς θείας **352** περὶ τοῦ Μονογενοῦς ὑπολήψεις ᾠκονομήσατο, προσέθηκε καὶ τὸ λειπόμενον τῶν ἐν γεννήσει θεωρουμένων εἶδος, τὸ ἐκ τοῦ νοῦ καὶ τοῦ λόγου. Ἀλλ' ἐν τούτῳ πλείονι χρῆται τῇ προμηθείᾳ ὁ ὑψηλὸς Ἰωάννης, ὥστε μὴ ὑπὸ ἀτονίας τε καὶ μικροψυχίας καταπεσεῖν τὸν ἀκούοντα πρὸς τὴν κοινὴν ἔννοιαν τοῦ λόγου, ὡς φθόγγον τοῦ Πατρὸς τὸν Υἱὸν νομισθῆναι· διὰ τοῦτο προσμαρτυρεῖ τῷ λόγῳ τὸ κατ' οὐσίαν εἶναι ἐν αὐτῇ τῇ πρώτῃ καὶ μακαρίᾳ φύσει, οὕτως ἀναβοήσας τὸ κήρυγμα ὅτι ἐν ἀρχῇ ἦν ὁ Λόγος καὶ πρὸς τὸν Θεὸν καὶ Θεός[1], καὶ φῶς καὶ ζωὴ καὶ πάντα ὅσα ἐστὶν ἡ ἀρχὴ καὶ αὐτὸς ἦν[2].

Τούτων τοίνυν τῶν τῆς γεννήσεως τρόπων ἤτοι τῶν ἐξ αἰτίας ὑφεστώτων ἔν τε τῇ καθ' ἡμᾶς συνηθείᾳ γινωσκομένων, παραληφθέντων δὲ καὶ παρὰ τῆς ἁγίας Γραφῆς πρὸς τὴν τῶν ὑπερκειμένων διδασκαλίαν οὕτως, ὡς εἰκός ἐστι πρὸς παράστασιν τῶν θείων ὑπολήψεων ἕκαστον τούτων εὐσεβῶς μεταληφθῆναι, καιρὸς ἂν εἴη κατανοῆσαι καὶ τοῦ Εὐνομίου τὸν λόγον, ἐπὶ ποίου δέχεται σημαινομένου τὴν τῆς γεννήσεως ἔμφασιν. Υἱόν, φησίν, ἀληθινόν, οὐκ ἀγέννητον, καὶ ἀληθῶς γεννηθέντα πρὸ αἰώνων. Τὴν μὲν οὖν ἐν τῇ διαστολῇ κακουργηθεῖσαν ἀκολουθίαν ὡς παντὶ γνώριμον οὖσαν παραδραμεῖν οἶμαι προσήκει. Τίς γὰρ οὐκ οἶδεν ὅτι, τῷ μὲν Υἱῷ πρὸς τὸν Πατέρα, τῷ δὲ γεννητῷ πρὸς τὸν ἀγέννητον οὔσης τῆς ἀντιδιαστολῆς οὗτος τὸν Πατέρα παρεὶς ἀντιδιαστέλλει τῷ Υἱῷ τὸν ἀγέννητον, δέον, εἴπερ ἀληθείας ἐποιεῖτο φροντίδα, μὴ παρατρέψαι τῆς σχετικῆς ἀκολουθίας τὸν λόγον, **353** ἀλλ' εἰπεῖν ὅτι "Υἱὸν ἀληθινόν, οὐ Πατέρα", οὕτω δ' ἂν συνδιεσώσθη τῇ ἀκολουθίᾳ τοῦ λόγου καὶ ἡ εὐσέβεια, τῇ διακρίσει τῶν προσώπων μὴ συνδιασχισθείσης τῆς φύσεως. Ἀλλὰ τὴν ἀληθῆ τε καὶ ἔγγραφον τοῦ Πατρὸς χρῆσιν τὴν παρ' αὐτοῦ τοῦ Λόγου παραδοθεῖσαν ἐν τῷ λόγῳ τῆς πίστεως ὑπαμείψας ἀγέννητον ἀντὶ τοῦ Πατρὸς κατωνόμασεν, ἵνα χωρίσας αὐτὸν τῆς φυσικῶς ἐνθεωρουμένης τῇ τοῦ Πατρὸς κλήσει πρὸς τὸν Υἱὸν οἰκειότητος κοινοποιήσῃ πρὸς πάντα τὰ ἐν τῇ κτίσει φαινόμενα, οἷς κατὰ τὸ ἴσον ἡ ἀντιδιαστολή ἐστι πρὸς τὸ ἀγέννητον.

Ἀληθῶς, φησί, γεννηθέντα πρὸ αἰώνων. Παρὰ τίνος, εἰπάτω. Παρὰ τοῦ Πατρὸς ἐρεῖ πάντως, εἴπερ μὴ ἀναισχυντοίη πρὸς τὴν ἀλήθειαν. Ἀλλ' ἐπειδὴ τοῦ ἀϊδίου Πατρὸς οὐκ ἔστι τὴν ἀϊδιότητα τοῦ Υἱοῦ διαστῆσαι, συνενδεικνυμένης πάντως καὶ τὸν Υἱὸν τῆς τοῦ Πατρὸς σημασίας, διὰ **[512]** τοῦτο τοῦ Πατρὸς ἀποδοκιμάσας τὴν κλῆσιν μετάγει τὸν λόγον πρὸς τὸ ἀγέννητον, ἐπειδὴ τούτου τοῦ ὀνόματος ἄσχετόν τε καὶ ἀκοινώνητόν ἐστι πρὸς τὸν Υἱὸν

1. Πρβλ. Ἰω. 1,1. 2. Πρβλ. Ἰω. 1,4.

τὸ σημαινόμενον, καὶ οὕτως παραγαγὼν τοὺς ἀκούοντας πρὸς τὸ μὴ συνθεωρεῖν τῷ Πατρὶ τὸν Υἱὸν διὰ τῆς ὑπαλλαγῆς τοῦ ὀνόματος ὁδὸν ἔδωκεν τῇ κακουργίᾳ, διὰ τῆς τοῦ ἀγεννήτου παρενθήκης ὁδοποιῶν τὴν ἀσέβειαν. Οἱ γὰρ κατὰ τὸ πρόσταγμα τοῦ Δεσπότου εἰς τὸν Πατέρα τὴν πίστιν ἔχοντες ὁμοῦ τῷ ἀκοῦσαι τὸν Πατέρα καὶ τὸν Υἱὸν τῇ διανοίᾳ συμπαρεδέξαντο, οὐδενὶ τῷ μεταξὺ διαστήματι τῆς διανοίας ἀπὸ τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα κενεμβατούσης. Οἱ δὲ ἀντὶ τοῦ Πατρὸς παρενεχθέντες πρὸς τὴν τοῦ ἀγεννήτου κλῆσιν ψιλὴν τὴν τοῦ ὀνόματος τούτου ἀναλαμβάνουσιν ἔννοιαν, **354** μόνον τὸ μὴ γενέσθαι αὐτὸν διδασκόμενοι, οὐ μὴν καὶ τὸ Πατέρα εἶναι. Ἐκ τούτου δὲ τοῖς μὲν συνετῶς ἐπαΐουσιν ἀσύγχυτος μένει καὶ διὰ ταύτης τῆς διανοίας ἡ πίστις. Τὸ γὰρ μὴ γενέσθαι ὡσαύτως ἐπὶ τῆς ἀκτίστου λέγεται φύσεως, ἄκτιστος δὲ κατὰ τὸ ἴσον ὁ Πατήρ τε καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ Ἅγιον, διότι πᾶσα κτίσις αἰσθητή τε καὶ ὑπερκόσμιος ἐκ Πατρός τε καὶ Υἱοῦ καὶ Πνεύματος Ἁγίου τὴν ὑπόστασιν ἔχειν παρὰ τῶν ἀκολουθούντων ταῖς θείαις φωναῖς πεπίστευται. Ὁ γὰρ ἀκούσας ὅτι «τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν»[1], οὔτε ῥῆμα τὸν λόγον ἐνόησεν οὔτε ἆσθμα τὸ πνεῦμα, ἀλλὰ τὸν Θεὸν Λόγον καὶ τοῦ Θεοῦ τὸ πνεῦμα διὰ τῶν εἰρημένων ἀνετυπώσατο. Οὐ δύναται δὲ τὸ αὐτὸ καὶ κτίζειν καὶ κτίζεσθαι, ἀλλὰ διχῇ μεριζομένων τῶν ὄντων εἰς τὸ ποιοῦν τε καὶ τὸ γινόμενον, ἄλλο τι ἑκάτερόν ἐστι τῇ φύσει παρὰ τὸ ἕτερον, ὡς μήτε τὸ γινόμενον ἄκτιστον εἶναι μήτε κτιστὸν ὃ τὴν τῶν γινομένων κατεργάζεται φύσιν. Τοῖς μὲν οὖν κατὰ τὴν δεσποτικὴν τῆς πίστεως ἔκθεσιν εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος πεπιστευκόσι τὸ μὴ γενέσθαι τι τούτων ἐπίσης ὁμολογεῖται, καὶ οὐδὲν τοῦ ἀγεννήτου τὸ σημαινόμενον παραβλάπτει τὴν ὑγιαίνουσαν πίστιν· τοῖς δὲ παχυδέρμοις τε καὶ ἀδιαρθρώτοις ἀρχὴ τῆς ἀπὸ τοῦ ὑγιαίνοντος λόγου παρατροπῆς τοῦτο τὸ ὄνομα γίνεται· μὴ συνέντες γὰρ τὴν ἀληθῆ τοῦ ὀνόματος ἔμφασιν, ὅτι μόνον τὸ μὴ γεγεννῆσθαι σημαίνει ἡ τοῦ ἀγεννήτου φωνὴ καὶ ὅτι τὸ μὴ γενέσθαι κοινόν ἐστι ἐπὶ παντὸς τοῦ ὑπερκειμένου **355** τῆς κτίσεως, ἀφέντες τὴν εἰς τὸν Πατέρα πίστιν τὸ ἀγέννητον ὄνομα ἀντὶ τοῦ Πατρὸς προεστήσαντο· μὴ συνεμφαινομένης δέ, καθὼς εἴρηται, τῷ ὀνόματι τούτῳ τῆς τοῦ Μονογενοῦς ὑποστάσεως ἀπό τινος ὡρισμένης ἀρχῆς ὁρίζουσι τοῦ Υἱοῦ τὸ εἶναι, λέγοντες ὅπερ νῦν οὗτος τοῖς εἰρημένοις προσέθηκε, τὸ οὐκ ἄνευ τῆς πρὸ τοῦ εἶναι γεννήσεως ὀνομαζόμενον Υἱόν.

Τίς αὕτη πάλιν ἡ καινὴ τερατεία; ἆρα ἐπίσταται ὅτι περὶ Θεοῦ ποιεῖται τὸν λόγον τοῦ ἐν ἀρχῇ ὄντος καὶ ἐν τῷ Πατρὶ ὄντος καὶ οὐκ ἔστιν ὅτε οὐκ ὄντος; Οὐκ οἶδεν ὃ λέγει οὐδὲ περὶ τίνος διισχυρίζεται[2],

1. Ψαλ. 32,6. 2. Πρβλ. Α' Τιμ. 1,7.

ἀλλ᾽ ὥς τινα τῶν ἀνθρώπων γενεαλογῶν τὰ κυρίως ἐπὶ τῆς κάτω λεγόμενα φύσεως ταῦτα ἐφαρμόζειν πειρᾶται τῷ Δεσπότῃ πάσης τῆς κτίσεως. Ὁ γὰρ Ἰσμαήλ, φέρε εἰπεῖν, οὐκ ἦν πρὸ τῆς εἰς τὸ εἶναι γεννή**[513]**σεως, ἦν δέ ⟨τι⟩ πρὸ τῆς γεννήσεως αὐτοῦ πάντως, τὸ χρονικὸν λέγω διάστημα. Ἐπὶ δὲ τοῦ τῆς δόξης ἀπαυγάσματος[1][α] τὸ πρὸ καὶ τὸ μετὰ τοῦτο χώραν οὐκ ἔχει· πρὸ γὰρ τοῦ ἀπαυγάσματος πάντως οὐδὲ ἡ δόξα ἦν· ὁμοῦ γὰρ τῷ εἶναι τὴν δόξαν συνεκλάμπει πάντως καὶ τὸ ἀπαύγασμα, καὶ τὸ διαζευχθῆναι τὸ ἕτερον τοῦ ἑτέρου φύσιν οὐκ ἔχει οὐδὲ δυνατόν ἐστι πρὸ τοῦ ἀπαυγάσματος ἐφ᾽ ἑαυτῆς τὴν δόξαν ἰδεῖν. Ἀλαμπῆ γὰρ καὶ τυφλὴν ἐφ᾽ ἑαυτῆς εἶναι κατασκευάσει τὴν δόξαν ὁ τοῦτο λέγων, μὴ συνεκλάμποντος αὐτῇ τοῦ ἐξ αὐτῆς ἀπαυγάσματος. Αὕτη ἐστὶν ἡ τῆς αἱρέσεως κακουργία, ἵνα διὰ τῶν περὶ τὸν ἄνθρωπον νοουμένων **356** τε καὶ λεγομένων ἀποστήσωσι τὸν μονογενῆ Θεὸν τῆς πρὸς τὸν Πατέρα ἑνότητος. Διὰ τοῦτό φασιν· πρὸ τῆς εἰς τὸ εἶναι γεννήσεως οὐκ ἦν Υἱός· οἱ δὲ τῶν κριῶν υἱοί[2], ὧν ὁ προφήτης μέμνηται, οὐχὶ κἀκεῖνοι μετὰ τὸ γενέσθαι καλοῦνται υἱοί; Ὅπερ οὖν τοῖς υἱοῖς τῶν κριῶν ἐνορᾷ ὁ λόγος, τὸ πρὸ τῆς εἰς τὸ εἶναι γεννήσεως μὴ εἶναι αὐτοὺς υἱοὺς κριῶν, τοῦτο νῦν ὁ σεμνὸς θεολόγος ἀνατίθησι τῷ ποιητῇ τῶν αἰώνων καὶ πάσης τῆς κτίσεως, τῷ τὸν ἀΐδιον Πατέρα ἐν ἑαυτῷ ἔχοντι καὶ ἐν τῇ τοῦ Πατρὸς ἀϊδιότητι θεωρουμένῳ, καθὼς αὐτός φησιν ὅτι «ἐγὼ ἐν τῷ Πατρὶ καὶ ὁ Πατὴρ ἐν ἐμοί»[3]. Ἀλλ᾽ οἱ μὴ δυνάμενοι τὴν ἐν τῷ λόγῳ κακουργίαν φωρᾶσαι μηδέ τινα τοῦ ἀκολούθου κατανόησιν πεπαιδευμένοι τοῖς ἀσυναρτήτοις τούτοις ἀκολουθοῦσιν, ὡς ἀκόλουθον δεχόμενοι τὸ τούτοις προσκείμενον. Φησὶ γὰρ ὅτι πρὸ πάσης τῆς κτίσεως γενόμενον· καὶ ὥσπερ οὐκ ἀρκούσης τῆς φωνῆς ταύτης πρὸς ἔνδειξιν τῆς ἀσεβείας, ἐφεδρεύει τῷ ἐφεξῆς λόγῳ τὴν βλασφημίαν εἰπὼν ὅτι οὐκ ἄκτιστον. Πῶς οὖν ὀνομάζει Υἱὸν ἀληθινὸν τὸν οὐκ ἄκτιστον; Εἰ γὰρ τὸν οὐκ ἄκτιστον Υἱὸν ἀληθινὸν λέγειν προσήκει, ἀληθινὸς Υἱὸς καὶ ὁ οὐρανὸς πάντως ἐστί· καὶ γὰρ καὶ αὐτὸς οὐκ ἄκτιστός ἐστιν. Οὕτως ἀληθινὸς Υἱὸς καὶ ὁ ἥλιος, καὶ πάντα, ὅσα ἡ κτίσις ἔχει μικρά τε καὶ μείζονα, τῆς τοῦ ἀληθινοῦ Υἱοῦ προσηγορίας ἄξια πάντως ἐστίν. Πῶς δὲ λέγει μονογενῆ τὸν γενόμενον; Πάντα γὰρ τὰ γενόμενα ἀδελφὰ πάντως ἐστὶν ἀλλήλων, κατ᾽ αὐτὸν λέγω τὸν τοῦ γενέσθαι λόγον. Παρὰ τίνος δὲ καὶ γενόμενον; Πάντα γὰρ εἴ τι γέγονε, παρὰ τοῦ Υἱοῦ πάντως ἐγένετο. Οὕτως γὰρ ὁ Ἰωάννης μαρτύρεται λέγων **357** ὅτι «πάντα δι᾽ αὐτοῦ ἐγένετο»[4]. Εἰ τοίνυν καὶ ὁ Υἱὸς κατὰ τὸν τοῦ Εὐνομίου λόγον ἐγένετο, πάντως ἐν τῇ φύσει τῶν γενομένων

1. Πρβλ. Ἑβρ. 1,3. 2. Πρβλ. Ψαλ. 28,1. 3. Ἰω. 14,10. 4. Ἰω. 1,3.

α. Πρβλ. Διδύμου Ἀλεξανδρέως, Ἀντιρρητικὸς κατὰ Εὐνομίου, ΒΕΠ 44, 224,22. PG 29,676B. Γρηγορίου Νύσσης, Περὶ πίστεως. Πρὸς Συμπλίκιον, W. Jaeger III, I, 63,26. PG 45,140B.

καὶ οὗτός ἐστιν. Εἰ οὖν πάντα τὰ γενόμενα δι' ἐκείνου ἐγένετο, ἓν δὲ τῶν γενομένων καὶ ὁ Λόγος ἐστίν, τίς οὕτως ἀνόητος, ὡς μὴ συνιδεῖν διὰ τῶν τεθέντων τὸ ἄτοπον, ὅτι αὐτὸν ἑαυτοῦ ἔργον γεγενῆσθαι τὸν Δεσπότην τῆς κτίσεως ὁ καινὸς οὗτος δογματιστὴς ἀποφαίνεται, τῷ διαρρήδην εἰπεῖν μὴ ἄκτιστον εἶναι τὸν Κύριον καὶ Δημιουργὸν πάσης τῆς κτίσεως; Πόθεν ἔχει τὴν παρρησίαν, εἰπάτω. Ἐκ ποίας θεοπνεύστου Γραφῆς; τίς Εὐαγγελιστής, ποῖος Ἀπόστολος τὴν τοιαύτην ἀφῆκε φωνήν; τίς προφήτης ἢ νομοθέτης **[516]** ἢ πατριάρχης ἢ ἄλλος τις τῶν ὑπὸ τοῦ Ἁγίου Πνεύματος θεοφορουμένων, ὧν ἀνάγραπτοί εἰσιν αἱ φωναί, τῆς τοιαύτης ῥήσεως καθηγήσατο; Πατέρα καὶ Υἱὸν καὶ Πνεῦμα Ἅγιον ἐν τῇ παραδόσει τῆς πίστεως παρὰ τῆς ἀληθείας ἐμάθομεν. Εἰ κτιστὸν αὐτὸν εἶναι πιστεύειν ἐχρῆν, πῶς παραδιδοῦσα ἡμῖν τὸ μυστήριον ἡ ἀλήθεια τὴν εἰς τὸν Υἱὸν πίστιν καὶ οὐκ εἰς τὸ κτίσμα ἐνομοθέτησε; πῶς δὲ προσκυνῶν τὸν Χριστὸν ὁ θεῖος Ἀπόστολος τοὺς τῇ κτίσει λατρεύοντας παρὰ τὸν κτίσαντα[1] εἰδωλολατρεῖν διορίζεται; Ἢ γὰρ οὐκ ἂν προσεκύνησεν, εἰ κτιστὸς ἦν, ἢ οὐκ ἂν τοῖς εἰδωλολάτραις συνέταξε τοὺς τῇ κτίσει λατρεύοντας, ἵνα μὴ καὶ αὐτὸς εἰδωλολατρεῖν δόξῃ προσάγων τῷ κτιστῷ τὴν προσκύνησιν. Ἀλλ' οἶδεν ὅτι ὁ παρ' αὐτοῦ προσκυνούμενος ἐπὶ πάντων ἐστὶ Θεός[2]· οὕτω γὰρ ἐν τῷ πρὸς Ῥωμαίους λόγῳ τὸν Υἱὸν ὀνομάζει· οἱ τοίνυν ἀποξενοῦντες τῆς οὐσίας τοῦ Πατρὸς τὸν Υἱὸν καὶ κτιστὸν αὐτὸν λέγοντες τί **358** χλευαστικῶς αὐτῷ τὴν ψευδώνυμον κλῆσιν χαρίζονται, τῷ ἀλλοτρίῳ τῆς ἀληθινῆς θεότητος τὴν θεὸς φωνὴν μάτην ἐπιφημίζοντες, ὥσπερ τῷ Βὴλ ἢ τῷ Δαγὼν ἢ τῷ δράκοντι; Ὥστε ἢ μηδὲ Θεὸν ὁμολογείτωσαν αὐτὸν οἱ κτιστὸν εἶναι διοριζόμενοι, ἵνα φανῶσιν ἰουδαΐζοντες, ἢ εἴπερ ὁμολογοῦσι τὸν κτισθέντα εἶναι Θεόν, εἰδωλολατρεῖν μὴ ἀρνείσθωσαν.

Ἀλλὰ τὴν παροιμιώδη φωνὴν πάντως προφέρουσιν, ἥ φησιν ὅτι «Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ, εἰς ἔργα αὐτοῦ»[3]. Τοῦτο δὲ διὰ πλειόνων μὲν ἔστιν παραθέσθαι σαφέστερον ὅπως ἔχει· πλὴν δυνατὸν ἂν εἴη καὶ δι' ὀλίγων τοῖς εὐγνώμοσι παραδοῦναι τὸ νόημα. Λέγουσι γὰρ καὶ τοῦτό τινες τῶν δι' ἀκριβείας τὰ θεῖα πεπαιδευμένων, ὅτι οὐ γέγραπται παρ' Ἑβραίοις τὸ «ἔκτισε», καὶ ἡμεῖς ἐν ἀρχαιοτέραις βίβλοις ἀνέγνωμεν «ἐκτήσατο» γεγραμμένον ἀντὶ τοῦ «ἔκτισέ με». Ἐμφαίνει δὲ πάντως τὸν δοῦλον ἡ κτῆσις διὰ τῶν παροιμιακῶν αἰνιγμάτων τὸν δι' ἡμᾶς ἀναλαβόντα τὴν τοῦ δούλου μορφήν. Εἰ δέ τις καὶ τὴν ἐπικρατοῦσαν ἐν ταῖς ἐκκλησίαις ἀνάγνωσιν ἐν τῷ μέρει τούτῳ προβάλοιτο, οὐδὲ τὴν «ἔκτισε» φωνὴν ἀποβάλλομεν. Καὶ τοῦτο γὰρ πρὸς τὴν τοῦ δούλου σημασίαν διὰ τοῦ αἰνίγματος βλέπει, ἐπειδὴ πᾶσα ἡ κτίσις δουλεύει[4], καθὼς φησιν ὁ Ἀπόστολος. Διὰ

1. Πρβλ. Ρωμ. 1,25. 2. Πρβλ. Ρωμ. 9,5. 3. Παρμ. 8,22. 4. Πρβλ. Ρωμ. 8,21.

τοῦτο καὶ ταύτην τὴν φωνὴν εὐσεβῶς ἔχειν φαμέν. Ἐκτίσθη γὰρ ἀληθῶς ἐπ' ἐσχάτου τῶν ἡμερῶν ὁ δι' ἡμᾶς καθ' ἡμᾶς γενόμενος, ὁ ἐν μὲν τῇ ἀρχῇ Λόγος ὢν καὶ Θεός, μετὰ ταῦτα δὲ σὰρξ γενόμενος καὶ ἄνθρωπος. Κτιστὴ δὲ τῆς σαρκὸς ἡ φύσις· **359** ἧς μετασχὼν κατὰ πάντα καθ' ὁμοιότητα χωρὶς ἁμαρτίας[1] ἐκτίσθη γενόμενος ἄνθρωπος, ἐκτίσθη δὲ κατὰ Θεόν[2], οὐ κατὰ ἄνθρωπον, καθώς φησιν ὁ Ἀπόστολος, καινόν τινα τρόπον καὶ οὐ κατὰ τὴν ἀνθρωπίνην συνήθειαν. Ἐμάθομεν γὰρ ὅτι ἐκ Πνεύματος Ἁγίου καὶ τῆς τοῦ ὑψίστου δυνάμεως, πλὴν ἀλλ' ἐκτίσθη ὁ καινὸς οὗτος ἄνθρωπος, ὃν κελεύει ὁ τῶν ἀρρήτων μυστηρίων ὑφηγητὴς **[517]** Παῦλος ἐνδύσασθαι ἡμᾶς διχῶς ὀνομάζων τὸ ἔνδυμα, νῦν μὲν λέγων «ἐνδύσασθε τὸν καινὸν ἄνθρωπον τὸν κατὰ Θεὸν κτισθέντα»[3], πάλιν δὲ ὅτι «ἐνδύσασθε τὸν Κύριον Ἰησοῦν Χριστόν»[4][α]. Οὗτος γὰρ ἡμῖν τοῖς ἐνδυσαμένοις αὐτὸν γίνεται ἀρχὴ τῶν ὁδῶν τῆς σωτηρίας ὁ εἰπὼν «ἐγώ εἰμι ἡ ὁδός»[5], ἵνα ἔργα τῶν ἑαυτοῦ χειρῶν ποιήσῃ ἡμᾶς, ἀπὸ τοῦ πονηροῦ πλάσματος τῆς ἁμαρτίας πρὸς τὴν ἰδίαν εἰκόνα πάλιν μετεργασάμενος. Ὁ δὲ αὐτὸς καὶ θεμέλιος ἡμῖν γίνεται πρὸ τοῦ μέλλοντος αἰῶνος κατὰ τὴν τοῦ Παύλου φωνήν, ὅς φησιν ὅτι «θεμέλιον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον»[6], καὶ πρὸ τοῦ ἐλθεῖν τὰς πηγὰς τῶν ὑδάτων καὶ πρὸ τοῦ ὄρη ἑδρασθῆναι καὶ πρὸ τοῦ τὰς ἀβύσσους ποιῆσαι καὶ πρὸ πάντων βουνῶν γεννᾷ με[7]. Δυνατὸν γὰρ ἕκαστον τούτων κατὰ τὴν παροιμιώδη συνήθειαν μεταληφθὲν εἰς τροπικὴν θεωρίαν ἐφαρμοσθῆναι τῷ λόγῳ. Ὁ γὰρ μέγας Δαβὶδ δικαιοσύνην ὀνομάζει τὰ ὄρη τοῦ Θεοῦ, ἀβύσσους δὲ τὰ κρίματα[8], πηγὰς δὲ τοὺς διδασκάλους, «ἐν ἐκκλησίαις» λέγων «εὐλογεῖτε τὸν Θεόν, Κύριον ἐκ πηγῶν Ἰσραήλ»[9]· βουνοὺς δὲ τὴν ἀκακίαν, ἣν διὰ τοῦ σκιρτήματος τῶν ἀρνίων ἐνεδείξατο[10]. Πρὸ τούτων οὖν ἐν ἡμῖν γεννᾶται ὁ δι' ἡμᾶς κτισθεὶς ἄνθρωπος, **360** ἵνα καὶ ἡ τῶν τοιούτων κτίσις ἐν ἡμῖν χώραν εὕρῃ. Ἀλλὰ παραδραμεῖν οἶμαι χρῆναι τὸν περὶ τούτων λόγον, ἱκανῶς τοῖς εὐγνώμοσιν ὑποδειχθείσης δι' ὀλίγων τῆς ἀληθείας· ἐπὶ δὲ τὰ ἐφεξῆς τῶν τοῦ Εὐνομίου λόγων μετέλθωμεν.

Ἐν ἀρχῇ, φησίν, ὄντα, οὐκ ἄναρχον. Ὢ πῶς νοεῖ τὰς θείας φωνὰς ὁ ἐπὶ συνέσει ὑπὲρ τοὺς ἄλλους φρονῶν; Τὸν ἐν ἀρχῇ ὄντα ἀρχὴν ἔχοντα ἑρμηνεύει, καὶ οὐκ οἶδεν ὅτι, εἰ ἀρχὴν ἔχει ὁ ἐν ἀρχῇ ὤν, καὶ ἡ ἀρχὴ πάντως ἔχει ἄλλην ἀρχήν. Ὃ γὰρ ἂν ἐπὶ τῆς

---

1. Πρβλ. Ἑβρ. 4,15. 2. Πρβλ. Ἐφ. 4,24. 3. Ἐφ. 4,24. 4. Ρωμ. 13,14. 5. Ἰω. 14,6. 6. Α' Κορ. 3,11. 7. Πρβλ. Παρμ. 8,24-25. 8. Πρβλ. Ψαλ. 35,7. 9. Ψαλ. 67,27. 10. Πρβλ. Ψαλ. 113,4.

α. Πρβλ. Ἱππολύτου, Τοῦ κατὰ πασῶν τῶν αἱρέσεων ἐλέγχου βιβλ. I, ΒΕΠ 5,369,41. PG 16,3434C. Μ. Ἀθανασίου, Κατὰ Ἀρειανῶν Β, 46, ΒΕΠ 30,218,18. PG 26,245A. Γρηγορίου Νύσσης, Εἰς τὸ Ἆσμα τῶν Ἀσμάτων, ΒΕΠ 66,259,24 ἑξ.

ἀρχῆς εἴπῃ, τοῦτο κατ' ἀνάγκην καὶ περὶ τοῦ ἐν τῇ ἀρχῇ ὄντος ὁμολογήσει πάντως. Πῶς γὰρ τὸ ἐν τῇ ἀρχῇ ὂν τῆς ἀρχῆς χωρισθήσεται; πῶς δέ τις τὸ οὐκ ἦν προεπινοήσει τοῦ ἦν; Ὅπως γὰρ ἄν τις ἀναγαγὼν ἑαυτοῦ τὴν διάνοιαν πρὸς τὴν κατανόησιν τῆς ἀρχῆς ὑπερτείνῃ, συγκατανοεῖ πάντως τὸν ἐν αὐτῇ ὄντα Λόγον χωρισθῆναι τῆς ἐν ᾗ ἐστιν ἀρχῆς μὴ δυνάμενον, οὐδέποτε τοῦ ἐν αὐτῇ εἶναι οὔτε ἀρχόμενον οὔτε παυόμενον. Μηδεὶς δὲ διὰ τούτων εἰς δύο ἀρχὰς διασχιζέτω τὸ δόγμα. Μία γάρ ἐστιν ὡς ἀληθῶς ἡ ἀρχή, ᾗ ἀχωρίστως ἐνθεωρεῖται ὁ Λόγος ὁ διὰ πάντων πρὸς τὸν Πατέρα ἡνωμένος. Ὁ ταῦτα φρονῶν οὐδεμίαν δώσει τῇ αἱρέσει πάροδον διὰ τῆς καινοτομίας τοῦ ἀγέννητος ὀνόματος τῇ εὐσεβείᾳ λυμαίνεσθαι. Ἐν δὲ τοῖς ἐφεξῆς ἐκτεθεῖσιν ἄρτῳ ἔοικεν ὁ λόγος αὐτοῦ πολλὴν ἔχοντι τὴν ἐπιμιξίαν τῆς ἄμμου. Τοῖς γὰρ ὑγιῶς λεγομένοις τὰ αἱρετικὰ συμμίξας νοήματα ἄβρωτον διὰ τοῦ συμμεμειγμένου λίθου ποιεῖ καὶ τὸ τρόφιμον. Λέγει γὰρ σοφίαν ζῶσαν τὸν **361** Κύριον καὶ ἀλήθειαν ἐνεργοῦσαν καὶ δύναμιν ὑφεστῶσαν καὶ ζωήν· ἕως τούτου τὸ τρόφιμον. Ἐντίθησι δὲ τοῖς εἰρημένοις τὸν ἰὸν τῆς αἱρέσεως. Γεννητὴν γὰρ τὴν ζωὴν ὀνομάσας ἄλλο τι τῇ πρὸς τὴν ἀγέννητον ζωὴν ἀντιδιαστολῇ νοεῖν καὶ οὐχὶ τὴν **[520]** ὄντως ζωὴν τὸν Υἱὸν ὑποτίθεται. Εἶτά φησιν ὡς Υἱὸν Θεοῦ ζωοποιοῦντα τοὺς ζῶντας καὶ ζωοποιοῦντα τοὺς νεκρούς, φῶς ἀληθινόν, φῶς φωτίζον πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, ἀγαθὸν καὶ χορηγὸν ἀγαθῶν. Ταῦτα πάντα ἀντὶ μέλιτός τινος τοῖς ἀκεραιοτέροις προτείνων ὑποκρύπτει τῇ γλυκύτητι τῶν ῥημάτων τούτων τὸ δηλητήριον. Εὐθὺς γὰρ ἐπάγει τοῖς εἰρημένοις τὸ φθοροποιὸν αὐτοῦ νόημα, λέγων οὐχὶ τῷ γεννήσαντι συμμερισάμενον τὴν ἀξίαν, οὐκ ἄλλῳ τινὶ τὴν πατρικὴν οὐσίαν, ἀλλὰ γενόμενον ἐκ γεννήσεως ἔνδοξον καὶ τῆς δόξης Κύριον καὶ λαβόντα παρὰ τοῦ Πατρὸς δόξαν, οὐ τῆς ἐκείνου μεταλαβόντα δόξης· ἀμετάδοτος γὰρ ἡ δόξα τοῦ παντοκράτορος, καθὼς εἶπε «τὴν δόξαν μου ἑτέρῳ οὐ δώσω»[1]. Ταῦτά ἐστιν τὰ ἐπιθανάτια φάρμακα, ἃ μόνοι διαγινώσκουσιν οἱ γεγυμνασμένοι τὰ τῆς ψυχῆς αἰσθητήρια. Τούτων δὲ ἡ θανατηφόρος κακία φανερώτερον ἐν τοῖς τελευταίοις τῶν εἰρημένων ἀνακαλύπτεται.

Λαβόντα, φησί, παρὰ τοῦ Πατρὸς δόξαν, οὐ τῆς ἐκείνου μεταλαβόντα δόξης· ἀμετάδοτος γὰρ ἡ δόξα τοῦ παντοκράτορος, καθὼς εἶπε «τὴν δόξαν μου ἑτέρῳ οὐ δώσω». Τίς ἐστιν ὁ ἕτερος

1. Ἡσ. 42,8.

ἐκεῖνος ᾧ εἶπεν ὁ Θεὸς τὴν δόξαν μὴ δώσειν; ὁ **362** μὲν προφήτης περὶ τοῦ ἀντικειμένου λέγει, ὁ δὲ Εὐνόμιος εἰς αὐτὸν τὸν μονογενῆ Θεὸν ἀναφέρει τὴν προφητείαν. Εἰπὼν γὰρ ἐκ προσώπου τοῦ Θεοῦ ὁ προφήτης ὅτι «τὴν δόξαν μου ἑτέρῳ οὐ δώσω», προσέθηκεν ὅτι «καὶ τὰς ἀρετάς μου τοῖς γλυπτοῖς»[1]. Ἐπεὶ γὰρ τὴν Θεῷ χρεωστουμένην λατρείαν καὶ προσκύνησιν τῷ ἀντικειμένῳ προσῆγον δι' ἀπάτης οἱ ἄνθρωποι, τοῖς τῶν γλυπτῶν ἀφιδρύμασι τὸν ἐχθρὸν τοῦ Θεοῦ σεβαζόμενοι τὸν πολυειδῶς ἐν τοῖς ἀνθρώποις διὰ τῶν εἰδώλων μορφούμενον, οἶκτον λαβὼν τῆς ἀνθρωπίνης ἀπωλείας ὁ τοὺς κακῶς ἔχοντας ἰατρεύων τὴν χρόνοις ὕστερον γενησομένην παρ' αὐτοῦ φιλανθρωπίαν ἐν τῷ ἀφανισμῷ τῶν εἰδώλων διὰ τοῦ προφήτου προηγόρευσε λέγων ὅτι φανερωθείσης τῆς ἀληθείας οὐκέτι ἡ ἐμὴ δόξα ἄλλῳ δοθήσεται οὐδὲ αἱ ἐμαὶ ἀρεταὶ τοῖς γλυπτοῖς ἀνατεθήσονται. Οὐκέτι γὰρ δουλεύσουσι τοῖς φύσει μὴ οὖσι θεοῖς[2] τὴν ἐμὴν δόξαν ἐπιγνόντες οἱ ἄνθρωποι. Ὅσα τοίνυν περὶ τῆς ἀντικειμένης ἐνεργείας ἐκ προσώπου τοῦ Κυρίου ὁ προφήτης φησί, ταῦτα ὁ θεομάχος εἰς αὐτὸν ἀναφέρει τὸν Κύριον τὸν ταῦτα διὰ τοῦ προφήτου φθεγξάμενον. Τίς τοιοῦτος ἐν τοῖς τυράννοις μνημονεύεται γεγενῆσθαι διώκτης τῆς πίστεως; τίς τοῦτο κατεσκεύασεν, ὡς ὁ ἐπὶ σωτηρίᾳ τῶν ψυχῶν ἡμῶν διὰ σαρκὸς ἐπιφανείς, καθὼς ἐπιστεύσαμεν, οὐκ ἀληθινός ἐστι Θεός, ἀλλ' ὁ τῷ Θεῷ ἀντικείμενος, ὁ ἐν τοῖς γλυπτοῖς τε καὶ τοῖς εἰδώλοις ἐνεργῶν τὴν κατὰ τῶν ἀνθρώπων ἀπάτην; Ἃ γὰρ περὶ ἐκείνου εἴρηται διὰ τοῦ προφήτου, ταῦτα ὁ Εὐνόμιος εἰς τὸν μονογενῆ Θεὸν μετατίθησιν, οὐδὲ αὐτὸ τοῦτο νοήσας, ὅτι αὐτὸς ὁ Μονογενής ἐστιν ὁ ταῦτα ἐν τῷ προφήτῃ φθεγξάμενος, **363** καθὼς αὐτὸς οὗτος ἐν τοῖς ἐφεξῆς λέγει ὅτι οὗτός ἐστιν ὁ ἐν τοῖς προφήταις λαλήσας.

[521] Τί με χρὴ πλείω περὶ τούτων διεξιέναι; Τῆς αὐτῆς γὰρ ἔχεται βλασφημίας καὶ τὰ πρὸ τούτων εἰρημένα. Λαβόντα, φησίν, παρὰ τοῦ Πατρὸς δόξαν, οὐ τῆς ἐκείνου μεταλαβόντα δόξης· ἀμετάδοτος γὰρ ἡ δόξα τοῦ παντοκράτορος Θεοῦ. Ἐγὼ γὰρ εἰ καὶ περὶ Μωυσέως ὁ λόγος ἦν τοῦ δοξασθέντος ἐν τῇ διακονίᾳ τοῦ νόμου, οὐδ' οὕτως ἤνεγκα ἂν τὸν τοιοῦτον λόγον, εἰ καὶ *** ὅτι μηδεμίαν ἔχων οἴκοθεν δόξαν ἐκεῖνος διὰ τῆς γενομένης αὐτῷ θεόθεν δωρεᾶς ἔνδοξος ἀθρόως τοῖς Ἰσραηλίταις ἐφάνη[3]. Αὐτὴ γὰρ ἡ γενομένη τῷ νομοθέτῃ δόξα οὐκ ἄλλου τινὸς ἦν, ἀλλ' αὐτοῦ τοῦ Θεοῦ, ἣν πάντας κελεύει ζητεῖν ἐν τῷ Εὐαγγελίῳ ὁ Κύριος, δι' ὧν αἰτιᾶται τοὺς τὴν ἀνθρωπίνην δόξαν περὶ πολλοῦ ποιουμένους, τὴν δὲ παρὰ τοῦ μόνου Θεοῦ δόξαν μὴ ζητοῦντας[4]. Δι' ὧν γὰρ ζητεῖν ἐνεκελεύσατο τὴν παρὰ τοῦ μόνου Θεοῦ

---

1. Ἠσ. 42,8. 2. Πρβλ. Γαλ. 4,8. 3. Πρβλ. Ἐξ. 34,35. 4. Πρβλ. Ἰω. 5,44.

δόξαν, τὸ δυνατὸν εἶναι τυχεῖν τοῦ ζητουμένου κατεπηγγείλατο. Πῶς οὖν ἀμετάδοτος ἡ δόξα τοῦ παντοκράτορος, εἴ γε καὶ χρὴ τὴν παρὰ τοῦ μόνου Θεοῦ δόξαν αἰτεῖν καὶ πᾶς ὁ αἰτῶν λαμβάνει κατὰ τὴν τοῦ Κυρίου φωνήν[1]; Ὁ δὲ περὶ τοῦ ἀπαυγάσματος τῆς δόξης[2] λέγων ὅτι λαβὼν ἔχει τὴν δόξαν οὐδὲν ἕτερον λέγει ἢ ὅτι ἄδοξον καθ' ἑαυτὸ τὸ τῆς δόξης ἐστὶν ἀπαύγασμα, χρῄζει δὲ λαβεῖν παρ' ἑτέρου δόξαν, ἵνα οὕτω ποτὲ καὶ αὐτὸς γένηται Κύριος τῆς δόξης. **364** Ποῦ τοίνυν θήσομεν τὰς τῆς ἀληθείας φωνάς, τήν τε λέγουσαν ὀφθήσεται αὐτὸν ἐν τῇ δόξῃ τοῦ Πατρὸς[3] καὶ πάλιν ὅτι «πάντα, ὅσα ἔχει ὁ Πατήρ, ἐμά ἐστιν»[4]; τίνι χρὴ προσέχειν τὸν ἀκούοντα, τῷ λέγοντι ὅτι ἀμέτοχός ἐστι τῆς τοῦ Πατρὸς δόξης ὁ πάντων τῶν ἐν τῷ Πατρὶ κληρονόμος[5], καθὼς φησιν ὁ Ἀπόστολος, ἢ τῷ ὁμολογοῦντι ὅτι πάντα, ὅσα ἔχει ὁ Πατήρ, καὶ αὐτὸς ἔχει; Ἐν δὲ τοῖς πᾶσι καὶ ἡ δόξα πάντως ἐστίν.

Ἀλλ' ἀμετάδοτον εἶναί, φησι, τὴν δόξαν τοῦ παντοκράτορος. Τοῦτο οὔτε Ἰωὴλ οὔτε ὁ μέγας Πέτρος μαρτύρεται ὁ τὸν προφητικὸν λόγον ἐν τῇ δημηγορίᾳ τῇ πρὸς τοὺς Ἰουδαίους οἰκειωσάμενος. Φησὶ γὰρ ἐκ προσώπου τοῦ Θεοῦ ὅ τε προφήτης καὶ ὁ Ἀπόστολος ὅτι «ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα»[6]. Ὁ τοίνυν τοῦ ἰδίου πνεύματος τῆς κοινωνίας πάσῃ σαρκὶ μὴ φθονήσας πῶς τῷ μονογενεῖ Υἱῷ τῷ ὄντι ἐν τοῖς κόλποις τοῦ Πατρός, τῷ πάντα ἔχοντι ὅσα ὁ Πατὴρ ἔχει, τῆς οἰκείας δόξης οὐ μεταδίδωσιν; Ἢ τάχα εἴποι τις ἂν ἀληθεύειν τὸν Εὐνόμιον ἐν τούτῳ καὶ μὴ βουλόμενον. Ἐπὶ μὲν γὰρ τοῦ μὴ ἔχοντος οἴκοθεν τὴν δόξαν κυρίως ἡ μετάδοσις λέγεται, ᾧ τὸ ἔχειν ἑτέρωθεν προσγίνεται, οὐκ ἐκ φύσεως· ὅπου δὲ μία καὶ ἡ αὐτὴ καταλαμβάνεται φύσις, οὐ χρῄζει τοῦ καθ' ἕκαστον μεταδιδόντος ὁ ἐκεῖνο κατὰ τὴν φύσιν ὤν, ὅπερ ὁ Πατὴρ εἶναι πεπίστευται. Μᾶλλον δὲ τρανότερόν τε καὶ φανερώτερον εἰπεῖν ἔχει καλῶς. Τί χρῄζει τῆς τοῦ Πατρὸς δόξης ὁ ὅλον ἔχων ἐν ἑαυτῷ τὸν Πατέρα, οὐδενὸς τῶν ἐν τῷ Πατρὶ θεωρουμένων ὑφῃρημένου; τίς δὲ καὶ ἡ **365** τοῦ παντοκράτορος ἀξία, ἧς ἀμέτοχον ὁ Εὐνόμιος τὸν Υἱὸν ἀποφαίνεται; Λεγέτωσαν μὲν οὖν οἱ σοφοὶ παρ' ἑαυ**[524]**τοῖς καὶ ἐνώπιον ἑαυτῶν ἐπιστήμονες[7] τὰ γήινα δόγματα, οἱ, καθὼς φησιν ὁ προφήτης, ἐκ γῆς φωνοῦντες[8]. Ὅσοι δὲ προσκυνοῦμεν τὸν Λόγον καὶ τῆς ἀληθείας ἐσμὲν μαθηταί, μᾶλλον δὲ εἶναι εὐχόμεθα, μηδὲ ταύτην παραδράμωμεν τὴν φωνὴν ἀθεώρητον. Οἴδαμεν γὰρ ὅτι πάντων τῶν ὀνομάτων, δι' ὧν τὸ Θεῖον διασημαίνεται, τινὰ μὲν ἐνδεικτικὰ τῆς θείας μεγαλωσύνης ἐστίν, αὐτὰ ἐφ' ἑαυτῶν λεγόμενά τε καὶ νοούμενα, τινὰ δὲ ταῖς ὑπὲρ ἡμᾶς τε καὶ

---

1. Πρβλ. Ματθ. 7,8. 2. Πρβλ. Ἑβρ. 1,3. 3. Πρβλ. Ματθ. 16,27. Μάρκ. 8,38. Λουκ. 9,26. 4. Ἰω. 16,15. 5. Πρβλ. Ἑβρ. 1,2. 6. Ἰωὴλ 3,1. Πράξ. 2,17. 7. Πρβλ. Ρωμ. 26,5,12. 8. Πρβλ. Ἡσ. 8,19.

πᾶσαν τὴν κτίσιν ἐνεργείαις ἐπονομάζεται. Ὅταν μὲν γὰρ λέγῃ ὁ θεῖος Ἀπόστολος «ἀφθάρτῳ, ἀοράτῳ, μόνῳ σοφῷ Θεῷ»[1] καὶ τὰ τοιαῦτα, τὰ παραστατικὰ τῆς ὑπερκειμένης δυνάμεως νοήματα διὰ τῶν ὀνομάτων τούτων ἐνδείκνυται· ὅταν δὲ λέγηται παρὰ τῶν Γραφῶν οἰκτίρμων καὶ ἐλεήμων[2], πολυέλεος[3], ἀληθινός[4], χρηστός[5], Κύριος[6], ἰατρός[7], ποιμήν[8], ὁδός[9], ἄρτος[10], πηγή[11], βασιλεύς[12], κτίστης[13], δημιουργός[14], ὑπερασπιστής[15], ὁ ἐπὶ πάντων καὶ διὰ πάντων, ὁ ἐν πᾶσι τὰ πάντα[16], ταῦτα καὶ τὰ τοιαῦτα τῶν ἐν τῇ κτίσει παρὰ τῆς θείας φιλανθρωπίας ἐνεργουμένων περιέχει τὴν ἔμφασιν. Τὸ τοίνυν τοῦ π α ν τ ο κ ρ ά τ ο ρ ο ς[17] ὄνομα τοῖς ἀκριβῶς ἐξετάζουσιν εὑρίσκεται μὴ ἄλλο τι σημαῖνον ἐπὶ τῆς θείας δυνάμεως ἢ τὸ πρός τί πως ἔχειν τὴν κρατητικὴν τῶν ἐν τῇ κτίσει θεωρουμένων ἐνέργειαν, ἣν ἡ τοῦ παντοκράτορος ἔμφασις ὑποδείκνυσιν. Ὥσπερ γὰρ οὐκ ἂν ἰατρὸς ἦν, εἰ μὴ τῶν νοσούντων χάριν, οὐδ' ἂν ἐλεήμων τε καὶ οἰκτίρμων καὶ τὰ τοιαῦτα κατωνομάζετο, εἰ μὴ διὰ τὸν οἰκτιρμοῦ τε καὶ **366** ἐλέου δεόμενον, οὕτως οὐδὲ παντοκράτωρ, εἰ μὴ πᾶσα ἡ κτίσις τοῦ περικρατοῦντος αὐτὴν καὶ ἐν τῷ εἶναι συντηροῦντος ἐδέετο. Οὐκοῦν ὥσπερ ἰατρὸς τῷ δεομένῳ τῆς θεραπείας γίνεται, οὕτω καὶ παντοκράτωρ τῷ χρῄζοντι τοῦ κρατεῖσθαι· καὶ ὥσπερ «οὐ χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες»[18], οὕτως ἐκ τοῦ ἀκολούθου καλῶς ἔστιν εἰπεῖν μηκέτι τοῦ κρατοῦντος χρῄζειν ἐκεῖνον, ἐν ᾧ τὸ ἀπλανές τε καὶ ἀμετάπτωτον ἡ φύσις ἔχει. Οὐκοῦν ὅταν τῆς παντοκράτωρ φωνῆς ἀκούσωμεν, τοῦτο νοοῦμεν, τὸ πάντα τὸν Θεὸν ἐν τῷ εἶναι συνέχειν, ὅσα τε νοητὰ καὶ ὅσα τῆς ὑλικῆς ἐστι κτίσεως. Διὰ τοῦτο γὰρ κατέχει τὸν γῦρον τῆς γῆς, διὰ τοῦτο ἔχει ἐν τῇ χειρὶ τῆς γῆς τὰ πέρατα[19], διὰ τοῦτο περιλαμβάνει τὸν οὐρανὸν τῇ σπιθαμῇ, διὰ τοῦτο περιμετρεῖ τῇ χειρὶ τὸ ὕδωρ[20], διὰ τοῦτο τὴν νοητὴν πᾶσαν κτίσιν ἐν ἑαυτῷ περιέχει, ἵνα πάντα ἐν τῷ εἶναι μένῃ, τῇ περιεκτικῇ δυνάμει περικρατούμενα. Τίς οὖν ὁ πάντα ἐν πᾶσιν ἐνεργῶν[21], ἐξετάσωμεν. Τίς ὁ πάντα ποιήσας, οὗ χωρὶς τῶν ὄντων ἔστιν οὐδέν[22], τίς ἐστιν ἐν ᾧ τὰ πάντα ἐκτίσθη[23] καὶ ἐν ᾧ τὰ ὄντα τὴν διαμονὴν ἔχει; ἐν τίνι ζῶμεν καὶ κινούμεθα καὶ ἐσμέν;[24] τίς ὁ τὰ πάντα ἔχων ἐν ἑαυτῷ ὅσα **[525]** ὁ Πατὴρ ἔχει;[25] Ἆρα ἀγνοοῦμεν ἔτι διὰ τῶν εἰρημένων τὸν ἐπὶ πάντων Θεὸν[26] τὸν ὑπὸ τοῦ Παύλου οὕτως ὀνομαζόμενον, τὸν

---

1. Α' Τιμ. 1,17. 2. Πρβλ. Ψαλ. 85,15. 3. Ἔνθ' ἀν. 4. Ἔνθ' ἀν. Πρβλ. Ἰω. 17,3. 5. Ψαλ. 99,5. Α' Πέτρ. 2,3. 6. Ἔνθ' ἀν. 7. Πρβλ. Λουκ. 4,23. 8. Πρβλ. Ἰω. 10,11. 9. Πρβλ. Ἰω. 14,6. 10. Πρβλ. Ἰω. 6,35. 11. Πρβλ. Ἱερ. 2,13. 12. Πρβλ. Ματθ. 2,2. Ἰω. 18,37. Ἀποκ. 17,14. 13. Πρβλ. Β' Μακκ. 1,24. 14. Πρβλ. Ἑβρ. 11,10. 15. Πρβλ. Ψαλ. 17,3. 16. Πρβλ. Α' Κορ. 12,6. 15,28. 17. Πρβλ. Β' Κορ. 6,18. Ἀποκ. 1,8. 18. Ματθ. 9,12. Μάρκ. 2,17. 19. Πρβλ. Ψαλ. 94,4. 20. Πρβλ. Ἡσ. 40,12. 21. Πρβλ. Α' Κορ. 12,6. 22. Πρβλ. Ἰω. 1,3. 23. Πρβλ. Κολ. 1,16. 24. Πρβλ. Πράξ. 17,28· 25. Πρβλ. Ἰω. 16,15. 26. Πρβλ. Ρωμ. 9,5.

Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστόν, ὃς πάντα ἐν τῇ χειρὶ τὰ τοῦ Πατρὸς ἔχων[1], καθὼς αὐτός φησι, περιδέδρακται πάντως διὰ τῆς πολυχώρου αὐτοῦ παλάμης τῶν πάντων καὶ κρατεῖ τῶν περιδεδραγμένων καὶ οὐδεὶς **367** αἴρει ἐκ τῆς χειρὸς αὐτοῦ τοῦ κρατοῦντος τῇ χειρὶ τῶν πάντων;[2] Εἰ οὖν πάντα ἔχει καὶ κρατεῖ ὧν ἔχει, τί ἄλλο καὶ οὐχὶ παντοκράτωρ πάντως ἐστὶν ὁ κρατῶν τῶν πάντων; εἰ δὲ λέγοι ἡ αἵρεσις, ὅτι καὶ τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος κρατεῖ ὁ Πατήρ, πρῶτον ἀποδειξάτωσαν, ὅτι τρεπτῆς ἐστι φύσεως ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ Ἅγιον, καὶ τότε τὸν κρατοῦντα τῷ τρεπομένῳ ἐπιστησάτωσαν, ἵνα τῇ ἄνωθεν ἐγγινομένῃ βοηθείᾳ μείνῃ τὸ κρατούμενον πρὸς τὸ κακὸν ἀμετάπτωτον. Εἰ δὲ ἀνεπίδεκτος κακίας ἡ θεία φύσις ἄτρεπτός τε καὶ ἀναλλοίωτος καὶ ἀεὶ ὡσαύτως ἔχει, εἰς τί τοῦ κρατοῦντος ἐπιδεήσεται ἡ δι' ἑαυτῆς πᾶσαν ἐπικρατοῦσα τὴν κτίσιν, αὐτὴ δὲ τοῦ κρατοῦντος μὴ δεομένη διὰ τὸ ἄτρεπτον; Διὰ τοῦτο ἐν τῷ ὀνόματι τοῦ Χριστοῦ πᾶν γόνυ κάμπτει, ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων[3]. Οὐ γὰρ ἂν ἔκαμψεν, εἰ μὴ τὸν ἐπὶ σωτηρίᾳ κρατοῦντα πάντως ἐγίνωσκε. Τὸ δὲ λέγειν τῇ ἀγαθότητι τοῦ Πατρὸς τὸν Υἱὸν γεγεννῆσθαι οὐδὲν ἄλλο ἐστὶν ἢ εἰς τὸ ὁμότιμον αὐτὸν καταστῆσαι τοῖς ἐσχάτοις τῆς κτίσεως. Τί γὰρ οὐχὶ τῇ ἀγαθότητι τοῦ πεποιηκότος ἦλθεν εἰς γένεσιν; τίνι λογίζεται ἡ τῆς ἀνθρωπίνης φύσεως κατασκευή, πονηρίᾳ ἢ ἀγαθότητι τοῦ ποιήσαντος; τίνι δὲ ἡ τῶν ζῴων γένεσις, ἡ τῶν φυτῶν τε καὶ βλαστημάτων φύσις; οὐδὲν ἔστιν ὃ μὴ τῇ ἀγαθότητι τοῦ πεποιηκότος ἔσχε τὴν γένεσιν. Ὅπερ οὖν ἐπὶ πάντων ὁ λόγος ὁρᾷ, τοῦτο ὁ Εὐνόμιος τῷ Υἱῷ ὑπὸ φιλανθρωπίας χαρίζεται. Τὸ δὲ μὴ μερίσασθαι πρὸς τὸν Πατέρα τὴν οὐσίαν ἢ τὴν ἀξίαν ἢ ὅσα τοιαῦτα φλυαρῶν διεξέρχεται, ἤδη ἐν τοῖς περὶ τοῦ Πατρὸς λόγοις προεξελήλεγκται, ὡς μάτην αὐτοῦ **368** ταῦτα καὶ δίχα διανοίας προσρίψαντος. Οὐδὲ γὰρ ἡμῖν τοῖς ἐξ ἀλλήλων τικτομένοις οὐσίας διαίρεσις γίνεται· ὅλος γὰρ ἐν ἑκάστῳ μένει τῆς οὐσίας ὁ λόγος ἐν τῷ γεγεννημένῳ καὶ τῷ γεννήσαντι, οὔτε ἐν τῷ γεννῶντι μείωσιν οὔτε ἐν τῷ γεγεννημένῳ αὔξησιν τοῦ λόγου τῆς οὐσίας λαμβάνοντος. Ὁ δὲ τῆς ἀξίας ἢ τῆς βασιλείας μερισμὸς ἐπὶ τοῦ πάντα ἔχοντος τὰ τοῦ Πατρὸς οὐδεμίαν διάνοιαν ἔχει πλὴν τοῦ ἔλεγχον εἶναι τῆς ἀσεβείας. Οὐκοῦν περιττὸν ἂν εἴη τοῖς τοιούτοις συμπλεκόμενον εἰς ἀμετρίαν ἀποτείνειν τὸν λόγον, πρὸς δὲ τὰ ἐφεξῆς τούτοις μετέλθωμεν.

Δεδοξασμένον, φησί, παρὰ τοῦ Πατρὸς πρὸ αἰώνων. Ἀποδέδεικται τῆς ἀληθείας ὁ λόγος, τῇ μαρτυρίᾳ τῶν ἐχθρῶν κρατυνόμενος. Τοῦτο γὰρ τῆς ἡμετέρας πίστεώς ἐστι τὸ κεφάλαιον, ὅτι παρὰ τοῦ Πατρὸς ἐξ ἀϊδίου δοξάζεται ὁ Υἱός. Τὸ γὰρ πρὸ τοῦ αἰῶνος ταὐτόν ἐστι τῷ ἀϊδίῳ κατὰ τὴν ἔννοιαν, οὕτω τῆς προ**[528]**φητείας ἑρμηνευούσης ἡμῖν τοῦ Θεοῦ τὸ ἀΐδιον ἐν οἷς φησιν

---

1. Πρβλ. Ἰω. 16,15. 2. Πρβλ. Ἰω. 10,28. 3. Πρβλ. Φιλιπ. 2,10.

«ὁ ὑπάρχων πρὸ τῶν αἰώνων»[1]. Εἰ οὖν τὸ ὑπάρχειν πρὸ τῶν αἰώνων πάσης ἀρχῆς ἐστιν ἐξώτερον, ὁ τὴν προαιώνιον τῷ Υἱῷ ἀνατιθεὶς δόξαν πολὺ πρότερον αὐτῆς τὴν ἐξ ἀϊδίου προσεμαρτύρησεν ὕπαρξιν. Οὐ γὰρ τὸ μὴ ὄν, ἀλλὰ τὸ ὂν πάντως δοξάζεται. Μετὰ ταῦτα δὲ τῆς κατὰ τοῦ Ἁγίου Πνεύματος βλασφημίας[2] ἑαυτῷ τὰ σπέρματα καταβάλλει, οὐχ ἵνα τὸν Υἱὸν δοξάσῃ, ἀλλ' ἵνα τῷ Πνεύματι τῷ Ἁγίῳ ἐμπαροινήσῃ. Βουλόμενος γὰρ μέρος τῆς ἀγγελικῆς δυνάμεως ἀποδεῖξαι τὸ Πνεῦμα τὸ Ἅγιον, τοῦτο προσέρριψεν εἰπὼν *ὅτι δοξαζόμενον ὑπὸ τοῦ πνεύματος δι' αἰῶνος καὶ πάσης λογικῆς καὶ γεννητῆς οὐσίας*· ὡς μηδεμίαν εἶναι διαφορὰν τῷ **369** Πνεύματι τῷ Ἁγίῳ πρὸς πᾶν τὸ γινόμενον, εἴπερ οὕτω δοξάζει τὸν Κύριον τὸ Πνεῦμα τὸ Ἅγιον ὡς καὶ τὰ ἄλλα πάντα περὶ ὧν ὁ προφήτης διέξεισιν, οἱ ἄγγελοι καὶ αἱ δυνάμεις καὶ τῶν οὐρανῶν οἱ οὐρανοὶ καὶ τὸ ὑπερκόσμιον ὕδωρ καὶ τὰ ἐκ τῆς γῆς πάντα, δράκοντες, ἄβυσσοι, πῦρ, χάλαζα, χιών, κρύσταλλος, πνεῦμα καταιγίδος, τὰ ὄρη καὶ πάντες οἱ βουνοί, ξύλα καρποφόρα καὶ πᾶσαι κέδροι, τὰ θηρία καὶ πάντα τὰ κτήνη, ἑρπετὰ καὶ πετεινὰ πτερωτά[3]. Εἰ οὖν μετὰ τούτων λέγει δοξάζειν τὸν Κύριον καὶ τὸ Πνεῦμα τὸ Ἅγιον, ἓν τούτων εἶναι πάντως καὶ αὐτὸ ἡ θεομάχος ἀποφαίνεται γλῶσσα.

Τὰ δὲ ἐφεξῆς τούτοις ἀσυναρτήτως προσκείμενα ὑπερβῆναί φημι δεῖν καλῶς ἔχειν, οὐχ ὡς ἀλήπτως ἔχοντα, ἀλλ' ὡς δυνάμενα καὶ παρὰ τῶν εὐσεβούντων λέγεσθαι, εἴπερ διαζευχθείη τῆς κακοτρόπου ἐμφάσεως. Εἰ γάρ τι καὶ πρόσκειται παρ' αὐτοῦ τῶν εἰς εὐσέβειαν συντεινόντων, ἀντὶ δελεάσματος τὸ τοιοῦτον τοῖς ἀκεραιοτέροις προτείνεται, ἵνα συγκαταποθῇ τούτοις καὶ τὸ τῆς ἀσεβείας ἄγκιστρον. Εἰπὼν γάρ τινα ἅπερ ἂν καὶ ὁ ἐκκλησιαστικὸς εἴποι, προστίθησιν *ὑπήκοος πρὸς τὴν τῶν ὄντων δημιουργίαν καὶ γένεσιν, ὑπήκοος πρὸς πᾶσαν διοίκησιν, οὐκ ἐκ τῆς ὑπακοῆς προσλαβὼν τὸ εἶναι Υἱὸς ἢ Θεός, ἀλλ' ἐκ τοῦ Υἱὸς εἶναι καὶ γεννηθῆναι μονογενὴς Θεὸς γενόμενος ὑπήκοος ἐν λόγοις, ὑπήκοος ἐν ἔργοις*. Καίτοι τίς οὐκ οἶδεν τῶν ταῖς θείαις καθωμιληκότων φωναῖς, πότε εἴρηται παρὰ τοῦ μεγάλου Παύλου καὶ τοῦτο ἐφ' ἅπαξ περὶ αὐτοῦ, ὅτι ὑπήκοος ἐγένετο;[4] Ὅτε γὰρ ἐπὶ τῷ πληρῶσαι τὸ διὰ τοῦ **370** σταυροῦ μυστήριον ἦλθεν ὁ κενώσας ἑαυτὸν[α] ἐν τῇ τοῦ δούλου μορφῇ καὶ ταπεινώσας ἑαυτὸν τῷ τοῦ ἀνθρώπου

---

1. Ψαλ. 54,20. 2. Πρβλ. Ματθ. 12,31. 3. Πρβλ. Ψαλ. 148,2 ἑξ.
4. Πρβλ. Φιλιπ. 2,7.

α. Πρβλ. Ὠριγένους, Κατὰ Κέλσου Δ', XVIII, ΒΕΠ 9,244,40. PG 11, 1052A. Μεθοδίου, Συμπόσιον Η', XI, ΒΕΠ 18,65,35. PG 18,157A. Μ. Ἀθανασίου, Κατὰ Ἀρειανῶν Α', 40. ΒΕΠ 30, 155,30. PG 26,93C. Γρηγορίου Θεολόγου, Εἰς τὸ ἅγιον Πάσχα, ΒΕΠ 60,190,38.

ὁμοιώματί τε καὶ σχήματι, εὑρεθεὶς ὡς ἄνθρωπος ἐν τῇ ταπεινῇ τῶν ἀνθρώπων φύσει, τότε ὑπήκοος γίνεται ὁ τὰς ἀσθενείας ἡμῶν ἀναλαβὼν καὶ τὰς νόσους βαστάσας[1], τὴν παρακοὴν τῶν ἀνθρώπων διὰ τῆς ἰδίας ὑπακοῆς ἐξιώμενος, ἵνα τῷ μώλωπι αὐτοῦ τὸ ἡμέτερον ἰάσηται τραῦμα[2] καὶ διὰ τοῦ ἰδίου θανάτου τὸν κοινὸν θάνατον τῶν ἀνθρώπων ἐξαφανίσῃ[α], τότε δι' ἡμᾶς ὑπήκοος γίνεται, ὡς καὶ ἁμαρτία καὶ κατάρα[β] διὰ τὴν ὑπὲρ ἡμῶν οἰκονομίαν ἐγένετο, οὐ φύσει τοῦτο ὤν, ἀλλὰ κατὰ φιλανθρωπίαν γενόμενος. Τὸν δὲ τοσούτων ὑπακοῶν κατάλογον **[529]** παρὰ ποίας ἐδιδάχθη φωνῆς; Τοὐναντίον μὲν οὖν πᾶσα θεόπνευστος Γραφὴ τὴν αὐθεντικὴν αὐτῷ καὶ αὐτοκρατορικὴν προσμαρτυρεῖ ἐξουσίαν λέγουσα «Αὐτὸς εἶπε καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο καὶ ἐκτίσθησαν»[3]· δῆλον γὰρ ὅτι ταῦτά φησιν ὁ προφήτης περὶ τοῦ τὰ σύμπαντα φέροντος τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ[4], οὗ ἡ ἐξουσία πᾶσαν οὐσίαν καὶ φύσιν καὶ πάντα τὰ ἐν τῇ κτίσει νοούμενά τε καὶ ὁρώμενα ἐν μόνῃ τῇ τοῦ θελήματος ὁρμῇ συνεστήσατο. Πόθεν τοίνυν κινούμενος ὁ Εὐνόμιος μυριοτρόπως ἐπιφημίζει τῷ βασιλεῖ τῆς κτίσεως τὸ ὑπήκοον, ὑπήκοος λέγων πρὸς πᾶσαν δημιουργίαν καὶ ὑπήκοος πρὸς πᾶσαν διοίκησιν, ὑπήκοος ἐν ἔργοις, ἐν λόγοις; Καίτοι παντὶ δῆλον τὸ τοιοῦτόν ἐστιν, ὅτι μόνος ἐν λόγοις τε καὶ ἔργοις ἑτέρῳ τις ὑπήκοος γίνεται ὁ μήπω τὴν ἕξιν τοῦ ποιεῖν ἀκριβῶς ἢ λέγειν ἀλήπτως ἐν ἑαυτῷ κατορθώσας, ἀλλὰ πρὸς τὸν
371 διδάσκαλον ἑαυτοῦ καὶ καθηγεμόνα βλέπων ταῖς ὑποθήκαις ἐκείνου τὸ ἐν τοῖς λόγοις τε καὶ ἐν τοῖς ἔργοις ἀκριβὲς ἐκπαιδεύεται. Τὸ δὲ τὴν σοφίαν ἐπιστάτου χρήζειν οἴεσθαι καὶ διδασκάλου τοῦ τὴν ἀλήθειαν ἢ τὴν δικαιοσύνην πρὸς τὸ δέον αὐτῇ κατευθύνοντος μόνης τῆς Εὐνομίου φαντασίας ἐστίν. Καὶ περὶ μὲν τοῦ Πατρός φησιν ὅτι πιστὸς ἐν λόγοις καὶ πιστὸς ἐν ἔργοις, τῷ δὲ Υἱῷ τὸ πιστὸν ἐν τοῖς γινομένοις τε καὶ λεγομένοις οὐκ ἐμαρτύρησεν, ἀλλ' ὑπήκοον αὐτὸν ἐν λόγοις εἶναι καὶ οὐ πιστὸν ἀπεφήνατο, ὡς διὰ πάντων ὧν λέγει τὴν κατ' αὐτοῦ βλασφημίαν τὸ ἴσον ἔχειν. Τὸ δὲ μωρόν τε καὶ ἀδιανόητον τῆς μεταξὺ τούτων παρεντεθείσης ῥήσεως πρέπει τάχα σιωπῇ παρελθεῖν, μή τις τῶν ἀπερισκέπτων ἐπιγελάσῃ τῇ ματαιότητι, δακρύειν δέον ἐπὶ τῇ τῶν ψυχῶν αὐτῶν ἀπωλείᾳ ἢ γελᾶν ἐπὶ τῇ μωρίᾳ τῶν λόγων. Φησὶ γὰρ ὁ σοφὸς οὗτος καὶ περιεσκεμμένος δογματιστὴς οὐκ ἐκ τῆς ὑπακοῆς αὐτὸν προσλαβεῖν τὸ εἶναι Υἱόν. Ὢ τῆς ἀγχινοίας, ὡς ἀναγκαίως περὶ τούτων ἡμῖν

1. Πρβλ. Ματθ. 8,17. 2. Πρβλ. 'Ησ. 53,4-5. 3. Ψαλ. 148,5. 4. Πρβλ. 'Εβρ. 1,3.

α. Πρβλ. Μεθοδίου, Συμπόσιον Θ', III, ΒΕΠ 18,76,4 ἑξ. PG 18,181Α.

β. Πρβλ. Μ. 'Αθανασίου, Περὶ τῆς ἐνανθρωπήσεως τοῦ Λόγου, ΒΕΠ 30, 94,28 ἑξ. PG 25,140Α. Κατὰ 'Αρειανῶν Β', 47, ΒΕΠ 30,219,10 ἑξ. PG 26, 248Α.

διορίζεται, ὅτι οὐ πρότερον ὑπήκοος ἐγένετο καὶ τότε Υἱός, οὐδὲ πρεσβυτέραν χρὴ νοεῖν τὴν ὑπακοὴν αὐτοῦ τῆς γεννήσεως. Εἰ δὲ μὴ προσδιωρίσατο ταῦτα, τίς οὕτω μωρὸς καὶ ἠλίθιος ἦν, ὡς μισθὸν ὑπακοῆς οἰηθῆναι παρὰ τοῦ Πατρὸς αὐτῷ δεδόσθαι τὴν γέννησιν τῷ πρὸ τῆς γεννήσεως ἐπιδειξαμένῳ τὸ εὐπειθὲς καὶ ὑπήκοον; Ἀλλ' ἵνα μὴ προχείρως τις ἐκ τῆς ἀνοίας τῶν λεγομένων κατασυρῇ πρὸς τὸν γέλωτα, νοησάτω ὅτι ἔχει τι καὶ ἡ μωρία τῶν λεγομένων ἐν ἑαυτῇ δακρύων ἄξιον. Ὃ γὰρ βούλεται κατασκευάσαι διὰ τούτων, τοιοῦτόν ἐστιν, ὅτι φύσις αὐτῷ ἐστιν ἡ ὑπακοή, ὡς μηδὲ βουλομένῳ δυνατὸν γε**372**νέσθαι τὸ μὴ ὑπήκοον εἶναι. Τοιοῦτον γὰρ αὐτὸν κατεσκευάσθαι λέγει, ὡς πρὸς ὑπακοὴν μόνην τὴν φύσιν αὐτοῦ ἐπιτηδείως ἔχειν. Καθάπερ τῶν ὀργάνων τὸ πρός τινα τύπον ἐσχηματισμένον ἐκεῖνο τὸ εἶδος ἐντυποῖ κατ' ἀνάγκην τῷ ὑποκειμένῳ, ὅπερ ὁ χαλκεύων τῇ τοῦ **[532]** ὀργάνου κατασκευῇ ἐναπέθετο, ᾧ οὐκ ἔστι δύναμις ἢ εὐθὺ ⟨ἐμ⟩ποιῆσαι τῷ ὑποδεχομένῳ τὸ ἴχνος, εἰ περιφερὴς εἴη ἡ ἐργασία, ἢ κύκλον δεῖξαι διὰ τοῦ τύπου, εἰ κατ' εὐθεῖαν ἐσχηματισμένον τύχοι τὸ ὄργανον. Ὅσον δὲ τῆς τοιαύτης διανοίας ἐστὶ τὸ βλάσφημον, τί χρὴ διὰ τῶν ἡμετέρων ἐκκαλύπτεσθαι λόγων, αὐτῆς τῆς αἱρετικῆς φωνῆς τὴν ἀτοπίαν βοώσης; Εἰ γὰρ διὰ τοῦτο ὑπήκοος, διότι τοιοῦτος ἐγένετο, οὐδὲ πρὸς τὴν ἀνθρωπίνην φύσιν πάντως τὸ ἴσον ἔχει, εἴπερ ἡμῖν μὲν αὐτεξούσιός ἐστιν ἡ ψυχὴ καὶ ἀδέσποτος, αὐτοκρατορικῶς αἱρουμένη κατ' ἐξουσίαν τὸ καταθύμιον, ὁ δὲ ἀνάγκῃ φύσεως ὑπεζευγμένος ἐνεργεῖ διὰ παντός, μᾶλλον δὲ πάσχει τὴν ὑπακοήν, οὐδὲ εἰ μὴ βούλοιτο τοῦτο ποιεῖν συγχωρούσης τῆς φύσεως· ἐκ γὰρ τοῦ Υἱὸς εἶναι καὶ γεγεννῆσθαι οὗτος ὑπήκοος γέγονεν ἐν λόγοις καὶ ὑπήκοος ἐν ἔργοις. Ὢ τῆς ἀναισθησίας τοῦ δόγματος! Λόγοις ὑπήκοον τὸν Λόγον ποιεῖς καὶ προεπινοεῖς τοῦ ὄντως Λόγου λόγους ἑτέρους καὶ μεσιτεύει τοῦ ἐν τῇ ἀρχῇ ὄντος Λόγου ἕτερος λόγος τῆς ἀρχῆς πρὸς αὐτὸν διαπορθμεύων τὸ βούλημα. Καὶ οὐχ εἷς οὗτος, ἀλλὰ καὶ πλείονές εἰσί τινες λόγοι οἱ διὰ μέσου τῆς ἀρχῆς καὶ τοῦ Λόγου παρὰ τοῦ Εὐνομίου παρενειρόμενοι καὶ πρὸς τὸ δοκοῦν αὐτοῖς τῇ ὑπακοῇ αὐτοῦ καταχρώμενοι.

373 Ἀλλὰ τί χρὴ τῇ ματαιότητι τῶν λεγομένων ἐνδιατρίβειν; Παντὶ γὰρ δῆλόν ἐστιν, ὅτι καὶ ὅτε ὁ Παῦλος εἶπεν αὐτὸν γεγενῆσθαι ὑπήκοον[1] (εἶπε δὲ οὕτως αὐτὸν γεγενῆσθαι ὑπήκοον, σάρκα[2] καὶ δοῦλον[3] καὶ κατάραν[4] καὶ ἁμαρτίαν δι' ἡμᾶς γενόμενον), οὐδὲ τότε ὁ Κύριος τῆς δόξης ὁ τῆς αἰσχύνης καταφρονήσας καὶ τῇ σαρκὶ τὸ πάθος ἀναδεξάμενος τῆς αὐθεντικῆς ἐξουσίας ἑαυτὸν ἠλλοτρίωσε λέγων «λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν»[5], καὶ πάλιν οὐδεὶς αἴρει τὴν ψυχήν μου ἀπ' ἐμοῦ, ἐξουσίαν

---

1. Πρβλ. Φιλιπ. 2,8. 2. Πρβλ. Ρωμ. 8,3. 3. Πρβλ. Φιλιπ. 2,7.
4. Πρβλ. Γαλ. 3,13. 5. Ἰω. 2,19.

ἔχω θεῖναι αὐτήν, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν[1]· καὶ ὅτε προσήγγισαν αὐτῷ κατὰ τὴν πρὸ τοῦ πάθους νύκτα οἱ τῷ σιδήρῳ καὶ τοῖς ξύλοις καθωπλισμένοι, πάντας αὐτοὺς εἰς τὸ κατόπιν ἀνέτρεψε διὰ τοῦ εἰπεῖν ὅτι «ἐγώ εἰμι»[2]· καὶ πάλιν τοῦ λῃστοῦ ἱκετεύσαντος ἐν μνήμῃ παρ᾽ αὐτοῦ γενέσθαι, ἔδειξε τὴν ἐπὶ πάντων ἐξουσίαν ἐν οἷς φησι «σήμερον μετ᾽ ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ»[3]. Εἰ τοίνυν οὐδὲ ἐν τῷ καιρῷ τοῦ πάθους τῆς ἐξουσίας χωρίζεται, ποῦ ποτε βλέπει ἡ αἵρεσις τοῦ βασιλέως τῆς δόξης τὸ ὑπεξούσιον; τίς δὲ καὶ ἡ πολύτροπος αὕτη μεσιτεία, ἣν ἐπιθρυλεῖ τῷ Θεῷ, *μεσίτην* λέγων *ἐν δόγμασι, μεσίτην ἐν νόμῳ*; Οὐ ταῦτα παρὰ τῆς ὑψηλῆς φωνῆς τοῦ Ἀποστόλου ἐπαιδεύθημεν, ὅς φησιν ὅτι ⟨ὁ⟩ τὸν νόμον τῶν ἐντολῶν[4] καταργήσας τοῖς ἑαυτοῦ δόγμασιν, οὗτός ἐστιν ὁ μεσίτης[α] Θεοῦ καὶ ἀνθρώπων, εἰπὼν οὕτω τῷ ῥήματι ὅτι «εἷς Θεὸς **374** καὶ εἷς μεσίτης Θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπος Ἰησοῦς Χριστός»[5]. Ὅλον ἡμῖν ἐνταῦθα τὸν σκοπὸν τοῦ μυστηρίου διὰ τῆς τοῦ μεσίτου λέξεως διαλαβὼν ἀπεκάλυψεν. Ὁ δὲ σκοπὸς οὗτός ἐστιν. Ἀπέστη διὰ τῆς τοῦ ἀντικειμένου κακίας ποτὲ τὸ ἀνθρώπινον, καὶ τῇ ἁμαρτίᾳ δουλωθὲν[6] **[533]** καὶ τῆς ὄντως ἠλλοτριώθη ζωῆς. Ἀνακαλεῖται μετὰ ταῦτα τὸ ἑαυτοῦ πλάσμα ὁ τοῦ πλάσματος Κύριος καὶ γίνεται ἄνθρωπος μετὰ τοῦ εἶναι Θεός, κἀκεῖνο ὅλον ὢν καὶ τοῦτο ὅλον γενόμενος, καὶ οὕτω συνανεκράθη Θεῷ τὸ ἀνθρώπινον, τοῦ κατὰ Χριστὸν ἀνθρώπου τὴν μεσιτείαν ἐργασαμένου, ᾧ διὰ τῆς ἀναληφθείσης ἡμῶν ἀπαρχῆς ὅλον τῇ δυνάμει συνανεκράθη τὸ φύραμα[7]. Ἐπεὶ οὖν «ὁ μεσίτης ἑνὸς οὐκ ἔστιν, ὁ δὲ Θεὸς εἷς ἐστιν»[8], οὐδ᾽ ἐν τοῖς προσώποις τοῖς ἐν τῇ πίστει παραδεδομένοις ἐμμεριζόμενος (μία γὰρ ἡ θεότης ἐν Πατρί τε καὶ Υἱῷ καὶ Πνεύματι Ἁγίῳ[9]), διὰ τοῦτο γίνεται μεσίτης ἅπαξ ὁ Κύριος Θεοῦ καὶ ἀνθρώπων, συνάπτων τὸν ἄνθρωπον δι᾽ ἑαυτοῦ τῇ θεότητι. Ἀλλὰ καὶ διὰ τοῦ κατὰ τὸν μεσίτην νοήματος τὸ εὐσεβὲς τῆς πίστεως ἐδιδάχθημεν. Ὁ γὰρ μεσίτης Θεοῦ καὶ ἀνθρώπων ὥσπερ τῆς ἀνθρωπίνης φύσεως τὴν κοινωνίαν ἐδέξατο, οὐ νομισθεὶς ἄνθρωπος, ἀλλὰ γεγονὼς κατὰ ἀλήθειαν, οὕτω καὶ ἀληθινὸς Θεὸς ὢν οὐκ ἐπωνυμίᾳ τετιμημένος ἐστὶν ψιλῇ τῆς θεότητος, ὡς ὁ Εὐνόμιος βούλεται.

Ὅσα δὲ τοῖς εἰρημένοις προστίθησι, τῆς αὐτῆς ἀνοίας ἔχεται, μᾶλλον δὲ κακονοίας. Υἱὸν γὰρ αὐτὸν εἰπών, ὃν ἐν τοῖς μικρῷ πρόσθεν εἰρημένοις κτιστὸν εἶναι σαφῶς διωρίσατο, καὶ *μονογενῆ Θεὸν* ὀνομάσας, ὃν μετὰ τῶν λοιπῶν τῶν διὰ τῆς κτίσεως γεγονότων ἠρίθμησεν, *ὅμοιον* **375** εἶπε *τῷ γεννήσαντι κατ᾽*

1. Πρβλ. Ἰω. 10,18. 2. Ἰω. 18,5. 3. Λουκ. 23,43. 4. Πρβλ. Ἐφ. 2,15. 5. Α΄ Τιμ. 2,5. 6. Πρβλ. Ρωμ. 6,17-18. 7. Πρβλ. Ρωμ. 11,16. 8. Γαλ. 6,20. 9. Πρβλ. Ματθ. 28,19.

α. Πρβλ. Μ. Ἀθανασίου, Περὶ τῆς ἐνσάρκου ἐπιφανείας τοῦ Θεοῦ Λόγου καὶ κατὰ Ἀρειανῶν, ΒΕΠ 33,237,21. PG 26,1024B.

ἐξαίρετον ὁμοιότητα μόνον κατὰ τὴν ἰδιάζουσαν ἔννοιαν. Χρὴ τοίνυν διασταλῆναι πρῶτον τοῦ ὁμοίου τὸ σημαινόμενον, ποσαχῶς ἐν τῇ καταχρήσει τῆς συνηθείας λέγεται, εἶθ' οὕτως ἐπὶ τὴν ἐξέτασιν τῶν προκειμένων ἐλθεῖν. Πρῶτον μὲν γὰρ ὅσα παραψεύδεται τὰς αἰσθήσεις ἡμῶν, οὐ τὰ αὐτὰ μὲν ἀλλήλοις ὄντα κατὰ τὴν φύσιν, διὰ δέ τινος τῶν παρεπομένων τοῖς ὑποκειμένοις, σχήματος λέγω καὶ χρώματος καὶ ἤχου, καὶ τῶν ὅσα διὰ γεύσεώς τε καὶ ὀσφρήσεως καὶ ἁφῆς τὸν παραλογισμὸν ἐμποιεῖ, ἄλλα μὲν ὄντα κατὰ τὴν φύσιν, ἕτερα δὲ παρ' ἃ πέφυκεν εἶναι ὑποκρινόμενα, ταῦτα ὁμοίως ἔχειν ἡ συνήθεια λέγει· οἷον ὅταν ἡ ἄψυχος ὕλη μορφωθῇ διὰ τῆς τέχνης πρός τινα ζῴου μίμησιν διὰ γλυφῆς ἢ ζωγραφίας ἢ πλάσματος, ὅμοιον λέγεται τῷ ἀρχετύπῳ τὸ μίμημα. Ἐνταῦθα γὰρ ἄλλη μὲν τοῦ ζῴου ἡ φύσις, ἑτέρα δὲ τῆς ὕλης τῆς παραψευδομένης τὴν ὄψιν διὰ χρώματος μόνου καὶ σχήματος. Τοῦ δὲ αὐτοῦ εἴδους ἐστὶ τῆς ὁμοιότητος καὶ ἡ ἐν κατόπτρῳ εἰκὼν τῆς ἀρχετύπου μορφῆς, ἐναργεῖς φέρουσα τὰς ἐμφάσεις, οὐ μὴν ἐκεῖνο κατὰ τὴν φύσιν οὖσα, ὅπερ ἐστὶ τὸ ἀρχέτυπον. Ὡσαύτως καὶ τὴν ἀκοὴν ἔστι τὸ ἴσον παθεῖν, ὅταν τις τὴν φωνὴν τῆς ἀηδόνος τῷ οἰκείῳ φθόγγῳ μιμούμενος ὀρνέου δοκεῖν ἐπακροᾶσθαι τὴν ἀκοὴν ἀναπείσῃ. Πάσχει δὲ τὸν τοιοῦτον παραλογισμὸν καὶ ἡ γεῦσις, ὅταν ὁ τοῦ καρποῦ τῶν σύκων χυμὸς τὴν τοῦ μέλιτος ἡδονὴν ὑποκρίνηται· ἔχει γάρ τι ἐοικὸς πρὸς τὴν γλυκύτητα τοῦ μέλιτος ὁ χυμὸς τῆς ὀπώρας. Οὕτω δι' ὁμοιότητος ἔστιν παραλογισθῆναί ποτε καὶ τὴν ὄσφρησιν, ὅταν ὁ ἀτμὸς τῆς χαμαιμήλου βο**376**τάνης αὐτὸ τὸ εὐῶδες μῆλον τῇ εὐπνοίᾳ μιμούμε**[536]**νος ἀπατήσῃ τὴν αἴσθησιν. Τὸν αὐτὸν δὲ τρόπον καὶ ἐν τῇ ἁφῇ ποικίλως ἡ ὁμοιότης διαψεύδεται τὴν ἀλήθειαν, ἐπειδὰν ἀργυροῦν ἢ χάλκεον νόμισμα ἰσομέγεθες τῷ χρυσῷ καὶ κατὰ τὸν σταθμὸν ὁμοίως ἔχον ἀντὶ τοῦ χρυσοῦ νομισθῇ, μὴ ἐπικρινούσης τῆς ὄψεως τὴν ἀλήθειαν. Ταῦτα γενικῶς εἴρηται δι' ὀλίγων, ὅσα δι' ὁμοιότητός τινος τὸν παραλογισμὸν ἐμποιεῖ τοῖς αἰσθητηρίοις, ἄλλο τι παρ' ὅ ἐστι νομιζόμενα. Ἔξεστι δὲ διὰ φιλοπονωτέρας τῆς ἐξετάσεως πλατῦναι διὰ τῶν πραγμάτων τὸν λόγον, ὅσα ἑτερογενῶς μὲν ἔχει πρὸς ἄλληλα, διὰ δέ τινος τῶν παρεπομένων ὁμοιοῦσθαι τὸ ἕτερον τῷ ἑτέρῳ νομίζεται. Ἆρα μή τι τοιοῦτον ὁμοιότητος εἶδος ἐπιθρυλεῖ τῷ Υἱῷ; Ἀλλ' οὐκ ἂν εἰς τοῦτο παραπληξίας ἔλθοι, ὥστε τὴν ἀπατηλὴν ὁμοιότητα ἐπὶ τῆς ἀληθείας βλέπειν. Πάλιν ἄλλην ὁμοιότητα ἐν τῇ θεοπνεύστῳ Γραφῇ ἐδιδάχθημεν παρὰ τοῦ εἰπόντος ὅτι «ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν»[1]. Ἀλλ' οὐκ ἂν οἶμαι τὸν Εὐνόμιον ἐπὶ τοῦ Υἱοῦ καὶ τοῦ Πατρὸς τοῦτο βλέπειν τὸ εἶδος τῆς ὁμοιότητος, ὡς ταὐτὸν τῷ ἀνθρώπῳ τὸν μονογενῆ Θεὸν ἀποφήνασθαι. Οἴδαμεν καὶ ἕτερον ὁμοιότητος εἶδος, ὅπερ

1. Γεν. 1,26.

ἐν τῇ κοσμογονίᾳ φησὶ περὶ τοῦ Σὴθ ὁ λόγος, ὅτι ἐγέννησε τὸν Σὴθ ὁ Ἀδὰμ κατὰ τὸ εἶδος αὐτοῦ καὶ κατὰ τὴν ὁμοιότητα[1]· ὅπερ εἰ λέγοι ὁ Εὐνόμιος, οὐκ ἀπόβλητον τὸν λόγον ποιούμεθα. Ἐνταῦθα γὰρ οὔτε ἡ φύσις τῶν ἀλλήλοις ὁμοιουμένων διάφορος, καὶ ὁ χαρακτὴρ καὶ τὸ εἶδος τὴν κοινωνίαν ἔχει. Ταῦτα καὶ τὰ τοιαῦτά ἐστιν, ὅσα περὶ τῆς τοῦ ὁμοίου διαφορᾶς ἡμεῖς ἐνοήσαμεν. Ἴδωμεν τοίνυν πρὸς τί βλέπων ὁ Εὐνόμιος τὴν **377** ἐξαίρετον ἐκείνην ὁμοιότητα πρὸς τὸν Πατέρα μαρτυρεῖ τῷ Υἱῷ λέγων ὅμοιον εἶναι τῷ γεννήσαντι μόνον κατ' ἐξαίρετον ὁμοιότητα κατὰ τὴν ἰδιάζουσαν ἔννοιαν, οὐχ ὡς Πατρὶ Πατέρα· οὐ γάρ εἰσι δύο Πατέρες. Τὴν κατ' ἐξαίρετον ὁμοιότητα τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα δεικνύειν ἐπαγγειλάμενος, ὅπως μὴ προσήκει νοεῖν αὐτὸν ὅμοιον, κατασκευάζει τῷ λόγῳ. Εἰπὼν γὰρ ὅτι οὐχ ὡς Πατρὶ Πατὴρ ἔοικεν, κατεσκεύασε τῷ λόγῳ ὅτι οὐκ ἔοικε· καὶ πάλιν προσθεὶς ὅτι οὔτε ὡς ἀγεννήτῳ ἀγέννητος, καὶ διὰ τούτου ἀπεῖπε νοεῖν ἐπὶ τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα τὴν ὁμοιότητα· εἶτα ἐπαγαγὼν ὅτι οὔτε ὡς Υἱῷ Υἱός, τρίτον ἐπήγαγε νόημα, δι' οὗ παντάπασι τὸν τοῦ ὁμοίου παραφέρεται λόγον. Οὕτω μὲν οὖν τοῖς ἰδίοις ἕπεται λόγοις, τὴν τοῦ ὁμοίου ἀπόδειξιν διὰ τῆς κατασκευῆς τοῦ ἀνομοίου ποιούμενος. Ἐξετάσωμεν δὲ τὸ σοφὸν αὐτοῦ καὶ ἁπλοῦν, ὃ τοῖς διορισμοῖς ἐπιδείκνυται. Υἱὸν γὰρ Πατρὶ ὅμοιον[α] εἶναι εἰπὼν ἀσφαλίζεται τὴν ἀκοήν, μὴ δεῖν ὡς Πατέρα Πατρὶ τὸν Υἱὸν ἐοικέναι νοεῖν. Τίς δὲ οὕτως ἐν ἀνθρώποις ἀνόητος, ὥστε Υἱὸν ὅμοιον τῷ Πατρὶ μαθὼν εἶναι εἰς τὴν Πατρὸς πρὸς τὸν Πατέρα ὁμοιότητα τοῖς λογισμοῖς ἐναχθῆναι; οὐδὲ ὡς Υἱῷ, φησίν, Υἱόν· πάλιν τὸ ἴσον ἐν τῷ διορισμῷ ἡ δριμύτης ἔχει. Πατρὶ Υἱὸν ὅμοιον εἶναι εἰπὼν τὸ μὴ δεῖν ὡς πρὸς Υἱὸν ἄλλον ὁμοίως ἔχειν **[537]** προσδιορίζεται. Ταῦτα τῶν σεμνῶν τοῦ Εὐνομίου δογμάτων ἐστὶ τὰ μυστήρια, δι' ὧν σοφώτεροι τῶν ἄλλων οἱ μαθηταὶ αὐτοῦ γίνονται μαθόντες, ὅτι Πατρὶ Υἱὸς ἐοικὼς οὐχ Υἱῷ ἔοικεν· οὐ γάρ ἐστιν Υἱὸς Πατήρ· οὐδὲ ὡς ἀγεννήτῳ ἀγέννητος· οὐ γὰρ ἀγέννητός ἐστιν ὁ Υἱός[β]. Τὸ δὲ καθ' ἡμᾶς μυστήριον ὅταν Πατέρα εἴπῃ, Υἱοῦ Πατέρα πάντως διακελεύεται, **378** καὶ ὅταν Υἱὸν ὀνομάσῃς Πατρὸς Υἱὸν διδάσκει νοεῖν. Καὶ οὐδὲν τῆς περιττῆς ταύτης σοφίας μέχρι καὶ νῦν ἐδεήθημεν, ὥστε

2. Πρβλ. Γεν. 5,3.

α. Πρβλ. Μ. Ἀθανασίου, Ἐπιστολὴ ἐγκύκλιος πρὸς τοὺς ἐπισκόπους Αἰγύπτου καὶ Λιβύης κατὰ Ἀρειανῶν, ΒΕΠ 31,234,11 ἑξ. PG 25,577A,B. Κατὰ Ἀρειανῶν Α', 29, ΒΕΠ 30,146,39 ἑξ. PG 26,72A. Ἐπιστολὴ περὶ τῶν γενομένων ἐν Ἀριμίνῳ τῆς Ἰταλίας καὶ ἐν Σελευκείᾳ τῆς Ἰταλίας συνόδων, ΒΕΠ 31,324,31 ἑξ. PG 26,760C. 788B,C. Διδύμου Ἀλεξανδρέως, Ἀντιρρητικὸς κατὰ Εὐνομίου, ΒΕΠ 44,230,25 ἑξ. PG 29,682C. Μ. Βασιλείου Ἐπιστολαὶ 364, ΒΕΠ 55,387,28 ἑξ.

β. Πρβλ. Γρηγορίου Νύσσης, Κατὰ Εὐνομίου Β' (ΙΒ'$_2$ Migne) ΒΕΠ 57, 256,4 ἑξ.

διὰ Πατρὸς καὶ Υἱοῦ δύο Πατέρας ἢ δύο Υἱοὺς ὑποτίθεσθαι ἢ ἀγεννήτων δυάδα.

Τί δὲ βούλεται ἡ πολλὴ περὶ τὸ ἀγέννητον τοῦ Εὐνομίου σπουδή, πολλάκις μὲν ἤδη δεδήλωται, καὶ νῦν δὲ πάλιν δι' ὀλίγων εἰρήσεται. Τῆς γὰρ τοῦ Πατρὸς σημασίας μηδεμίαν πρὸς τὸν Υἱὸν διαφορὰν κατὰ τὴν φύσιν ἐνδεικνυμένης, εἰ μέχρι τούτων τὸν λόγον ἔστησεν, οὐκ ἂν ἔσχεν ἰσχὺν ἡ ἀσέβεια, τῆς φυσικῆς τῶν ὀνομάτων ἐννοίας οὐ παραδεχομένης τὸ κατ' οὐσίαν ἀλλότριον. Νῦν δὲ ἀγέννητον καὶ γεννητὸν λέγων, ἐπειδὴ ἄμεσός ἐστι πρὸς ἄλληλα τῶν ὀνομάτων τούτων ἡ ἐναντίωσις, ὡς θνητοῦ καὶ ἀθανάτου καὶ λογικῶν καὶ ἀλόγων καὶ πάντων τῶν ὁμοιοτρόπως ἐκφωνουμένων, ὅσα διὰ τῶν κατὰ τὸ ἐναντίον σημαινομένων ἀλλήλοις ἀντικαθέστηκεν, ἔδωκεν ὁδὸν τῇ βλασφημίᾳ διὰ τῶν ὀνομάτων τούτων, ὥστε τὴν τοῦ θνητοῦ πρὸς τὸ ἀθάνατον διαφορὰν καὶ τῷ γεννητῷ πρὸς τὸ ἀγέννητον ἐνθεωρῆσαι· καὶ ὥσπερ ἄλλη τοῦ θνητοῦ καὶ ἄλλη τοῦ ἀθανάτου ἡ φύσις καὶ τοῦ λογικοῦ καὶ τοῦ ἀλόγου ἀσύμβατα κατὰ τὴν οὐσίαν ἐστὶ τὰ ἰδιώματα, οὕτω βούλεται ἄλλην μὲν τοῦ ἀγεννήτου κατασκευάσαι τὴν φύσιν, ἄλλην δὲ τοῦ γεννητοῦ, ἵνα ὥσπερ ὑποχείριος τῷ λογικῷ ἡ ἄλογος φύσις δεδημιούργηται, οὕτως διὰ φυσικῆς ἀνάγκης ὑπεζευγμένον τῷ ἀγεννήτῳ τὸ γεννητὸν ἐπιδείξῃ. Διὸ συνάπτει τῷ ἀγεννήτῳ τὸ τοῦ Παντοκράτορος ὄνομα, [ὃ] οὐκ εἰς προνοητικὴν ἐνέργειαν, ὡς προλαβὼν ὁ λόγος ὑπέδειξεν, ἀλλ' εἰς τυραννικὴν ἐξουσίαν μεταλαμβάνων τὴν ἑρμηνείαν τοῦ **379** Παντοκράτορος, ὡς μέρος τῆς ἀρχομένης τε καὶ ὑποχειρίου φύσεως καὶ τὸν Υἱὸν ποιῆσαι, μετὰ πάντων δουλεύοντα τῷ διὰ τῆς τυραννικῆς ἐξουσίας κρατοῦντι κατὰ τὸ ἴσον τῶν πάντων. Καὶ ὅτι πρὸς τοῦτο βλέπων ταῖς τοιαύταις χρῆται τοῦ λόγου διαστολαῖς, ἐκ τῶν ὑποκειμένων σαφηνισθήσεται. Εἰπὼν γὰρ ἐκεῖνα τὰ σοφά τε καὶ περιεσκεμμένα, ὅτι οὔτε ὡς Πατρὶ ἔοικε Πατὴρ οὐδὲ ὡς Υἱῷ Υἱός —καίτοι γε οὐδεμία ἐστὶν ἀνάγκη ἐοικέναι πάντως πατρὶ Πατέρα καὶ Υἱῷ Υἱόν· πατὴρ γάρ τίς ἐστιν ἐν Αἰθίοψι, πατὴρ καὶ ἐν Σκύθαις, καὶ υἱὸς ἑκατέρου τούτων μέλας μὲν ὁ τοῦ Αἰθίοπος, λευκόχρους δὲ καὶ ὑποχρυσίζων κατὰ τὴν κόμην ὁ Σκύθης, καὶ οὐδὲν μᾶλλον διὰ τὸ πατέρα εἶναι ἑκάτερον οὔτε διὰ τὸν Αἰθίοπα ὁ Σκύθης μελαίνεται οὔτε διὰ τὸν Σκύθην ἀλλοιοῦται τὸ σῶμα πρὸς τὸ λευκὸν τοῦ Αἰθίοπος—, ἀλλ' ὅμως εἰπὼν ταῦτα κατὰ τὸ ἀρέσκον αὐτῷ ὁ Εὐνόμιος ἐπήγαγεν, ὅτι ὅμοιός ἐστιν ὡς Υἱὸς **[540]** Πατρί, τοῦ δὲ τοιούτου λόγου τὸ κατὰ τὴν φύσιν οἰκεῖον ἐνδεικνυμένου, ὡς ἐπὶ τοῦ Σὴθ καὶ τοῦ Ἀδὰμ ἡ θεόπνευστος μαρτυρεῖ διδασκαλία, μικρὰ φροντίσας ὁ δογματιστὴς τῶν συνετῶς ἀκροωμένων τὴν καινὴν ἐπήγαγεν ἑρμηνείαν τῆς τοῦ Υἱοῦ προσηγορίας, εἰκόνα καὶ σφραγῖδα τῆς τοῦ Παντοκράτορος ἐνεργείας αὐτὸν ὁρισάμενος.

Υἱὸς γάρ ἐστι, φησίν, εἰκὼν καὶ σφραγὶς τῆς

τοῦ Παντοκράτορος ἐνεργείας. Αὐτό μοι τοῦτο πρῶτον ὁ ἔχων ὦτα ἀκούειν ἐπισκεψάσθω, τίς ἐστιν ἡ τῆς ἐνεργείας σφραγίς; πᾶσα γὰρ ἐνέργεια ἐν μὲν τῷ ἐκπονοῦντι τὸ σπουδαζόμενον θεωρεῖται, περαιωθέντος δὲ τοῦ σπουδαζομένου καθ' ἑαυτὴν οὐχ ὑφέστηκεν· οἷον ἐνέργεια τοῦ δρομέως ἡ διὰ τῶν ποδῶν ἐστι κίνησις, παυσαμένης δὲ τῆς κινήσεως οὐκέτι ἔστιν ἐφ' ἑαυτῆς ἡ ἐνέργεια. **380** Οὕτως καὶ ἐπὶ παντὸς ἔστιν ἐπιτηδεύματος τὸ ἴσον εἰπεῖν, τῇ σπουδῇ τοῦ περί τι πονοῦντος συναπολήγειν καὶ τὴν ἐνέργειαν *** ἐφ' ἑαυτῆς δὲ οὐκ οὖσαν οὔτε ἐνεργοῦντός τινος τὴν προκειμένην ἑαυτῷ σπουδὴν οὔτε εἰ τῆς σπουδῆς ἀπολήξειε. Τί οὖν λέγει εἶναι καθ' ἑαυτὴν τὴν ἐνέργειαν τὴν οὔτε οὐσίαν οὖσαν οὔτε χαρακτῆρα οὔτε ὑπόστασιν[α]; Οὐκοῦν τοῦ ἀνυποστάτου αὐτὸν εἶπεν ὁμοίωμα· τὸ δὲ τῷ ἀνυπάρκτῳ ὅμοιον οὐδὲ αὐτὸ πάντως ἔστιν. Αὕτη τῶν καινῶν δογμάτων ἡ τερατεία, τὸ πιστεύειν εἰς τὸ μὴ ὄν. Τὸ γὰρ τῷ μὴ ὄντι ὅμοιον οὐκ ἔστι πάντως. Ὦ Παῦλε καὶ Ἰωάννη καὶ ὁ λοιπὸς τῶν εὐαγγελιστῶν τε καὶ τῶν ἀποστόλων χορός, τίνες τῇ ὑμετέρᾳ φωνῇ τὰς ἰοβόλους γλώσσας ἑαυτῶν ἀνθοπλίζουσι; τίνες ταῖς οὐρανίαις ὑμῶν βρονταῖς τὰς βατραχώδεις ἑαυτῶν φωνὰς ἀντεγείρουσι; τί οὖν λέγει ὁ υἱὸς τῆς βροντῆς; «Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ Λόγος»[1]. Τί δὲ ὁ μετ' ἐκεῖνον ἄλλος ἐκεῖνος, ὁ ἐντὸς τῶν οὐρανίων ἀδύτων γενόμενος, ὁ ἐν τῷ παραδείσῳ μυηθεὶς τὰ ἀπόρρητα[2]; «Ὤν», φησίν, «ἀπαύγασμα τῆς δόξης καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ»[3]. Τί μετὰ τούτους λέγει ὁ ἐγγαστρίμυθος; σφραγίς, φησί, τῆς ἐνεργείας τοῦ Παντοκράτορος. Τρίτον αὐτὸν μετὰ τὸν Πατέρα ποιεῖ, τῇ ἀνυπάρκτῳ ἐκείνῃ ἐνεργείᾳ μεσιτευόμενον, μᾶλλον δὲ πρὸς τὸ δοκοῦν τῇ ἀνυπαρξίᾳ τυπούμενον. Ἐνεργείας ἐστὶ σφραγὶς ὁ ἐν ἀρχῇ ὢν Λόγος Θεὸς καὶ τῇ ἀϊδιότητι τῆς ἀρχῆς τῶν ὄντων ἐνθεωρούμενος, ὁ μονογενὴς Θεὸς ὁ ὢν ἐν τοῖς κόλποις τοῦ Πατρός[4], ὁ τὰ σύμπαντα φέρων «τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ»[5], ὁ ποιητὴς τῶν αἰώνων, ἐξ οὗ τὰ πάντα καὶ δι' οὗ **381** τὰ πάντα καὶ ἐν ᾧ τὰ πάντα[6], «ὁ κατέχων τὸν γῦρον τῆς γῆς»[7], ὁ διειληφὼς τὸν οὐρανὸν σπιθαμῇ[8], ὁ περιμετρῶν τῇ χειρὶ τὸ ὕδωρ, ὁ περιδεδραγμένος πάντων τῶν ὄντων, «ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν»[9], μᾶλλον δὲ ἐπιδών, ἵνα ποιήσῃ πᾶσαν τὴν οἰκουμένην ἑαυτοῦ ὑποπόδιον[10], τῷ ἴχνει τοῦ λόγου ἐντυπωθεῖσαν; ἐνεργείας ἐστὶ σφραγὶς ἡ μορφὴ τοῦ Θεοῦ; οὐκοῦν ἐνέργειά ἐστιν ὁ Θεός, οὐχ ὑπόστασις; καὶ μὴν αὐτὸ τοῦτο διερμηνεύων φησὶν ὁ Παῦλος, ὅτι χαρακτήρ ἐστιν

---

1. Ἰω. 1,1. 2. Πρβλ. Β' Κορ. 12,4. 3. Ἑβρ. 1,3. 4. Πρβλ. Ἰω 1,18. 5. Ἑβρ. 1,3. 6. Πρβλ. Α' Κορ. 8,6. Κολ. 1,16. 7. Ἡσ. 40,22. 8. Πρβλ. Ἡσ. 40,12. 9. Ψαλ. 112,5-6. 10. Πρβλ. Ἡσ. 66,1.

α. Πρβλ. Εὐνομίου, Ἀπολογητικὸς εἰς Μ. Βασίλειον, ΒΕΠ 52,152,35 ἑξ.

οὐ τῆς ἐνεργείας, ἀλλὰ τῆς ὑποστάσεως[1]. Ἢ τὸ τῆς δόξης [541] ἀπαύγασμα σφραγίς ἐστιν ἐνεργείας Θεοῦ; ὢ τῆς ἀσεβοῦς ἀμαθίας! Τί μέσον ἐστὶ τοῦ Θεοῦ καὶ τῆς ἰδίας μορφῆς; τίνι δὲ μεσιτεύεται πρὸς τὸν χαρακτῆρα ἑαυτῆς ἡ ὑπόστασις; τί δὲ μεταξὺ νοεῖται τῆς δόξης καὶ τοῦ ἀπαυγάσματος; Ἀλλὰ τοιούτων καὶ τοσούτων ὄντων δι' ὧν τὸ μεγαλεῖον ἀνακηρύσσεται τοῦ Δεσπότου τῆς κτίσεως παρὰ τῶν πεπιστευμένων τὸ κήρυγμα, οἷα περὶ αὐτοῦ διεξέρχεται ὁ τῆς ἀποστασίας πρόδρομος; τί λέγει; ὡς εἰκόνα, φησί, καὶ σφραγῖδα πάσης τῆς τοῦ Παντοκράτορος ἐνεργείας καὶ δυνάμεως. Πῶς παραγράφεται τὰς τοῦ μεγάλου Παύλου φωνάς; Ἐκεῖνός φησιν ὅτι Θεοῦ δύναμίς ἐστιν ὁ Υἱός[2], οὗτος δὲ αὐτὸν σφραγῖδα λέγει δυνάμεως, οὐχὶ δύναμιν. Καὶ πάλιν ἐπαναλαβὼν τὸν λόγον οἷα τοῖς εἰρημένοις προστίθησιν; σφραγῖδα λέγει τῶν τοῦ Πατρὸς ἔργων καὶ λόγων καὶ βουλευμάτων. Ποίοις ἔργοις τοῦ Πατρός ἐστιν ὅμοιος; Τὸν κόσμον πάντως ἐρεῖ καὶ τὰ ἐν αὐτῷ πάντα[3]. Ἀλλὰ μὴν πάντα ταῦτα τοῦ Μονογενοῦς ἔργα εἶναι τὸ Εὐαγγέλιον ἐμαρτύρησε. Ποίοις τοίνυν ἔργοις τοῦ **382** Πατρὸς ὁ Υἱὸς ὡμοιώθη; τίνων ἐγένετο ἔργων σφραγίς; ποία δὲ Γραφὴ σφραγῖδα τῶν πατρικῶν ἔργων αὐτὸν προσηγόρευσεν; Εἰ δέ τις αὐτῷ καὶ τοῦτο δοίη, τὸ πλάσσειν τοὺς λόγους κατ' ἐξουσίαν ὡς βούλεται, κἂν ἡ Γραφὴ μὴ συντιθῆται, εἰπάτω ποῖα τοῦ Πατρός ἐστιν ἔργα τῶν παρὰ τοῦ Υἱοῦ γεγονότων κεχωρισμένα, ὧν σφραγῖδα λέγει τὸν Υἱὸν γεγενῆσθαι. Ἔργα τοῦ Λόγου τὰ ὁρατὰ πάντα καὶ τὰ ἀόρατα[4]· ἐν τοῖς ὁρωμένοις ὁ κόσμος ὅλος καὶ τὰ ἐν αὐτῷ πάντα, ἐν τοῖς ἀοράτοις ἡ ὑπερκόσμιος κτίσις. Ποῖα τοίνυν ὑπολείπεται ἔξω τῶν ὁρωμένων τε καὶ ἀοράτων ἔργα τοῦ Πατρὸς ἐφ' ἑαυτῶν θεωρούμενα, ὧν σφραγῖδα λέγει τὸν Υἱὸν γεγενῆσθαι; ἢ τάχα πάλιν ἐπὶ τὸν δυσώδη τῆς αἱρέσεως ἔμετον ἐπανήξει στενοχωρούμενος καὶ λέξει ἔργον εἶναι τοῦ Πατρὸς τὸν Υἱόν; πῶς οὖν σφραγὶς γίνεται τῶν ἔργων τούτων ὁ Υἱός, αὐτὸς ὤν, ὥς φησιν αὐτός, τὸ ἔργον; ἢ τὸν αὐτὸν λέγει καὶ ἔργον καὶ ἔργου ὁμοίωμα;

Δεδόσθω ταῦτα· εἰπάτω τὰ λοιπὰ ἔργα ὧν λέγει δημιουργὸν τὸν Πατέρα, οἷς ὁ Υἱός ὡμοιώθη, εἴπερ διὰ τῆς σφραγῖδος νοεῖ τὸ ὁμοίωμα. Ποίους δὲ λόγους ἄλλους τοῦ Πατρὸς οἶδεν ὁ Εὐνόμιος παρὰ τὸν ἀεὶ ἐν τῷ Πατρὶ ὄντα Λόγον, ὃν σφραγῖδα ὀνομάζει, τὸν κυρίως καὶ ἀληθῶς καὶ πρώτως ὄντα τε καὶ ὀνομαζόμενον Λόγον; πρὸς ποῖα δὲ βουλεύματα βλέπει τῆς τοῦ Θεοῦ σοφίας κεχωρισμένα, οἷς ὁμοιοῦται ἡ τοῦ Θεοῦ σοφία, σφραγὶς γινομένη τῶν βουλευμάτων; Ὁρᾶτε τὸ ἀδιάκριτον καὶ ἀπερίσκεπτον καὶ τὸν συρφετὸν τοῦ λόγου, οἷα τοῦ μυστηρίου κατασκεδάζει, μήτε ἃ λέγει

1. Πρβλ. Ἑβρ. 1,3. 2. Πρβλ. Α' Κορ. 1,24. 3. Πρβλ. Ἰω. 1,3. 4. Πρβλ. Κολ. 1,16.

ἐπιστάμενος μήτε περὶ τίνος ποιεῖται τὸν λόγον[1]. Ὁ γὰρ ὅλον ἔχων ἐν ἑαυτῷ τὸν Πατέρα **383** καὶ ἐν τῷ Πατρὶ ὅλος ὢν ὡς Λόγος καὶ σοφία καὶ δύναμις καὶ ἀλήθεια καὶ χαρακτὴρ καὶ ἀπαύγασμα, αὐτός ἐστιν ἐν τῷ Πατρὶ τὰ πάντα, οὐκ ἄλλων τινῶν ἐν τῷ Πατρὶ πρὸ αὐτοῦ θεωρουμένων εἰκὼν γινόμενος καὶ σφραγὶς καὶ ὁμοίωμα.

Εἶτα χαρίζεται αὐτῷ τὸν **[544]** ἐπὶ Νῶε δι' ὕδατος τῶν ἀνθρώπων ἀφανισμὸν καὶ τὴν ἐν Σοδόμοις τοῦ πυρὸς ἐπομβρίαν καὶ τῶν Αἰγυπτίων τὴν ἔνδικον τιμωρίαν, ὥς τινα μεγάλα προσμαρτυρῶν τῷ ἐν τῇ χειρὶ ἔχοντι τὰ πέρατα τῆς οἰκουμένης[2], ἐν ᾧ τὰ πάντα συνέστηκε[3], καθώς φησιν ὁ 'Απόστολος, ὥσπερ οὐκ εἰδώς, ὅτι τῷ περιέχοντι τὰ πάντα καὶ πρὸς τὸ δοκοῦν ἄγοντί τε καὶ φέροντι τά τε ἤδη γεγενημένα καὶ τὰ ἐσόμενα οὐ τοσοῦτον προσθήκην ποιεῖ τῆς δόξης δύο ἢ τρία μνημονευθέντα θαύματα, ὅσον ἀφαίρεσιν καὶ ζημίαν ἡ τῶν λοιπῶν σιωπή. 'Αλλὰ καὶ τούτων σιωπωμένων ἀρκεῖ ἡ μία τοῦ Παύλου φωνὴ περιληπτικῶς τὰ πάντα δι' ἑαυτῆς ἐνδείξασθαι ἡ ἐπὶ πάντων αὐτὸν λέγουσα καὶ διὰ πάντων καὶ ἐν πᾶσιν[4].

Εἶτα νομοθετεῖ, φησί, κατ' ἐπιταγὴν τοῦ αἰωνίου Θεοῦ. Τίς ὁ αἰώνιός ἐστι Θεὸς καὶ τίς ὁ ὑπουργῶν αὐτῷ περὶ τὴν τοῦ νόμου θέσιν; 'Αλλὰ παντὶ δῆλον τοῦτό ἐστιν, ὅτι διὰ Μωυσέως νομοθετεῖ ὁ Θεὸς τοῖς δεχομένοις τὸν νόμον[5]. Αὐτοῦ δὲ τοῦ Εὐνομίου τὸν μονογενῆ Θεὸν εἶναι ὁμολογοῦντος τὸν Μωυσεῖ χρηματίζοντα πῶς ὁ παρὼν αὐτοῦ λόγος εἰς τὴν τοῦ Μωυσέως τάξιν τὸν τοῦ παντὸς Δεσπότην ἀντικαθίστησιν[6], τὸ δὲ τοῦ αἰωνίου Θεοῦ σημαινόμενον τῷ Πατρὶ ἀνατίθησι μόνῳ, ὡς τῇ πρὸς τὸν αἰώνιον διαστολῇ μὴ αἰώνιον, ἀλλὰ πρόσφατον τὸν μονογενῆ **384** Θεὸν ἀποδείκνυσθαι, τὸν ποιητὴν τῶν αἰώνων; 'Αλλὰ καὶ ἐπιλελῆσθαί μοι δοκεῖ ὁ φιλομαθής τε καὶ μνήμων, ὅτι πάντα ταῦτα περὶ ἑαυτοῦ ὁ Παῦλός φησι, διαγγέλλων ἐν τοῖς ἀνθρώποις τοῦ Εὐαγγελίου τὸ κήρυγμα κατ' ἐπιταγὴν τοῦ Θεοῦ[7]. Ἃ τοίνυν περὶ ἑαυτοῦ διεξέρχεται ὁ 'Απόστολος, ταῦτα ὁ Εὐνόμιος τῷ Δεσπότῃ τῶν προφητῶν τε καὶ ἀποστόλων ἀνατιθεὶς οὐκ αἰσχύνεται, ἵνα ὁμότιμον καταστήσῃ τῷ Παύλῳ, τῷ ἰδίῳ δούλῳ, τὸν Κύριον. Καὶ τί με χρὴ τὰ καθ' ἕκαστον διελέγχοντα πλῆθος ἐπεισάγειν τῷ λόγῳ; Ἐν οἷς ὁ μὲν ἁπλούστερον ἐντυγχάνων τοῖς παρ' αὐτοῦ γεγραμμένοις οἰήσεται τὰ συγκεχωρημένα παρὰ τῆς Γραφῆς αὐτὸν λέγειν, ὁ δὲ ἐξεταστικῶς ἕκαστον ἀναπτύσσειν δυνάμενος ἀποδείξει μηδὲν τῆς αἱρετικῆς κακουργίας κεχωρισμένα. Λέγει γὰρ καὶ ὁ ἐκκλησιαστικὸς καὶ ὁ αἱρετικός, ὅτι «ὁ Πατὴρ κρίνει οὐδένα, ἀλλὰ τὴν κρίσιν πᾶσαν δέδωκε τῷ Υἱῷ»[8], νοεῖ δὲ οὐχ ὁμοίως τὸ εἰρημένον

1. Πρβλ. Α' Τιμ. 1,7. 2. Πρβλ. Ψαλ. 94,4. 3. Πρβλ. Κολ. 1,17. 4. Πρβλ. 'Εφ. 4,6. 5. Πρβλ. 'Ιω. 1,17. 6. Πρβλ. 'Εξ. 3,4 ἑξ. 7. Πρβλ. Ρωμ. 16,26. 8. 'Ιω. 5,22.

ἑκάτερος· διὰ γὰρ τῶν αὐτῶν ῥημάτων ὁ μὲν ἐκκλησιαστικὸς τὴν ἐπὶ πάντων ἐξουσίαν νοεῖ, οὗτος δὲ κατασκευάζει τὸ ὑποδεές τε καὶ ὑποχείριον.

Ἀλλ' ἐκεῖνο χρὴ προσθεῖναι τοῖς εἰρημένοις, ὅπερ κρηπῖδά τινα ποιοῦνται τῆς ἀσεβείας ἐν τῷ περὶ τῆς οἰκονομίας λόγῳ, οὐχ ὅλον ἄνθρωπον παρ' αὐτοῦ σεσῶσθαι διοριζόμενοι, ἀλλὰ τὸ τοῦ ἀνθρώπου ἡμίτομον, τὸ σῶμα λέγω. Ὁ δὲ σκοπός ἐστιν αὐτοῖς τῆς τοιαύτης περὶ τὸ δόγμα κακουργίας τὸ δεῖξαι τὰς ταπεινοτέρας φωνάς, ἃς ἐκ τοῦ ἀνθρωπίνου ποιεῖται ὁ Κύριος, παρ' αὐτῆς τῆς θεότητος γεγενῆσθαι δοκεῖν, ἵνα διὰ τούτων ἰσχυροτέραν ἀποδείξωσι τὴν **[545]** βλασφημίαν, δι' αὐτῆς τῆς τοῦ Κυρίου ὁμολογίας κρατυνομένην. Τούτου χάριν φησὶ *τὸν ἐπ' ἐσχάτων τῶν ἡμερῶν γενόμενον ἄνθρωπον, οὐκ* **385** *ἀναλαβόντα τὸν ἐκ ψυχῆς καὶ σώματος ἄνθρωπον*. Ἐγὼ δὲ πᾶσαν διερευνησάμενος τὴν θεόπνευστόν τε καὶ ἁγίαν Γραφὴν οὐχ ὁρῶ ταύτην τὴν φωνὴν ἐγγεγραμμένην, ὅτι μόνην τὴν σάρκα δίχα τῆς ψυχῆς ἐν τῷ καιρῷ τῆς κατὰ ἄνθρωπον οἰκονομίας ὁ τὰ πάντα ποιήσας εἰς ἑαυτὸν ἀνεδέξατο. Ἀναγκαίως οὖν πρός τε τὸν σκοπὸν τῆς σωτηρίας ἡμῶν βλέπων καὶ πρὸς τὰ δόγματα τῶν πατέρων καὶ πρὸς τὰς θεοπνεύστους φωνὰς τὴν ἐν τῷ μέρει τούτῳ κατασκευαζομένην ἀσέβειαν διελέγξαι πειράσομαι. Ἦλθεν ὁ Κύριος ζητῆσαι καὶ σῶσαι τὸ ἀπολωλός[1], ἀπώλετο δὲ οὐ σῶμα, ἀλλ' ὅλος ὁ ἄνθρωπος ἀπὸ ψυχῆς ⟨καὶ σώματος⟩ συγκεκραμένος, καὶ εἰ χρὴ τὸν ἀληθέστερον εἰπεῖν λόγον, τοῦ σώματος ἡ ψυχὴ προαπώλετο. Ἡ γὰρ παρακοὴ προαιρέσεως, οὐ σώματος ἁμαρτία ἐστίν, ἴδιον δὲ ψυχῆς ἡ προαίρεσις, ἀφ' ἧς πᾶσα ἡ τῆς φύσεως συμφορὰ τὴν ἀρχὴν ἔσχεν[α], ὡς μαρτυρεῖ τοῖς λόγοις ἡ ἀψευδὴς τοῦ Θεοῦ ἀπειλή, ὅτι ἐν ᾗ ἂν ἡμέρᾳ τῶν ἀπηγορευμένων ἅψωνται, ἀνυπερθέτως συναφθήσεται τῇ βρώσει ὁ θάνατος[2]. Διπλοῦ δὲ ὄντος τοῦ ἀνθρωπίνου συγκρίματος, καταλλήλως καθ' ἑκάτερον ἐνεργεῖται ὁ θάνατος, τῆς διπλῆς ζωῆς ἐνεργούσης τῷ νεκρουμένῳ τὴν στέρησιν. Σώματος μὲν γάρ ἐστι θάνατος ἡ τῶν αἰσθητηρίων σβέσις καὶ ἡ πρὸς τὰ συγγενῆ τῶν στοιχείων διάλυσις[β]· «ψυχὴ δέ», φησίν, «ἡ ἁμαρτάνουσα αὐτὴ ἀποθανεῖται»[3]. Ἁμαρτία δέ ἐστιν[γ] ἡ τοῦ Θεοῦ ἀλλοτρίωσις, ὅς ἐστιν ἡ ἀληθινή τε καὶ μόνη ζωή. Οὐκοῦν

---

1. Πρβλ. Λουκ. 19,10. 2. Πρβλ. Γεν. 2,17. 3. Ἰεζ. 18,20.

α. Πρβλ. Κλήμεντος Ἀλεξανδρέως, Στρωματεῖς Β, VI, ΒΕΠ 7,310, 15 ἑξ. PG 8,940B. Μακαρίου τοῦ Αἰγυπτίου, Ὁμιλίαι πνευματικαί, ΒΕΠ 42, 200,20 ἑξ. PG 34,548C Γρηγορίου Θεολόγου, λόγ. ΙΘ', ΒΕΠ 59,140,30 ἑξ. Νεμεσίου Ἐμέσης, Περὶ φύσεως ἀνθρώπου, ΒΕΠ 38,294,36 ἑξ. Γρηγορίου Νύσσης, Περὶ κατασκευῆς τοῦ ἀνθρώπου, PG 44,333A.

β. Πρβλ. Μεθοδίου, Περὶ ἀναστάσεως. PG 18,321A. Γρηγορίου Θεολόγου Ἔπη ἠθικά, ΒΕΠ 61,222,14 ἑξ.

γ. Πρβλ. Γρηγορίου Θεολόγου, Ἔπη ἠθικά, ΒΕΠ 61,226,27. Γρηγορίου Νύσσης, Πρὸς τὸν ἐν ἁγίοις Λητόϊον, ἐπίσκοπον Μελιτινῆς, PG 45,221B.

πολλὰς ἐτῶν ἑκατοντάδας ἐπεβίω μετὰ τὴν παρακοὴν ὁ πρωτόπλαστος, ἀλλ' ὁ Θεὸς οὐκ ἐψεύσατο εἰπὼν «ἐν ᾗ ἂν ἡμέρᾳ φάγητε, θανάτῳ ἀποθανεῖσθε»[1][α]. Διὰ γὰρ τοῦ ἀλλο**386**τριωθῆναι αὐτὸν τῆς ὄντως ζωῆς αὐθημερὸν ἐκυρώθη κατ' αὐτοῦ ἡ τοῦ θανάτου ἀπόφασις. Μετὰ ταῦτα δὲ χρόνοις ὕστερον καὶ ὁ σωματικὸς τῷ 'Αδὰμ ἐπηκολούθησε θάνατος. 'Ο τοίνυν διὰ τοῦτο ἐλθών, ἵνα ζητήσῃ καὶ σώσῃ τὸ ἀπολωλός[2], ὅπερ ἐν τῇ παραβολῇ ὁ ποιμὴν πρόβατον ὀνομάζει, καὶ εὑρίσκει τὸ ἀπολωλὸς καὶ ἀναλαμβάνει ἐπὶ τῶν ἰδίων ὤμων ὅλον τὸ πρόβατον, οὐ μόνην τὴν τοῦ προβάτου δοράν, ἵνα ἄρτιον ποιήσῃ τὸν τοῦ Θεοῦ ἄνθρωπον[3], διὰ ψυχῆς τε καὶ σώματος ἀνακραθέντα πρὸς τὴν θεότητα. Καὶ οὕτως οὐδὲν ἀφῆκε τῆς φύσεως ἡμῶν, ὃ οὐκ ἀνέλαβεν ὁ κατὰ πάντα πεπειραμένος καθ' ὁμοιότητα χωρὶς ἁμαρτίας[4]. 'Η δὲ ψυχὴ ἁμαρτία οὐκ ἔστιν, ἀλλὰ δεκτικὴ ἁμαρτίας ἐξ ἀβουλίας ἐγένετο· ἣν διὰ τοῦτο ἁγιάζει διὰ τῆς πρὸς ἑαυτὸν ἀνακράσεως, ἵνα τῇ ἀπαρχῇ ὅλον συναγιάσῃ τὸ φύραμα[5]. Οὗ χάριν καὶ ὁ ἄγγελος μηνύων τῷ 'Ιωσὴφ τὴν τῶν ἐχθρῶν τοῦ Κυρίου ἀπώλειάν φησιν ὅτι «τεθνήκασιν οἱ ζητοῦντες τὴν ψυχὴν τοῦ παιδίου»[6]· καὶ ὁ Κύριος πρὸς τοὺς 'Ιουδαίους λέγει ὅτι «ζητεῖτέ με ἀποκτεῖναι, ἄνθρωπον ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα»[7]. ῎Ανθρωπος δὲ τὸ τοῦ ἀνθρώπου σῶμα οὐ λέγεται, ἀλλὰ τὸ ἐξ ἀμφοτέρων συγκείμενον. Καὶ πάλιν φησὶ πρὸς αὐτοὺς ὅτι «ἐμοὶ χολᾶτε, ὅτι **[548]** ὅλον ἄνθρωπον ὑγιῆ ἐποίησα ἐν σαββάτῳ;»[8]. 'Εφανέρωσε δὲ τὸ τοῦ ὅλου νόημα ἐν μὲν τοῖς ἄλλοις εὐαγγελίοις, πρὸς τὸν διὰ τῆς κλίνης ἐν τῷ μέσῳ κεχαλασμένον εἰπὼν «ἀφέωνταί σοι αἱ ἁμαρτίαι»[9], ὅπερ ψυχῆς ἐστιν ἴασις, καὶ ὅτι «ἔγειρε καὶ περιπάτει»[10], ὅπερ εἰς τὴν σάρκα βλέπει· ἐν δὲ τῷ κατὰ 'Ιωάννην μετὰ τὸ δοῦναι τὴν ὑγίειαν τῷ σώματι καὶ τὴν ψυχὴν ἐλευθερώσας τῆς ἰδίας νόσου, ἐν οἷς φησιν ὅτι «ὑγιὴς γέγονας, μηκέτι **387** ἁμάρτανε»[11]· ἐντεῦθεν *** ὁ δι' ἀμφοτέρων τεθεραπευμένος, ἐν ψυχῇ τε λέγω καὶ σώματι. Οὕτω γάρ φησι καὶ Παῦλος· «ἵνα τοὺς δύο κτίσῃ ἐν ἑαυτῷ εἰς ἕνα καινὸν ἄνθρωπον»[12]· καὶ οὕτως ἐν τῷ καιρῷ τοῦ πάθους προλέγει τὸ ἑκουσίως ἀποστῆναι τὴν ἑαυτοῦ ψυχὴν ἀπὸ τοῦ ἰδίου σώματος λέγων «οὐδεὶς αἴρει τὴν ψυχήν μου ἀπ' ἐμοῦ, ἀλλ' ἐγὼ τίθημι αὐτὴν ἀπ' ἐμαυτοῦ· ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν»[13]. 'Αλλὰ καὶ ὁ προφήτης Δαβὶδ κατὰ τὴν ἑρμηνείαν τοῦ μεγάλου Πέτρου εἰς αὐτὸν προορώμενος εἶπεν «ὅτι οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδην, οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν»[14], οὕτω τοῦ ἀπο-

1. Γεν. 2,17. 2. Πρβλ. Λουκ. 19,10, 15,6. 3. Πρβλ. Α' Τιμ. 6,11. 4. Πρβλ. 'Εβρ. 4,15. 5. Πρβλ. Ρωμ. 11,16. 6. Ματθ. 2,20. 7. 'Ιω. 8,40. 8. 'Ιω. 7,23. 9. Λουκ. 5,20. 10. Ματθ. 9,5. 11. 'Ιω. 5,14. 12. 'Εφ. 2,15. 13. 'Ιω. 10,18. 14. Πράξ. 2,27. Ψαλ. 15,10.

α. Πρβλ. Θεοφίλου 'Αντιοχείας, Πρὸς Αὐτόλυκον Β, 27, ΒΕΠ 5,39,20 ἑξ. PG 6,1093B.

στόλου Πέτρου τὸ ῥητὸν ἑρμηνεύσαντος, ὅτι οὔτε ἡ ψυχὴ αὐτοῦ ἐγκατελείφθη εἰς τὸν ᾅδην οὔτε ἡ σὰρξ αὐτοῦ εἶδε διαφθοράν. Ἡ γὰρ θεότης καὶ πρὸ τῆς σαρκὸς καὶ ἐν τῇ σαρκὶ καὶ μετὰ τὸ πάθος ἀεὶ ὡσαύτως ἔχει, ὃ ἦν τῇ φύσει πάντοτε οὖσα καὶ εἰς ἀεὶ διαμένουσα, ἐν δὲ τῷ πάθει τῆς ἀνθρωπίνης φύσεως τὴν ὑπὲρ ἡμῶν οἰκονομίαν ἐπλήρωσε, διαζεύξασα πρὸς καιρὸν τὴν ψυχὴν ἐκ τοῦ σώματος, χωρισθεῖσα δὲ οὐδὲ τοῦ ἑτέρου, ᾧ ἅπαξ συνανεκράθη, καὶ πάλιν τὰ διεστῶτα συνάψασα, ὥστε ἀκολουθίαν καὶ ἀρχὴν δοῦναι πάσῃ τῇ ἀνθρωπίνῃ φύσει τῆς ἐκ νεκρῶν ἀναστάσεως, ἵνα τὸ φθαρτὸν ἅπαν ἐνδύσηται ἀφθαρσίαν καὶ τὸ θνητὸν τὴν ἀθανασίαν[1], τῆς ἀπαρχῆς ἡμῶν διὰ τῆς πρὸς τὸν Θεὸν ἀνακράσεως εἰς θείαν φύσιν μεταποιηθείσης· καθὼς εἶπεν ὁ Πέτρος ὅτι «Κύριον αὐτὸν **388** καὶ Χριστὸν ἐποίησεν ὁ Θεός, τοῦτον τὸν Ἰησοῦν ὃν ὑμεῖς ἐσταυρώσατε»[2]· καὶ πολλὰ τοῦ τοιούτου δόγματος ἐκ τῶν ἁγίων εὐαγγελίων ἔστιν εἰς συμμαχίαν λαβεῖν, πῶς ὁ Κύριος τῷ κατὰ Χριστὸν ἀνθρωπίνῳ τὸν κόσμον ἑαυτῷ καταλλάσσων[3] ἐπεμέρισε τῇ ψυχῇ τε καὶ τῷ σώματι τὴν παρ' αὐτοῦ γινομένην τοῖς ἀνθρώποις εὐεργεσίαν, θέλων μὲν διὰ τῆς ψυχῆς, ἐφαπτόμενος δὲ διὰ τοῦ σώματος. Ἀλλὰ περιττὸν ἂν εἴη πάντα διεξιόντα ὄχλον ἐπεισάγειν τῷ λόγῳ.

Ἐκεῖνο δὲ τοῖς εἰρημένοις ἔτι προσθεὶς πρὸς τὰ ἐφεξῆς μεταβήσομαι· «λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν»[4]. Ὥσπερ ἡμεῖς διὰ ψυχῆς καὶ σώματος ναὸς γινόμεθα τοῦ ἐνοικοῦντος ἐν ἡμῖν[5] καὶ ἐμπεριπατοῦντος, οὕτως καὶ ὁ Κύριος ναὸν ὀνομάζει τὸ συναμφότερον, οὗ ἡ λύσις τὴν τῆς ψυχῆς ἐκ τοῦ σώματος σημαίνει διάλυσιν. Εἰ δὲ προφέρουσι τὴν τοῦ Εὐαγγελίου φωνὴν ὅτι «ὁ λόγος σὰρξ ἐγένετο»[6], ὡς διὰ τοῦ μὴ συμμνημονευθῆναι **[549]** καὶ τὴν ψυχὴν κατασκευάζεσθαι τὸ ἄψυχον ἀνειλῆφθαι τὴν σάρκα, μαθέτωσαν ὅτι σύνηθές ἐστι τῇ ἁγίᾳ Γραφῇ τῷ μέρει συμπεριλαμβάνειν τὸ ὅλον. Ὁ γὰρ εἰπὼν ὅτι «πρὸς σὲ πᾶσα σὰρξ ἥξει»[7], οὐ κεχωρισμένην τῶν ψυχῶν τὴν σάρκα λέγει τῷ κριτῇ παραστήσεσθαι· καὶ τὸν Ἰακὼβ ἐν ἑβδομήκοντα πέντε ψυχαῖς ἐπὶ τὴν Αἴγυπτον καταβάντα[8] παρὰ τῆς ἱστορίας ἀκούσαντες καὶ τὴν σάρκα μετὰ τῶν ψυχῶν ἐνοήσαμεν. Οὕτως οὖν καὶ ὁ Λόγος σὰρξ γενόμενος[α] ὅλην μετὰ τῆς σαρκὸς τὴν ἀνθρωπίνην συνανέλαβε φύσιν, ὅθεν καὶ τὸ πεινῆν καὶ τὸ διψῆν καὶ τὸ δειλιᾶν καὶ τὸ φοβεῖσθαι καὶ τὸ ἐπιθυμεῖν καὶ τὸ καθεύδειν καὶ τὸ ταράττεσθαι καὶ τὸ δακρύειν καὶ πάντα τὰ τοιαῦτα γί-

---

1. Πρβλ. Α' Κορ. 15,53. 2. Πράξ. 2,36. 3. Πρβλ. Β' Κορ. 5,19. 4. Ἰω. 2,19. 5. Πρβλ. Α' Κορ. 6,19. 6. Ἰω. 1,14. 7. Ψαλ. 64,3. 8. Πρβλ. Γεν. 46,27.

α. Πρβλ. Μ. Ἀθανασίου, Κατὰ Ἀρειανῶν Γ, 34, ΒΕΠ 30,278,30 ἑξ. PG 26,396B. Μ. Βασιλείου, Ἐπιστολαὶ 261, ΒΕΠ 55,326,9 ἑξ. Γρηγορίου Νύσσης, Κατὰ Εὐνομίου Γ', δ' (Ϛ' Migne), ΒΕΠ 67,344,18 ἑξ.

νεσθαι ἐν **389** αὐτῷ χώραν ἔσχεν[α]. Οὔτε γὰρ ἡ θεότης κατὰ τὴν ἰδίαν φύσιν τι τοιοῦτον ἀναδέχεται πάθος οὔτε καθ' ἑαυτὴν ἡ σάρξ ἐν ἐκείνοις γίνεται, μὴ ψυχῆς συνδιατιθεμένης τῷ σώματι.

Καὶ περὶ μὲν τῆς εἰς τὸν Υἱὸν βλασφημίας τοσαῦτα. Ἴδωμεν δὲ καὶ ὅσα περὶ τοῦ Ἁγίου Πνεύματος διεξέρχεται. Μετὰ τοῦτον πιστεύομεν, φησίν, εἰς τὸν Παράκλητον, τὸ Πνεῦμα τῆς ἀληθείας. Ἐγὼ δὲ δῆλον οἶμαι πᾶσιν εἶναι τοῖς ἐντυγχάνουσιν, πρὸς ὅ τι βλέπων παρατρέπει τὴν ὑπὸ τοῦ Κυρίου παραδοθεῖσαν τῆς πίστεως ἔκθεσιν, ἐν τοῖς περὶ τοῦ Υἱοῦ καὶ τοῦ Πατρὸς λόγοις τῆς ἀτοπίας ταύτης ἀπελεγχθείσης· ὅμως δὲ καὶ νῦν δι' ὀλίγων τὸν σκοπὸν αὐτοῦ τῆς κακουργίας φανερὸν καταστῆσαι πειράσομαι. Ὡς γὰρ ἐκεῖ Πατέρα οὐκ εἶπεν, ἵνα μὴ τῇ ἀϊδιότητι τοῦ Πατρὸς τὸν Υἱὸν συνενδείξηται, οὐδὲ τὸν Υἱὸν ὠνόμασεν, ἵνα μὴ τὴν κατὰ φύσιν οἰκειότητα τῇ φωνῇ ταύτῃ συμπαραστήσῃ, οὕτω καὶ νῦν οὐ λέγει Πνεῦμα Ἅγιον, ἵνα μὴ τὸ μεγαλεῖον τῆς δόξης αὐτοῦ καὶ τὸ κατὰ πάντα ἡνωμένον Πατρί τε καὶ Υἱῷ διὰ τοῦ ὀνόματος τούτου συνομολογήσῃ. Ἐπειδὴ γὰρ τῷ Πατρὶ καὶ τῷ Υἱῷ κατὰ τὸ ἴσον ἥ τε τοῦ Πνεύματος καὶ ἡ τοῦ ἁγίου κλῆσις παρὰ τῆς Γραφῆς ἐφαρμόζεται (Πνεῦμα γὰρ ὁ Θεός[1], καὶ Πνεῦμα πρὸ προσώπου ἡμῶν Χριστὸς Κύριος[2], καὶ Ἅγιος Κύριος ὁ Θεός[3], καὶ εἷς ἅγιος, εἷς Κύριος Ἰησοῦς Χριστός[4]), ἵνα μή τις γένηται τοῖς ἀκούουσιν Ἁγίου Πνεύματος εὐσεβὴς διὰ τούτων ὑπόληψις ἡ διὰ τὸ κοινωνεῖν τῷ Πατρί τε καὶ τῷ Υἱῷ τῆς ἐνδόξου κλήσεως ἐγγινομένη, τούτου χάριν παρακρουσάμενος τὴν ἀκοὴν τῶν ἀνοήτων τῆς παρὰ τοῦ Θεοῦ προ**390**εκτεθείσης πίστεως ἐν τῇ παραδόσει τοῦ μυστηρίου ὑπαλλάσσει τὰ ῥήματα, ὥσπερ ὁδοποιήσας διὰ τῆς ἀκολουθίας ταύτης ἑαυτῷ τὴν κατὰ τοῦ Πνεύματος τοῦ Ἁγίου ἀσέβειαν. Εἰ γὰρ εἶπεν ὅτι πιστεύομεν εἰς τὸ Πνεῦμα τὸ Ἅγιον, πνεῦμα δὲ ὁ Θεός, ὑπέκρουσεν ἂν ὁ τὰ θεῖα πεπαιδευμένος ὅτι, εἰ χρὴ πιστεύειν εἰς τὸ Πνεῦμα τὸ Ἅγιον, πνεῦμα δὲ ὁ Θεὸς ὀνομάζεται, οὐκ ἄλλο τι κατὰ τὴν φύσιν ἐστὶν ἢ ἐκεῖνο πάντως, ὃ διὰ τῶν αὐτῶν ὀνομάτων κυρίως κατονομάζεται. Ὅσα γὰρ οὐ ψευδῶς οὐδὲ ἐκ καταχρήσεως, ἀλλὰ κυρίως ὑπὸ τῶν αὐτῶν ὀνομάτων δηλοῦται, τούτων ἀνάγκη πᾶσα μίαν καὶ τὴν αὐτὴν ὁμολογεῖσθαι φύσιν τὴν τοῖς αὐτοῖς σημαινομένην ὀνόμασι. Διὰ ταῦτα σιωπήσας τὴν παρὰ **[552]** τοῦ Κυρίου νομοθετηθεῖσαν ἐν τῇ πίστει φωνὴν πιστεύομεν, φησίν, εἰς τὸν Παράκλητον. Ἐγὼ δὲ καὶ αὐτὸ τοῦτο τὸ ὄνομα κοινὸν ἔμαθον εἶναι παρὰ τῆς θεοπνεύστου Γραφῆς Πατρός τε καὶ Υἱοῦ καὶ Πνεύματος Ἁγίου. Ὁ γὰρ Υἱὸς

1. Πρβλ. Ἰω. 4,24. 2. Πρβλ. Θρ. 4,20. 3. Πρβλ. Ψαλ. 98,9. 4. Πρβλ. Α΄ Κορ. 8,6.

α. Πρβλ. Μ. Ἀθανασίου, Κατὰ Ἀρειανῶν Γ, 34, ΒΕΠ 30, 278,22 ἑξ. PG 26,396A-B.

ἐπίσης ἑαυτόν τε καὶ τὸ Πνεῦμα τὸ Ἅγιον ὀνομάζει παράκλητον· ὁ δὲ Πατὴρ δι' ὧν ἐνεργεῖ τὴν παράκλησιν, οἰκειοῦται πάντως τοῦ παρακλήτου τὸ ὄνομα. Οὐ γὰρ δὴ τὸ ἔργον ποιῶν τοῦ παρακλήτου ἀπαξιοῖ τοῦ ἔργου τὸ ὄνομα. Ὅ τε γὰρ Δαβὶδ πρὸς τὸν Πατέρα φησὶν «σὺ κύριε ἐβοήθησάς μοι καὶ παρεκάλεσάς με»[1], καὶ ὁ μέγας Ἀπόστολος τὰ αὐτὰ περὶ τοῦ Πατρὸς διεξέρχεται λέγων «εὐλογητὸς ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ», ὁ «παρακαλῶν ἡμᾶς» ἐπὶ «πάσῃ τῇ θλίψει ἡμῶν»[2]· τὸν δὲ Υἱὸν ὁ Ἰωάννης ἐν μιᾷ τῶν καθολικῶν ἐπιστολῶν διαρρήδην ὀνομάζει παράκλητον[3]. Καὶ αὐτὸς δὲ ὁ Κύριος δι' ὧν εἶπε καὶ ἄλλον παράκλητον ἡμῖν ἀποσταλήσεσθαι[4], περὶ τοῦ Πνεύματος λέ**391**γων, ἐφ' ἑαυτοῦ πάντως τὸ ὄνομα τοῦτο προωμολόγησε. Διπλῆς δὲ οὔσης τῆς τοῦ παρακαλεῖν σημασίας, μιᾶς μὲν διὰ τῶν τιμητικῶν ῥημάτων τε καὶ σχημάτων, ὑπὲρ ὧν, ἄν τινος δεόμενοι τύχωμεν, εἰς συμπάθειαν αὐτὸν ἐπαγόμεθα, ἑτέρας δὲ τῆς θεραπευτικῆς τῶν ψυχικῶν τε καὶ σωματικῶν παθημάτων ἐπινοίας, τῶν καθ' ἑκάτερον σημαινομένων ἐπίσης ἡ ἁγία Γραφὴ προσμαρτυρεῖ τῇ θείᾳ φύσει τοῦ παρακλήτου τὴν ἔννοιαν. Νῦν μὲν γὰρ ὁ Παῦλος τὴν ἰατικὴν ἡμῶν τοῦ Θεοῦ δύναμιν διὰ τῆς παρακλήσεως ἡμῶν παρίστησι λέγων «ὁ παρακαλῶν τοὺς ταπεινοὺς παρεκάλεσεν ἡμᾶς ἐν τῇ παρουσίᾳ Τίτου»[5], πάλιν δὲ κατὰ τὴν ἑτέραν διάνοιαν πρὸς τοὺς Κορινθίους γράφων ταῦτα διέξεισιν ὅτι «ὑπὲρ Χριστοῦ πρεσβεύομεν, ὡς τοῦ Θεοῦ παρακαλοῦντος δι' ἡμῶν· δεόμεθα ὑπὲρ Χριστοῦ, καταλλάγητε τῷ Θεῷ»[6].

Τούτων οὖν οὕτως ἐχόντων, ὅπως ἂν ἐπὶ τοῦ Πνεύματος νοήσῃς τοῦ Παρακλήτου τὸ ὄνομα, τῆς τοῦ Πατρός τε καὶ τοῦ Υἱοῦ κοινωνίας καθ' ἑκάτερον τῶν σημαινομένων οὐκ ἀποστήσεις. Οὔκουν ἐν τῷ μέρει τούτῳ οὐδὲ βουλόμενος κατασμικρύνειν τὴν τοῦ Ἁγίου Πνεύματος δόξαν δεδύνηται, ἐκεῖνο προσμαρτυρῶν αὐτῷ, ὅπερ καὶ τῷ Πατρὶ καὶ τῷ Υἱῷ παρὰ τῆς ἁγίας Γραφῆς ἀνατίθεται. Π ν ε ῦ μ α δὲ ἀ λ η θ ε ί α ς εἰπὼν ὁ Εὐνόμιος αὐτὸς μέν, ὡς οἶμαι, τὸ ὑποχείριον ἠβουλήθη διὰ τῆς τοιαύτης παραστῆσαι φωνῆς, ἐπειδὴ ἀλήθεια μὲν ὁ Χριστός ἐστιν[7], ἐκεῖνο δὲ Πνεῦμα ἀληθείας ὠνόμασεν[8], ὡς εἴ τις λέγοι κτῆμα εἶναι τῆς ἀληθείας καὶ ὑποχείριον, οὐκ εἰδὼς ὅτι δικαιοσύνη ὁ Θεὸς **392** λέγεται καὶ οὐ δήπου κτῆμα τῆς δικαιοσύνης τὸν Θεὸν ἐνοήσαμεν. Ὥστε καὶ τὸ Πνεῦμα τῆς ἀληθείας μαθόντες τὴν θεοπρεπῆ διάνοιαν παρὰ τῆς φωνῆς ἐδεξάμεθα, τῷ ἐπαχθέντι λόγῳ πρὸς τὸ κρεῖττον χειραγωγούμενοι. Εἰπὼν γὰρ ὁ Κύριος τὸ Πνεῦμα τῆς ἀληθείας εὐθὺς ἐπήγαγεν, «ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται»[9], ὅπερ οὐδενὶ τῶν ἐν **[553]** τῇ κτίσει νοουμένων ἡ φωνὴ τοῦ Κυρίου

---

1. Ψαλ. 85,17. 2. Β' Κορ. 1,3,4. 3. Πρβλ. Α' Ἰω. 2,1. 4. Πρβλ. Ἰω. 14,16. 5. Β' Κορ. 7,6. 6. Β' Κορ. 5,20. 7. Πρβλ. Ἰω. 14,6. 8. Πρβλ. Ἰω. 15,26. 9. Ἰω. 15,26.

προσεμαρτύρησεν, οὐ τοῖς ὁρωμένοις, οὐ τοῖς ἀοράτοις, οὐ θρόνοις, οὐκ ἀρχαῖς, οὐκ ἐξουσίαις, οὐ κυριότησιν, οὐκ ἄλλῳ τινὶ ὀνομαζομένῳ ὀνόματι οὔτε ἐν τῷ αἰῶνι τούτῳ οὔτε ἐν τῷ μέλλοντι. Οὗ τοίνυν πᾶσα ἡ κτίσις ἐστὶν ἀμέτοχος, δῆλον ἂν εἴη πάντως ὅτι τοῦτο τῆς ἀκτίστου φύσεως ἴδιόν ἐστι καὶ ἐξαίρετον. Οὗτος δὲ πιστεύειν κελεύει εἰς τὸν καθηγητὴν τῆς εὐσεβείας. Οὐκοῦν πιστευέτω εἰς τὸν Παῦλόν τε καὶ Βαρνάβαν καὶ Τίτον καὶ Σιλουανὸν καὶ Τιμόθεον καὶ πάντας ἐκείνους, δι' ὧν πρὸς τὴν πίστιν καθωδηγήθημεν. Εἰ γὰρ τὸ καθηγούμενον εἰς εὐσέβειαν μετὰ Πατρὸς καὶ Υἱοῦ πιστεύεσθαι χρή, πάντες οἱ προφῆται καὶ νομοθέται καὶ πατριάρχαι κήρυκές τε καὶ εὐαγγελισταὶ καὶ ἀπόστολοι ποιμένες τε καὶ διδάσκαλοι ὁμοτίμως ἔχουσι πρὸς τὸ Πνεῦμα τὸ Ἅγιον, καθηγηταὶ τοῖς μετ' ἐκείνους τῆς εὐσεβείας γενόμενοι.

Γενόμενος, φησί, ὑπὸ τοῦ μόνου Θεοῦ διὰ τοῦ Μονογενοῦς. Ἀνακεφαλαιοῦται πᾶσαν αὐτοῦ τὴν ἀσέβειαν διὰ τῶν εἰρημένων· πάλιν μόνον Θεὸν τὸν Πατέρα κατονομάζει, ὀργάνῳ κεχρημένον τῷ Μονογενεῖ πρὸς τὴν κατασκευὴν τοῦ Πνεύματος. Ποίαν εὑρὼν ἐκ τῆς Γραφῆς σκιὰν τοῦ τοιούτου νοήματος ταῦτα τολμᾷ; ἐκ ποίας ἀρ**393**χῆς δι' ἀκολούθου πρὸς τὸ τοιοῦτο πέρας προήγαγε τὴν ἀσέβειαν; τίς τῶν εὐαγγελιστῶν φησι, τίς ἀπόστολος, τίς προφήτης; Πᾶν μὲν οὖν τοὐναντίον πᾶσα Γραφὴ θεόπνευστος ἡ διὰ τῆς ἐπιπνοίας τοῦ Πνεύματος ἀναγραφεῖσα μαρτυρεῖ τῷ Πνεύματι τὴν θεότητα, οἷον (κρεῖττον γὰρ δι' αὐτῶν τῶν μαρτυριῶν ἀποδεῖξαι τὸν λόγον) οἱ λαβόντες ἐξουσίαν τοῦ τέκνα Θεοῦ γενέσθαι[1] μαρτυροῦσι τῷ Πνεύματι τὴν θεότητα. Τίς γὰρ ἀγνοεῖ τὴν τοῦ Κυρίου φωνήν, ὅτι οἱ ἐκ τοῦ Πνεύματος γεννηθέντες Θεοῦ τέκνα εἰσίν[2]; Οὕτω γὰρ διαρρήδην μαρτυρεῖ τῷ Ἁγίῳ Πνεύματι τῶν τοῦ Θεοῦ τέκνων τὴν γέννησιν εἰπὼν ὅτι, ὥσπερ τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς σάρξ ἐστιν, οὕτω καὶ τὸ γεγεννημένον ἐκ τοῦ πνεύματος πνεῦμά ἐστιν[3]. Ὅσοι δὲ ὑπὸ τοῦ Πνεύματος ἐγεννήθησαν, Θεοῦ τέκνα προσηγορεύθησαν. Οὕτω καὶ τοῦ Κυρίου διὰ τοῦ προσφυσήματος δεδωκότος τοῖς μαθηταῖς τὸ Πνεῦμα τὸ Ἅγιον[4], φησὶν ὁ Ἰωάννης «ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν»[5]. Ἐν αὐτῷ δὲ κατοικεῖν τὸ πλήρωμα τῆς θεότητος[6] ὁ μέγας Παῦλος διαμαρτύρεται, ἀλλὰ καὶ ἔτι διὰ τοῦ προφήτου Ἡσαΐου περὶ τῆς γενομένης αὐτῷ θεοφανείας, ὅτε εἶδε τὸν καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου[7], ἡ μὲν ἀρχαιοτέρα παράδοσις τὸν Πατέρα εἶναι λέγει τὸν ὀφθέντα, ὁ δὲ εὐαγγελιστὴς Ἰωάννης εἰς τὸν Κύριον ἀναφέρει τὴν προφητείαν, λέγων περὶ τῶν μὴ πεπιστευκότων Ἰουδαίων τὰς τῷ προφήτῃ ῥη-

---

1. Πρβλ. Ἰω. 1,13. 2. Πρβλ. Ἰω. 3,3,5. 3. Πρβλ. Ἰω. 3,6-8. Ρωμ. 8,14. 4. Πρβλ. Πράξ. 2,4,17,18,33. 5. Ἰω. 1,16. 6. Πρβλ. Κολ. 1,19. 7. Πρβλ. Ἡσ. 6,1.

θείσας περὶ τοῦ Κυρίου φωνὰς ὅτι ταῦτα εἶπεν Ἡσαΐας, ὅτε εἶδε τὴν **394** δόξαν αὐτοῦ καὶ ἐλάλησε περὶ αὐτοῦ[1]. Ὁ δὲ μέγας Παῦλος τῷ Ἁγίῳ Πνεύματι τὸν αὐτὸν τοῦτον λόγον προσεμαρτύρησεν ἐν τῇ γενομένῃ αὐτῷ πρὸς τοὺς Ἰουδαίους κατὰ τὴν Ῥώμην δημηγορίᾳ, ὅτε φησὶ Καλῶς εἶπε περὶ ὑμῶν τὸ Πνεῦμα τὸ Ἅγιον **[556]** ὅτι ἀκοῇ ἀκούσετε καὶ οὐ μὴ συνῆτε[2], δεικνὺς ὡς οἶμαι δι' αὐτῆς τῆς ἁγίας Γραφῆς, ὅτι πᾶσα ὀπτασία θειοτέρα καὶ πᾶσα θεοφάνεια καὶ πᾶς λόγος ἐκ προσώπου Θεοῦ λεγόμενος ἐπὶ τοῦ Πατρὸς νοεῖται καὶ ἐπὶ τοῦ Υἱοῦ καὶ ἐπὶ τοῦ Πνεύματος τοῦ Ἁγίου. Διὰ τοῦτο τοῦ Δαβὶδ εἰπόντος ὅτι παρώργισαν τὸν Θεὸν ἐν τῇ ἐρήμῳ καὶ παρώξυναν αὐτὸν ἐν γῇ ἀνύδρῳ[3], ὁ Ἀπόστολος εἰς τὸ Πνεῦμα τὸ Ἅγιον ἀναφέρει τὰ παρὰ τῶν Ἰσραηλιτῶν κατὰ τοῦ Θεοῦ γεγενημένα, οὕτω γράψας τῷ ῥήματι· «διό, καθὼς λέγει τὸ Πνεῦμα τὸ Ἅγιον»[4] «μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ, οὗ ἐπείρασάν με οἱ πατέρες ὑμῶν»[5], καὶ τὰ ἄλλα πάντα τῷ προσώπῳ τοῦ Ἁγίου Πνεύματος ἀνατίθησιν, ὅσα ἡ προφητεία πρὸς Θεὸν ἀναφέρει. Οἱ δὲ τρεῖς ἡμῖν θεοὺς διὰ τῶν τοιούτων ἐπιθρυλοῦντες δογμάτων οὔπω τάχα οὐδὲ ἀριθμεῖν ἐδιδάχθησαν. Εἰ γὰρ ὁ Υἱὸς καὶ ὁ Πατὴρ οὐ μερίζονται ἀπ' ἀλλήλων εἰς δυϊκὴν σημασίαν (ἓν γάρ εἰσι καὶ οὐχὶ δύο κατὰ τὴν τοῦ Κυρίου φωνήν[6]), ἓν δὲ καὶ τὸ Πνεῦμα τὸ Ἅγιον, πῶς τὸ ἓν τῷ ἑνὶ συντιθέμενον εἰς τριῶν θεῶν ἀριθμὸν διασχίζεται; Ἢ δῆλον πάντως ἐστὶν ὅτι οὐκ ἄν τις ἐπικαλέσειεν ἡμῖν τριῶν θεῶν ἀριθμόν, μὴ πρότερον αὐτὸς θεῶν δυάδα[α] ἐν τῷ ἰδίῳ δόγματι κατασκευάζων. Τοῖς **395** γὰρ δύο τὸ ἓν συντιθέμενον τὴν τριάδα τῶν θεῶν ἀπεργάζεται. Παρ' ὧν δὲ εἷς προσκυνεῖται Θεὸς ἐπ' ὀνόματι Πατρὸς καὶ Υἱοῦ καὶ Πνεύματος Ἁγίου, ποίαν ἔχει χώραν ἡ τῶν τριῶν θεῶν κατηγορία;

Ἀλλ' ἐπαναλάβωμεν πάντα τοῦ Εὐνομίου τὸν λόγον. Γενόμενος, φησί, παρὰ τοῦ μόνου Θεοῦ διὰ τοῦ Μονογενοῦς [καὶ τοῦτο]. Τίς οὖν ἡ ἀπόδειξις τοῦ καὶ τοῦτο ἓν τῶν παρὰ τοῦ Μονογενοῦς γεγονότων εἶναι; Πάντα δι' αὐτοῦ γεγενῆσθαι πάντως ἐροῦσιν, ἐν δὲ τοῖς πᾶσι συμπεριειλῆφθαι καὶ τοῦτο. Πρὸς οὓς ἐροῦμεν ὅτι «πάντα δι' αὐτοῦ ἐγένετο»[7], ὅσα ἐγένετο, ἐγένετο δέ, καθὼς ὁ Παῦλός φησιν, ὁρατά τε καὶ ἀόρατα, θρόνοι, ἀρχαί, ἐξουσίαι, κυριότητες, δυνάμεις[8], ἐν δὲ τοῖς ἀπηριθμημένοις διὰ τῶν θρόνων τε καὶ τῶν δυνάμεων τὰ Χερουβὶμ καὶ τὰ Σεραφὶμ ὑπὸ τοῦ Παύλου κατείλεκται. Ἕως τούτου τὰ πάντα. Τὸ δὲ Πνεῦμα τὸ Ἅγιον ὡς ὑπὲρ τὴν φύσιν τῶν γεγονότων ἐν τῇ ἀπαριθμήσει τῶν ὄντων

---

1. Πρβλ. Ἰω. 12,41. Ἡσ. 6,1. 2. Πρβλ. Πράξ. 28,25-26. Ἡσ. 6,9. 3. Πρβλ. Ψαλ. 77,40. 4. Ἑβρ. 3,7. 5. Ἑβρ. 3,8-9. Ψαλ. 94,8. 6. Πρβλ. Ἰω. 10,30. 7. Ἰω. 1,3. 8. Πρβλ. Κολ. 1,16.

α. Πρβλ. Γρηγορίου Νύσσης, Κατὰ Εὐνομίου, ἀνωτέρω σ. 65,11.

ὁ Παῦλος ἀπεσιώπησεν, οὔτε τὸ γενέσθαι οὔτε τὸ ὑποτετάχθαι διὰ τῶν ἑαυτοῦ λόγων ἡμῖν ἐνδειξάμενος· ἀλλ' ὥσπερ ὁ προφήτης ἀγαθὸν καὶ εὐθὲς καὶ ἡγεμονικὸν ὀνομάζει τὸ Πνεῦμα τὸ Ἅγιον[1], διὰ τοῦ ἡγεμονικοῦ τὸ ἀρχικὸν ἐνδεικνύμενος, οὕτω καὶ ὁ Ἀπόστολος πάντα ἐν πᾶσιν ἐνεργεῖν[2] καθὼς βούλεται διοριζόμενος τὴν αὐθεντικὴν ἐξουσίαν προσμαρτυρεῖ τῇ ἀξίᾳ τοῦ Πνεύματος. Ὁ δὲ Κύριος τὴν αὐτεξούσιον αὐτοῦ δύναμίν τε καὶ ἐνέργειαν ἐν τῷ πρὸς Νικόδημον λόγῳ φανερὰν **396** ποιεῖ λέγων ὅτι «τὸ πνεῦμα ὅπου θέλει πνεῖ»[3]. Πῶς οὖν ὁ Εὐνόμιος ἓν καὶ τοῦτο τῶν γεγονότων εἶναι παρὰ τοῦ Υἱοῦ διορίζεται, τῇ ἀϊδίῳ ὑποταγῇ καταδεδικασμένον; καθάπαξ γάρ, φησίν, ὑποτεταγμένον, οὐκ οἶδα ποίῳ τῆς ὑποταγῆς εἴδει τὸ ἡγεμονικόν τε καὶ ἀρχικὸν ὑποζεύξας. Πολύσημος γὰρ ἡ τοιαύτη φωνὴ παρὰ τῇ ἁγίᾳ Γραφῇ καὶ πολυτρόπως νοουμένη καὶ λεγομένη. **[557]** Καὶ γὰρ καὶ τὴν ἄλογον φύσιν ὑποτετάχθαι φησὶν ὁ προφήτης[4], καὶ τοὺς ἐν πολέμῳ κεκρατημένους τῷ αὐτῷ ὑπάγει ὀνόματι[5], καὶ «δούλους τοῖς ἰδίοις δεσπόταις ὑποτάσσεσθαι»[6], νομοθετεῖ ὁ Ἀπόστολος, καὶ τὰ τέκνα ἐν ὑποταγῇ ἔχειν[7] τοὺς τῆς ἱερωσύνης προεστηκότας διακελεύεται, ὡς τῆς γινομένης παρ' αὐτῶν ἀταξίας καθ' ὁμοιότητα τῶν Ἠλεὶ τοῦ ἱερέως παίδων εἰς τοὺς πατέρας διαβαινούσης. Ἀλλὰ καὶ πάντων τῶν ἀνθρώπων τὴν πρὸς τὸν Θεὸν ὑποταγήν, ὅταν ἑνωθέντες οἱ πάντες ἀλλήλοις διὰ τῆς πίστεως ἓν σῶμα τοῦ Κυρίου τοῦ ἐν πᾶσιν ὄντος γενώμεθα, τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα ὑποταγὴν ὁ Ἀπόστολος λέγει, τῆς παρὰ πάντων ὁμοθυμαδὸν γινομένης τῷ Υἱῷ προσκυνήσεως παρά τε τῶν ἐπουρανίων καὶ τῶν ἐπιγείων καὶ τῶν καταχθονίων εἰς τὴν τοῦ Πατρὸς δόξαν διαβαινούσης, οὕτως εἰπόντος τοῦ Παύλου ὅτι αὐτῷ κάμψει πᾶν γόνυ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται ὅτι Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ Πατρός[8]. Οὗ γενομένου τὸν ἐν πᾶσιν ὄντα Υἱὸν διὰ τῆς τῶν πάντων ἐν οἷς ἐστιν ὁ Υἱὸς ὑποταγῆς αὐτὸν ὑποτάσσεσθαι τῷ Πατρὶ[9] ἡ μεγάλη τοῦ Παύλου δια**397**βεβαιοῦται σοφία. Τίνα οὖν ἐπιθρυλεῖ τῷ Πνεύματι τὴν καθάπαξ ὑποταγὴν ὁ Εὐνόμιος, οὐκ ἔστιν ἐκ τῆς προσριφείσης παρ' αὐτοῦ διδαχθῆναι φωνῆς, τῶν ἀλόγων ἢ τῶν αἰχμαλώτων ἢ τῶν οἰκετῶν ἢ τῶν σωφρονιζομένων τέκνων ἢ τῶν διὰ τῆς ὑποταγῆς σῳζομένων. Ἡ γὰρ πρὸς τὸν Θεὸν τῶν ἀνθρώπων ὑποταγὴ[α] σωτηρία τοῖς ὑποτασσομένοις ἐστὶ κατὰ τὴν τοῦ Προφήτου φωνήν, ἥ φησιν ὑποτάσσεσθαι τῷ Θεῷ τὴν ψυχήν, ἐπειδὴ παρ' αὐτοῦ γίνεται διὰ τῆς

---

1. Πρβλ. Ψαλ. 50,12 ἑξ. 2. Πρβλ. Α' Κορ. 12,6,11. 3. Ἰω. 3,8. 4. Πρβλ. Ψαλ. 8,7. 5. Πρβλ. Ψαλ. 59,10. 6. Τίτ. 2,9. 7. Πρβλ. Α' Τιμ. 3,4. 8. Πρβλ. Φιλιπ. 2,10. 9. Πρβλ. Α' Κορ. 15,28.

α. Πρβλ. Εἰρηναίου, Ἔλεγχος καὶ ἀνατροπὴ τῆς ψευδωνύμου γνώσεως, ΒΕΠ 5,158,21. PG 7,1108A.

ὑποταγῆς τὸ σωτήριον[1], ὡς εἶναι τὴν ὑποταγὴν τῆς ἀπωλείας ἀλεξητήριον. Ὥσπερ τοίνυν ἡ ἰατρικὴ τοῖς νοσοῦσι σπουδάζεται, οὕτω καὶ ἡ ὑποταγὴ τοῖς δεομένοις τῆς σωτηρίας. Τὸ δὲ Πνεῦμα τὸ Ἅγιον τὸ ζωοποιοῦν τὰ πάντα ποίας ἐνδεές ἐστι ζωῆς, ἵνα διὰ τῆς ὑποταγῆς τὴν σωτηρίαν ἑαυτῷ κατακτήσηται; Ἐπειδὴ τοίνυν οὔτε ἀπό τινος θείας φωνῆς τὸ τοιοῦτον ἐπιθρυλεῖν ἔχει τῷ Πνεύματι οὔτε ἐκ τῆς εἰκότων λογισμῶν ἀκολουθίας ταύτην κατὰ τοῦ Ἁγίου Πνεύματος τὴν βλασφημίαν προήκατο, δῆλον ἂν εἴη τοῖς γε νοῦν ἔχουσιν, ὅτι ἀσυνηγόρητον ἐκτίθεται κατ᾽ αὐτοῦ τὴν ἀσέβειαν, οὔτε μαρτυρίᾳ τινὶ γραφικῇ οὔτε μὴν ἀκολουθίᾳ λογισμῶν κρατυνομένην.

Προστίθησι δὲ τούτοις ὅτι οὔτε κατὰ τὸν Πατέρα οὔτε τῷ Πατρὶ συναριθμούμενος· εἷς γάρ ἐστι καὶ μόνος Πατὴρ ὁ ἐπὶ πάντων Θεός, οὔτε τῷ Υἱῷ συνεξισούμενος· μονογενὴς γάρ ἐστιν ὁ Υἱὸς οὐδένα ἔχων ὁμογενῆ. Ἐγὼ μὲν εἴ γε τοῦτο μόνον τῷ λόγῳ προσέθηκε, τὸ μὴ εἶναι πατέρα τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ Ἅγιον, μάταιον καὶ οὕτως ⟨ἂν⟩ ᾤμην τοῖς παρὰ **398** μηδενὸς ἀμφισβητουμένοις ἐμφιλοχωρεῖν, ἐκεῖνα περὶ αὐτοῦ νοεῖν κωλύοντα, ἅπερ οὐδ᾽ ἂν τῶν ἄγαν τις ἀνοήτων ὑπονοήσειεν. Ἐπειδὴ δὲ διὰ τῶν ἀνοικείων τε καὶ ἀπροσκόλλων κατασκευάζειν ἐπιχειρεῖ τὴν ἀσέβειαν, δι᾽ ὧν μὴ εἶναι λέγει τοῦ Μονογενοῦς πατέρα τὸ Πνεῦμα τὸ Ἅγιον, διὰ τούτων ἀποδεικνύειν **[560]** οἰόμενος τὸ εἶναι ὑποτεταγμένον καὶ ὑποχείριον, τούτου χάριν εἰς ἔλεγχον τῆς ἀνοίας αὐτοῦ τῶν ῥημάτων τούτων τὴν μνήμην ἐποιησάμην, ὃς οἴεται ἀποδεικνύειν ὑποτεταγμένον τῷ Πατρὶ τὸ Πνεῦμα, διότι οὐκ ἔστι πατὴρ τοῦ Μονογενοῦς τὸ Πνεῦμα. Ἐκ ποίας γὰρ τὸ τοιοῦτον ἀνάγκης κατασκευάζεται ὡς, εἰ μὴ πατὴρ εἴη, καὶ ὑποτετάχθαι πάντως; Εἰ μὲν οὖν ἀποδέδεικτο ταὐτὸν εἶναι τῷ σημαινομένῳ πατέρα καὶ τύραννον, ἀκόλουθον ἦν περὶ τὸν πατέρα νοηθείσης τῆς τυραννίδος ὑποτετάχθαι λέγειν τὸ Πνεῦμα τῷ κατὰ τὴν ἐξουσίαν προέχοντι. Εἰ δὲ διὰ τοῦ πατρὸς ἡ πρὸς τὸν υἱὸν σχέσις νοεῖται μόνη, οὐδὲν δὲ τυραννικὸν καὶ ἐξουσιαστικὸν νόημα διὰ ταύτης τῆς φωνῆς παρεισάγεται, πῶς ἀκολουθεῖ τῷ μὴ εἶναι πατέρα τοῦ Υἱοῦ τὸ ὑποτετάχθαι τὸ Πνεῦμα; οὔτε τῷ Υἱῷ, φησί, συνεξισούμενον. Πῶς ταῦτά φησι; Τὸ γὰρ ⟨ἄφθαρτ⟩όν τε καὶ ἄτρεπτον καὶ κακοῦ παντὸς ἀνεπίδεκτον καὶ ἀεὶ ὡσαύτως ἐν τῷ ἀγαθῷ διαμένον οὐδεμίαν ἔχει παραλλαγὴν ἐπὶ τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος. Ἐπίσης γὰρ τὸ τοῦ Πνεύματος ἄφθαρτον τῆς φθορᾶς ἠλλοτρίωται καὶ τὸ τῇ φύσει ἀγαθὸν ὡσαύτως τοῦ ἐναντίου κεχώρισται καὶ τὸ ἐν παντὶ ἀγαθῷ τέλειον ὁμοίως ἀνενδεῶς ἔχει τοῦ πλείονος. Ταῦτα δὲ **399** πάντα λέγειν περὶ τοῦ Πνεύματος ἡ θεόπνευστος διδάσκει Γραφή, ἀγαθὸν καὶ σοφὸν καὶ ἄφθαρτον καὶ ἀθάνατον καὶ

1. Πρβλ. Ψαλ. 61,2.

πάντα τὰ ὑψηλὰ καὶ [τὰ] θεοπρεπῆ νοήματά τε καὶ ὀνόματα προσμαρτυροῦσα τῷ Πνεύματι. Εἰ οὖν ἐν οὐδενὶ τούτων ἠλάττωται, [ἐν] τίνι τὸ ἄνισον τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος διαμετρεῖ ὁ Εὐνόμιος;

Μονογενὴς γάρ ἐστι, φησίν, ὁ Υἱός, οὐδένα ἔχων ἀδελφὸν ὁμογενῆ. Ἀλλὰ περὶ τοῦ μὴ δεῖν μετὰ ἀδελφῶν νοεῖν τὸν Μονογενῆ ἐν τῷ λόγῳ τῷ περὶ τοῦ πρωτοτόκου πάσης κτίσεως διειλήφαμεν. Τὸ δὲ παρὰ τούτου νῦν διὰ κακουργίας προσριφὲν τῷ λόγῳ προσήκει μὴ παραδραμεῖν ἀνεξέταστον. Τοῦ γὰρ ἐκκλησιαστικοῦ δόγματος μίαν ἐν Πατρί τε καὶ Υἱῷ καὶ Πνεύματι Ἁγίῳ δύναμίν τε καὶ ἀγαθότητα καὶ οὐσίαν καὶ δόξαν καὶ πάντα τὰ τοιαῦτα κηρύσσοντος πλὴν τῆς κατὰ τὰς ὑποστάσεις διαφορᾶς, οὗτος ὅταν μὲν βούληται κοινοποιῆσαι πρὸς τὴν κτίσιν τοῦ Μονογενοῦς τὴν οὐσίαν, πρωτότοκον αὐτὸν λέγει πάσης τῆς κτίσεως[1] κατὰ τὴν προαιώνιον ὕπαρξιν, ἀδελφὰ τοῦ Κυρίου πάντα τὰ ἐν τῇ κτίσει νοούμενα διὰ τῆς φωνῆς ταύτης εἶναι ἀποφαινόμενος· ὁ γὰρ πρωτότοκος οὐ τῶν ἑτερογενῶν, ἀλλὰ τῶν ὁμογενῶν πάντως ἐστὶ πρωτότοκος· ὅταν δὲ τῆς πρὸς τὸν Υἱὸν συναφείας ἀποσχίζῃ τὸ Πνεῦμα, μονογενῆ αὐτὸν λέγει, μὴ ἔχοντα ἀδελφὸν ὁμογενῆ, οὐχ ἵνα ἄνευ ἀδελφῶν αὐτὸν νοήσῃ, ἀλλ' ἵνα διὰ τούτου κατασκευάσῃ περὶ τοῦ Πνεύματος τὸ κατὰ τὴν οὐσίαν ἀλλότριον. Τὸ μὲν γὰρ μὴ λέγειν "ἀδελφὸν" τὸ Πνεῦμα τὸ Ἅγιον παρὰ τῆς Γραφῆς μεμαθήκαμεν· τὸ δὲ μὴ δεῖν ὁμογενὲς τῷ Υἱῷ λέγειν τὸ Πνεῦμα οὐδαμόθεν ἐκ τῶν **400** θείων ἀποδείκνυται λόγων. Εἰ γὰρ ἡ ζωοποιὸς δύναμις ἐν Πατρὶ καὶ Υἱῷ ἀποδείκνυται καὶ Πνεύματι Ἁγίῳ, κατὰ τὴν τοῦ Εὐαγγελίου φωνήν, εἰ τὸ ἄφθαρτόν τε καὶ ἄτρεπτον καὶ τὸ κακοῦ παντὸς ἀνεπίδεκτον, εἰ τὸ ἀγαθὸν καὶ τὸ εὐθὲς καὶ τὸ **[561]** ἡγεμονικὸν καὶ τὸ πάντα ἐν πᾶσιν ἐνεργοῦν καθὼς βούλεται, εἰ πάντα τὰ τοιαῦτα ὡσαύτως ἔστιν ἰδεῖν ἐπὶ Πατρός τε καὶ Υἱοῦ καὶ Πνεύματος Ἁγίου, πῶς ἔστι διὰ τῆς ἐν τούτοις ταυτότητος τὸ ἑτερογενὲς ἐννοῆσαι; οὐκοῦν τὸ μὴ δεῖν ἀδελφότητά τινα περὶ τὸν Μονογενῆ θεωρεῖν ὁ τῆς εὐσεβείας συντίθεται λόγος, τὸ δὲ μὴ εἶναι τῷ Υἱῷ ὁμογενὲς τὸ Πνεῦμα, τῷ εὐθεῖ τὸ εὐθές[2], τῷ ἀγαθῷ τὸ ἀγαθόν[3], τῷ ζωοποιῷ τὸ ζωοποιόν[4], τοῦτο τῆς αἱρετικῆς κακουργίας ἐκ τῆς τοῦ λόγου ἀκολουθίας σαφῶς ἀποδέδεικται. Τί οὖν διὰ τούτων κολοβοῦται ἡ μεγαλειότης τοῦ Πνεύματος; Οὐδὲν γάρ ἐστι τὸ πλεονασμὸν ἢ ὕφεσιν ἐμποιῆσαι δυνάμενον ἐκ τῶν θεοπρεπῶν νοημάτων, ὧν πάντων κατὰ τὸ ἴσον ἐπιλεγομένων τῷ τε Υἱῷ καὶ τῷ Πνεύματι παρὰ τῆς ἁγίας Γραφῆς ἐν τίνι βλέπει τὸ ἄνισον οὐκ ἂν εἰπεῖν ἔχοι. Ἀλλὰ γυμνὴν καὶ ἀκατάσκευον καὶ μηδεμιᾶς ἠρτημένην ἀκολουθίας τὴν κατὰ τοῦ Ἁγίου Πνεύματος προφέρει ἀσέβειαν.

Οὔτε μὴν ἄλλῳ, φησί, τινὶ συντασσόμενον·

---

1. Πρβλ. Κολ. 1,15. 2. Πρβλ. Ψαλ. 50,12. 3. Πρβλ. Ψαλ. 142,10. 4. Πρβλ. Ἰω. 6,63. Α' Κορ. 15,45.

ἁπάντων γὰρ ἀναβέβηκε τῶν διὰ τοῦ Υἱοῦ γενομένων ποιημάτων γενέσει καὶ φύσει καὶ δόξῃ καὶ γνώσει, ὡς πρῶτον ἔργον καὶ κράτιστον τοῦ Μονογενοῦς μέγιστόν τε καὶ κάλλι-
401 στον. Ἐγὼ δὲ τὸ μὲν ἀπαίδευτον καὶ συρφετῶδες τῆς λέξεως ἄλλοις κωμῳδεῖν καταλείψω, ἀπρεπὲς εἶναι κρίνων πρεσβυτικῇ πολιᾷ τὴν ἐν τοῖς ῥήμασιν ἀπαιδευσίαν προφέρειν τῷ ἀσεβοῦντι εἰς τὸν προκείμενον λόγον. Ἐκεῖνο δὲ προσθήσω τῇ ἐξετάσει. Εἰ πάντων ἀναβέβηκε τῶν τοῦ Υἱοῦ "ποιημάτων" τὸ Πνεῦμα (χρήσομαι γὰρ αὐτοῦ τῇ σεσολοικισμένῃ ταύτῃ καὶ ἀνοήτῳ φωνῇ, μᾶλλον δὲ πρὸς τὸ σαφέστερον διὰ τῆς ἐμαυτοῦ λέξεως παραστήσω τὸ νόημα), εἰ πάντων προέχει τῶν παρὰ τοῦ Υἱοῦ γεγονότων, ἀσύντακτόν ἐστι τῇ λοιπῇ κτίσει τὸ Πνεῦμα τὸ Ἅγιον· καὶ εἰ πλεονεκτεῖ δέ, καθώς φησιν ὁ Εὐνόμιος, τῷ πρὸ τῶν ἄλλων γενέσθαι, ἀνάγκη πᾶσα καὶ ἐπὶ τῆς ἄλλης κτίσεως τὰ τῇ γενέσει κατὰ τὴν τάξιν προήκοντα τῶν ἐφεξῆς αὐτὸν ὁμολογεῖν προτιμότερα. Ἀλλὰ μὴν τῆς τοῦ ἀνθρώπου κατασκευῆς ἡ τῶν ἀλόγων προϋπέστη φύσις. Οὐκοῦν κατασκευάσει πάντως διὰ τούτων προτιμοτέραν εἶναι τῆς λογικῆς οὐσίας τὴν ἄλογον. Οὕτω καὶ ὁ Κάϊν τοῦ Ἄβελ κρείττων κατὰ τὸν τοῦ Εὐνομίου λόγον δειχθήσεται, προτερεύων τῷ χρόνῳ κατὰ τὴν γένεσιν, οὕτω καὶ τῶν ἐκ τῆς γῆς φυομένων ἁπάντων ἐλάττων καὶ καταδεεστέρα ἡ τῶν ἄστρων φύσις ἀναδειχθήσεται· τὰ μὲν γὰρ τῇ τρίτῃ τῶν ἡμερῶν ἐκ τῆς γῆς ἐξανέτειλεν, οἱ δὲ μεγάλοι φωστῆρες καὶ τὰ ἄστρα πάντα κατὰ τὴν τετάρτην γεγενῆσθαι παρὰ τοῦ Μωυσέως ἱστόρηνται. Ἀλλὰ μὴν οὐδεὶς οὕτως ἀνόητος, ὡς τῶν οὐρανίων θαυμάτων τὴν γηΐνην πόαν προτιμοτέραν διὰ τὰ τοῦ χρόνου πρεσβεῖα λογίσασθαι ἢ τῷ Κάϊν δοῦναι κατὰ τοῦ Ἄβελ τὰ νικητήρια ἢ ὑποζεῦξαι τοῖς ἀλόγοις τὸν ἄνθρωπον τὸν μετ' ἐκεῖνα γενόμενον. Οὐκ ἄρα νοῦν ἔχει τινὰ τὸ παρὰ τούτου **[564]** λεγόμενον, ὅτι διὰ τὸ πρὸ τῶν ἄλλων γενέσθαι τὸ Πνεῦμα προτιμοτέραν ἔχει τῶν ἐφεξῆς γεγονότων τὴν φύσιν.

402 Ἴδωμεν δὲ καὶ οἷα χαρίζεται τῇ δόξῃ τοῦ Πνεύματος ὁ τῆς πρὸς τὸν Υἱὸν κοινωνίας ἀπομερίσας. Εἷς γάρ, φησίν, καὶ οὗτος ὢν καὶ πρῶτος καὶ μόνος καὶ πάντων προύχων τῶν τοῦ Υἱοῦ ποιημάτων κατὰ τὴν οὐσίαν καὶ τὴν φυσικὴν ἀξίαν, πᾶσαν ἐνέργειαν καὶ διδασκαλίαν ἐξανύων κατὰ τὸ δοκοῦν τῷ Υἱῷ, πεμπόμενος ὑπ' αὐτοῦ καὶ παρ' αὐτοῦ λαμβάνων καὶ ἀναγγέλλων τοῖς παιδευομένοις καὶ τῆς ἀληθείας ἡγούμενος. Πᾶσάν φησιν ἐνέργειαν καὶ διδασκαλίαν ἐξανύειν τὸ Πνεῦμα τὸ Ἅγιον. Ποίαν ἐνέργειαν; πότερον ἐκείνην ἣν καὶ ὁ Πατὴρ καὶ ὁ Υἱὸς κατὰ τὸν τοῦ Κυρίου λόγον ἐνεργεῖ ὁ ἕως ἄρτι ἐρ-

γαζόμενος[1] τὴν ἀνθρωπίνην σωτηρίαν ἢ ἄλλην τινὰ παρὰ ταύτην; Εἰ μὲν γὰρ ἐκεῖνα ἐργάζεται, τὴν αὐτὴν ἐκείνῳ πάντως δύναμίν τε καὶ φύσιν ἔχει, καὶ τὸ τοῦ Θεοῦ ἑτερογενὲς ἐπὶ τοῦ τοιούτου χώραν οὐκ ἔχει. Ὡς γὰρ εἴ τι τὰ τοῦ πυρὸς ἐνεργοίη λάμπον τε καὶ θερμαῖνον ὡσαύτως, πῦρ ἐστι πάντως, οὕτως εἰ τὰ τοῦ Πατρὸς ἔργα τὸ Πνεῦμα ποιεῖ, τῆς αὐτῆς αὐτῷ πάντως φύσεως εἶναι ὁμολογεῖται. Εἰ δὲ ἄλλο τι παρὰ τὴν σωτηρίαν ἡμῶν ἐνεργεῖ καὶ εἴς τι τῶν ἐναντίων ἐπιδείκνυται τὴν ἐνέργειαν, ἄλλης φύσεώς τε καὶ οὐσίας διὰ τούτων ἐπιδειχθήσεται. Ἀλλὰ μὴν ζωοποιεῖν ὁμοίως Πατρί τε καὶ Υἱῷ τὸ Πνεῦμα[2] αὐτὸς ὁ λόγος διαμαρτύρεται. Οὐκοῦν τὸ μὴ ἀπεξενῶσθαι πάντως τῆς τε τοῦ Πατρὸς καὶ τῆς τοῦ Υἱοῦ φύσεως τὸ Πνεῦμα διὰ τῆς ταυτότητος τῶν ἐνεργημάτων παρίσταται. Καὶ πρὸς ⟨τὸ⟩ **403** ἐνέργειαν καὶ διδασκαλίαν ἐξανύειν τὸ Πνεῦμα κατὰ τὸ δοκοῦν τῷ Υἱῷ οὐ μαχόμεθα· ἓν γὰρ βούλημα εἶναι Πατρός τε καὶ Υἱοῦ καὶ Πνεύματος Ἁγίου ἡ τῆς φύσεως κοινωνία διαμαρτύρεται, ὥστε εἰ ἐκεῖνο βούλεται τὸ Πνεῦμα τὸ Ἅγιον, ὃ δοκεῖ τῷ Υἱῷ, ἡ κοινωνία τοῦ θελήματος σαφῶς παρίστησι τὴν τῆς οὐσίας ἑνότητα.

Ἀλλὰ πεμπόμενος, φησίν, παρ' αὐτοῦ καὶ παρ' αὐτοῦ λαμβάνων καὶ ἀναγγέλλων τοῖς παιδευομένοις καὶ τῆς ἀληθείας ἡγούμενος. Εἰ μὴ προειρήκει ταῦτα περὶ τοῦ Πνεύματος, πάντως ἂν περί τινος τῶν ἐν ἀνθρώποις διδασκάλων ταῦτα λέγεσθαι ὁ ἀκούων ἐνόμισε. Ταὐτὸν γάρ ἐστιν τῷ πέμπεσθαι τὸ ἀποστέλλεσθαι καὶ τὸ μηδὲν οἴκοθεν ἔχειν, ἀλλ' ἐκ τῆς χάριτος λαμβάνειν τοῦ ἀποστέλλοντος καὶ διακονεῖν τοῖς διδασκομένοις τὰ ῥήματα καὶ καθηγεῖσθαι τῆς ἀληθείας τοῖς πλανωμένοις. Ταῦτα γὰρ πάντα καὶ τῶν νῦν ποιμένων τε καὶ διδασκάλων ἐστί, πέμπεσθαι, λαμβάνειν, ἀναγγέλλειν, διδάσκειν, ὑποτίθεσθαι τὴν ἀλήθειαν, ἅπερ χαρίζεται τῷ Πνεύματι τῷ Ἁγίῳ Εὐνόμιος. Εἰπὼν δὲ πρὸ τούτων ὅτι καὶ εἷς ἐστι καὶ πρῶτος καὶ μόνος καὶ πάντων προύχων, εἰ ἕως τούτου τὸν λόγον ἔστησεν, συνήγορος ἂν τῶν τῆς ἀληθείας ἐφάνη δογμάτων. Εἷς γὰρ ὡς ἀληθῶς ἐστιν ὁ ἀχωρίστως ἐν τῷ ἑνὶ θεωρούμενος καὶ πρῶτος ὁ ἐν τῷ πρώτῳ καὶ μόνος ὁ ἐν τῷ μόνῳ. Ὡς γὰρ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ **[565]** ἐν αὐτῷ καὶ αὐτὸς ὁ ἄνθρωπος εἷς ἐστιν ἄνθρωπος, οὕτως καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ τὸ ἐν αὐτῷ καὶ αὐτὸς ὁ Θεὸς εἷς ἂν κυρίως ὀνομασθείη Θεὸς καὶ πρῶτος **404** καὶ μόνος, χωρισθῆναι ἀπὸ τοῦ ἐν ᾧ ἐστιν οὐ δυνάμενος. Νῦν δὲ προσθεὶς τὸ πάντων προύχων τῶν τοῦ Υἱοῦ ποιημάτων ἀνατροπὴν θολερὰν[3] τὸν βλάσφημον ἑαυτοῦ λόγον ἀπέδειξε, τῷ ὅπου θέλει πνέ-

1. Πρβλ. Ἰω. 5,17. 2. Πρβλ. Ἰω. 6,63 Β' Κορ. 3,6. 3. Πρβλ. Ἀββ. 2,15.

οντι[1] καὶ πάντα ἐν πᾶσιν ἐνεργοῦντι[2] τῇ πρὸς τὰ λοιπὰ τῶν ποιημάτων συγκρίσει παρέχων τὰ προτιμότερα.

Ἴδωμεν δὲ καὶ ὅσα τούτοις προσέθηκεν. Ἁγιάζων, φησίν, τοὺς ἁγίους. Τοῦτο καὶ ἐπὶ τοῦ Πατρός τε καὶ τοῦ Υἱοῦ τις λέγων ἀληθῶς ἐρεῖ· ἐν οἷς γὰρ ἂν γένηται ὁ ἅγιος, ἁγίους ποιεῖ, ὡς καὶ ὁ ἀγαθὸς ἀγαθοὺς ἀπεργάζεται· ἅγιος δὲ καὶ ἀγαθὸς ὁ Πατὴρ καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ Ἅγιον, καθὼς ἀποδέδεικται. Μυσταγωγῶν, φησί, τοὺς προσιόντας τῷ μυστηρίῳ. Τοῦτο καλῶς ἔχει λέγειν περὶ Ἀπολλῶ τοῦ τὴν φυτείαν Παύλου ποτίζοντος[3]. Φυτεύει μὲν γὰρ διὰ τῆς κατηχήσεως ὁ Ἀπόστολος, ποτίζει δὲ βαπτίζων ὁ Ἀπολλὼς διὰ τῆς μυστικῆς ἀναγεννήσεως προσάγων τοὺς παρὰ Παύλου κατηχουμένους τῷ μυστηρίῳ. Οὐκοῦν εἰς τὸ ὁμότιμον ἄγει τῷ Ἀπολλῷ ⟨τὸ Πνεῦμα⟩ τὸ διὰ τοῦ βαπτίσματος τελειοῦν τοὺς ἀνθρώπους. Διανέμων, φησί, πᾶσαν δωρεάν. Τούτῳ καὶ ἡμεῖς συντιθέμεθα. Πᾶν γάρ, ὅ τι πέρ ἐστιν ἀγαθόν, τῶν τοῦ Ἁγίου Πνεύματος δωρεῶν μερίς ἐστι. Συνεργῶν, φησί, τοῖς πιστοῖς εἰς κατανόησιν καὶ θεωρίαν τῶν διατεταγμένων. Τῶν παρὰ τίνος διατεταγμένων μὴ προσθεὶς **405** ἀμφίβολον τὸν λόγον ἐποίησεν, εἴτε ὀρθῶς εἴτε καὶ ὡς ἑτέρως ἔχει. Ἀλλ' ἡμεῖς τῇ εὐσεβείᾳ τὸ εἰρημένον προσάξωμεν δι' ὀλίγης προσθήκης. Ἐπειδὴ γὰρ εἴτε λόγος σοφίας εἴτε λόγος γνώσεως εἴτε πίστις εἴτε ἀντίληψις εἴτε κυβέρνησις εἴτε τι ἕτερον ἐν τοῖς σῴζουσιν ἡμᾶς ἀναγέγραπται, ταῦτα πάντα «ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται»[4], τούτου ἕνεκεν οὐκ ἀποβάλλομεν τοῦ Εὐνομίου τὸν λόγον, εἰπόντος συνεργεῖν τὸ Πνεῦμα τοῖς πιστοῖς πρὸς κατανόησιν καὶ θεωρίαν τῶν παρ' αὐτοῦ διατεταγμένων τοῦ Πνεύματος διὰ τὸ πάντα ἡμῖν τὰ ἀγαθὰ διδάγματα παρ' αὐτοῦ διατετάχθαι. Ὑπηχῶν, φησίν, εὐχομένοις. Τούτου τοῦ ῥητοῦ τὴν διάνοιαν μωρὸν ἂν εἴη κατὰ σπουδὴν ἀπελέγχειν, αὐτόθεν πᾶσιν ἐπίσης τοῦ γελοίου τε καὶ ἀνοήτου τῆς λέξεως ταύτης προφαινομένου. Τίς γὰρ οὕτω παράφορος καὶ τῆς διανοίας ἐξεστηκώς, ὡς ἀναμεῖναι παρ' ἡμῶν μαθεῖν, ὅτι οὐκ ἔστι κώδων ἢ πίθος διάκενος τὸ Πνεῦμα τὸ Ἅγιον, οἷόν τινι πληγῇ τῇ φωνῇ τοῦ εὐχομένου ὑπηχῶν καὶ δονούμενος; ὁδηγῶν, φησί, πρὸς τὸ συμφέρον. Τοῦτο καὶ ὁ Πατὴρ καὶ ὁ Υἱὸς ὁμοίως ποιεῖ. Ὁδηγεῖ γὰρ ὡσεὶ πρόβατον τὸν Ἰωσήφ[5], καὶ ὡδήγησεν ὡς πρόβατα τὸν λαὸν αὐτοῦ[6], καὶ τὸ Πνεῦμα τὸ ἀγαθὸν ὁδηγεῖ ἡμᾶς ἐν γῇ εὐθείᾳ[7]. Κρατύνων, φησί, πρὸς εὐσέβειαν. Θεοῦ ἔργον ὁ Δαβὶδ εἶναι λέγει τὸ ἐν εὐσεβείᾳ κρατύνειν

1. Πρβλ. Ἰω. 3,8. 2. Πρβλ. Α' Κορ. 12,6,11. 3. Πρβλ. Α' Κορ. 3,6. 4. Α' Κορ. 12,11. 5. Πρβλ. Ψαλ. 79,2. 6. Πρβλ. Ψαλ. 76,21. 7. Πρβλ. Ψαλ. 142,10.

τὸν ἄνθρωπον· «κραταίωσις» γάρ «μου καὶ καταφυγή μου εἶ σύ»[1], φησὶν ὁ προφήτης, καὶ «Κύριος κραταίωμα τοῦ λαοῦ αὐτοῦ»[2], καὶ «αὐτὸς δώσει δύναμιν καὶ κραταίωσιν τῷ λαῷ αὐτοῦ»[3]. [568] Οὐκοῦν ταῦτα εἰ κατὰ τὸν **406** προφητικὸν εἴρηται νοῦν, τῆς θεότητος τοῦ Πνεύματος μαρτυρία ἐστίν· εἰ δὲ ἐναντιοῦται τῇ προφητείᾳ, δι' αὐτοῦ τούτου κατηγορεῖται ἡ βλασφημία, ὅτι τοῖς ἁγίοις προφήταις ἀντιδοξάζει τῷ λόγῳ. Εἶτά φησι φωτίζων τὰς ψυχὰς τῷ φωτὶ τῆς γνώσεως. Ταύτην ὡσαύτως τὴν χάριν Πατρί τε καὶ Υἱῷ καὶ Πνεύματι Ἁγίῳ ὁ τῆς εὐσεβείας ἀνατίθησι λόγος. Ἐκεῖνος γὰρ φωτισμὸς[4] παρὰ τοῦ Δαβὶδ ὀνομάζεται καὶ ἐκεῖθεν τὸ φῶς τῆς γνώσεως τοῖς φωτιζομένοις ἐγγίνεται. Ὡσαύτως δὲ καὶ ἡ κάθαρσις τῶν λογισμῶν ἴδιον, ὥς φησιν ὁ Λόγος, τῆς τοῦ Κυρίου δυνάμεως· τὸ γὰρ ἀπαύγασμα τῆς δόξης καὶ ὁ χαρακτὴρ τῆς ὑποστάσεως[5] τὸν καθαρισμὸν τῶν ἁμαρτιῶν ἡμῶν ἐποιήσατο τὸ δὲ ἀπείργειν τοὺς δαίμονας, ὃ τοῦ Πνεύματος ἴδιόν φησιν ὁ Εὐνόμιος, τοῦτο καὶ ὁ μονογενὴς Θεὸς ὁ λέγων τῷ δαίμονι ὅτι «ἐγὼ ἐπιτάσσω σοι»[6], προσμαρτυρεῖ τῇ δυνάμει τοῦ Πνεύματος λέγων «εἰ δὲ ἐγὼ ἐν πνεύματι Θεοῦ ἐκβάλλω τὰ δαιμόνια»[7]· ὥστε οὐκ ἔστι καθαίρεσις τῆς δόξης τοῦ Πνεύματος ἡ τῶν δαιμόνων ἀναίρεσις, ἀλλὰ σύστασις τῆς θείας αὐτοῦ καὶ ὑπερεχούσης δυνάμεως.

Νοσοῦντας, φησί, θεραπεύων, ἀρρωστοῦντας ἰώμενος, θλιβομένους παρακαλῶν, ὀκλάζοντας ἀνορθῶν, πονοῦντας ἀνακτώμενος. Ταῦτα τῶν εὐσεβούντων περὶ τοῦ Ἁγίου Πνεύματός ἐστι τὰ ῥήματα· οὐ γὰρ ἂν ἄλλῳ τις ἀναθείη τούτων ἑκάστου τὴν ἐνέργειαν πλὴν τῷ Θεῷ. Εἰ τοίνυν ἅπερ οὐδενός ἐστι ποιεῖν ἢ Θεοῦ μόνου, ταῦτα τῇ δυνάμει τοῦ Πνεύματος ἐνεργεῖσθαι διαβεβαιοῦται ἡ αἵρεσις, ἔχομεν ὑπὲρ ὧν σπουδάζομεν καὶ τὴν παρὰ τῶν ἐχθρῶν μαρτυρίαν. Πῶς παρὰ τοῦ Θεοῦ ὁ **407** προφήτης ζητεῖ τὴν ἴασιν λέγων «ἐλέησόν με, Κύριε, ὅτι ἀσθενής εἰμι, ἴασαί με, Κύριε, ὅτι ἐταράχθη τὰ ὀστᾶ μου»[8]; Τῷ Θεῷ λέγει ὁ Ἡσαΐας ὅτι «ἡ δρόσος ἡ παρὰ σοῦ ἴαμα αὐτοῖς ἐστιν»[9], καὶ τὴν τῶν πλανωμένων ἐπιστροφὴν Θεοῦ ἔργον εἶναι ἡ προφητεία μαρτύρεται· «ἐπλανήθησαν γάρ», φησίν, «ἐν τῇ ἐρήμῳ ἐν ἀνύδρῳ»[10], καὶ ἐπήγαγεν ὅτι «καὶ ὡδήγησεν αὐτοὺς εἰς ὁδὸν εὐθεῖαν»[11], τοῦ πορευθῆναι εἰς πόλιν κατοικητηρίου· καὶ «ἐν τῷ ἐπιστρέψαι Κύριον τὴν αἰχμαλωσίαν Σιών»[12]. Ὡσαύτως δὲ καὶ ἡ τῶν θλιβομένων παράκλησις εἰς Θεὸν ἀναφέρεται, οὕτως εἰπόντος τοῦ Παύλου «εὐλογητὸς ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ»[13] «ὁ παρακαλῶν ἡμᾶς ἐπὶ πάσῃ τῇ θλίψει ἡμῶν»[14]. Καὶ ὁ προφήτης ἐκ προσώπου τοῦ

1. Ψαλ. 30,4. 2. Ψαλ. 27,8. 3. Ψαλ. 67,36. 4. Πρβλ. Ψαλ. 26,1. 5. Πρβλ. Ἑβρ. 1,3. 6. Μάρκ. 9,25. 7. Ματθ. 12,28. 8. Ψαλ. 6,3. 9. Ἡσ. 26,19. 10. Ψαλ. 106,4. 11. Ψαλ. 106,7. 12. Ψαλ. 52,7. 13. Β' Κορ. 1,3. 14. Β' Κορ. 1,4.

Θεοῦ φησιν «ἐν θλίψει ἐπεκαλέσω με καὶ ἐρρυσάμην σε»[1]. Ἡ δὲ τῶν ὀκλαζόντων ἀνόρθωσις μυριοτρόπως ὑπὸ τῆς Γραφῆς εἰς τὴν τοῦ Θεοῦ δύναμιν ἀναφέρεται· «ὠσθεὶς ἀνετράπην τοῦ πεσεῖν, καὶ ὁ Κύριος ἐντελάβετό μου»[2], καὶ «ὅταν πέσῃ, οὐ καταρραχθήσεται, ὅτι Κύριος ἀντιστηρίζει χεῖρα αὐτοῦ»[3], καὶ «Κύριος ἀνορθοῖ κατερραγμένους»[4]. Ἡ δὲ τῶν πονούντων ἀνάκτησις τῆς τοῦ Θεοῦ φιλανθρωπίας τὴν ὁμολογίαν ἔχει, εἴπερ ὃ παρὰ τῆς προφητείας ἐμάθομεν καὶ οὗτος ἐνόησε, καθὼς ὁ λόγος φησὶν ὅτι «ἔθου θλίψεις ἐπὶ τῶν νώτων ἡμῶν, ἐπεβίβασας ἀνθρώπους ἐπὶ τὰς κεφαλὰς ἡμῶν, διήλθομεν διὰ πυρὸς καὶ ὕδατος, καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν»[5].

[569] Μέχρι μὲν οὖν τούτου διὰ τῆς τῶν ἐχθρῶν μαρτυρίας **408** ἀποδείκνυται τὸ μεγαλεῖον τοῦ Πνεύματος· ἐν δὲ τοῖς ἐφεξῆς πάλιν τῷ αἱρετικῷ βορβόρῳ τὸ καθαρὸν τῆς εὐσεβείας καταμολύνεται. Φησὶ γὰρ περὶ τοῦ Πνεύματος ὅτι τοῖς ἀγωνιζομένοις ὑποφωνεῖ, τοῦτο δὲ τῆς ἐσχάτης ἀνοίας τε καὶ ἀσεβείας τὴν κατηγορίαν ἔχει. Ἐν γὰρ τοῖς σταδίοις οἱ μὲν ἀγωνοθετοῦσι τοῖς μέλλουσι τὴν ἀθλητικὴν ἰσχὺν ἐπιδείκνυσθαι, οἱ δὲ τῇ δυνάμει καὶ τῇ τέχνῃ τῶν ἄλλων προέχοντες ὑπὲρ τῆς νίκης ἀθλοῦσι, πρὸς τοὺς κατ' ἀλλήλων ἀγῶνας ἀποδυόμενοι, οἱ δὲ λοιποὶ ταῖς εὐνοίαις πρὸς τοὺς ἀγωνιστὰς μεριζόμενοι, ὅπως ἂν ἔχωσιν ἕκαστος περί τινα τῶν ἀθλητῶν σπουδῆς τε καὶ διαθέσεως, ἐν τῷ καιρῷ τῆς συμπλοκῆς ὑποφωνοῦσιν ἢ τὸ προϊδεῖν τὴν λαβὴν ἢ τὸ μνησθῆναι παλαίσματος, ἢ τὸ φυλάξαι διὰ τῆς τέχνης ἑαυτὸν ἀκατάπτωτον. Εἰς τίνα τοίνυν τάξιν τὸ Πνεῦμα τὸ Ἅγιον καθίστησιν ὁ Εὐνόμιος, ἐκ τῶν εἰρημένων κατανοήσατε. Ἐν γὰρ τοῖς σταδίοις τῶν μὲν ἀγωνοθετούντων, τῶν δὲ κρινόντων τὴν νόμιμον ἄθλησιν, τῶν δὲ ἀγωνιζομένων, τῶν δὲ τοῖς ἀγωνιζομένοις ὑποφωνούντων, οἵτινες ὁμολογοῦνται πολὺ τῶν ἀθλούντων εἶναι καταδεέστεροι, ὡς ἕνα τῶν ἐκ τοῦ δήμου θεωμένων ἤ τινα τῶν τοῖς ἀθληταῖς ὑπηρετουμένων τὸ Πνεῦμα τὸ Ἅγιον ὁρᾷ ὁ Εὐνόμιος, ὃ μήτε ἀγωνοθετεῖ μήτε κρίνει τὴν νίκην μήτε πρὸς τὸν ἀντίπαλον ἀγωνίζεται, ἀλλὰ δι' ὑποφωνήσεως συνεργεῖ μὲν πρὸς τὴν νίκην οὐδέν (οὔτε γὰρ συναγωνίζεται οὔτε τὴν πρὸς αὐτὸ τοῦτο δύναμιν ἐμποιεῖ), βούλεται δὲ μόνον μὴ δεύτερον δειχθῆναι τῶν ἀντιπάλων τὸν παρ' αὐτοῦ σπουδαζόμενον. Καὶ Παῦλος μὲν ἀγωνίζεται πρὸς τὰς ἀρχάς, **409** πρὸς τὰς ἐξουσίας καὶ πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους καὶ πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις[6]· τὸ δὲ πνεῦμα τῆς δυνάμεως οὐκ ἐνισχύει τοὺς ἀθλητὰς οὐδὲ διανέμει τοῖς ἀθληταῖς τὰ χαρίσματα, διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται, ἀλλὰ μέχρι τοῦ ὑποφωνεῖν τοῖς συμπλεκομένοις τὴν δύναμιν ἔχει.

---

1. Ψαλ. 80,8. 2. Ψαλ. 117,13. 3. Ψαλ. 36,24. 4. Ψαλ. 145,8. 5. Ψαλ. 65,11-12. 6. Πρβλ. Ἐφ. 6,12.

Πάλιν φησὶ δειλανδροῦντας θρασύνων. Ἀλλ' οὗτος μὲν ἀκολουθεῖ κατὰ τὸν ἑαυτοῦ λόγον τῇ προλαβούσῃ κατὰ τοῦ Πνεύματος βλασφημίᾳ, φανεροῖ δὲ καὶ διὰ τοῦ ἐχθροῦ στόματος ἑαυτὴν ἡ ἀλήθεια. Οὐδενὸς γάρ ἐστιν ἑτέρου θάρσος ἐμποιεῖν τοῖς δειλαινομένοις ἢ Θεοῦ μόνου, λέγοντος τῷ δειλιῶντι μὴ φοβοῦ, μετὰ σοῦ γάρ εἰμι[1], μηδὲν εὐλαβοῦ, ὥς φησιν ὁ προφήτης· «ἐὰν γὰρ πορευθῶ ἐν μέσῳ σκιᾶς θανάτου, οὐ φοβηθήσομαι κακά, ὅτι σὺ μετ' ἐμοῦ εἶ»[2]. Ἀλλὰ καὶ αὐτὸς ὁ Δεσπότης πρὸς τοὺς δειλιῶντάς φησι «μὴ ταρασσέσθω ἡ καρδία ὑμῶν»[3] μηδὲ δειλιάτω, καὶ «τί δειλοί ἐστε, ὀλιγόπιστοι;»[4] καὶ «θαρσεῖτε, ἐγώ εἰμι, μὴ φοβεῖσθε»[5], καὶ «θαρσεῖτε» πάλιν, «ἐγὼ νενίκηκα τὸν κόσμον»[6]. Οὐκοῦν καὶ ἄκοντος τοῦ Εὐνομίου δι' αὐτῆς τῆς πολεμίας φωνῆς δείκνυσιν ἑαυτὴν ἡ ἀλήθεια. Συμφωνεῖ δὲ καὶ ὁ ἐφεξῆς τῷ προάγοντι λόγος. Ἁπάντων, φησί, κηδόμενος καὶ πᾶσαν φροντίδα καὶ πρόνοιαν εἰσφερόμενος. Μόνου γάρ ἐστιν ὡς ἀληθῶς τοῦ Θεοῦ τὸ κήδεσθαι καὶ **[572]** φροντίζειν ἁπάντων, οὕτως εἰπόντος τοῦ μεγάλου Δαβὶδ «ἐγὼ δὲ πτωχός εἰμι καὶ πένης, Κύριος φροντιεῖ μου»[7]. Εἰ δὲ τὸ λειπόμενον ἄνευ διανοίας ἐν ψόφῳ διακένων ῥημάτων διακεκρότηται, μηδεὶς αἰτιάσθω, ὁρῶν **410** αὐτὸν ἐν τοῖς πλείοσι πάσης ἔμφρονος διανοίας ἄτονόν τε καὶ ἀπαίδευτον· τί γὰρ νοῶν φησιν εἰς προσαγωγὴν τῶν εὐνουστέρων καὶ φυλακὴν τῶν πιστοτέρων, οὔτ' ἂν αὐτὸς εἴποι οὔτε οἱ τὰ ἐκείνου ἀνοήτως θαυμάζοντες.

---

1. Πρβλ. Ἱερ. 26,28. 2. Ψαλ. 22,4. 3. Ἰω. 14,1. 4. Ματθ. 8,26. 5. Ματθ. 14,27. Μάρκ. 6,50. 6. Ἰω. 16,33. 7. Ψαλ. 39,18.

ΠΡΟΣ ΕΥΣΤΑΘΙΟΝ
ΠΕΡΙ ΤΗΣ ΑΓΙΑΣ ΤΡΙΑΔΟΣ*

[684] 3 Ἔστι μὲν καὶ πᾶσιν ὑμῖν τοῖς τὴν ἰατρικὴν μετιοῦσι φιλάνθρωπον τὸ ἐπιτήδευμα καί μοι δοκεῖ τῶν κατὰ τὸν βίον σπουδαζομένων ἁπάντων ὁ τὴν ὑμετέραν προτιθεὶς ἐπιστήμην ἐπιτυχεῖν ἂν τῆς πρεπούσης κρίσεως καὶ μὴ διαμαρτεῖν τοῦ προσήκοντος, εἴπερ τὸ πάντων προτιμότατον, ἡ ζωή, φευκτόν ἐστι καὶ ἐπώδυνον, ἐὰν μὴ μεθ' ὑγείας ἐξῇ ταύτην ἔχειν· ὑγείας δὲ χορηγὸς ἡ ὑμετέρα τέχνη. Ἀλλὰ σοὶ διαφερόντως περιδέξιός ἐστιν ἡ ἐπιστήμη καὶ μείζονας ποιεῖς σεαυτῷ τῆς φιλανθρωπίας τοὺς ὅρους οὐ μέχρι τῶν σωμάτων περιορίζων τὴν ἐκ τῆς τέχνης χάριν, ἀλλὰ καὶ τῶν **[685]** ψυχικῶν ἀρρωστημάτων ἐπινοῶν τὴν διόρθωσιν. Ταῦτα δὲ λέγω οὐ μόνον ταῖς τῶν πολλῶν φήμαις ἑπόμενος, ἀλλὰ καὶ τῇ κατ' ἐμαυτὸν διδαχθεὶς πείρᾳ ἐν πολλοῖς τε ἄλλοις καὶ διαφερόντως νῦν ἐν τῇ τῶν ἐχθρῶν ἡμῶν ἀνεκδιηγήτῳ κακίᾳ, ἣν ῥεύματος πονηροῦ δίκην κατὰ τῆς ζωῆς ἡμῶν ἐπιρρυεῖσαν εὐμηχάνως διέχεας, τὴν βαρεῖαν ταύτην φλεγμονὴν τῆς καρδίας ἡμῶν **4** τῇ ἐπαντλήσει τῶν παρηγορικῶν λόγων διαφορήσας. Ἐγὼ γὰρ πρὸς τὴν ἐπάλληλον τῶν ἐχθρῶν καὶ ποικίλην καθ' ἡμῶν ἐπιχείρησιν ἀποβλέπων σιωπᾶν ᾤμην δεῖν καὶ δέχεσθαι καθ' ἡσυχίαν τὰ ἐπαγόμενα μηδὲ ἀνταίρειν τοῖς καθωπλισμένοις τῷ ψεύδει, τῷ πονηρῷ τούτῳ ὅπλῳ τῷ καὶ διὰ τῆς ἀληθείας πολλάκις τὴν αἰχμὴν εἰσωθοῦντι· σὺ δὲ καλῶς ποιῶν μὴ καταπροδιδόναι τὴν ἀλήθειαν ἐνεκελεύσω, ἀλλὰ διελέγχειν τοὺς συκοφάντας, ὡς ἂν μὴ πολλοὶ παραβλαβεῖεν κατευημεροῦντος τῆς ἀληθείας τοῦ ψεύδους.

Ἔδοξαν οὖν μοι παραπλήσιόν τι ποιεῖν τῷ Αἰσωπείῳ μύθῳ οἱ τὸ ἀπροφάσιστον καθ' ἡμῶν ἀναλαβόντες μῖσος. Ὡς γὰρ ἐκεῖνος ἐγκλήματά τινα τῷ ἀρνίῳ τὸν λύκον[α] προφέρειν ἐποίησεν, αἰσχυνόμενον δῆθεν τὸ δοκεῖν ἄνευ δικαίας προφάσεως ἀναιρεῖν τὸν μηδὲν προλυπήσαντα, τοῦ δὲ ἀρνίου πᾶσαν τὴν ἐκ συκοφαντίας ἐπαγομένην αἰτίαν εὐχερῶς διαλύοντος μηδὲν μᾶλλον ὑφίεσθαι τῆς ὁρμῆς τὸν λύκον, ἀλλὰ τοῖς μὲν δικαίοις ἡττᾶσθαι, τοῖς δὲ ὀδοῦσι νικᾶν· οὕτως οἷς τὸ καθ' ἡμῶν μῖσος ὥς τι τῶν ἀγαθῶν ἐσπουδάσθη, ἐρυθριῶντες τάχα τὸ δοκεῖν ἄνευ αἰτίας μισεῖν αἰτίας πλάττουσι καθ' ἡμῶν καὶ ἐγκλήματα

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ Fridericus Mueller, Gregorii Nysseni, Opera Dogmatica Minora (Greg. N. op. W. Jaeger), vol III, I, σ. 3-16, Leiden, E. J. Brill, 1958. [J.-P. Migne τ. 32, στ. 684-696].

α. Πρβλ. Αἰσώπου μῦθοι, (ἐκδ. Budé) ἀρ. 107,108.

καὶ οὐδενὶ τῶν λεγομένων μέχρι παντὸς ἐπιμένουσιν, ἀλλὰ νῦν μὲν τοῦτο, μετ' ὀλίγον δὲ ἄλλο καὶ αὖθις ἕτερον τῆς καθ' ἡμῶν δυσμενείας τὸ αἴτιον λέγουσιν. Βέβηκε δὲ αὐτοῖς ἐπ' οὐδενὸς ἡ κακία, ἀλλ' ὅταν τούτου τοῦ **5** ἐγκλήματος ἀποσεισθῶσιν, ἑτέρῳ προσφύονται καὶ ἀπ' ἐκείνου πάλιν καταλαμβάνουσιν ἕτερον· κἂν πάντα διαλυθῇ τὰ ἐγκλήματα, τοῦ μισεῖν οὐκ ἀφίστανται. Τρεῖς θεοὺς πρεσβεύεσθαι παρ' ἡμῶν αἰτιῶνται καὶ περιηχοῦσι τὰς ἀκοὰς τῶν πολλῶν καὶ πιθανῶς κατασκευάζοντες τὴν διαβολὴν ταύτην οὐ παύονται. Ἀλλ' ὑπερμάχεται ἡμῶν ἡ ἀλήθεια καὶ ἐν κοινῷ πρὸς πάντας καὶ ἰδίᾳ πρὸς τοὺς ἐντυγχάνοντας δεικνύντων ἡμῶν ὅτι ἀναθεματίζεται παρ' ἡμῶν πᾶς ὁ τρεῖς λέγων θεοὺς καὶ οὐδὲ Χριστιανὸς εἶναι κρίνεται. Ἀλλ' ὅταν τοῦτο ἀκούσωσι, πρόχειρος αὐτοῖς καθ' ἡμῶν ὁ Σαβέλλιος καὶ ἡ ἐξ ἐκείνου νόσος ἐπιθρυλλεῖται τῷ ἡμετέρῳ λόγῳ. Καὶ πάλιν καὶ πρὸς τοῦτο ἡμεῖς τὸ σύνηθες ὅπλον, τὴν ἀλήθειαν, προβαλλόμεθα δεικνύντες, ὅτι ἐπίσης τῷ Ἰουδαϊσμῷ καὶ τὴν τοιαύτην αἵρεσιν φρίττομεν.

Τί οὖν; ἆρα μετὰ τοσαύτας ἐγχειρήσεις ἀποκαμόντες ἡσύχασαν; Οὐκ ἔστι ταῦτα· ἀλλὰ **[688]** καινοτομίαν ἡμῖν προφέρουσιν, οὕτως τὸ ἔγκλημα καθ' ἡμῶν συντιθέντες· τρεῖς ὑποστάσεις ὁμολογοῦντας μίαν ἀγαθότητα, μίαν δύναμιν καὶ μίαν θεότητα λέγειν ἡμᾶς αἰτιῶνται. Καὶ οὐκ ἔξω τοῦτο τῆς ἀληθείας φασί· λέγομεν γάρ. Ἀλλ' ἐγκαλοῦντες τοῦτο προφέρουσιν, ὅτι ἡ συνήθεια αὐτῶν τοῦτο οὐκ ἔχει καὶ ἡ Γραφὴ οὐ συντίθεται. Τί οὖν καὶ πρὸς τοῦτο ἡμεῖς; Οὐ νομίζομεν δίκαιον εἶναι τὴν παρ' αὐτοῖς ἐπικρατοῦσαν συνήθειαν νόμον καὶ κανόνα τοῦ ὀρθοῦ ποιεῖσθαι λόγου. Εἰ γὰρ ἰσχυρόν ἐστιν εἰς ὀρθότητος ἀπόδειξιν ἡ συνήθεια, ἐξέσται καὶ ἡμῖν **6** πάντως ἀντιπροβάλλεσθαι τὴν παρ' ἡμῖν ἐπικρατοῦσαν συνήθειαν· εἰ δὲ παραγράφονται ταύτην ἐκεῖνοι, οὐδὲ ἡμῖν πάντως ἐπακολουθητέον ἐκείνοις. Οὐκοῦν ἡ θεόπνευστος ἡμῖν διαιτησάτω Γραφή, καὶ παρ' οἷς ἂν εὑρεθῇ τὰ δόγματα συνῳδὰ τοῖς θείοις λόγοις, ἐπὶ τούτους ἥξει πάντως τῆς ἀληθείας ἡ ψῆφος. Τί οὖν ἐστι τὸ ἔγκλημα; Δύο γὰρ κατὰ ταὐτὸν ἐν τῇ κατηγορίᾳ τῇ καθ' ἡμῶν προενήνεκται· ἓν μὲν τὸ διαιρεῖν τὰς ὑποστάσεις, ἕτερον δὲ τὸ μηδέν τι τῶν θεοπρεπῶν ὀνομάτων πληθυντικῶς ἀριθμεῖν, ἀλλὰ μίαν (καθὼς εἴρηται) τὴν ἀγαθότητα καὶ τὴν δύναμιν καὶ τὴν θεότητα καὶ πάντα ταῦτα μοναδικῶς ἐξαγγέλλειν. Πρὸς μὲν οὖν τὴν διαίρεσιν τῶν ὑποστάσεων οὐκ ἂν ἔχοιεν ἀλλοτρίως οἱ τὴν ἑτερότητα τῶν οὐσιῶν ἐπὶ τῆς θείας δογματίζοντες φύσεως· οὐ γὰρ εἰκός ἐστι τοὺς τρεῖς λέγοντας οὐσίας μὴ καὶ τρεῖς πάντως ὑποστάσεις λέγειν. Οὐκοῦν τοῦτο μόνον ἐστὶν ἐν ἐγκλήματι, τὸ τὰ ἐπιλεγόμενα τῇ θείᾳ φύσει ὀνόματα μοναδικῶς καταγγέλλειν.

Ἀλλ' ἕτοιμος ἡμῖν πρὸς τοῦτο καὶ σαφὴς ὁ λόγος. Ὁ γὰρ καταγινώσκων τῶν μίαν λεγόντων θεότητα ἐξ ἀνάγκης ἢ τῷ πολλὰς λέγοντι ἢ τῷ μηδεμίαν συνθήσεται· οὐ γάρ ἐστι δυνατὸν ἕτερόν τι παρὰ

τὸ εἰρημένον ἐπινοῆσαι. Ἀλλ᾽ οὐδὲ πολλὰς λέγειν συγχωρεῖ ἡ τῆς Γραφῆς διδασκαλία, εἴ που καὶ μέμνηται, μοναχῶς τῆς θεότητος μνημονεύουσα· **7** «ὅτι ἐν αὐτῷ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος»[1], καὶ ἑτέρωθι «τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται, ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης»[2]. Εἰ οὖν εἰς πλῆθος ἐκτείνειν τὸν ἀριθμὸν τῶν θεοτήτων μόνων τῶν τὴν πολύθεον πλάνην νενοσηκότων ἐστί, τὸ δὲ καθόλου ἀρνεῖσθαι τὴν θεότητα τῶν ἀθέων ἂν εἴη, τίς λόγος ἐστὶν ὁ διαβάλλων ἡμᾶς ἐπὶ τῷ μίαν ὁμολογεῖν τὴν θεότητα; Ἀλλ᾽ ἐκκαλύπτουσι φανερώτερον τὸν τοῦ λόγου σκοπὸν ἐπὶ μὲν τοῦ Πατρὸς καταδέχεσθαι τὸν Θεὸν εἶναι καὶ τὸν Υἱὸν ὡσαύτως τιμᾶσθαι τῷ τῆς θεότητος ὀνόματι συντιθέμενοι, τὸ δὲ Πνεῦμα Πατρὶ καὶ Υἱῷ συναριθμούμενον **[689]** μηκέτι καὶ τῇ τῆς θεότητος ἐννοίᾳ συμπεριλαμβάνεσθαι, ἀλλ᾽ ἐκ τοῦ Πατρὸς μέχρι τοῦ Υἱοῦ ἱσταμένην τὴν τῆς θεότητος δύναμιν ἀποκρίνειν τῆς θεϊκῆς δόξης τὴν φύσιν τοῦ Πνεύματος. Οὐκοῦν ἀπολογητέον καὶ ἡμῖν, ὡς ἂν οἷοί τε ὦμεν, διὰ βραχέων καὶ πρὸς ταύτην τὴν ἔννοιαν.

Τίς οὖν ὁ ἡμέτερος λόγος; Παραδιδοὺς ὁ Κύριος τὴν σωτήριον πίστιν τοῖς μαθητευομένοις τῷ λόγῳ, τῷ Πατρὶ καὶ τῷ Υἱῷ συνάπτει καὶ τὸ Πνεῦμα τὸ Ἅγιον[3]· τὸ δὲ συνημμένον ἅπαξ διὰ πάντων φαμὲν τὴν συνάφειαν ἔχειν, οὐ γὰρ ἔν τινι συντεταγμένον ἐν ἑτέροις ἀποσχοινίζεται. Ἀλλ᾽ ἐν τῇ ζωοποιῷ δυνάμει, καθ᾽ ἣν ἐκ τοῦ φθαρτοῦ βίου εἰς ἀθανασίαν ἡ φύσις ἡμῶν μετασκευάζεται, συμπαραληφθεῖσα ἡ τοῦ Πνεύματος δύναμις Πατρὶ καὶ Υἱῷ καὶ ἐν πολλοῖς ἑτέροις, οἷον ἐν τῇ κατὰ τὸ ἀγαθὸν ἐννοίᾳ καὶ τὸ Ἅγιόν[4] τε καὶ ἀΐδιον, σοφόν[5], εὐθές[6], ἡγεμονικόν[7], δυνατὸν καὶ πανταχοῦ δηλονότι τὸ ἀχώριστον ἔχει ἐν πᾶσι τοῖς πρὸς τὸ κρεῖττον ὑπειλημ**8**μένοις ὀνόμασιν. Οὐκοῦν ἡγούμεθα καλῶς ἔχειν τὸ ἐν τοσαύταις ἐννοίαις ὑψηλαῖς τε καὶ θεοπρεπέσι συναπτόμενον Πατρὶ καὶ Υἱῷ ἐν οὐδενὶ διακεκρίσθαι νομίζειν. Οὐδὲ γὰρ οἴδαμεν ἔν τινι τῶν περὶ τὴν θείαν φύσιν ἐπινοουμένων ὀνομάτων τὴν κατὰ τὸ κρεῖττον καὶ χεῖρον διαφοράν, ὡς εὐαγὲς εἶναι οἴεσθαι τὴν ἐν τοῖς καταδεεστέροις τῶν ὀνομάτων κοινωνίαν συγχωροῦντας τῷ Πνεύματι τῶν ὑπεραιρόντων κρίνειν ἀνάξιον. Πάντα γὰρ τὰ θεοπρεπῆ ὀνόματά τε καὶ νοήματα ὁμοτίμως ἔχει πρὸς ἄλληλα τῷ μηδὲν περὶ τὴν τοῦ ὑποκειμένου διαφωνεῖν σημασίαν· οὐ γὰρ ἐπ᾽ ἄλλο τι ὑποκείμενον χειραγωγεῖ τὴν διάνοιαν ἡ τοῦ ἀγαθοῦ προσηγορία, ἐφ᾽ ἕτερον δὲ ἡ τοῦ σοφοῦ καὶ τοῦ δυνατοῦ καὶ τοῦ δικαίου· ἀλλ᾽ ὅσαπερ ἂν εἴπῃς ὀνόματα, ἓν διὰ πάντων ἐστὶ τὸ σημαινόμενον, κἂν Θεὸν εἴπῃς, τὸν αὐτὸν ἐνεδείξω, ὃν διὰ τῶν λοιπῶν ὀνομάτων ἐνόησας. Εἰ δὴ πάντα τὰ ὀνόματα ⟨τὰ⟩ τῇ θείᾳ φύσει ἐπιλεγόμενα ἰσοδυναμεῖ ἀλλήλοις κατὰ τὴν τοῦ ὑποκειμένου

1. Κολ. 2,9. 2. Ρωμ. 1,20. 3. Πρβλ. Ματθ. 28,19. 4. Ἔνθ᾽ ἄν. 5. Πρβλ. Ἐφ. 1,17. 6. Πρβλ. Ψαλ. 50,12. 7. Πρβλ. Ψαλ. 50,14.

ἔνδειξιν, ἄλλα κατ' ἄλλην ἔμφασιν ἐπὶ τὸ αὐτὸ τὴν διάνοιαν ὁδηγοῦντα, τίς ὁ λόγος τὴν ἐν τοῖς ἄλλοις ὀνόμασι κοινωνίαν πρὸς Πατέρα τε καὶ Υἱὸν συγχωροῦντας τῷ Πνεύματι μόνης ἀλλοτριοῦν αὐτὸ τῆς θεότητος; Ἀνάγκη γὰρ πᾶσα ἢ καὶ ἐν τούτῳ διδόναι τὴν κοινωνίαν ἢ μηδὲ τὴν ἐν τοῖς λοιποῖς **9** συγχωρεῖν. Εἰ γὰρ ἐν ἐκείνοις ἄξιον, οὐδὲ ἐν τούτῳ πάντως ἀνάξιον· εἰ δὲ μικρότερον κατὰ τὸν ἐκείνων λόγον ἐστὶν ἢ ὥστε τοῦ τῆς θεότητος ὀνόματος πρὸς Πατέρα τε καὶ Υἱὸν τὴν κοινωνίαν χωρῆσαι, οὐδὲ ἄλλου τινὸς τῶν θεοπρεπῶν ὀνομάτων μετέχειν ἄξιον. Θεωρούμενα γὰρ καὶ συγκρινόμενα πρὸς ἄλληλα τὰ ὀνόματα διὰ τῆς ἐν ἑκάστοις θεωρουμένης ἐμφάσεως εὑρεθήσεται μηδὲν τῆς τοῦ Θεοῦ **[692]** προσηγορίας ἔλαττον ἔχοντα· τεκμήριον δέ, ὅτι τούτῳ μὲν τῷ ὀνόματι πολλὰ καὶ τῶν καταδεεστέρων ἐπονομάζεται, μᾶλλον δὲ οὐ φείδεται ἡ θεία Γραφὴ τῆς ὁμωνυμίας ταύτης οὐδὲ ἐπὶ τῶν ἀπεμφαινόντων πραγμάτων, ὅταν τὰ εἴδωλα τῇ τοῦ Θεοῦ προσηγορίᾳ κατονομάζῃ[α]. Θεοὶ γάρ, φησίν, οἳ οὐκ ἐποίησαν τὸν οὐρανὸν καὶ τὴν γῆν, ἀρθήτωσαν καὶ ὑποκάτω τῆς γῆς βληθήτωσαν[1]· καὶ «πάντες», φησίν, «οἱ θεοὶ τῶν ἐθνῶν δαιμόνια»[2]. Καὶ ἡ ἐγγαστρίμυθος ἐν ταῖς μαντείαις αὐτῆς ψυχαγωγοῦσα πρὸς τὸν Σαοὺλ τὰς ἐπιζητουμένας ψυχάς, θεοὺς ἑωρακέναι[3] φησίν. Ἀλλὰ καὶ ὁ Βαλαὰμ οἰωνιστής τις ὢν καὶ μάντις καὶ διὰ χειρὸς τὰ μαντεῖα φέρων (καθώς φησιν ἡ Γραφή)[4] καὶ τὴν ἐκ δαιμόνων διδασκαλίαν διὰ τῆς οἰωνιστικῆς περιεργίας ἑαυτῷ κατορ**10**θώσας, παρὰ Θεοῦ συμβουλεύεσθαι ὑπὸ τῆς Γραφῆς ἱστορεῖται. Καὶ πολλὰ τοιαῦτα ἔστι συλλεξάμενον ἐκ τῶν θείων παραθέσθαι Γραφῶν ὅτι τὸ ὄνομα τοῦτο οὐδὲν παρὰ τὰς λοιπὰς θεοπρεπεῖς προσηγορίας πρωτεύει, ὅτι (καθὼς εἴρηται) καὶ ἐπὶ τῶν ἀπεμφαινόντων ὁμωνύμως παρὰ τῆς Γραφῆς λέγεται· τὸ δὲ τοῦ ἁγίου ὄνομα καὶ τοῦ ἀφθάρτου καὶ τοῦ εὐθέος καὶ τοῦ ἀγαθοῦ οὐδαμοῦ κοινοποιούμενον πρὸς τὰ μὴ δέοντα παρὰ τῆς Γραφῆς ἐδιδάχθημεν. Οὐκοῦν εἰ ἐν τοῖς ἐξαιρέτως ἐπὶ μόνης τῆς θείας φύσεως εὐσεβῶς λεγομένοις ὀνόμασι κοινωνεῖν τὸ Ἅγιον Πνεῦμα πρὸς τὸν Υἱὸν καὶ τὸν Πατέρα οὐκ ἀντιλέγουσι, τίς ὁ λόγος μόνῳ τούτῳ κατασκευάζειν ἀκοινώνητον εἶναι, οὗ μετέχειν ἐδείχθη κατά τινα ὁμώνυμον χρῆσιν καὶ τὰ δαιμόνια καὶ τὰ εἴδωλα;

Ἀλλὰ λέγουσι φύσεως ἐνδεικτικὴν εἶναι τὴν προσηγορίαν ταύτην, ἀκοινώνητον δὲ εἶναι πρὸς Πατέρα καὶ Υἱὸν τὴν τοῦ Πνεύματος φύσιν, καὶ διὰ τοῦτο μηδὲ τῆς κατὰ τὸ ὄνομα τοῦτο κοινωνίας μετέχειν. Οὐκοῦν δειξάτωσαν διὰ τίνων τὸ τῆς φύσεως παρηλλαγμένον ἐπέγνωσαν. Εἰ μὲν γὰρ ἦν δυνατὸν αὐτὴν ἐφ' ἑαυτῆς τὴν θείαν φύσιν θεωρηθῆναι καὶ τό τε οἰκείως ἔχον καὶ τὸ ἀλλότριον διὰ τῶν φαινο-

---

1. Πρβλ. Ἱερ. 10,11. 2. Ψαλ. 95,5. 3. Πρβλ. Α' Βασ. 28,13. 4. Πρβλ. Ἀριθ. 22,7 ἑξ.

α. Γρηγορίου Νύσσης, Κατὰ Εὐνομίου, ΒΕΠ 67,368,15-21.

μένων εὑρεῖν, οὐκ ἂν πάντως ἐδεήθημεν λόγων ἢ τεκμηρίων ἑτέρων πρὸς τὴν τοῦ ζητουμένου κατάληψιν· ἐπεὶ δὲ ἡ μὲν ὑψηλοτέρα τῆς τῶν ζητούντων ἐστὶ κατανοήσεως, ἐκ δὲ τεκμηρίων τινῶν **11** περὶ τῶν διαφευγόντων τὴν γνῶσιν ἡμῶν στοχαστικῶς ἀναλογιζόμεθα, ἀνάγκη πᾶσα διὰ τῶν ἐνεργειῶν[α] ἡμᾶς χειραγωγεῖσθαι πρὸς τὴν τῆς θείας φύσεως ἔρευναν. Οὐκοῦν ἐὰν ἴδωμεν διαφερούσας ἀλλήλων τὰς ἐνεργείας τὰς παρὰ τοῦ Πατρός τε καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύ**[693]**ματος ἐνεργουμένας, διαφόρους εἶναι καὶ τὰς ἐνεργούσας φύσεις ἐκ τῆς ἑτερότητος τῶν ἐνεργειῶν στοχαζόμεθα. Οὐδὲ γὰρ ἐνδέχεται τὰ διεστῶτα κατὰ τὸν τῆς φύσεως λόγον πρὸς τὸ τῶν ἐνεργειῶν εἶδος ἀλλήλοις συνενεχθῆναι (οὔτε ψύχει τὸ πῦρ οὔτε θερμαίνει ὁ κρύσταλλος), ἀλλὰ τῇ τῶν φύσεων διαφορᾷ συνδιαχωρίζονται ἀπ' ἀλλήλων καὶ αἱ παρὰ τούτων ἐνέργειαι. Ἐὰν δὲ μίαν νοήσωμεν τὴν ἐνέργειαν Πατρός τε καὶ Υἱοῦ καὶ Πνεύματος Ἁγίου ἐν μηδενὶ διαφέρουσάν τι ἢ παραλλάσσουσαν, ἀνάγκη τῇ ταυτότητι τῆς ἐνεργείας τὸ ἡνωμένον τῆς φύσεως συλλογίζεσθαι. Ἁγιάζει καὶ ζωοποιεῖ καὶ παρακαλεῖ καὶ πάντα τὰ τοιαῦτα ὁμοίως ὁ Πατὴρ καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ Ἅγιον καὶ μηδεὶς κατ' ἐξαίρετον ἀπονεμέτω τῇ ἐνεργείᾳ τοῦ Πνεύματος τὴν ἁγιαστικὴν ἐξουσίαν ἀκούσας τοῦ Σωτῆρος ἐν τῷ Εὐαγγελίῳ περὶ τῶν μαθητῶν πρὸς τὸν Πατέρα λέγοντος· Πάτερ, ἁγίασον αὐτοὺς ἐν τῷ ὀνόματί σου[1]. **12** Ὡσαύτως δὲ καὶ τὰ ἄλλα πάντα κατὰ τὸ ἴσον ἐνεργεῖται τοῖς ἀξίοις παρὰ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, [πᾶσα χάρις καὶ δύναμις,] ἡ ὁδηγία, ἡ ζωή, ἡ παράκλησις, ἡ πρὸς τὸ ἀθάνατον μεταβολή, ἡ εἰς ἐλευθερίαν μετάστασις καὶ εἴ τι ἄλλο ἐστὶν ἀγαθὸν ὃ μέχρις ἡμῶν καταβαίνει. Ἡ δὲ ὑπὲρ ἡμᾶς οἰκονομία ἔν τε τῇ νοητῇ κτίσει καὶ ἐν τῇ αἰσθητῇ, εἴ τι χρὴ διὰ τῶν γινωσκομένων ἡμῖν καὶ περὶ τῶν ὑπερκειμένων στοχάζεσθαι, οὐδὲ αὐτὴ τῆς τοῦ Ἁγίου Πνεύματος ἐνεργείας καὶ δυνάμεως ἔξω καθέστηκεν, ἑκάστου κατὰ τὴν ἰδίαν ἀξίαν τε καὶ χρείαν τῆς ὠφελείας μεταλαμβάνοντος. Εἰ γὰρ καὶ ἄδηλος τῇ αἰσθήσει τῇ ἡμετέρᾳ ἡ περὶ τῶν ἄνω τῆς ἡμετέρας φύσεως διάταξίς τε καὶ διοίκησις, ὅμως ἐκ τῆς ἀκολουθίας εὐλογώτερον ἄν τις σύνθοιτο διὰ τῶν ἡμῖν γνωρίμων ἐνεργὸν εἶναι καὶ ἐπ' ἐκείνων τὴν τοῦ Πνεύματος δύναμιν ἢ ἀπεξενῶσθαι τῆς ἐν τοῖς ὑπερκειμένοις οἰκονομίας. Ὁ μὲν γὰρ ἐκεῖνο λέγων ψιλὴν καὶ ἀκατάσκευον τὴν βλασφημίαν προβάλλεται, οὐδενὶ λογισμῷ κατασκευάζων τὴν ἀτοπίαν· ὁ δὲ συντιθέμενος καὶ τὰ ὑπὲρ ἡμᾶς μετὰ Πατρὸς καὶ Υἱοῦ τῇ δυνάμει τοῦ Πνεύματος οἰκονομεῖσθαι, ἐναργεῖ τεκμηρίῳ τῷ κατὰ τὴν ἰδίαν ζωὴν ἐπερειδόμενος περὶ τούτων δισχυρίζεται. Τῆς γὰρ ἀνθρωπίνης φύ-

---

1. Πρβλ. Ἰω. 17,17.

α. Πρβλ. Μ. Βασιλείου, Ἐπιστολαὶ 234, ΒΕΠ 55,283,25-29. Γρηγορίου Νύσσης, Κατὰ Εὐνομίου, ΒΕΠ 67,96,6 ἑξ. 373,7-16.

σεως ἐκ ψυχῆς τε καὶ σώματος συγκεκραμένης, τῆς δὲ ἀγγελικῆς ἀσώματον τὴν ζωὴν κεκληρωμένης, εἰ μὲν ἐπὶ μόνων τῶν **13** σωμάτων ἐνεργὸν ἦν τὸ Πνεῦμα τὸ Ἅγιον, ἡ δὲ ψυχὴ τῆς παρ' αὐτοῦ χάριτος ἀνεπίδεκτος ἦν, ἴσως ἄν τις ἐκ τούτου συνελογίσατο —τῆς ἐν ἡμῖν νοερᾶς τε καὶ ἀσωμάτου φύσεως ὑπὲρ τὴν τοῦ Πνεύματος δύναμιν οὔσης— μηδὲ τὴν ἀγγελικὴν ζωὴν ἐπιδεᾶ τῆς ἐκείνου χάριτος εἶναι. Εἰ δὲ κατὰ τὸ προηγούμενον ἡ τοῦ Ἁγίου Πνεύματος δωρεὰ τῆς ψυχῆς χάρις ἐστί, τῷ δὲ νοερῷ τε καὶ ἀειδεῖ συνῆπταί πως πρὸς τὴν ἀγγελικήν τε καὶ ἀσώματον ζωὴν ἡ τῆς ψυχῆς ἡμῶν κατασκευή, τίς οὐκ ἂν σύνθοιτο τῶν τὸ ἀκόλουθον βλέπειν ἐπισταμένων, ὅτι πᾶσα νοερὰ φύσις τῇ τοῦ Ἁγίου Πνεύματος οἰκονομεῖται διαταγῇ; Ἐπειδὴ γὰρ εἴρηται ὅτι διὰ παντὸς βλέπουσι τὸ πρόσωπον τοῦ Πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς οἱ ἄγγελοι[1], οὐκ ἔστι δὲ ἄλλως ἰδεῖν τὴν τοῦ Πατρὸς ὑπόστασιν μὴ διὰ τοῦ χαρακτῆρος εἰς αὐτὴν ἀτενίσαντα, ὁ δὲ χαρακτὴρ τῆς τοῦ Πατρὸς ὑποστάσεως[2] ὁ Μονογενής ἐστι, τούτῳ δὲ πάλιν οὐκ ἄν τις προσεγγίσειε μὴ τῷ Ἁγίῳ Πνεύματι καταυγασθεὶς τὴν διάνοιαν, τί ἐκ τούτων ἀποδείκνυται; Ὅτι οὐδὲ μιᾶς ἐνεργείας τῆς παρὰ Πατρὸς ἐνεργουμένης τὸ Ἅγιον Πνεῦμα διακεχώρισται. Οὐκοῦν ἡ τῆς ἐνεργείας ταυτότης[α] ἐπὶ Πατρός τε καὶ Υἱοῦ καὶ Ἁγίου Πνεύματος δείκνυσι σαφῶς τὸ τῆς φύσεως ἀπαράλλακτον· ὥστε, κἂν φύσιν σημαίνῃ τὸ τῆς θεότητος ὄνομα, κυρίως καὶ τῷ Ἁγίῳ Πνεύματι τὴν προσηγορίαν ἐφαρμόζεσθαι ταύτην ἡ τῆς οὐσίας κοινότης συνθήσεται.

[696] Ἀλλ' οὐκ οἶδα πῶς ἐπὶ τὴν τῆς φύσεως ἔνδειξιν τὴν **14** προσηγορίαν τῆς θεότητος φέρουσιν οἱ πάντα κατασκευάζοντες, ὥσπερ οὐκ ἀκηκοότες παρὰ τῆς θείας Γραφῆς ὅτι χειροτονητὴ φύσις οὐ γίνεται· Μωυσῆς δὲ τῶν Αἰγυπτίων ἐχειροτονήθη θεός[β], οὕτω πρὸς αὐτὸν εἰπόντος τοῦ χρηματίζοντος ὅτι Θεόν σε δέδωκα τῷ Φαραώ[3]. Οὐκοῦν ἐξουσίας τινὸς εἴτε ἐποπτικῆς εἴτε ἐνεργητικῆς ἔνδειξιν ἡ προσηγορία φέρει, ἡ δὲ θεία φύσις ἐν πᾶσι τοῖς ἐπινοουμένοις ὀνόμασι, καθό ἐστι, μένει ἀσήμαντος, ὡς ὁ ἡμέτερος λόγος. Εὐεργέτην γὰρ καὶ κριτήν, ἀγαθόν τε καὶ δίκαιον καὶ ὅσα ἄλλα τοιαῦτα μαθόντες ἐνεργειῶν διαφορὰς ἐδιδάχθημεν, τοῦ δὲ ἐνεργοῦντος τὴν φύσιν οὐδὲν μᾶλλον διὰ τῆς τῶν ἐνεργειῶν κατανοήσεως ἐπιγνῶναι δυνάμεθα. Ὅταν γὰρ ἀποδιδῷ τις λόγον ἑκάστου τε τούτων τῶν ὀνομάτων καὶ αὐτῆς τῆς φύσεως περὶ ἣν τὰ ὀνόματα, οὐ τὸν αὐτὸν ἀμφοτέρων ἀποδίδωσι λόγον·

---

1. Πρβλ. Ματθ. 18,10. 2. Πρβλ. Ἑβρ. 1,3. 3. Πρβλ. Ἐξ. 7,1.

α. Πρβλ. Μ. Ἀθανασίου, Ἐπιστολὴ ὅτι ἡ ἐν Νικαίᾳ σύνοδος..., ΒΕΠ 31, 163,33 ἑξ. PG 25,456D. Κατὰ Ἀρειανῶν, λόγ. Α', ΒΕΠ 30,141,7 ἑξ. PG 26, 57Α. Μ. Βασιλείου, Εἰς τὸν ἅγιον μάρτυρα Μάμαντα, ΒΕΠ 54,216,11-15. Ἐπιστολαὶ 129, ΒΕΠ 55,156,1-15. Γρηγορίου Θεολόγου, Λόγοι, Εἰρηνικὸς Α' (Στ'), ΒΕΠ 59,18,17-19.

β. Διαταγαὶ Ἀποστόλων Β' XXVIII, ΒΕΠ 2,37,31 ἑξ. PG 1,673Β.

ὧν δὲ ὁ λόγος ἕτερος, τούτων καὶ ἡ φύσις διάφορος. Οὐκοῦν ἄλλο μέν τί ἐστιν ἡ οὐσία ἧς οὔπω λόγος μηνυτὴς ἐξευρέθη, ἑτέρα δὲ τῶν περὶ αὐτὴν ὀνομάτων ἡ σημασία ἐξ ἐνεργείας τινὸς ἢ ἀξίας ὀνομαζομένων. Τὸ μὲν οὖν ἐν ταῖς ἐνεργείαις μηδεμίαν εἶναι διαφορὰν ἐκ τῆς τῶν ὀνομάτων κοινωνίας εὑρίσκομεν, τὸ δὲ κοινὸν τῆς φύσεως ἐναργῶς ἀποδέδεικται διὰ τῆς τῶν ἐνεργειῶν ταυτότητος **15** συνιστάμενον. Εἴτε οὖν ἐνεργείας ὄνομα ἡ θεότης, ὡς μίαν ἐνέργειαν Πατρὸς καὶ Υἱοῦ καὶ Ἁγίου Πνεύματος, οὕτω μίαν φαμὲν εἶναι τὴν θεότητα· εἴτε κατὰ τὰς τῶν πολλῶν δόξας φύσεως ἐνδεικτικόν ἐστι τὸ τῆς θεότητος ὄνομα, διὰ τὸ μηδεμίαν εὑρίσκειν ἐν τῇ φύσει παραλλαγὴν ἐκ τῆς τῶν ἐνεργειῶν ταυτότητος οὐκ ἀπεικότως μιᾶς θεότητος τὴν Ἁγίαν Τριάδα διοριζόμεθα. Εἰ δέ τις ἀξίας ἐνδεικτικὴν εἶναι τὴν προσηγορίαν ταύτην ὁρίζοιτο, οὐκ οἶδα μὲν τίνι λόγῳ πρὸς τὴν τοιαύτην σημασίαν ἕλκει τὸ ὄνομα· πλὴν ἐπειδὴ πολλῶν ἐστι τὸ τοιοῦτον λεγόντων ἀκούειν, ὡς ἂν μηδαμόθεν χώραν κατὰ τῆς ἀληθείας ἡ τῶν ἀντικειμένων εὑρίσκοι σπουδή, καὶ πρὸς τὴν τοιαύτην ὑπόληψιν συμπεριενεχθέντες τοῖς οὕτω δοξάζουσι φαμὲν ὅτι, κἂν ἀξίαν σημαίνῃ τὸ ὄνομα, καὶ κατὰ τοῦτο κυρίως τῷ Ἁγίῳ Πνεύματι ἡ προσηγορία ἐφαρμοσθήσεται. Πᾶσαν μὲν γὰρ ἀξίαν ἐνδείκνυται τῆς βασιλείας τὸ ὄνομα, ὁ δὲ Θεὸς ἡμῶν, φησί, βασιλεὺς προαιώνιος[1]. Ἀλλὰ καὶ τοῦ βασιλέως ὁ υἱὸς ὁ πάντα ⟨τὰ⟩ τοῦ πατρὸς ἔχων καὶ αὐτὸς βασιλεὺς παρὰ τῆς ἁγίας Γραφῆς ἀνακηρύττεται[α], τὸ δὲ Πνεῦμα τὸ Ἅγιον χρῖσμα τοῦ Μονογενοῦς εἶναί φησιν ἡ θεία Γραφὴ ἐκ μεταφορᾶς τῶν τῇδε νενομισμένων τὴν ἀξίαν τοῦ Πνεύματος ἑρμηνεύουσα. Ὡς γὰρ ἐν τοῖς ἀρχαίοις τοῖς εἰς βασιλείαν παραγομένοις σύμβολον ἦν τῆς ἀξίας ταύτης τὸ ἐπαγόμενον αὐτοῖς χρῖσμα[β], οὗ γενομένου τὸ ἀπ' ἐκείνου μετάστασις ἦν ἀπὸ τῆς ἰδιωτικῆς ταπεινότητος ἐπὶ τὴν τῆς δυναστείας ὑπεροχήν, καὶ ἕτερον **16** μετελάμβανεν ὄνομα μετὰ τὴν χρῖσιν ὁ τῆς χάριτος ταύτης ἠξιωμένος ἀντὶ τοῦ κοινοῦ ἀνθρώπου χριστὸς Κυρίου[2] ὀνομαζόμενος· διὰ τοῦτο, ὡς ἂν μάλιστα ἡ τοῦ Ἁγίου Πνεύματος ἀξία τοῖς ἀνθρώποις παραδειχθείη, σύμβολον βασιλείας καὶ χρῖσμα[γ] παρὰ τῆς Γραφῆς ὠνομάσθη, διδασκομένων ἡμῶν ὅτι τῆς τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ δόξης καὶ βασιλείας κοινωνεῖ τὸ Πνεῦμα τὸ Ἅγιον. Ὡς γὰρ ἐν ἀνθρώποις οὐκ ἦν παρελθεῖν εἰς βασιλείαν μὴ προκαθηγησαμένου χρίσματος, οὕτω τὴν ἴσην ἐνδείκνυται δύναμιν ἐκ μεταφορᾶς τῶν παρ' ἡμῖν ὀνομάτων ὁ λόγος, ὅτι

---

1. Πρβλ. Ψαλ. 73,12. 2. Πρβλ. Α' Βασ. 24,7,11. Ψαλ. 2,2.

α. Πρβλ. Μ. Ἀθανασίου, Κατὰ αἱρέσεων διαφόρων, λόγ. Ο', ΒΕΠ 37,26, 19 ἑξ. PG 28,1320A.

β. Πρβλ. Γρηγορίου Νύσσης, Περὶ τοῦ Ἁγίου Πνεύματος κατὰ Μακεδονιανῶν τῶν πνευματομάχων, κατωτέρω 196,39.

α. Πρβλ. Διαταγαὶ Ἀποστόλων Ζ, ΧΧΙΙ, ΒΕΠ 2,123,24-26. PG 1,1012C. Γρηγορίου Θεολόγου, Εἰς τὸ ἅγιον Βάπτισμα, ΒΕΠ 60,91,5-8.

οὐδὲ ἡ τοῦ Υἱοῦ βασιλεία δίχα τῆς τοῦ Ἁγίου Πνεύματος ἀξίας καταλαμβάνεται· διὸ κυρίως Χριστὸς λέγεται, τῆς ἀχωρίστου καὶ ἀδιαστάτου πρὸς τὸ Ἅγιον Πνεῦμα συναφείας τοῦ ὀνόματος τούτου παρεχομένου τὴν ἔνδειξιν. Εἰ οὖν Χριστὸς μὲν ὁ μονογενὴς Θεός, χρῖσμα δὲ τὸ Πνεῦμα τὸ Ἅγιον, ἡ δὲ τοῦ Χριστοῦ προσηγορία τὴν βασιλικὴν ἐξουσίαν ἐνδείκνυται, σύμβολον δὲ τῆς βασιλείας ἡ χρῖσις ἐστίν, ἄρα κοινωνεῖ καὶ τῆς ἀξίας τὸ Πνεῦμα τὸ Ἅγιον. Εἰ οὖν φασί τινες τὸ τῆς θεότητος ὄνομα τοῦ ἀξιώματος εἶναι δηλωτικόν, ἀπεφάνθη δὲ κοινωνεῖν ἐν τούτῳ τὸ Πνεῦμα τὸ Ἅγιον, ἄρα τὸ κοινωνοῦν τῆς ἀξίας κοινωνήσει πάντως καὶ τοῦ παραστατικοῦ ταύτης ὀνόματος.

ΠΩΣ ΤΡΙΑ ΠΡΟΣΩΠΑ ΛΕΓΟΝΤΕΣ ΕΝ Τῌ ΘΕΟΤΗΤΙ ΟΥ ΦΑΜΕΝ ΤΡΕΙΣ ΘΕΟΥΣ ΠΡΟΣ ΤΟΥΣ ΕΛΛΗΝΑΣ ΑΠΟ ΤΩΝ ΚΟΙΝΩΝ ΕΝΝΟΙΩΝ*

[176] **19** Εἰ τὸ Θεὸς ὄνομα προσώπου δηλωτικὸν ὑπῆρχεν, τρία πρόσωπα λέγοντες ἐξ ἀνάγκης τρεῖς ἂν ἐλέγομεν θεούς· εἰ δὲ τὸ Θεὸς ὄνομα οὐσίας σημαντικόν ἐστιν, μίαν οὐσίαν ὁμολογοῦντες τῆς Ἁγίας Τριάδος ἕνα Θεὸν εἰκότως δογματίζομεν, ἐπειδὴ μιᾶς οὐσίας ἓν ὄνομα τὸ Θεός ἐστιν. Διὸ καὶ ἀκολούθως τῇ τε οὐσίᾳ καὶ τῷ ὀνόματι εἷς ἐστι Θεὸς καὶ οὐ τρεῖς. Οὐδὲ γὰρ Θεὸν καὶ Θεὸν καὶ Θεόν φαμεν, ὥσπερ λέγομεν Πατέρα καὶ Υἱὸν καὶ Ἅγιον Πνεῦμα, ἐπεὶ τοῖς ὀνόμασι τοῖς τῶν προσώπων σημαντικοῖς συμπλέκομεν τὸν *καὶ* σύνδεσμον διὰ τὸ μὴ ταὐτὰ εἶναι τὰ πρόσωπα, ἑτεροῖα δὲ μᾶλλον καὶ διαφέροντα ἀλλήλων κατ᾽ αὐτὴν τὴν τῶν ὀνομάτων σημασίαν, τῷ δὲ Θεὸς ὀνόματι δηλωτικῷ τῆς οὐσίας ὄντι ἔκ τινος ἰδιώματος προσόντος αὐτῇ οὐ συνάπτομεν τὸν *καὶ* σύνδεσμον, ὥστε λέγειν ἡμᾶς Θεὸν καὶ Θεὸν καὶ Θεόν, ἐπείπερ ἡ αὐτή ἐστιν οὐσία, ἧς ἐστι τὰ πρόσωπα καὶ ἣν σημαίνει τὸ Θεὸς ὄνομα· διὸ καὶ ὁ αὐτὸς Θεός· τῷ δὲ αὐτῷ καὶ ἐπὶ δηλώσει τοῦ αὐτοῦ ὁ *καὶ* σύνδεσμος οὐ συμπλέκεταί **20** ποτε. Εἰ δὲ λέγομεν Πατέρα Θεὸν καὶ Υἱὸν Θεὸν καὶ Πνεῦμα Ἅγιον Θεὸν ἢ Θεὸν Πατέρα καὶ Θεὸν Υἱὸν καὶ Θεὸν Πνεῦμα Ἅγιον, τὸν *καὶ* σύνδεσμον κατ᾽ ἔννοιαν τοῖς τῶν προσώπων ὀνόμασι συνάπτομεν, οἷον Πατρί, Υἱῷ, Ἁγίῳ Πνεύματι, ἵνα ᾖ Πατὴρ καὶ Υἱὸς καὶ Ἅγιον Πνεῦμα, τουτέστι πρόσωπον καὶ πρόσωπον καὶ πρόσωπον, διὸ καὶ τρία πρόσωπα. Τὸ δὲ Θεὸς ὄνομα ἀπολύτως καὶ ὡσαύτως κατηγορεῖται ἑκάστου τῶν προσώπων ἄνευ τοῦ *καὶ* συνδέσμου, ὥστε μὴ δύνασθαι ἡμᾶς λέγειν Θεὸν καὶ Θεὸν καὶ Θεόν, ἀλλὰ νοεῖν τὸ ὄνομα ⟨δεύτερον καὶ⟩ τρίτον μὲν λεγόμενον τῇ φωνῇ διὰ τὰ ὑποκείμενα πρόσωπα, προ⟨σ⟩βαλλόμενον δὲ τῇ δευτερώσει καὶ τῇ τριτώσει ἄνευ τοῦ *καὶ* συνδέσμου διὰ τὸ μὴ ἕτερον καὶ ἕτερον εἶναι Θεόν. Οὐ γάρ, καθὸ τὴν ἑτερότητα σῴζει Πατὴρ πρὸς Υἱόν, κατὰ τοῦτο Θεὸς ὁ Πατήρ· οὕτω γὰρ οὐκ ἂν Θεὸς ὁ Υἱός· εἰ γάρ, ἐπειδὴ Πατὴρ ὁ Πατήρ, διὰ τοῦτο καὶ Θεὸς ὁ Πατήρ, ἐπειδὴ μὴ Πατὴρ ὁ Υἱός, οὐ Θεὸς ὁ Υἱός· εἰ δὲ Θεὸς ὁ Υἱός, οὐκ, ἐπειδὴ Υἱός. Ὁμοίως καὶ ὁ Πατὴρ οὐκ, ἐπειδὴ πατήρ, Θεός, ἀλλ᾽ ἐπειδὴ οὐσία τοιάδε, ἧς ἐστι Πατὴρ καὶ **[177]**

*** Κατὰ τὴν ἔκδοσιν τοῦ Fridericus Mueller, Gregorii Nysseni, Opera Dogmatica Minora (Greg. N. op. W. Jaeger), vol III, I, σ.σ. 19-33, Leiden E. J. Brill 1958. [J.-P. Migne, τ. 45, στ. 176-185].**

Υἱὸς καὶ δι' ἣν Πατὴρ Θεὸς καὶ Υἱὸς Θεὸς καὶ Πνεῦμα Ἅγιον Θεός[α]. Μὴ διαιρουμένης δὲ τῆς οὐσίας ἐν ἑκάστῳ τῶν προσώπων, ὥστε καὶ τρεῖς εἶναι οὐσίας κατὰ τὰ πρόσωπα, δῆλον ὅτι οὐδὲ τὸ ὄνομα διαιρεθήσεται, ὅπερ σημαίνει τὴν οὐσίαν, τουτέστι τὸ Θεός, εἰς τὸ εἶναι τρεῖς Θεούς[β]. Ἀλλ' ὥσπερ οὐσία ὁ Πατήρ, οὐσία ὁ Υἱός, οὐσία τὸ Ἅγιον Πνεῦμα, καὶ οὐ τρεῖς οὐσίαι, οὕτω καὶ Θεὸς ὁ Πατήρ, Θεὸς ὁ Υἱός, Θεὸς τὸ Πνεῦμα τὸ Ἅγιον καὶ οὐ τρεῖς Θεοί. Εἷς γὰρ Θεὸς καὶ ὁ αὐτός, ἐπεὶ καὶ μία οὐσία καὶ ἡ αὐτή, εἰ **21** καὶ λέγεται ἕκαστον τῶν προσώπων καὶ ἐνούσιον καὶ Θεός. Ἢ γὰρ ἀνάγκη τρεῖς λέγειν οὐσίας Πατρὸς καὶ Υἱοῦ καὶ Ἁγίου Πνεύματος, ἐπειδὴ οὐσία τῶν προσώπων ἕκαστον, ὅπερ ἐστὶν ἀλογώτατον, ἐπείπερ οὐδὲ Πέτρον καὶ Παῦλον καὶ Βαρνάβαν φαμὲν τρεῖς οὐσίας· μία γὰρ καὶ ἡ αὐτὴ τῶν τοιούτων προσώπων ἡ οὐσία· ἢ μίαν λέγοντες οὐσίαν, ἧς ἐστι Πατὴρ καὶ Υἱὸς καὶ Ἅγιον Πνεῦμα, καίπερ ἐνούσιον εἰδότες τῶν προσώπων ἕκαστον, ἕνα δικαίως καὶ ἀκολούθως φαμὲν Θεόν, εἰ καὶ τῶν προσώπων ἕκαστον Θεὸν εἶναι πιστεύομεν, διὰ τὸ κοινὸν τῆς οὐσίας. Ὥσπερ γὰρ ⟨διὰ⟩ τὸ διαφέρειν τὸν Πατέρα τοῦ τε Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος τρία φαμὲν πρόσωπα Πατρὸς καὶ Υἱοῦ καὶ Ἁγίου Πνεύματος, οὕτως, ἐπειδὴ μὴ διαφέρει Πατὴρ Υἱοῦ τε καὶ Ἁγίου Πνεύματος κατὰ τὴν οὐσίαν, μίαν εἶναι λέγομεν τὴν οὐσίαν Πατρὸς καὶ Υἱοῦ καὶ Ἁγίου Πνεύματος. Εἰ γάρ, ἔνθα διαφορά, τριὰς διὰ τὴν διαφοράν, ἔνθα ταυτότης, μονὰς διὰ τὴν ταυτότητα· ἔστι δὲ ταυτότης τῶν προσώπων κατὰ τὴν οὐσίαν· μονὰς ἄρα αὐτῶν κατὰ τὴν οὐσίαν. Εἰ δὲ κατὰ τὴν οὐσίαν μονὰς τῆς Ἁγίας Τριάδος, δῆλον ὅτι καὶ κατὰ τὸ Θεὸς ὄνομα. Δηλωτικὸν γὰρ τοῦτο τῆς οὐσίας οὐ τὸ τί αὐτῆς παριστῶν (δῆλον ὅτι ἐπείπερ ἀπερινόητον καὶ ἀκατάληπτον τὸ τῆς θείας οὐσίας), ἀλλ' ἀπό τινος ἰδιώματος προσόντος **22** αὐτῇ λαμβανόμενον παραδηλοῖ αὐτήν, καθάπερ τὸ χρεμετιστικὸν καὶ τὸ γελαστικὸν ἰδιώματα ὄντα φύσεων λεγόμενα σημαίνει τὰς φύσεις, ὧνπέρ ἐστιν ἰδιώματα. Ἔστι τοίνυν ἰδίωμα τῆς ἀϊδίου οὐσίας, ἧς ἐστι Πατὴρ καὶ Υἱὸς

α. Πρβλ. Εὐσεβίου Καισαρείας, Κατὰ Μαρκέλλου Α, 1, ΒΕΠ 29,14,2 ἑξ. PG 24,720A. Μ. Βασιλείου, Ἐπιστολαὶ 8, ΒΕΠ 55,30,10 ἑξ. Γρηγορίου Θεολόγου, Θεολογικὸς Ε', ΒΕΠ 59,270,41-271,1-4. Ἐπιφανίου Κύπρου, Κατὰ αἱρέσεων, PG 42,13A, 248A.

β. Πρβλ. Μ. Ἀθανασίου, Ἐπιστολή, ὅτι ἡ ἐν Νικαίᾳ σύνοδος..., ΒΕΠ 31, 166,31 ἑξ., 167,28-37. PG 25,464A, 465A. Κατὰ Ἀρειανῶν, λόγ. Β', ΒΕΠ 30,262,15 ἑξ. PG 26,352C. Ἐπιστολὴ περὶ τῶν γενομένων ἐν τῇ Ἀριμίνῳ τῆς Ἰταλίας καὶ ἐν Σελευκείᾳ τῆς Ἰσαυρίας συνόδων, ΒΕΠ 31,308,4 ἑξ. PG 26,721B ἑξ. Ὁ πρὸς τοὺς Ἀντιοχεῖς Τόμος, ΒΕΠ 31,126,10-31. PG 26,801A-B. Περὶ τῆς ἐνσάρκου ἐπιφανείας τοῦ Θεοῦ Λόγου καὶ κατὰ Ἀρειανῶν, ΒΕΠ 33,227, 14-20. PG 26,1000B. Μ. Βασιλείου, Ἐπιστολαὶ 189, ΒΕΠ 55,210,12-22. Μ. Βασιλείου, Πρὸς τοὺς συκοφαντοῦντας ἡμᾶς, ὅτι τρεῖς Θεοὺς λέγομεν, ΒΕΠ 54,235,19 ἑξ. Γρηγορίου Θεολόγου, Θεολογικὸς Β', Ε', ΒΕΠ 59,237,12-20. 272,28 ἑξ. 273,15-25. 279,12-28.

καὶ Ἅγιον Πνεῦμα, τὸ πάντα ἐποπτεύειν καὶ θεωρεῖν καὶ γινώσκειν, οὐ μόνον τὰ ἔργῳ γινόμενα, ἀλλὰ καὶ τὰ ἐν νῷ λαμβανόμενα, ὅπερ μόνης ἐστὶν ἐκείνης τῆς οὐσίας, ἅτε δὴ καὶ αἰτίας πάντων ὑπαρχούσης τῆς τὰ πάντα ποιησάσης καὶ πάντων ὡς ἰδίων ποιημάτων δεσποζούσης, τὰ ⟨δὲ⟩ κατ᾽ ἀνθρώπους ἅπαντα συμφέροντί τινι καὶ ἀρρήτῳ λόγῳ πρυτανευούσης. Ἐντεῦθεν εἰλημμένον τὸ Θεὸς ὄνομα κυρίως λεγόμενον σημαίνει τὴν οὐσίαν ἐκείνην, ἥτις ἀληθῶς δεσπόζει τῶν ἁπάντων ὡς πάντων δημιουργός[α]. Μιᾶς τοιγαροῦν ὑπαρχούσης τῆς οὐσίας, ἧς ἐστι Πατὴρ καὶ Υἱὸς καὶ Ἅγιον Πνεῦμα, καὶ ἑνὸς τοῦ παραδηλοῦντος αὐτὴν ὀνόματος (φημὶ δή, τοῦ Θεός) εἷς Θεὸς ἔσται κυρίως καὶ ἀκολούθως τῷ λόγῳ τῆς οὐσίας, μηδενὸς λόγου καταναγκάζοντος ἡμᾶς τρεῖς λέγειν Θεούς, ὥσπερ οὖν οὐδὲ τρεῖς οὐσίας[β]. Εἰ γὰρ ἐπὶ Πέτρου καὶ Παύλου καὶ Βαρνάβα τρεῖς οὐσίας οὔ φαμεν διὰ τὸ μιᾶς αὐτοὺς εἶναι, πόσῳ μᾶλλον ἐπὶ Πατρὸς καὶ Υἱοῦ καὶ Ἁγίου Πνεύματος τοῦτο δικαίως οὐ ποιήσομεν· εἰ γὰρ τὴν οὐσίαν οὐ διαιρετέον εἰς τρεῖς διὰ τὰ πρόσωπα, δῆλον ὅτι οὐδὲ τὸν Θεόν, ἐπεὶ μὴ πρόσωπον δηλοῖ τὸ Θεός, ἀλλὰ τὴν οὐσίαν. Εἰ γὰρ πρόσωπον ἐδήλου τὸ Θεός, ἓν καὶ μόνον **23** τῶν προσώπων ἐλέγετο Θεός, ὅπερ ἐσημαίνετο τῷ τοιῷδε ὀνόματι, ὥσπερ οὖν καὶ Πατὴρ μόνος ὁ Πατὴρ λέγεται διὰ τὸ προσώπου δηλωτικὸν εἶναι τοῦτο τὸ ὄνομα.

Εἰ δὲ φαίη τις, ὅτι Πέτρον καὶ Παῦλον καὶ Βαρνάβαν φαμὲν τρεῖς οὐσίας μερικάς [δῆλον ὅτι τοῦτ᾽ ἐστιν ἰδικάς]· τοῦτο γὰρ κυριώτερον εἰπεῖν, γνώτω ὅτι μερικὴν οὐσίαν, τουτέστιν ἰδικήν, λέγοντες οὐδὲν ἕτερον σημᾶναι βουλόμεθα ἢ ἄτομον, ὅπερ ἐστὶ πρόσωπον. Διὸ δὴ καὶ τρεῖς εἰ λέγοιμεν μερικὰς οὐσίας, τουτέστιν ἰδικάς, οὐδὲν ἄλλο φαμὲν ἢ τρία πρόσωπα· προσώποις δὲ οὐχ ἕπεται τὸ Θεός, καθάπερ δέδεικται. Οὐδ᾽ ἄρα οὐδὲ τῇ μερικῇ, ὅπερ ἐστὶν ἰδικῇ, οὐσίᾳ· ταὐτὸν γάρ ἐστιν ἰδικὴ οὐσία τῷ προσώπῳ ἐπὶ τῶν ἀτόμων λεγομένη. Τί οὖν λεκτέον πρὸς ἐκεῖνο, ὅτι Πέτρον καὶ Παῦλον καὶ Βαρνάβαν τρεῖς φαμὲν ἀνθρώπους; Εἰ γὰρ ταῦτα πρόσωπα, πρόσωπα δὲ τῷ σημαντικῷ ὀνόματι τῆς κοινῆς οὐσίας οὐ σημαίνεται, ὁμοίως οὐδὲ ἡ μερικὴ λεγομένη ἤτοι ἰδικὴ οὐσία, ἐπειδὴ ταὐτὸν αὕτη τῷ προσώπῳ —τίνος χάριν τρεῖς ἀνθρώπους φαμὲν αὐτοὺς μιᾶς οὐσίας ὑπάρ-

---

α. Πρβλ. Ἰουστίνου, Διάλογος πρὸς τὸν Ἰουδαῖον Τρύφωνα, ΒΕΠ, 3,212, 2-10. PG 6,481Β. Ἀριστ. Μεταφυσικά, Λ 7. 1072α 23,25,26. Λ 7. 1072b 29. Περὶ Οὐρανοῦ Α 9. 279α 32. Περὶ κόσμου 6. 400b 8. 6. 397b 14.

β. Πρβλ. Μ. Ἀθανασίου, Πρὸς Σεραπίωνα, Θμούεως Ἐπισκόπου, ΒΕΠ 33,113,16-26. PG 26,588C. Μ. Βασιλείου, Ἐπιστολαὶ 8, ΒΕΠ 55,23,26 ἑξ. Μ. Ἀθανασίου, Ἐπιστολὴ περὶ τῶν γενομένων ἐν Ἀριμίνῳ τῆς Ἰταλίας καὶ ἐν Σελευκείᾳ τῆς Ἰσαυρίας συνόδων, ΒΕΠ 31,311,23-39. PG 26,729B-C. Γρηγορίου Νύσσης, Κατὰ Εὐνομίου, λόγ. Α', ΒΕΠ 67,62,8 ἑξ.

χοντας, ἧς ἐστι τὸ ἄνθρωπος δηλωτικόν, εἰ μήτε διὰ τὰ πρόσωπα μήτε διὰ τὸ λέγεσθαι μερικὴν ἤγουν ἰδικὴν οὐσίαν ἐκφωνοῦμεν τοῦτο; Φαμέν, ὅτι καταχρηστικῶς καὶ οὐ κυρίως τοῦτο λέγομεν διά τινα συνήθειαν ἐξ ἀναγκαίων αἰτιῶν κρατήσα[180]σαν, αἵτινες οὐ θεωροῦνται ἐπὶ τῆς Ἁγίας Τριάδος, ἵνα καὶ ἐπ' αὐτῆς τοῦτο αὐτὸ ποιῶμεν. Εἰσὶ **24** δὲ αἱ αἰτίαι αὗται· ὁ ὅρος ὁ τοῦ ἀνθρώπου οὐκ ἀεὶ ἐν τοῖς αὐτοῖς ἀτόμοις ἤγουν προσώποις θεωρεῖται· τῶν μὲν γὰρ προτέρων τελευτώντων ἕτερα ἀντ' αὐτῶν συνίσταται καὶ πάλιν τῶν αὐτῶν πολλάκις μενόντων ἄλλα τινὰ ἐπιγίνεται, ὡς ποτὲ μὲν ἐν τούτοις, ποτὲ δὲ ἐν ἐκείνοις, καὶ ποτὲ μὲν ἐν πλείοσιν, ποτὲ δὲ ἐν ὀλιγωτέροις θεωρεῖσθαι τὸν τῆς φύσεως ἤγουν τοῦ ἀνθρώπου ὅρον. Διὰ ταύτην οὖν τὴν αἰτίαν τῆς τε προσθήκης καὶ τῆς ἀφαιρέσεως τῆς τε ἀποβιώσεως καὶ γεννήσεως τῶν ἀτόμων, ἐν οἷς θεωρεῖται ὁ τοῦ ἀνθρώπου ὅρος, ἀναγκαζόμεθα καὶ πολλοὺς λέγειν ἀνθρώπους καὶ ὀλίγους τῇ τροπῇ καὶ ἀλλοιώσει τῶν προσώπων ἐκκρουσθείσης τῆς κοινῆς συνηθείας καὶ παρ' αὐτὸν τὸν τῆς οὐσίας λόγον, ὥστε συναριθμεῖν τοῖς προσώποις τρόπον τινὰ καὶ οὐσίας. Ἐπὶ δὲ τῆς Ἁγίας Τριάδος οὐδὲν τοιοῦτον συμβαίνει ποτέ· δεῖ γὰρ τὰ αὐτὰ πρόσωπα καὶ οὐχ ἕτερα καὶ ἕτερα λέγεσθαι ἀεὶ κατὰ τὸ αὐτὸ καὶ ὡσαύτως ἔχοντα μήτε προσθήκην τινὰ δεχόμενα τὴν εἰς τετράδα μήτε μείωσιν τὴν εἰς δυάδα· (οὔτε γὰρ γεννᾶται ἢ ἐκπορεύεται ἐκ τοῦ Πατρὸς ἢ ἐξ ἑνὸς τῶν προσώπων πρόσωπον ἕτερον, ὥστε καὶ τετράδα εἶναί ποτε τὴν Τριάδα· οὔτε τελευτᾷ ποτε ἓν τῶν τριῶν τούτων προσώπων κἂν ὡσεὶ ῥοπῇ ὀφθαλμοῦ, ὥστε δυάδα τὴν Τριάδα γενέσθαι κἂν τῇ ἐνθυμήσει·) προσθήκης δὲ καὶ μειώσεως τροπῆς τε καὶ ἀλλοιώσεως μηδεμιᾶς γινομένης τοῖς τρισὶ προσώποις Πατρὸς καὶ Υἱοῦ καὶ Ἁγίου Πνεύματος οὐδὲν τὸ παρακροῦον τὴν ἡμετέραν διάνοιαν πρὸς τοῖς τρισὶ προσώποις καὶ τρεῖς λέγειν θεούς. Πάλιν τὰ τοῦ ἀνθρώπου **25** πρόσωπα πάντα οὐκ ἀπὸ τοῦ αὐτοῦ προσώπου κατὰ τὸ προσεχὲς ἔχει τὸ εἶναι, ἀλλὰ τὰ μὲν ἐκ τούτου, τὰ δὲ ἐξ ἐκείνου ὡς πολλὰ καὶ διάφορα εἶναι πρὸς τοῖς αἰτιατοῖς καὶ τὰ αἴτια. Ἐπὶ δὲ τῆς Ἁγίας Τριάδος οὐχ οὕτως· ἓν γὰρ πρόσωπον καὶ τὸ αὐτό, τοῦ Πατρός, ἐξ οὗπερ ὁ Υἱὸς γεννᾶται καὶ τὸ Πνεῦμα τὸ Ἅγιον ἐκπορεύεται[1]. Διὸ δὴ καὶ κυρίως τὸν ἕνα αἴτιον μετὰ τῶν αὐτοῦ αἰτιατῶν ἕνα Θεόν φαμεν τεθαρρηκότως, ἐπειδὴ καὶ συνυπάρχει αὐτοῖς. Οὔτε γὰρ χρόνῳ διῄρηται ἀλλήλων τὰ πρόσωπα τῆς θεότητος οὔτε τόπῳ, οὐ βουλῇ, οὐκ ἐπιτηδεύματι, οὐκ ἐνεργείᾳ, οὐ πάθει, οὐδενὶ τῶν τοιούτων, οἷά περ θεωρεῖται ἐπὶ τῶν ἀνθρώπων· ἢ μόνον, ὅτι ὁ Πατὴρ Πατήρ ἐστι καὶ οὐχ Υἱὸς καὶ ὁ Υἱὸς Υἱός ἐστι καὶ οὐ Πατήρ, ὁμοίως καὶ τὸ Πνεῦμα τὸ Ἅγιον οὔτε Πατὴρ οὔτε Υἱός. Διόπερ οὐδεμία ἀνάγκη παρακρούει ἡμᾶς τρεῖς θεοὺς εἰπεῖν τὰ τρία πρόσωπα, ὥσπερ ἐφ' ἡμῶν πολλοὺς ἀνθρώπους φαμὲν τὰ

1. Πρβλ. Ἰω. 15,26.

πολλὰ πρόσωπα διὰ τὰς εἰρημένας αἰτίας[α]. Ὅτι δὲ διὰ τὰς εἰρημένας αἰτίας καὶ οὐ κατὰ λόγον ἀναγκαῖόν φαμεν τὰ πολλὰ πρόσωπα τοῦ ἀνθρώπου πολλοὺς ἀνθρώπους, ἐντεῦθεν γένοιτ' ἂν δῆλον· τὸ αὐτὸ κατὰ τὸ αὐτὸ ἓν καὶ πολλὰ οὐ δύναται εἶναι· ἔστι δὲ Πέτρος καὶ Παῦλος καὶ Βαρνάβας ὁμολογουμένως κατὰ τὸ ἄνθρωπος εἷς ἄνθρωπος· κατὰ τὸ αὐτὸ ἄρα, τουτέστι κατὰ τὸ ἄνθρωπος, πολλοὶ οὐ δύνανται εἶναι. Λέγονται δὲ πολλοὶ ἄνθρωποι καταχρηστικῶς δηλονότι καὶ οὐ κυρίως· τὸ δὲ καταχρηστικῶς λεγόμενον διαφθείρειν οὐκ ἄξιον οὐδὲ ἱκανὸν παρὰ **26** τοῖς εὖ φρονοῦσι τὸ κυρίως τε ὂν καὶ λεγόμενον. Οὐκ ἄρα λεκτέον ἐπὶ τῶν τριῶν προσώπων τῆς θείας οὐσίας τρεῖς θεούς, ἐπεὶ κατὰ τὸ Θεὸς εἷς ἐστι Θεὸς καὶ ὁ αὐτὸς διὰ τὴν ταυτότητα τῆς οὐσίας, ἧς ἐστι τὸ Θεὸς σημαντικὸν κατὰ τὸν εἰρημένον τρόπον.

[181] Εἰ δὲ λέγοι τις, ὅτιπερ ἡ Γραφὴ συναριθμεῖ τρεῖς ἄνδρας[1] λέγουσα, κατὰ περιουσίαν ἐκ τῶν ἡμετέρων ἡμᾶς ἐλέγξαι πειρώμενος, οὐκ ὀρθὸς οὐδὲ ὅσιος πέφανται τῆς Γραφῆς ἀκροατὴς ὁ τοιοῦτος· οὗτος γὰρ ἂν οὐδὲ ἐκίνει πρὸς ἡμᾶς λόγους περὶ τοῦ εἰ δεῖ λέγειν τρεῖς θεοὺς τὰ τῆς θείας οὐσίας τρία πρόσωπα συνορῶν μάλιστα, ὅτι Πατέρα καὶ Υἱὸν καὶ Ἅγιον Πνεῦμα διδοῦσα ἡ Γραφὴ καὶ Θεὸν Λόγον, Θεὸν μὴ Λόγον (τουτέστι Θεὸν Πατέρα), Θεὸν Ἅγιον Πνεῦμα [Θεὸν] παραδιδοῦσα καθόλου παραιτεῖται τρεῖς θεοὺς εἰπεῖν, ἀσέβειαν ἡγουμένη τὴν πολυθεΐαν καὶ ἕνα Θεὸν διόλου κηρύττουσα μήτε τὰ πρόσωπα συμφύρουσα μήτε τὴν θεότητα διαιροῦσα[β], φυλάττουσα δὲ μᾶλλον ταυτότητα θεότητος ἐν ἰδιότητι ὑποστάσεων ἤγουν προσώπων τριῶν. Εἰ τοίνυν ὀρθὸς ἦν ὁ τοιοῦτος καὶ τοῦ δικαίου λόγον ἐποιεῖτο, ταῦτα κατανοῶν ἐκ τῆς Γραφῆς τὰ ἴδια κυροῦν οὐκ ἔσπευδεν, ἐπυνθάνετο δὲ μᾶλλον τὴν αἰτίαν μαθεῖν αἰτούμενος, δι' ἣν τρεῖς ἄνδρας λέγει ἡ Γραφὴ καίπερ ἕνα ἄνθρωπον τὴν σύμπασαν φύσιν γινώσκουσα κατὰ τὸ «ἄνθρωπος ὡσεὶ **27** χόρτος αἱ ἡμέραι αὐτοῦ»[2] ἑνικῶς τὸ κοινὸν τῆς φύσεως ἐκφωνήσασα· τὸ προσὸν γὰρ τῷ κοινῷ τῆς φύσεως ἀποφαινομένη καθ' ἑνὸς αὐτὸ εἶπε διὰ τὸ ἕνα γινώσκειν ἄνθρωπον τὸν σύμπαντα ἄνθρωπον καὶ οὐ πολλούς· ἤκουε γὰρ φιλομαθῶς ἐρωτῶν, ὅτι καὶ ἡ Γραφὴ ὡς τροφὸς ἀγαθὴ ἴδια βρέφη γινώσκουσα τοὺς ἀνθρώπους ἔστιν ὅτε συμψελλίζει αὐτοῖς ὡσαύτως χρω-

1. Πρβλ. Γεν. 18,2. 2. Ψαλμ. 102,15.

α. Πρβλ. Μ. Ἀθανασίου, Ἐπιστολή, ὅτι ἡ ἐν Νικαίᾳ Σύνοδος..., ΒΕΠ 31, 166,31-43. PG 25,464A. Διδύμου Ἀλεξανδρέως, Ἀντιρρητικὸς κατ' Εὐνομίου, ΒΕΠ 44,251,28 ἑξ. PG 29,744C. Ἐπιφανίου Κύπρου, Κατὰ αἱρέσεων, PG 42, 13A.

β. Πρβλ. Ὠριγένους, Ἐκ τῶν Ἐξηγητικῶν εἰς τοὺς Θρήνους Ἐκλογαί, PG 14,613D. Μ. Ἀθανασίου, Ὁ πρὸς τοὺς Ἀντιοχεῖς Τόμος, ΒΕΠ 31,125, 10-29. PG 26,800A. Καισαρίου, ἀδελφοῦ τοῦ Γρηγορίου Θεολόγου, Παύσεις καὶ Ἀποκρίσεις. Διάλογος Τρίτος, PG 38,1133.

μένη τισὶ τῶν ὀνομάτων οὐ παρατιτρώσκουσα τὸ τέλειον δηλονότι καὶ τοὺς τροφῆς μεταλαμβάνειν δυναμένους στερεᾶς ἀδικοῦσα· οὐ γὰρ δόγματα τὰ ψελλίσματα ὁριζομένη τὰ τέλεια καταβλάπτει, ἀλλὰ συγκαταβαίνουσα τοῖς νηπίοις δι᾿ εὐσπλαγχνίαν καὶ μιμουμένη τὰ ἐκείνων οὕτως ἀνάγει πρὸς ἑαυτὴν εἰς τελειότητα ἡλικίας ἄγουσα. Ὁρίζεται δὲ ὅμως καὶ δογματίζει τὰ τέλεια κατὰ τὸ ἑαυτῇ πρέπον καὶ τοὺς μαθητευομένους προσῆκον διδάσκεσθαι. Ἀμέλει ὅτι ὦτα καὶ ὀφθαλμοὺς καὶ στόμα καὶ τὰ λοιπὰ δὴ μόρια σωματικὰ λέγουσα ἔχειν τὸν Θεὸν οὐ δόγμα τὸ τοιοῦτο παραδίδωσι σύνθετον ἐκ διαφόρων μελῶν ὁριζομένη τὸ Θεῖον, ἀλλὰ κατὰ τὸν εἰρημένον τρόπον ἐκ μεταφορᾶς τῶν ἡμετέρων λαμβάνουσα τὰ τοιαῦτα πρὸς ἀναγωγήν, ὡς εἶπον, τῶν μὴ ἀμέσως ἐπὶ τὰ ἀσώματα χωρεῖν δυναμένων στερεαῖς τισι καὶ τρανοτάταις ταῖς λέξεσι τὰ δόγματα ἐκτίθεται, πνεῦμα[1] λέγουσα τὸν Θεὸν[α] εἶναι καὶ πανταχοῦ, ἔνθα τις πορευθείη, παρεῖναι τὸ ἁπλοῦν αὐτοῦ καὶ ἀπερίγραπτον τούτους σοφῶς **28** ἐκπαιδεύουσα. Οὕτως καὶ τρεῖς ἄνδρας λέγουσα διὰ συνήθειαν, ἵνα μὴ ξενίζῃ τὸ κοινὸν καὶ ἐν χρήσει τῶν πολλῶν ὑπάρχον, καὶ ἕνα φησὶ δι᾿ ἀκρίβειαν, ἵνα μὴ παρασαλεύσῃ τὸ τέλειον καὶ ἐν τῇ φύσει τῶν πραγμάτων θεωρούμενον· καὶ τὸ μὲν ἡγούμεθα συγκατάβασιν ἐπὶ χρησίμῳ καὶ συμφέροντι τῶν νηπιωδεστέρων γεγενημένην, τὸ δὲ ὁριζόμεθα δόγμα ἐπὶ βεβαιώσει καὶ παραδόσει τῆς τελειότητος ἐκτιθέμενον.

Ἀλλά τινες συζητητικοὶ ὑπάρχοντες καὶ διεγηγερμένοι πρὸς τὸ μηδὲν ἐᾶν ἀναντίρρητον ἐπὶ τῷ καὶ τοὺς λέγοντας καὶ τοὺς ἀκροωμένους, ὡς ἔγωγε φαίην ἄν, φιλοπόνως γυμνάσαι παρορῶντες τὸ παρ᾿ ἡμῶν λελεγμένον καὶ τὸ μὴ δεδομένον ὡς ὁμολογούμενον λαμβάνοντες παραλογισμῷ τε χρώμενοι τὸ δοκοῦν κατασκευάζουσι καί φασιν, ὅτι ὥσπερ λέγομεν ὑπόστασις ὑποστάσεως, ᾗ ὑπόστασις, τουτέστι καθὸ ὑπόστασις, οὐδὲν διαφέρει, καὶ οὐ παρὰ τοῦτο μία ὑπόστασις αἱ πᾶσαι ὑποστάσεις· καὶ πάλιν οὐσία οὐσίας, ᾗ οὐσία, οὐδὲν διαφέρει, καὶ οὐ παρὰ τοῦτο μία οὐσία αἱ πᾶσαι οὐσίαι, οὕτως ἂν εἴποιμεν Θεὸς Θεοῦ, ᾗ Θεός, οὐδὲν διαφέρει, καὶ οὐ διὰ τοῦτο εἷς Θεὸς αἱ τρεῖς ὑποστάσεις, καθ᾿ ὧν τὸ Θεὸς κατηγορεῖται· καὶ πάλιν ἄνθρωπος ἀνθρώπου, ᾗ ἄνθρωπος, οὐδὲν διαφέρει λέγοντες οὐκ ἀναιροῦμεν τὸ τρεῖς ἀνθρώπους εἶναι Πέτρον καὶ Παῦλον καὶ Βαρνάβαν· διαφέρει γὰρ οὐσία οὐσίας οὐ καθὸ οὐσία, ἀλλὰ καθὸ τοιάδε οὐσία καὶ ὑπόστασις ὑποστάσεως καθὸ τοιάδε ὑπόστασις· **29** ὡσαύτως καὶ ἄνθρωπος ἀνθρώπου, ᾗ τοιόσδε ἄνθρωπος, καὶ πάλιν Θεὸς Θεοῦ, ᾗ τοιόσδε Θεός· τὸ δὲ

---

1. Πρβλ. Ἰω. 4,24.

α. Πρβλ. Τατιανοῦ, Λόγος πρὸς Ἕλληνας, ΒΕΠ 4,244,15-29. PG 6,813A. Ὠριγένους, Περὶ ἀρχῶν, PG 11,125A. 236C. Εὐσεβίου Καισαρείας, Τῆς Ἐκκλησιαστικῆς Θεολογίας Γ,3, ΒΕΠ 29,144,23-37. PG 24,1001B.

τοιόσδε ἢ τοιόσδε ἐπὶ δύο ἢ καὶ πλειόνων εἴωθε λέγεσθαι. Ἀλλὰ ταῦτα μέν, ὡς εἴπομεν, ἐκεῖνοι λέγουσιν· ἡμεῖς δὲ δείξομεν σόφισμα τὸ πᾶν εἶναι καὶ οὐδὲν ἕτερον τὸ λελεγμένον, οὐδαμῶς ἄλλως περιγινόμενοι ἀλλ' ἢ αὐτοῖς τοῖς εἰρημένοις κεχρημένοι καὶ δεικνύντες μὴ δεῖν τὸν τοιόνδε Θεὸν καὶ τοιόνδε Θεὸν ἢ τοιόνδε ἄνθρωπον καὶ τοιόνδε λέγειν· ἀλλ' εἰ ἄρα τοιάνδε ὑπόστασιν Θεοῦ καὶ τοιάνδε ὑπόστασιν ἀνθρώπου· πολλὰς γὰρ ὑποστάσεις τοῦ ἑνὸς ἀνθρώπου καὶ τρεῖς ὑποστάσεις τοῦ ἑνὸς Θεοῦ φαμεν δικαίως. Τὸ μὲν οὖν τοιόσδε λεγόμενον διακρῖναι βούλεται τί τινος κοινωνοῦντος κατ' ἐκεῖνο τοὔνομα, ᾧ τὸ τοιόσδε προστίθεται· οἷον ζῷον τοιόνδε φαμὲν τὸν ἄνθρωπον διακρῖναι βουλόμενοι τοῦ ἵππου, **[184]** φέρε εἰπεῖν, κοινωνοῦντος αὐτῷ κατὰ τοὔνομα τοῦ ζῴου, διαφέροντος δὲ τῷ λογικῷ καὶ τῷ ἀλόγῳ[α]. Διακρίνεται δέ τί τινος ἢ οὐσίᾳ ἢ ὑποστάσει ἢ οὐσίᾳ καὶ ὑποστάσει· καὶ οὐσίᾳ μὲν διακέκριται ὁ ἄνθρωπος τοῦ ἵππου, ὑποστάσει δὲ Παῦλος Πέτρου, οὐσίᾳ δὲ καὶ ὑποστάσει ἥδε ἡ ὑπόστασις τοῦ ἀνθρώπου τῆσδε τῆς ὑποστάσεως τοῦ ἵππου. Ἀλλὰ φανερουμένου τοῦ λόγου τῶν κατ' οὐσίαν ἁπλῶς καὶ τῶν καθ' ὑπόστασιν καὶ οὐ κατ' οὐσίαν διαφερόντων πρόδηλος ἔσται καὶ ὁ περὶ τῶν κατ' οὐσίαν ἅμα καὶ ὑπόστασιν διακεκριμένων. Περὶ τούτων οὖν ἡμῖν ἐξεταζέσθω ὁ λόγος· ὅτι μὲν γὰρ καὶ τὰ διαφέροντα κατ' οὐσίαν λέγονται δύο ἢ τρεῖς οὐσίαι καὶ τὰ διαφέροντα καθ' ὑπόστασιν ὡσαύτως λέγονται δύο καὶ τρεῖς ὑποστάσεις, **30** ὁμολογοῦσι καὶ αὐτοὶ καὶ ἡμεῖς· διαφερόμεθα δέ, ὅτι ἐπὶ μὲν Πέτρου καὶ Παύλου φασὶ δεῖν ⟨δύο⟩ λέγειν ἀνθρώπους, ἡμεῖς δὲ οὐ κυρίως μέντοι καὶ κατὰ τὸν ἐπιστημονικὸν λόγον· οὐδὲ εἷς γὰρ νῦν ἡμῖν λόγος περὶ κοινῆς καὶ καταχρηστικῆς χρήσεως· αὕτη γὰρ οὔτε πρὸς ἀναίρεσίν τινος οὔτε πρὸς σύστασιν ἰσχύει. Σαφηνιζέσθω τοιγαροῦν πρότερον ἡμῖν, τὸν ἄνθρωπον καὶ τὸν ἵππον ἢ τὸν ἵππον καὶ τὸν κύνα τίνος χάριν διαφέρειν λέγομεν καθὸ τοιάσδε οὐσίας. Ἢ πρόδηλον ὅτι ἐπειδὴ διαφέρουσιν ἀλλήλων κατὰ τὰ χαρακτηρίζειν οὐσίας εἰωθότα, οἷον λογικῷ καὶ ἀλόγῳ, χρεμετιστικῷ, ὑλακτικῷ καὶ εἴ τινι τοιούτῳ. Τῷ γὰρ λέγειν οὐσίαν τοιάνδε οὐδὲν ἕτερον λέγομεν ἢ ὕπαρξιν ζωῆς μετέχουσαν πρὸς ἀντιδιαστολὴν τῆς μὴ τοιαύτης, ὕπαρξιν λογικεύεσθαι πεφυκυῖαν πρὸς διάκρισιν ἀλογίᾳ διαφερούσης, ὕπαρξιν τὸ χρεμετιστικὸν ἔχουσαν χαρακτηριστικόν, καὶ εἴ τι τοιοῦτον[β]. Ἀντὶ γὰρ τοιούτων διαφορῶν καὶ ἰδίων προστίθεται τῇ οὐσίᾳ ἢ καὶ παντὶ γένει πρὸς διάκρισιν τῶν ὑπ' αὐτὸ εἰδῶν τὸ τοιάδε καὶ τοιόνδε οἷον τοιάδε οὐσία ἀντὶ τοῦ αἰσθητικὴ ἢ ἀναίσθητος, τοιόνδε ζῷον ἀντὶ τοῦ λογικὸν ἢ ἄλογον. Καὶ πάλιν λέγομεν·

α. Πρβλ. Μ. Ἀθανασίου, Κατὰ αἱρέσεων διαφόρων λόγοι, ΒΕΠ 37,49, 6-14. PG 28,1361B.

β. (στ. 31-35). Πρβλ. Ὠριγένους, Περὶ εὐχῆς, ΒΕΠ 10,282,23-40. PG 11, 512A-C. Μ. Ἀθανασίου, Ἐπιστολὴ τῶν κατ' Αἴγυπτον καὶ Λιβύην ἐπισκόπων, ΒΕΠ 31,223,26-40. PG 26,1036B. Πλάτ. Πολιτ. 509B.

διαφέρει Παῦλος Πέτρου, καθὸ τοιάδε ὑπόστασις ἑκάστῳ αὐτῶν, ἐπειδὴ διαφέρουσιν ἀλλήλων κατά τινα τῶν ὑπόστασιν καὶ οὐκ οὐσίαν συνιστᾶν πεφυκότων, οἷον φαλακρότητι, μακρότητι, πατρότητι, υἱότητι καὶ εἴ τινι **31** τοιούτῳ· πρόδηλον γάρ, ὡς οὐ ταὐτὸν εἶδος καὶ ἄτομον[α], τουτέστιν οὐσία καὶ ὑπόστασις· λέγων γάρ τις ἄτομον, τουτέστιν ὑπόστασιν, εὐθὺς τὴν διάνοιαν τοῦ ἀκροωμένου παραπέμπει πρὸς τὸ ζητῆσαι οὖλον, γλαυκόφθαλμον, υἱόν, πατέρα καὶ εἴ τι ὅμοιον· λέγων δὲ εἶδος, τουτέστιν οὐσίαν[β], πρὸς τὸ γνῶναι δηλονότι, ζῷον λογικόν, θνητόν, νοῦ καὶ ἐπιστήμης δεκτικόν, ζῷον ἄλογον, θνητόν, χρεμετιστικὸν καὶ τὰ τοιαῦτα. Εἰ δὲ μὴ ταὐτὸν οὐσία καὶ ἄτομον[γ], ὅπερ ἐστὶν ὑπόστασις, οὐδὲ ταὐτὰ τὰ χαρακτηρίζοντα ταύτην τε κἀκείνην. Εἰ δὲ καὶ ταῦτα οὐ ταὐτά, οὐδὲ τοῖς αὐτοῖς ὀνόμασι δυνατὸν συνάπτεσθαι· ἀλλὰ τὰ μὲν τοῖς κατ' οὐσίας ἢ οὐσιῶν κειμένοις, τὰ δὲ τοῖς κατὰ ἄτομον λεγομένοις. **[185]** Τρία τοίνυν ἐστὶν ὀνόματα, περὶ ὧν ἡ ζήτησις· οὐσία, ἄτομον, ἄνθρωπος. Καὶ τῇ μὲν οὐσίᾳ συνάπτομεν τὸ τοιάδε πρὸς διάκρισιν, ὡς εἶπον, τῶν ὑπ' αὐτὴν εἰδῶν κατ' οὐσίαν ἀλλήλων διαφερόντων· τῇ δὲ ὑποστάσει πάλιν ὁμοίως τὸ τοιάδε συζεύγνυμεν πρὸς διαίρεσιν προσώπων τῶν ἀλλήλοις κοινωνούντων τούτου τοῦ ὀνόματος, τουτέστι τῆς ὑποστάσεως, καὶ διαφερόντων ἀλλήλων οὐ τοῖς οὐσίαν χαρακτηρίζουσιν, ἀλλὰ τοῖς λεγομένοις συμβεβηκόσιν. Τίνι οὖν βούλονται τρόπῳ συνάψαι τῷ ἄνθρωπος ὀνόματι τὸ τοιόσδε; (ἐκ γὰρ τῶν κοινῶς ὁμολογουμένων τὰ ἀμφιβαλλόμενα δέχεται τὴν λύσιν·) ὡς τῇ οὐσίᾳ; ἔσται οὖν τὰ ὑπ' αὐτὸν οὐσιώδει διαφορᾷ διακεκριμένα ἀλλήλων; Ὅπερ οὐκ ἔστιν· οὐδὲν γὰρ διαφέρει κατ' οὐσίαν Παῦλος Πέτρου, καθ' ὧν κατηγορεῖται τὸ ἄνθρωπος. Ἀλλ' ὡς τῇ ὑποστάσει; Προσώπου ἄρα δηλωτικὸν τὸ ἄν**32**θρωπος καὶ οὐκ οὐσίας, ὅπερ ἄτοπον λέγειν· τὸ κοινὸν γὰρ τῆς οὐσίας σημαίνει τὸ ἄνθρωπος καὶ οὐκ ἰδικὸν πρόσωπον, Παύλου, φέρε εἰπεῖν, ἢ Βαρνάβα. Οὐκ ἄρα οὐδενὶ τρόπῳ τὸ τοιόσδε συνάπτεται τῷ ἄνθρωπος κατά γε τὸν ἐπιστημονικὸν λόγον. Εἰ δὲ ἡ κοινὴ χρῆσις ἀπορεῖ τούτου καὶ κατακέχρηται τοῖς τῆς οὐσίας ὀνόμασι εἰς προσώπου δήλωσιν, οὐδὲν πρὸς τὸν ἀκριβῆ κανόνα τῆς λογικῆς ἐπιστήμης. Ἀλλὰ τί κατατρέχω τῆς συνήθους καταχρήσεως ἀπορούσης εἰς τὰ τοιαῦτα λανθάνων, ὅτι καὶ οἱ ἐπιστημονικοὶ τῶν λόγων λόγοις προσφόροις φράσαι τὸ νοηθὲν πολλάκις οὐκ εὐποροῦντες ἑτέροις καὶ αὐτοὶ καταχρηστικοῖς χρῶνται ὀνόμασι πρὸς παράστασιν τοῦ λεγομένου; Πλὴν ἐκεῖνο σαφὲς ἡμῖν ἔστω, ὅτιπερ, εἰ ἐλέγομεν ἐπὶ Πέτρου καὶ Παύλου ἄνθρωπος ἀνθρώπου, ἢ ἄνθρωπος, οὐδὲν διαφέρει, ἀλλ' ἢ τοιόσδε ἄνθρωπος, καὶ οὐσία

α. Πρβλ. Ἀριστ., Μεταφυσικὰ Η 1 1042α 12. Κλήμεντος Ἀλεξανδρέως, Στρωματεῖς Η, VI, ΒΕΠ 8,310,17-28. PG 9,585D.

β. Πρβλ. Ἀριστ., Περὶ φυτῶν Α 816α 14. Ἱστορίαι ζῴων 490b 18,33. Περὶ ζῴων μορίων Α 5 645b 25.

γ. Πρβλ. Ἀριστ., Περὶ ζῴων μορίων Α 4, 644α 29.

οὐσίας, ἢ οὐσία, οὐδὲν διαφέρει, ἀλλ' ἢ τοιάδε οὐσία, λέγειν ἐπ' αὐτῶν ἠδυνάμεθα. Εἰ δὲ τοῦτο λέγειν μὴ δυνατόν, ἐπεὶ μία καὶ ἡ αὐτὴ οὐσία Πέτρου καὶ Παύλου, οὐδὲ ἄρα οὐδὲ ἐκεῖνο, ἐπείπερ οὐσίας δηλωτικὸν τὸ ἄνθρωπος ὄνομα· εἰ δὲ τὸ τοιόσδε καὶ τοιόσδε οὐκ ἀκόλουθον συνάψαι τῷ ἄνθρωπος ὀνόματι, οὐδ' ἄρα οὐδὲ δύο ἢ τρεῖς κυρίως λέγομεν ἀνθρώπους. Καὶ εἰ ἐπὶ τοῦ ἀνθρώπου ταῦτα δέδεικται, πόσῳ μᾶλλον ἐπὶ τῆς ἀϊδίου καὶ θείας οὐσίας κυριώτερον ἁρμόσει τὸ μὴ τοιόνδε Θεὸν καὶ τοιόνδε λέγεσθαι τῶν ὑποστάσεων ἑκάστην μηδὲ Θεὸν καὶ Θεὸν καὶ Θεὸν ἐκφωνεῖσθαι τὸν Πατέρα καὶ τὸν Υἱὸν καὶ τὸ Ἅγιον Πνεῦμα μηδὲ τρεῖς θεούς, κἂν τῇ ἐνθυμήσει, δογματίζεσθαι.

33 Συνέστηκεν ἄρα τῷ πρὸς ἡμῶν καὶ δικαίῳ καὶ ἀκολούθῳ καὶ ἐπιστημονικωτάτῳ λόγῳ, ὡς ἕνα Θεόν φαμεν τὸν τῶν ἁπάντων δημιουργόν, εἰ καὶ ἐν τρισὶ προσώποις ἤγουν ὑποστάσεσι θεωρεῖται —Πατρὸς καὶ Υἱοῦ καὶ Ἁγίου Πνεύματος.

ΠΕΡΙ ΤΟΥ ΜΗ ΟΙΕΣΘΑΙ ΛΕΓΕΙΝ ΤΡΕΙΣ ΘΕΟΥΣ ΠΡΟΣ ΑΒΛΑΒΙΟΝ *

37 **[116]** Ὑμᾶς μὲν δίκαιόν ἐστι, τοὺς ἀκμάζοντας ἐν πάσῃ δυνάμει κατὰ τὸν ἔσω ἄνθρωπον, πρὸς τοὺς ἐναντίους τῆς ἀληθείας διαγωνίζεσθαι καὶ μὴ κατοκνεῖν πρὸς τοὺς πόνους, ὅπως ἂν ἡμεῖς οἱ πατέρες τοῖς γενναίοις ἱδρῶσι τῶν τέκνων ἐπευφραινώμεθα· τοῦτο γὰρ ὁ τῆς φύσεως ὑποτίθεται νόμος· ἐπεὶ δὲ ἀναστρέψας τὴν τάξιν ἐφ' ἡμᾶς τρέπεις τὰς προσβολὰς τῶν ἀκίδων, αἷς οἱ ἀντικείμενοι τῇ ἀληθείᾳ βάλλουσι, καὶ κελεύεις τῷ θυρεῷ τῆς πίστεως[1] παρ' ἡμῶν τῶν γερόντων κατεσβέννυσθαι τοὺς ἐρημικοὺς ἄνθρακας καὶ ἀποπέμπεσθαι τὰ ἠκονημένα τῆς ψευδωνύμου γνώσεως βέλη[2], δεχόμεθα τὸ ἐπίταγμα, σοὶ τύπος τῆς εὐπειθείας γινόμενοι, ὡς ἂν καὶ αὐτὸς ἡμῖν ἀντιπαρέχοις τὴν ἴσην ἐπὶ τῶν ὁμοίων ἐπιταγμάτων ἀντίδοσιν, εἴ ποτέ σε πρὸς τοὺς τοιούτους ἄθλους διαναστήσαιμεν, ὦ γενναῖε τοῦ Χριστοῦ στρατιῶτα Ἀβλάβιε.

38 Ἔστι δὲ οὐ μικρὸς οὗτος ὁ λόγος, ὃν προέτεινας ἡμῖν, οὐδὲ τοιοῦτος ὡς ὀλίγην φέρειν ζημίαν, εἰ μὴ τῆς προσηκούσης ἐξετάσεως τύχοι. Ἀνάγκη γὰρ ἐκ τῆς βίας τοῦ ἐρωτήματος ἑνὶ πάντως τῶν ἀπεμφαινόντων συνενεχθῆναι κατὰ τὸν πρόχειρον νοῦν καὶ ἢ τρεῖς λέγειν θεούς, ὅπερ ἀθέμιτον, ἢ μὴ προσμαρτυρεῖν τῷ Υἱῷ καὶ τῷ Πνεύματι τὴν θεότητα, ὅπερ ἀσεβές τε **[117]** καὶ ἄτοπον. Τὸ δὲ λεγόμενον παρὰ σοῦ τοιοῦτόν ἐστιν· Πέτρος καὶ Ἰάκωβος καὶ Ἰωάννης, ἐν μιᾷ ὄντες τῇ ἀνθρωπότητι, τρεῖς ἄνθρωποι λέγονται· καὶ οὐδὲν ἄτοπον τοὺς συνημμένους κατὰ τὴν φύσιν, εἰ πλείους εἶεν, ἐκ τοῦ τῆς φύσεως ὀνόματος πληθυντικῶς ἀριθμεῖσθαι. Εἰ οὖν ἐκεῖ τοῦτο δίδωσιν ἡ συνήθεια καὶ ὁ ἀπαγορεύων οὐκ ἔστι δύο λέγειν τοὺς δύο καὶ τρεῖς τοὺς ὑπὲρ δύο[α], πῶς, ἐπὶ τῶν μυστικῶν δογμάτων τὰς τρεῖς ὑποστάσεις ὁμολογοῦντες καὶ οὐδεμίαν ἐπ' αὐτῶν τὴν κατὰ φύσιν διαφορὰν ἐννοοῦντες, μαχόμεθα τρόπον τινὰ τῇ ὁμολογίᾳ, μίαν μὲν τὴν θεότητα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος λέγοντες, τρεῖς δὲ θεοὺς λέγειν ἀπαγορεύοντες[β];

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ Fridericus Mueller, Gregorii Nysseni, Opera Dogmatica Minora (Greg. N. op. W. Jaeger), vol III, I, σσ. 37-57, Leiden, E. J. Brill, 1958. [J.-P. Migne τ. 45, στ. 116-136].

1. Πρβλ. Ἐφ. 6,16. 2. Πρβλ. Ψαλ. 119,4.

α. Πρβλ. Μ. Ἀθανασίου, Κατὰ Ἀρειανῶν, λόγ. Β', ΒΕΠ 30,263,7 ἑξ. PG 26,353C.

β. Πρβλ. Μ. Ἀθανασίου, Ἐπιστολή, ὅτι ἡ ἐν Νικαίᾳ Σύνοδος..., ΒΕΠ 31, 166,31 ἑξ. PG 25,464A. Πρὸς Σεραπίωνα, Θμούεως Ἐπίσκοπον, ΒΕΠ 33, 132,30 ἑξ. PG 26,636B.

Ὁ μὲν οὖν λόγος, καθὰ προέφην, πολὺ τὸ δυσμεταχείριστον ἔχει· ἡμεῖς δέ, εἰ μέν τι τοιοῦτον εὕροιμεν, δι' οὗ τὸ ἀμφίβολον τῆς διανοίας ἡμῶν ἐρεισθήσεται, μηκέτι πρὸς τὸ διλήμματον τῆς ἀτοπίας ἐπιδιστάζον καὶ κραδαινόμενον, **39** εὖ ἂν ἔχοι· εἰ δὲ καὶ ἀτονώτερος ἐλεγχθείη τοῦ προβλήματος ὁ ἡμέτερος λόγος, τὴν μὲν παράδοσιν ἣν παρὰ τῶν πατέρων[α] διεδεξάμεθα φυλάξομεν εἰς ἀεὶ βεβαίαν τε καὶ ἀκίνητον, τὸν δὲ συνήγορον τῆς πίστεως λόγον παρὰ τοῦ Κυρίου ζητήσομεν· ὃς εἰ μὲν εὑρεθείη παρά τινος τῶν ἐχόντων τὴν χάριν, εὐχαριστήσομεν τῷ δεδωκότι τὴν χάριν· εἰ δὲ μή, οὐδὲν ἧττον ἐπὶ τῶν ἐγνωσμένων τὴν πίστιν ἀμετάθετον ἕξομεν.

Τί δήποτε τοίνυν ἐν τῇ καθ' ἡμᾶς συνηθείᾳ καθ' ἕνα τοὺς ἐν τῇ φύσει τῇ αὐτῇ δεικνυμένους ἀπαριθμήσαντες πληθυντικῶς ὀνομάζομεν, τοσούσδε λέγοντες τοὺς ἀνθρώπους καὶ οὐχὶ ἕνα τοὺς πάντας, ἐπὶ δὲ τῆς θείας φύσεως ἐκβάλλει τὸ πλῆθος τῶν θεῶν ὁ τοῦ δόγματος λόγος, καὶ ἀριθμῶν τὰς ὑποστάσεις καὶ τὴν πληθυντικὴν σημασίαν οὐ προσδεχόμενος;

Ἔστι μὲν οὖν κατὰ τὸ πρόχειρον τοῦτο τοῖς ἁπλουστέροις εἰπόντα δόξαι τι λέγειν, ὅτι φεύγων ὁ λόγος τῆς ἑλληνικῆς πολυθεΐας τὴν ὁμοιότητα θεοὺς ἐν πλήθει ἀριθμεῖν παρῃτήσατο, ὡς ἂν μή τις καὶ τῶν δογμάτων νομισθείη κοινότης, εἰ μὴ μοναδικῶς ἀλλὰ πληθυντικῶς καὶ παρ' ἡμῶν ἀριθμοῖτο τὸ θεῖον καθ' ὁμοιότητα τῆς παρ' αὐτοῖς συνηθείας. Τοῦτο δὲ τοῖς μὲν ἀκεραιοτέροις λεγόμενον ἴσως ἄν τι δόξειε λέγεσθαι, ἐπὶ δέ γε τῶν τὸ ἕτερον αὐτοῖς τῆς προτάσεως στῆναι ζητούντων ἢ μὴ ὁμολογεῖν ἐπὶ τῶν τριῶν τὴν θεότητα ἢ τρεῖς πάντως ὀνομάζειν τοὺς τῆς αὐτῆς κοινωνοῦντας **40** θεότητος[β], οὔπω τοιοῦτόν ἐστι τὸ εἰρημένον, οἷον ἐμποιῆσαι λύσιν τινὰ τοῦ ζητήματος. Οὐκοῦν ἐπάναγκες διὰ πλειόνων ποιήσασθαι τὴν ἀπόκρισιν, ὅπως ἂν οἷόν τε ᾖ, τὸ ἀληθὲς ἀνιχνεύοντας· οὐ γὰρ περὶ τῶν τυχόντων ὁ λόγος.

Φαμὲν τοίνυν πρῶτον μὲν κατάχρησίν τινα συνηθείας εἶναι τὸ τοὺς μὴ διῃρημένους τῇ φύσει κατ' αὐτὸ τὸ τῆς φύσεως ὄνομα πληθυντικῶς ὀνομάζειν καὶ λέγειν ὅτι πολλοὶ ἄνθρωποι, ὅπερ ὅμοιόν ἐστι τῷ λέγειν ὅτι πολλαὶ φύσεις ἀνθρώπιναι. Καὶ ὅτι ταῦτα οὕτως ἔχει, δῆλον **[120]** ἂν ἡμῖν ἐντεῦθεν γένοιτο· προσκαλούμενοι γάρ τινα, οὐκ ἐκ τῆς φύσεως αὐτὸν ὀνομάζομεν, ὡς ἂν μή τινα πλάνην ἡ κοινότης τοῦ ὀνόματος ἐμποιήσειν, ἑκάστου τῶν ἀκουόντων ἑαυτὸν εἶναι τὸν προσκληθέντα νομίζοντος, ὅτι μὴ τῇ ἰδιαζούσῃ προσηγορίᾳ, ἀλλ' ἐκ τοῦ κοινοῦ τῆς φύσεως ὀνόματος ἡ κλῆσις γίνεται· ἀλλὰ τὴν ἰδίως ἐπικειμένην αὐτῷ (τὴν σημαντικὴν λέγω τοῦ ὑποκειμένου) φωνὴν

α. Πρβλ. Μ. Βασιλείου, Περὶ τοῦ Ἁγ. Πνεύματος πρὸς τὸν ἐν ἁγίοις Ἀμφιλόχιον, ἐπίσκοπον Ἰκονίου, ΒΕΠ 52,243,20. Γρηγορίου Νύσσης, Κατὰ Εὐνομίου, λόγ. Α', ΒΕΠ 67,63,10-15.

β. Πρβλ. Μ. Βασιλείου, Περὶ τοῦ Ἁγ. Πνεύματος ὅτι οὐ κτίσμα, λόγ. Ε', ΒΕΠ 44,251,30. PG 29,744C.

εἰπόντες, οὕτως αὐτὸν τῶν πολλῶν ἀποκρίνομεν, ὥστε πολλοὺς μὲν εἶναι τοὺς μετεσχηκότας τῆς φύσεως, φέρε εἰπεῖν μαθητὰς ἢ ἀποστόλους ἢ μάρτυρας, ἕνα δὲ ἐν πᾶσι τὸν ἄνθρωπον, εἴπερ, καθὼς εἴρηται, οὐχὶ τοῦ καθ' ἕκαστον, ἀλλὰ τοῦ κοινοῦ τῆς φύσεώς ἐστιν ὁ ἄνθρωπος· ἄνθρωπος γὰρ ὁ Λουκᾶς ἢ ὁ Στέφανος, οὐ μήν, εἴ τις ἄνθρωπος, πάντως καὶ Λουκᾶς ἐστιν ἢ Στέφανος.

Ἀλλ' ὁ μὲν τῶν ὑποστάσεων λόγος διὰ τὰς ἐνθεωρουμένας **41** ἰδιότητας ἑκάστῳ τὸν διαμερισμὸν ἐπιδέχεται καὶ κατὰ σύνθεσιν ἐν ἀριθμῷ θεωρεῖται· ἡ δὲ φύσις μία ἐστίν, αὐτὴ πρὸς ἑαυτὴν ἡνωμένη καὶ ἀδιάτμητος ἀκριβῶς μονάς, οὐκ αὐξανομένη διὰ προσθήκης, οὐ μειουμένη δι' ὑφαιρέσεως, ἀλλ' ὅπερ ἐστὶν ἓν οὖσα καὶ ἓν διαμένουσα κἂν ἐν πλήθει φαίνηται, ἄσχιστος καὶ συνεχὴς καὶ ὁλόκληρος καὶ τοῖς μετέχουσιν αὐτῆς τοῖς καθ' ἕκαστον οὐ συνδιαιρουμένη. Καὶ ὥσπερ λέγεται λαὸς καὶ δῆμος καὶ στράτευμα καὶ Ἐκκλησία μοναχῶς πάντα, ἕκαστον δὲ τούτων ἐν πλήθει νοεῖται· οὕτω κατὰ τὸν ἀκριβέστερον λόγον καὶ ἄνθρωπος εἷς κυρίως ἂν ῥηθείη, κἂν οἱ ἐν τῇ φύσει τῇ αὐτῇ δεικνύμενοι πλῆθος ὦσιν, ὡς πολὺ μᾶλλον καλῶς ἔχειν τὴν ἐσφαλμένην ἐφ' ἡμῶν ἐπανορθοῦσθαι συνήθειαν εἰς τὸ μηκέτι τὸ τῆς φύσεως ὄνομα πρὸς πλῆθος ἐκτείνειν ἢ ταύτῃ δουλεύοντας τὴν ὧδε πλάνην καὶ ἐπὶ τὸ θεῖον δόγμα μεταβιβάζειν. Ἀλλ' ἐπειδὴ ἀμήχανος τῆς συνηθείας ἡ ἐπανόρθωσις (πῶς γὰρ ἄν τις πεισθείη μὴ πολλοὺς λέγειν ἀνθρώπους τοὺς ἐν τῇ φύσει τῇ αὐτῇ δεικνυμένους; δυσμετάθετον γὰρ ἐπὶ παντὸς ἡ συνήθεια), ἐπὶ μὲν τῆς κάτω φύσεως τῇ κρατούσῃ συνηθείᾳ μὴ ἀντιβαίνοντες οὐδὲν ἂν τοσοῦτον ἁμάρτοιμεν, μηδεμιᾶς οὔσης ζημίας ἐκ **42** τῆς ἡμαρτημένης τῶν ὀνομάτων χρήσεως· ἐπὶ δὲ τοῦ θείου δόγματος οὐκέτι ὁμοίως ἀκίνδυνος ἡ ἀδιάφορος χρῆσις τῶν ὀνομάτων· οὐ γὰρ μικρὸν ἐνταῦθα τὸ παρὰ μικρόν.

Οὐκοῦν εἷς ἡμῖν ὁμολογητέος Θεὸς κατὰ τὴν γραφικὴν μαρτυρίαν «ἄκουε, Ἰσραήλ· Κύριος ὁ Θεός σου Κύριος εἷς ἐστι»[1], κἂν ἡ φωνὴ τῆς θεότητος διήκῃ διὰ τῆς Ἁγίας Τριάδος. Ταῦτα δὲ λέγω κατὰ τὸν ἀποδοθέντα ἡμῖν ἐπὶ τῆς ἀνθρωπίνης φύσεως λόγον, ἐν ᾧ μεμαθήκαμεν μὴ δεῖν πληθυντικῷ χαρακτῆρι τὴν προσηγορίαν πλατύνειν τῆς φύσεως. Ἀκριβέστερον δὲ ἡμῖν αὐτὸ τὸ ὄνομα τῆς θεότητος ἐξεταστέον, ὅπως ἂν διὰ τῆς ἐγκειμένης τῇ φωνῇ σημασίας γένοιτό τις συνεργία πρὸς τὴν τοῦ προκειμένου σαφήνειαν.

Δοκεῖ μὲν οὖν τοῖς πολλοῖς ἰδιαζόντως **[121]** κατὰ τῆς φύσεως ἡ φωνὴ τῆς θεότητος κεῖσθαι καὶ ὥσπερ ὁ οὐρανὸς ἢ ὁ ἥλιος ἢ ἄλλο τι τῶν τοῦ κόσμου στοιχείων ἰδίαις φωναῖς διασημαίνεται ταῖς τῶν ὑποκειμένων σημαντικαῖς, οὕτω φασὶ καὶ ἐπὶ τῆς ἀνωτάτω καὶ θείας φύσεως ὥσπερ τι κύριον ὄνομα προσφυῶς ἐφηρμόσθαι τῷ δηλουμένῳ τὴν φωνὴν τῆς θεότητος. Ἡμεῖς δὲ ταῖς τῆς Γραφῆς ὑποθήκαις ἐπό-

1. Δευτ. 6,4.

μενοι ἀκατονόμαστόν τε καὶ ἄφραστον αὐτὴν μεμαθήκαμεν· καὶ πᾶν ὄνομα, εἴτε παρὰ τῆς ἀνθρωπίνης συνηθείας ἐξηύρηται εἴτε παρὰ τῶν Γραφῶν παραδέδοται, τῶν περὶ τὴν θείαν **43** φύσιν νοουμένων ἑρμηνευτικὸν εἶναι λέγομεν, οὐκ αὐτῆς τῆς φύσεως περιέχειν τὴν σημασίαν.

Καὶ οὐ πολλῆς ἄν τις δεηθείη πραγματείας πρὸς τὴν ἀπόδειξιν τοῦ ταῦτα οὕτως ἔχειν. Τὰ μὲν γὰρ λοιπὰ τῶν ὀνομάτων, ὅσα ἐπὶ τῆς κτίσεως κεῖται, καὶ δίχα τινὸς ἐτυμολογίας εὕροι τις ἂν κατὰ τὸ συμβὰν ἐφηρμοσμένα τοῖς ὑποκειμένοις, ἀγαπώντων ἡμῶν ὁπωσοῦν τὰ πράγματα διὰ τῆς ἐπ' αὐτῶν φωνῆς σημειώσασθαι πρὸς τὸ ἀσύγχυτον ἡμῖν γίνεσθαι τῶν σεσημειωμένων τὴν γνῶσιν. Ὅσα δὲ πρὸς ὁδηγίαν τῆς θείας κατανοήσεώς ἐστιν ὀνόματα, ἰδίαν ἔχει ἕκαστον ἐμπεριειλημμένην διάνοιαν καὶ οὐκ ἂν χωρὶς νοήματός τινος οὐδεμίαν εὕροις φωνὴν ἐν τοῖς θεοπρεπεστέροις τῶν ὀνομάτων, ὡς ἐκ τούτου δείκνυσθαι μὴ αὐτὴν τὴν θείαν φύσιν ὑπό τινος τῶν ὀνομάτων σεσημειῶσθαι, ἀλλά τι τῶν περὶ αὐτὴν διὰ τῶν λεγομένων γνωρίζεσθαι[α]. Λέγομεν γὰρ εἶναι τὸ Θεῖον ἄφθαρτον, εἰ οὕτω τύχοι, ἢ δυνατὸν ἢ ὅσα ἄλλα σύνηθές ἐστι λέγειν. Ἀλλ' εὑρίσκομεν ἑκάστου τῶν ὀνομάτων ἰδιάζουσαν ἔμφασιν πρέπουσαν περὶ τῆς θείας φύσεως νοεῖσθαι καὶ λέγεσθαι, οὐ μὴν ἐκεῖνο σημαίνουσαν, ὅ ἐστι κατ' οὐσίαν ἡ φύσις· αὐτὸ γὰρ ὅ τί ποτέ ἐστιν, ἄφθαρτόν ἐστιν· ἡ δὲ τοῦ ἀφθάρτου ἔννοια αὕτη, τὸ μὴ εἰς φθορὰν τὸ ὂν διαλύεσθαι[β]. Οὐκοῦν ἄφθαρτον εἰπόντες, ὃ μὴ πάσχει ἡ φύσις, εἴπομεν· τί δέ ἐστι τὸ τὴν φθορὰν μὴ πάσχον, οὐ παρεστήσαμεν. Οὕτω κἂν ζωοποιὸν εἴπωμεν, ὃ ποιεῖ διὰ τῆς **44** προσηγορίας σημάναντες τὸ ποιοῦν τῷ λόγῳ οὐκ ἐγνωρίσαμεν. Καὶ τὰ ἄλλα πάντα κατὰ τὸν αὐτὸν λόγον ἐκ τῆς ἐγκειμένης ταῖς θεοπρεπεστέραις φωναῖς σημασίας εὑρίσκομεν, ἢ τὸ μὴ δέον ἐπὶ τῆς θείας φύσεως γινώσκειν ἀπαγορεύοντα ἢ τὸ δέον διδάσκοντα, αὐτῆς δὲ τῆς φύσεως ἑρμηνείαν οὐ περιέχοντα.

Ἐπεὶ τοίνυν τὰς ποικίλας τῆς ὑπερκειμένης δυνάμεως ἐνεργείας κατανοοῦντες ἀφ' ἑκάστης τῶν ἡμῖν γνωρίμων ἐνεργειῶν τὰς προσηγορίας ἁρμόζομεν, μίαν δὲ καὶ ταύτην εἶναι ⟨λέγομεν τοῦ Θεοῦ⟩ τὴν ἐνέργειαν, τὴν ἐποπτικὴν καὶ ὁρατικὴν καί, ὡς ἄν τις εἴποι, θεατικήν, καθ' ἣν τὰ πάντα ἐφορᾷ καὶ πάντα ἐπισκοπεῖ, τὰς ἐνθυμήσεις βλέπων καὶ ἐπὶ τὰ ἀθέατα τῇ θεωρητικῇ δυνάμει διαδυόμενος, ὑπειλήφαμεν ἐκ τῆς θέας τὴν θεότητα παρωνομάσθαι καὶ τὸν θεωρὸν ἡμῶν Θεὸν ὑπό τε τῆς συνηθείας καὶ τῆς τῶν Γραφῶν διδασκαλίας προσαγορεύεσθαι.

Εἰ δὲ συγχωρεῖ **[124]** τις ταὐτὸν εἶναι τὸ θεᾶσθαι τῷ βλέπειν καὶ τὸν ἐφορῶντα πάντα Θεὸν ἔφορον τοῦ παντὸς καὶ εἶναι καὶ λέ-

---

α. [στ. 9-15]. Πρβλ. Μ. Βασιλείου, Ἐπιστολαὶ 210, ΒΕΠ 55,246,19 ἑξ.
β. Πρβλ. Ὠριγένους, Κατὰ Κέλσου Δ', ΒΕΠ 9,242,20. PG 11,1045B. Μ. Ἀθανασίου, Κατὰ Ἑλλήνων, ΒΕΠ 30,50,17-20. PG 25,44D.

γεσθαι, λογισάσθω τὴν ἐνέργειαν ταύτην, πότερον ἑνὶ πρόσεστι τῶν ἐν τῇ Ἁγίᾳ Τριάδι πεπιστευμένων προσώπων ἢ διὰ τῶν τριῶν διήκει ἡ δύναμις. Εἰ γὰρ ἀληθὴς ἡ τῆς θεότητος ἑρμηνεία καὶ τὰ ὁρώμενα θεατὰ καὶ τὸ θεώμενον Θεὸς **45** λέγεται, οὐκέτι ἂν εὐλόγως ἀποκριθείη τι τῶν ἐν τῇ Τριάδι προσώπων τῆς τοιαύτης προσηγορίας διὰ τὴν ἐγκειμένην τῇ φωνῇ σημασίαν. Τὸ γὰρ βλέπειν ἐπίσης μαρτυρεῖ ἡ Γραφὴ καὶ Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι. «Ὑπερασπιστὰ ἡμῶν, ἴδε, ὁ Θεός»[1], φησὶν ὁ Δαβίδ· ἐκ δὲ τούτου μανθάνομεν ἰδίαν Θεοῦ, καθὸ Θεὸς νοεῖται, ἐνέργειαν τὸ ὁρᾶν, ἐκ τοῦ εἰπεῖν *ἴδε, ὁ Θεός*. Ἀλλὰ καὶ ὁ Ἰησοῦς ὁρᾷ τὰς ἐνθυμήσεις τῶν καταγινωσκόντων, διότι συγχωρεῖ τὰς ἁμαρτίας ἐξ αὐθεντίας [τῶν ἀνθρώπων]. Ἰδὼν γάρ, φησίν, ὁ Ἰησοῦς τὰς ἐνθυμήσεις αὐτῶν[2]. Καὶ περὶ τοῦ Πνεύματος λέγει πρὸς τὸν Ἀνανίαν ὁ Πέτρος «ἵνα τί ἐπλήρωσεν ὁ σατανᾶς τὴν καρδίαν σου ψεύσασθαί σε τὸ Πνεῦμα τὸ Ἅγιον;»[3] δεικνὺς ὅτι τῶν ἐν κρυπτῷ τολμωμένων παρὰ τοῦ Ἀνανίου μάρτυς ἦν ἀψευδὴς καὶ ἐπιίστωρ τὸ Πνεῦμα τὸ Ἅγιον, δι' οὗ καὶ τῷ Πέτρῳ τῶν λανθανόντων ἡ φανέρωσις ἦν. Ὁ μὲν γὰρ ἐγένετο κλέπτης αὐτὸς ἑαυτοῦ λανθάνων, ὡς ᾤετο, πάντας καὶ τὴν ἁμαρτίαν ἐπικρυπτόμενος· τὸ δὲ Πνεῦμα τὸ Ἅγιον ὁμοῦ τε ἐν Πέτρῳ ἦν καὶ τὴν ἐκείνου διάνοιαν πρὸς τὴν φιλοχρηματίαν κατασυρεῖσαν ἐφώρασε καὶ δι' ἑαυτοῦ δίδωσι τῷ Πέτρῳ διιδεῖν τὰ **46** λανθάνοντα· οὐκ ἂν δηλονότι τοῦτο ποιοῦν, εἴπερ ἦν τῶν κρυφίων ἀθέατον.

Ἀλλ' οὔπω τις ἐρεῖ πρὸς τὸ ζητούμενον βλέπειν τὴν κατασκευὴν τοῦ λόγου. Οὐδὲ γὰρ εἰ δοθείη κοινὴ τῆς φύσεως ἡ κλῆσις τῆς θεότητος εἶναι, ἤδη τὸ μὴ δεῖν λέγειν θεοὺς διὰ τούτου κατεσκευάσθη. Τοὐναντίον μὲν οὖν ἐκ τούτων ἀναγκαζόμεθα μᾶλλον λέγειν θεούς. Εὑρίσκομεν γὰρ ἐπὶ τῆς ἀνθρωπίνης συνηθείας οὐ μόνον τοὺς τῆς αὐτῆς φύσεως κοινωνοὺς ἀλλά, κἄν τινες τοῦ αὐτοῦ ὦσιν ἐπιτηδεύματος, οὐχ ἑνικῶς τοὺς πολλοὺς μνημονευομένους καθό φαμεν ῥήτοράς τε πολλοὺς καὶ γεωμέτρας γεωργούς τε καὶ σκυτοτόμους καὶ τὰ ἄλλα πάντα ὡσαύτως. Καὶ εἰ μὲν φύσεως ἦν ἡ τῆς θεότητος προσηγορία, μᾶλλον ἂν εἶχε καιρὸν κατὰ τὸν προαποδοθέντα λόγον ἑνικῶς τὰς τρεῖς ὑποστάσεις περιλαμβάνειν καὶ ἕνα Θεὸν λέγειν διὰ τὸ τῆς φύσεως ἄτμητόν τε καὶ ἀδιαίρετον· ἐπεὶ δὲ κατεσκευάσθη διὰ τῶν εἰρημένων ἐνέργειαν σημαίνειν καὶ οὐχὶ φύσιν τὸ τῆς θεότητος ὄνομα, περιτρέπεταί πως πρὸς τοὐναντίον ἐκ τῶν κατασκευαζομένων ὁ λόγος, ὡς δεῖν ταύτῃ μᾶλλον λέγειν τρεῖς θεοὺς τοὺς ἐν τῇ αὐτῇ ἐνεργείᾳ θεωρουμένους· ὥς φασι τρεῖς λέγεσθαι φιλοσόφους ἢ ῥήτορας ἢ εἴ τί **[125]** ἐστιν ἕτερον ἐξ ἐπιτηδεύματος ὄνομα, ὅταν πλείους ὦσιν οἱ τοῦ αὐτοῦ συμμετέχοντες. Ταῦτα φιλοπονώτερον ἐξειργασάμην, τὸν **47** τῶν ὑπεναντίων ἀνθυποφέρων λόγον, ὡς ἂν βεβαιότερον ἡμῖν

1. Ψαλ. 83,10. 2. Πρβλ. Ματθ. 9,4. 3. Πράξ. 5,3.

παγείη τὸ δόγμα ταῖς εὐτονωτέραις τῶν ἀντιθέσεων κρατυνόμενον. Οὐκοῦν ἐπαναληπτέος πάλιν ὁ λόγος.

Ἐπειδὴ μετρίως ἡμῖν ἐκ τῆς κατασκευῆς ἀπεδείχθη οὐ φύσεως, ἀλλ' ἐνεργείας εἶναι τὴν φωνὴν τῆς θεότητος, τάχα ταύτην ἄν τις αἰτίαν εὐλόγως εἴποι τοῦ πληθυντικῶς μὲν ἐπ' ἀνθρώπων τοὺς τῶν αὐτῶν ἐπιτηδευμάτων κοινωνοῦντας ἀλλήλοις ἀριθμεῖσθαι καὶ ὀνομάζεσθαι, μοναδικῶς δὲ τὸ θεῖον ὡς ἕνα Θεὸν καὶ μίαν θεότητα λέγεσθαι, κἂν αἱ τρεῖς ὑποστάσεις τῆς ἐμφαινομένης τῇ θεότητι σημασίας μὴ ἀποκρίνοιντο, ὅτι ἄνθρωποι μέν, κἂν μιᾶς ὦσιν ἐνεργείας οἱ πλείονες, καθ' ἑαυτὸν ἕκαστος ἀποτεταγμένως ἐνεργεῖ τὸ προκείμενον, οὐδὲν ἐπικοινωνῶν ἐν τῇ καθ' ἑαυτὸν ἐνεργείᾳ πρὸς τοὺς τὸ ἴσον ἐπιτηδεύοντας· εἰ γὰρ καὶ πλείονες εἶεν οἱ ῥήτορες, τὸ μὲν ἐπιτήδευμα ἓν ὂν τὸ αὐτὸ ἐν τοῖς πλείοσιν ὄνομα ἔχει, οἱ δὲ μετιόντες καθ' ἑαυτὸν ἕκαστον ἐνεργοῦσιν ἰδίως ῥητορεύων ὁ δεῖνα καὶ ἰδίως ὁ ἕτερος· οὐκοῦν ἐν μὲν τοῖς ἀνθρώποις, ἐπειδὴ διακεκριμένη ἐστὶν ἡ ἐν τοῖς αὐτοῖς ἐπιτηδεύμασιν ἑκάστου ἐνέργεια, κυρίως πολλοὶ ὀνομάζονται, ἑκάστου αὐτῶν εἰς ἰδίαν περιγραφὴν κατὰ τὸ ἰδιότροπον τῆς ἐνεργείας ἀποτεμνομένου τῶν ἄλλων· ἐπὶ δὲ τῆς θείας φύσεως οὐχ οὕτως ἐμάθομεν ὅτι ὁ Πατὴρ ποιεῖ τι καθ' ἑαυτόν, οὗ μὴ συνεφάπτεται ὁ Υἱός, ἢ πάλιν ὁ Υἱὸς ἰδιαζόντως ἐνεργεῖ τι χωρὶς τοῦ Πνεύματος, ἀλλὰ πᾶσα ἐνέργεια ἡ θεόθεν ἐπὶ τὴν κτίσιν διήκουσα καὶ κατὰ τὰς πολυτρόπους **48** ἐννοίας ὀνομαζομένη ἐκ Πατρὸς ἀφορμᾶται καὶ διὰ τοῦ Υἱοῦ πρόεισι καὶ ἐν τῷ Πνεύματι τῷ Ἁγίῳ τελειοῦται. Διὰ τοῦτο εἰς τὸ πλῆθος τῶν ἐνεργούντων τὸ ὄνομα τῆς ἐνεργείας οὐ διασχίζεται, ὅτι οὐκ ἀποτεταγμένη ἑκάστου καὶ ἰδιάζουσά ἐστιν ἡ περί τι σπουδή· ἀλλ' ὅπερ ἂν γίνηται τῶν εἴτε εἰς τὴν ἡμετέραν πρόνοιαν φθανόντων εἴτε πρὸς τὴν τοῦ παντὸς οἰκονομίαν καὶ σύστασιν, διὰ τῶν τριῶν μὲν γίνεται, οὐ μὴν τρία ἐστὶ τὰ γινόμενα.

Νοήσωμεν δὲ τὸ λεγόμενον ἀφ' ἑνός τινος πράγματος, ἀπ' αὐτοῦ λέγω τοῦ κεφαλαίου τῶν χαρισμάτων. Ζωῆς τετύχηκεν, ὅσα μετείληφε τῆς χάριτος ταύτης. Ἐξετάζοντες οὖν πόθεν ἡμῖν τὸ τοιοῦτον γέγονεν ἀγαθόν, εὑρίσκομεν διὰ τῆς τῶν Γραφῶν ὁδηγίας, ὅτι ἐκ Πατρὸς καὶ Υἱοῦ καὶ Πνεύματος Ἁγίου. Ἀλλ' οὐκ, ἐπειδὴ τρία ὑποτιθέμεθα πρόσωπά τε καὶ ὀνόματα, τρεῖς καὶ ζωὰς (ἰδίως μίαν παρ' ἑκάστου αὐτῶν) δεδωρῆσθαι ἡμῖν λογιζόμεθα, ἀλλ' ἡ αὐτὴ ζωὴ καὶ παρὰ τοῦ Ἁγίου Πνεύματος ἐνεργεῖται καὶ παρὰ τοῦ Υἱοῦ ἑτοιμάζεται καὶ τῆς τοῦ Πατρὸς ἐξῆπται βουλήσεως.

Ἐπειδὴ τοίνυν καθ' ὁμοιότητα τοῦ εἰρημένου πᾶσαν ἐνέργειαν οὐ διῃρημένως ἐνεργεῖ κατὰ τὸν τῶν ὑποστάσεων **[128]** ἀριθμὸν ἡ Ἁγία Τριάς, ἀλλὰ μία τις γίνεται τοῦ ἀγαθοῦ θελήματος κίνησίς τε καὶ διάδοσις, ἐκ τοῦ Πατρὸς διὰ τοῦ **49** Υἱοῦ πρὸς τὸ Πνεῦμα διεξαγομένη[α],

α. Πρβλ. Μ. Ἀθανασίου, Πρὸς Σεραπίωνα, Θμούεως Ἐπίσκοπον, ΒΕΠ 33,116,4 ἑξ. PG 26,596A.

ὡς οὐ λέγομεν τρεῖς ζωοποιοὺς τοὺς τὴν μίαν ἐνεργοῦντας ζωὴν οὐδὲ τρεῖς ἀγαθοὺς τοὺς ἐν τῇ αὐτῇ ἀγαθότητι θεωρουμένους οὐδὲ τὰ ἄλλα πάντα πληθυντικῶς ἐξαγγέλλομεν, οὕτως οὐδὲ τρεῖς ὀνομάζειν δυνάμεθα τοὺς τὴν θεϊκὴν ταύτην ἤτοι ἐποπτικὴν δύναμίν τε καὶ ἐνέργειαν συνημμένως καὶ ἀδιακρίτως δι' ἀλλήλων ἐφ' ἡμῶν τε καὶ πάσης τῆς κτίσεως ἐνεργοῦντας. Ὥσπερ γὰρ μαθόντες περὶ τοῦ Θεοῦ τῶν ὅλων τῆς Γραφῆς λεγούσης κρίνειν αὐτὸν πᾶσαν τὴν γῆν[1] κριτὴν τοῦ παντὸς αὐτὸν εἶναι διὰ τοῦτό φαμεν καὶ πάλιν ἀκούσαντες, ὅτι ὁ Πατὴρ κρίνει οὐδένα[2] οὐχ ἡγούμεθα μάχεσθαι πρὸς ἑαυτὴν τὴν Γραφήν· ὁ γὰρ κρίνων πᾶσαν τὴν γῆν διὰ τοῦ Υἱοῦ, ᾧ πᾶσαν δέδωκε τὴν κρίσιν, τοῦτο ποιεῖ· καὶ πᾶν τὸ παρὰ τοῦ Μονογενοῦς γινόμενον εἰς τὸν Πατέρα τὴν ἀναφορὰν ἔχει, ὥστε καὶ κριτὴν αὐτὸν τοῦ παντὸς εἶναι καὶ κρίνειν μηδένα διὰ τὸ πᾶσαν, ὡς εἴρηται, τὴν κρίσιν τῷ Υἱῷ δεδωκέναι καὶ πᾶσαν τὴν τοῦ Υἱοῦ κρίσιν τοῦ πατρικοῦ μὴ ἀπηλλοτριῶσθαι βουλήματος· καὶ οὐκ ἄν τις εὐλόγως ἢ δύο κριτὰς εἴποι ἢ τὸν ἕτερον ἠλλοτριῶσθαι τῆς κατὰ τὴν κρίσιν ἐξουσίας τε καὶ δυνάμεως· οὕτω καὶ ἐπὶ τοῦ τῆς θεότητος λόγου **50** Χριστὸς Θεοῦ δύναμις καὶ Θεοῦ σοφία[3] καὶ τὴν ἐποπτικήν τε καὶ θεατικὴν δύναμιν, ἥνπερ δὴ θεότητα λέγομεν, διὰ τοῦ Μονογενοῦς ὁ Πατὴρ ἐνεργεῖ, ⟨ὁ πάντα ἐν σοφίᾳ ποιῶν Θεός⟩, τοῦ δὲ Υἱοῦ πᾶσαν δύναμιν ἐν τῷ Ἁγίῳ Πνεύματι τελειοῦντος καὶ κρίνοντος μέν, καθὼς Ἡσαΐας φησίν, ἐν πνεύματι κρίσεως καὶ πνεύματι καύσεως[4], εὐεργετοῦντος δὲ κατὰ τὴν τοῦ Εὐαγγελίου φωνήν, ἣν πρὸς τοὺς Ἰουδαίους πεποίηται, ἐν Πνεύματι Θεοῦ· λέγει γάρ, εἰ δὲ ἐγὼ ἐν Πνεύματι Θεοῦ ἐκβάλλω τὰ δαιμόνια[5]· ἀπὸ μέρους πᾶν εἶδος εὐεργεσίας περιλαμβάνων διὰ τῆς κατὰ τὴν ἐνέργειαν ἑνότητος· οἷς γὰρ δι' ἀλλήλων ἐνεργεῖται τὸ ἕν, εἰς πολλοὺς καταμεμερίσθαι τὸ ὄνομα τῆς ἐνεργείας οὐ δύναται.

Ἐπειδὴ γὰρ εἷς ὁ τῆς ἐποπτικῆς τε καὶ θεατικῆς δυνάμεως λόγος ἐν Πατρὶ καὶ Υἱῷ καὶ Πνεύματι Ἁγίῳ, καθὼς ἐν τοῖς ἔμπροσθεν εἴρηται, ἐκ μὲν τοῦ Πατρὸς οἷον ἐκ πηγῆς τινος ἀφορμώμενος, ὑπὸ δὲ τοῦ Υἱοῦ ἐνεργούμενος, ἐν δὲ τῇ δυνάμει τοῦ Πνεύματος τελειῶν τὴν χάριν, καὶ οὐ διακρίνεται πρὸς τὰς ὑποστάσεις οὐδεμία ἐνέργεια, ἰδιαζόντως παρ' ἑκάστης καὶ ἀποτεταγμένως δίχα τῆς συνθεωρουμένης ἐπιτελουμένη· ἀλλὰ πᾶσα πρόνοια καὶ κηδεμονία καὶ τοῦ **51** παντὸς ἐπιστασία, τῶν τε κατὰ τὴν αἰσθητὴν κτίσιν καὶ τῶν κατὰ τὴν ὑπερκόσμιον φύσιν ἥ τε συντηρητικὴ τῶν ὄντων καὶ διορθωτικὴ τῶν πλημμελουμένων καὶ διδακτικὴ τῶν κατορθουμένων, μία ἐστὶ καὶ οὐχὶ τρεῖς, παρὰ μὲν τῆς Ἁγίας Τριάδος κατορθουμένη, οὐ μὴν κατὰ τὸν ἀριθμὸν τῶν ἐν τῇ πίστει θεωρουμένων προσώπων τριχῇ

1. Πρβλ. Γεν. 18,25. 2. Πρβλ. Ἰω. 5,22. 3. Πρβλ. Α' Κορ. 1,24. 4. Πρβλ. Ἡσ. 4,4. 5. Πρβλ. Ματθ. 12,28.

τεμνομένη, ὡς ἕκαστον τῶν ἐνεργημάτων ἐφ' ἑαυτοῦ θεωρούμενον ἢ τοῦ Πατρὸς εἶναι μόνου ἢ τοῦ **[129]** Μονογενοῦς ἰδιαζόντως ἢ τοῦ Ἁγίου Πνεύματος κεχωρισμένως· ἀλλὰ διαιρεῖ μὲν ἰδίᾳ ἑκάστῳ[1] τὰ ἀγαθά, καθώς φησιν ὁ Ἀπόστολος, τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα· οὐκ ἄναρχος δὲ ἡ τοῦ ἀγαθοῦ κίνησις ἐκ τοῦ Πνεύματος· ἀλλ' εὑρίσκομεν ὅτι ἡ προεπινοουμένη ταύτης δύναμις, ἥτις ἐστὶν ὁ μονογενὴς Θεός, πάντα ποιεῖ, οὗ χωρὶς οὐδὲν τῶν ὄντων εἰς γένεσιν ἔρχεται· ἀλλὰ καὶ αὐτὴ πάλιν τῶν ἀγαθῶν ἡ πηγὴ ἐκ τοῦ πατρικοῦ βουλήματος ἀφορμᾶται.

Εἰ δὴ πᾶν ἀγαθὸν πρᾶγμα καὶ ὄνομα τῆς ἀνάρχου δυνάμεώς τε καὶ βουλῆς ἐξημμένον ἐν τῇ δυνάμει τοῦ Πνεύματος διὰ τοῦ μονογενοῦς Θεοῦ ἀχρόνως καὶ ἀδιαστάτως εἰς τελείωσιν ἄγεται, οὐδεμιᾶς παρατάσεως ἐν τῇ τοῦ θείου βουλήματος κινήσει ἀπὸ τοῦ Πατρὸς διὰ τοῦ Υἱοῦ ἐπὶ τὸ Πνεῦμα γινομένης ἢ νοουμένης, ἓν δὲ τῶν ἀγαθῶν ὀνομάτων τε καὶ νοημάτων καὶ ἡ θεότης, οὐκ ἂν εἰκότως εἰς πλῆθος τὸ
52 ὄνομα διαχέοιτο, τῆς κατὰ τὴν ἐνέργειαν ἑνότητος κωλυούσης τὴν πληθυντικὴν ἀπαρίθμησιν.

Καὶ ὥσπερ εἷς ὁ Πατὴρ σωτὴρ πάντων ἀνθρώπων μάλιστα πιστῶν[2] ὑπὸ τοῦ Ἀποστόλου ὠνόμασται καὶ οὐδεὶς ἐκ τῆς φωνῆς ταύτης ἢ τὸν Υἱὸν λέγει μὴ σῴζειν τοὺς πιστεύοντας ἢ δίχα τοῦ Πνεύματος τὴν σωτηρίαν τοῖς μετέχουσι γίνεσθαι, ἀλλὰ γίνεται πάντων σωτὴρ ὁ ἐπὶ πάντων Θεὸς ἐνεργοῦντος τοῦ Υἱοῦ τὴν σωτηρίαν ἐν τῇ τοῦ Πνεύματος χάριτι καὶ οὐδὲν μᾶλλον διὰ τοῦτο τρεῖς σωτῆρες ὑπὸ τῆς Γραφῆς ὀνομάζονται, εἰ καὶ ὁμολογεῖται παρὰ τῆς Ἁγίας Τριάδος ἡ σωτηρία, οὕτως οὐδὲ τρεῖς θεοὶ κατὰ τὴν ἀποδεδομένην τῆς θεότητος σημασίαν, κἂν ἐφαρμόζῃ τῇ Ἁγίᾳ Τριάδι ἡ τοιαύτη κλῆσις[α].

Μάχεσθαι δὲ πρὸς τοὺς ἀντιλέγοντας μὴ δεῖν ἐνέργειαν νοεῖν τὴν θεότητα οὐ πάνυ τι τῶν ἀναγκαίων μοι δοκεῖ, ὡς πρὸς τὴν παροῦσαν τοῦ λόγου κατασκευήν. Ἡμεῖς μὲν γὰρ ἀόριστον καὶ ἀπερίληπτον τὴν θείαν φύσιν εἶναι πιστεύοντες οὐδεμίαν αὐτῆς ἐπινοοῦμεν περίληψιν, ἀλλὰ κατὰ πάντα τρόπον ἐν ἀπειρίᾳ νοεῖσθαι τὴν φύσιν διοριζόμεθα. Τὸ δὲ καθόλου ἄπειρον οὔ τινι μὲν ὁρίζεται, τινὶ δὲ οὐχί· ἀλλὰ κατὰ πάντα λόγον ἐκφεύγει τὸν ὅρον ἡ ἀπειρία. Οὐκοῦν τὸ ἐκτὸς ὅρου οὐδὲ ὀνόματι πάντως ὁρίζεται. Ὡς ἂν οὖν διαμένοι ἐπὶ τῆς θείας φύσεως τοῦ ἀορίστου ἡ ἔννοια, ὑπὲρ πᾶν ὄνομά **53** φαμεν εἶναι τὸ Θεῖον, ἡ δὲ θεότης ἓν τῶν ὀνομάτων ἐστίν. Οὐκοῦν οὐ δύναται τὸ αὐτὸ καὶ ὄνομα εἶναι καὶ ὑπὲρ πᾶν ὄνομα εἶναι νομίζεσθαι.

Πλὴν εἰ τοῦτο τοῖς ἐναντίοις ἀρέσκοι, μὴ ἐνεργείας ἀλλὰ φύσεως εἶναι τὴν σημασίαν, ἐπαναδραμούμεθα πρὸς τὸν ἐξ ἀρχῆς λόγον, ὅτι

---

1. Πρβλ. Α' Κορ. 12,11. 2. Πρβλ. Α' Τιμ. 4,10.

α. [στ. 18-27]. Ἰουστίνου, Ἀπολογία Α', ΒΕΠ 3,178,29 ἑξ. PG 6,381B.

τὸ τῆς φύσεως ὄνομα ἡμαρτημένως ἡ συνήθεια εἰς πλήθους σημασίαν ἀνάγει, οὔτε μειώσεως οὔτε αὐξήσεως κατὰ τὸν ἀληθῆ λόγον προσγινομένης τῇ φύσει, ὅταν ἐν πλείοσιν ἢ ἐλάττοσι [132] θεωρῆται. Μόνα γὰρ κατὰ σύνθεσιν ἀριθμεῖται, ὅσα κατ' ἰδίαν περιγραφὴν θεωρεῖται· ἡ δὲ περιγραφὴ ἐν ἐπιφανείᾳ σώματος καὶ μεγέθει καὶ τόπῳ καὶ τῇ διαφορᾷ τῇ κατὰ τὸ σχῆμα καὶ χρῶμα καταλαμβάνεται· τὸ δὲ ἔξω τούτων θεωρούμενον ἐκφεύγει τὴν διὰ τῶν τοιούτων περιγραφήν. Ὃ δὲ μὴ περιγράφεται οὐκ ἀριθμεῖται, τὸ δὲ μὴ ἀριθμούμενον ἐν πλήθει θεωρηθῆναι οὐ δύναται. Ἐπεὶ καὶ τὸν χρυσόν φαμεν, κἂν εἰς πολλοὺς διακερματίζηται τύπους, ἕνα καὶ εἶναι καὶ λέγεσθαι· πολλὰ δὲ νομίσματα καὶ πολλοὺς στατῆρας ὀνομάζομεν, οὐδένα τῆς φύσεως τοῦ χρυσοῦ πλεονασμὸν ἐν τῷ πλήθει τῶν στατήρων εὑρίσκοντες. Διὸ καὶ πολὺς ὁ χρυσὸς λέγεται, ὅταν ἐν ὄγκῳ πλείονι ἢ σκεύεσιν ἢ νομίσμασι θεωρῆται, πολλοὶ δὲ οἱ χρυσοὶ διὰ τὸ πλῆθος τῆς ὕλης οὐκ ὀνομάζονται· εἰ μή τις οὕτω λέγοι, χρυσοὺς πολλούς, ὡς τοὺς δαρεικοὺς ἢ τοὺς στατῆρας, ἐφ' ὧν οὐχ ἡ ὕλη ἀλλὰ τὰ κέρματα τὴν τοῦ πλήθους σημασίαν ἐδέξατο. Κυρίως γὰρ ἔστιν οὐχὶ χρυσοὺς ἀλλὰ χρυσέους **54** τούτους εἰπεῖν. Ὥσπερ τοίνυν πολλοὶ μὲν οἱ χρύσεοι στατῆρες, χρυσὸς δὲ εἷς, οὕτω καὶ πολλοὶ μὲν οἱ καθ' ἕκαστον ἐν τῇ φύσει τοῦ ἀνθρώπου δεικνύμενοι, οἷον Πέτρος καὶ Ἰάκωβος καὶ Ἰωάννης, εἷς δὲ ἐν τούτοις ὁ ἄνθρωπος. Κἂν ἡ Γραφὴ πλατύνῃ τὸ ὄνομα κατὰ πληθυντικὴν σημασίαν ἐν τῷ λέγειν «ἄνθρωποι κατὰ τοῦ μείζονος ὀμνύουσι»[1] καὶ «υἱοὶ ἀνθρώπων»[2], καὶ ὅσα τοιαῦτα, γνωστέον ὅτι τῇ συνηθείᾳ τῆς ἐπικρατούσης διαλέκτου κεχρημένη οὐχὶ νομοθετεῖ τὸ δεῖν οὕτως ἢ ὡς ἑτέρως κεχρῆσθαι τοῖς ῥήμασιν οὐδέ τινα τεχνικὴν περὶ ῥημάτων διδασκαλίαν ποιουμένη ταῦτα διέξεισιν, ἀλλὰ κατὰ τὴν ἐπικρατοῦσαν συνήθειαν χρῆται τῷ λόγῳ, πρὸς τοῦτο βλέπουσα μόνον, ὅπως ἂν ἐπωφελὴς γένοιτο τοῖς δεχομένοις ὁ λόγος, οὐδὲν ἀκριβολογουμένη κατὰ τὴν λέξιν, ἐν οἷς οὐδεμία βλάβη κατὰ διάνοιαν ἐκ τῶν ῥημάτων συνίσταται.

Καὶ μακρὸν ἂν εἴη τὰς σολοικοφανεῖς[α] τοῦ λόγου συντάξεις ἐκ τῆς Γραφῆς καταλέγειν εἰς τὴν τῶν εἰρημένων ἀπόδειξιν· ἐν οἷς δὲ κίνδυνός ἐστι βλαβῆναί τι τῆς ἀληθείας, οὐκέτι τὸ ἀβασάνιστόν τε καὶ ἀδιάφορον ἐν τοῖς γραφικοῖς εὑρίσκεται ῥήμασιν. Διὰ τοῦτο ἀνθρώπους συγχωρεῖ πληθυντικῶς ὀνομάζειν διὰ τὸ μηδένα τῷ τοιούτῳ σχήματι τῆς φωνῆς εἰς πλῆθος ἀνθρωποτήτων ταῖς ὑπονοίαις ἐκπίπτειν, μηδὲ νομίζειν πολλὰς ἀνθρωπίνας φύσεις σημαίνεσθαι διὰ τὸ πληθυντικῶς ἐξαγγελθῆναι τὸ τῆς φύσεως ὄνομα· τὴν δὲ Θεὸς φωνὴν παρατετηρημένως κατὰ τὸν ἑνικὸν ἐξαγγέλλει **55** τύπον, τοῦτο προ-

---

1. Ἑβρ. 6,16. 2. Ψαλ. 4,3.

α. Πρβλ. Διδύμου Ἀλεξανδρέως, Ἀντιρρητικὸς κατ' Εὐνομίου, ΒΕΠ 44, 225,25-37. PG 29,680A. Ἀριστ., Σοφιστικοὶ ἔλεγχοι, 14,183α.

μηθουμένη, τὸ μὴ διαφόρους φύσεις ἐπὶ τῆς θείας οὐσίας ἐν τῇ πληθυντικῇ σημασίᾳ τῶν θεῶν παρεισάγεσθαι. Διό φησι «Κύριος ὁ Θεὸς Κύριος εἷς ἐστιν»[1]· ἀλλὰ καὶ τὸν μονογενῆ Θεὸν τῇ τῆς θεότητος ἀνακηρύσσει φωνῇ καὶ οὐ διαλύει τὸ ἓν εἰς δυϊκὴν σημασίαν, ὥστε δύο θεοὺς τὸν Πατέρα καὶ τὸν Υἱὸν ὀνομάσαι, κἂν ἑκά**[133]**τερος Θεὸς παρὰ τῶν ἁγίων κηρύσσηται· ἀλλὰ Θεὸς μὲν ὁ Πατήρ, Θεὸς δὲ ὁ Υἱός, εἷς δὲ ἐν τῷ αὐτῷ κηρύγματι ὁ Θεὸς διὰ τὸ μήτε φύσεως μήτε ἐνεργείας ἐνθεωρεῖσθαί τινα διαφορὰν τῇ θεότητι. Εἰ γὰρ παρήλλακτο κατὰ τὴν τῶν ἠπατημένων ὑπόνοιαν ἐπὶ τῆς Ἁγίας Τριάδος ἡ φύσις, ἀκολούθως ἂν εἰς πλῆθος θεῶν ὁ ἀριθμὸς ἐπλατύνετο, τῇ ἑτερότητι τῆς οὐσίας τῶν ὑποκειμένων συνδιαιρούμενος. Ἐπεὶ δὲ πᾶσαν ἀπωθεῖται τὴν κατ' οὐσίαν ἑτερότητα ἡ θεία τε καὶ ἁπλῆ καὶ ἀναλλοίωτος φύσις, ἕως ἂν μία ᾖ, πλήθους σημασίαν ἐφ' ἑαυτῆς οὐ προσίεται. Ἀλλ' ὥσπερ μία λέγεται φύσις, οὕτω καὶ τὰ ἄλλα πάντα ἑνικῶς ὀνομάζεται, Θεός, ἀγαθός[2], ἅγιος[3], σωτήρ[4], δίκαιος[5], κριτής[6], καὶ εἴ τι ἄλλο τῶν θεοπρεπῶν ὀνομάτων νοεῖται, ὃ εἴτε πρὸς φύσιν εἴτε πρὸς ἐνέργειαν βλέπειν τις λέγει, οὐ διοισόμεθα.

Εἰ δέ τις συκοφαντοίη τὸν λόγον ὡς ἐκ τοῦ μὴ δέχεσθαι τὴν κατὰ φύσιν διαφορὰν μίξιν τινὰ τῶν ὑποστάσεων καὶ ἀνακύκλησιν κατασκευάζοντα τοῦτο περὶ τῆς τοιαύτης ἀπολογησόμεθα μέμψεως, ὅτι τὸ ἀπαράλλακτον τῆς φύσεως **56** ὁμολογοῦντες τὴν κατὰ τὸ αἴτιον καὶ αἰτιατὸν διαφορὰν οὐκ ἀρνούμεθα, ἐν ᾧ μόνῳ διακρίνεσθαι τὸ ἕτερον τοῦ ἑτέρου καταλαμβάνομεν, τῷ τὸ μὲν αἴτιον πιστεύειν εἶναι τὸ δὲ ἐκ τοῦ αἰτίου· καὶ τοῦ ἐξ αἰτίας ὄντος πάλιν ἄλλην διαφορὰν ἐννοοῦμεν· τὸ μὲν γὰρ προσεχῶς ἐκ τοῦ πρώτου, τὸ δὲ διὰ τοῦ προσεχῶς ἐκ τοῦ πρώτου, ὥστε καὶ τὸ μονογενὲς ἀναμφίβολον ἐπὶ τοῦ Υἱοῦ μένειν καὶ τὸ ἐκ τοῦ Πατρὸς εἶναι τὸ Πνεῦμα μὴ ἀμφιβάλλειν, τῆς τοῦ Υἱοῦ μεσιτείας καὶ αὐτῷ τὸ μονογενὲς φυλαττούσης καὶ τὸ Πνεῦμα τῆς φυσικῆς πρὸς τὸν Πατέρα σχέσεως μὴ ἀπειργούσης[α].

Αἴτιον δὲ καὶ ἐξ αἰτίου λέγοντες οὐχὶ φύσιν διὰ τούτων τῶν ὀνομάτων σημαίνομεν (οὐδὲ γὰρ τὸν αὐτὸν ἄν τις αἰτίας καὶ φύσεως ἀποδοίη λόγον), ἀλλὰ τὴν κατὰ τὸ πῶς εἶναι διαφορὰν ἐνδεικνύμεθα. Εἰπόντες γὰρ τὸ μὲν αἰτιατῶς, τὸ δὲ ἄνευ αἰτίας εἶναι οὐχὶ τὴν φύσιν τῷ κατὰ τὸ αἴτιον λόγῳ διεχωρίσαμεν, ἀλλὰ μόνον τὸ μήτε τὸν Υἱὸν ἀγεννήτως εἶναι μήτε τὸν Πατέρα διὰ γεννήσεως ἐνεδειξάμεθα. Πρότερον δὲ ἡμᾶς εἶναί τι πιστεύειν ἐπάναγκες, καὶ τότε πῶς ἐστι τὸ

---

1. Δευτ. 6,4. 2. Πρβλ. Ματθ. 19,17. Μάρκ. 10,17. 3. Πρβλ. Α' Πέτρ. 1,16. 4. Πρβλ. Λουκ. 2,11. 5. Πρβλ. Πράξ. 3,14. Ἀποκ. 16,5. 6. Πρβλ. Πράξ. 10,42. Β' Τιμ. 4,8.

α. [στ. 25-29]. Πρβλ. Εὐσεβίου Καισαρείας, Ἐκκλησιαστικὴ Ἱστορία Α', ΒΕΠ 19,199,26 ἑξ. PG 20,56A. Μ. Ἀθανασίου, Ἐκ τοῦ κατὰ Λατίνων λόγου, ΒΕΠ 36,315,11-20. PG 28,832B. Γρηγορίου Νύσσης, Κατὰ Εὐνομίου, λόγ. Ζ', ΒΕΠ 67,370,26 ἑξ.

πεπιστευμένον περιεργάσασθαι· ἄλλος οὖν ὁ τοῦ τί ἐστι καὶ ἄλλος ὁ τοῦ πῶς ἐστι λόγος. Τὸ οὖν ἀγεννήτως εἶναί τι λέγειν, πῶς μέν ἐστιν ὑποτίθεται, τί δέ ἐστι τῇ φωνῇ ταύτῃ οὐ συνενδείκνυται. Καὶ γὰρ εἰ περὶ δένδρου τινὸς ἠρώτησας τὸν γεωργόν, εἴτε φυτευτὸν εἴτε αὐτομάτως ἐστίν, ὁ δὲ ἀπεκρίνατο ἢ ἀφύτευτον εἶναι τὸ δένδρον ἢ ἐκ φυτείας γενόμενον, ἆρα τὴν φύσιν διὰ τῆς ἀποκρίσεως ἐνεδείξατο **57** ὁ μόνον τὸ πῶς ἐστιν εἰπὼν ἢ ἄδηλον καὶ ἀνερμήνευτον τὸν τῆς φύσεως ἀπέλιπε λόγον; Οὕτω καὶ ἐνταῦθα ἀγέννητον μαθόντες ὅπως μὲν αὐτὸν εἶναι προσήκει νοεῖν ἐδιδάχθημεν, ὅτι δέ ἐστι διὰ τῆς φωνῆς οὐκ ἠκούσαμεν. Τὴν οὖν τοιαύτην διαφορὰν ἐπὶ τῆς Ἁγίας Τριάδος λέγοντες, ὡς τὸ μὲν αἴτιον τὸ δὲ ἐξ αἰτίου εἶναι πιστεύειν, οὐκέτ' ἂν ἐν τῷ κοινῷ τῆς φύσεως τὸν τῶν ὑποστάσεων λόγον συντήκειν αἰτιαθείημεν.

Ἐπειδὴ τοίνυν τὰς μὲν ὑποστάσεις ἐπὶ τῆς Ἁγίας Τριάδος ὁ τοῦ αἰτίου διακρίνει λόγος, τὸ μὲν ἀναιτίως εἶναι τὸ δὲ ἐκ τοῦ αἰτίου **[136]** πρεσβεύων, ἡ δὲ θεία φύσις ἀπαράλλακτός τε καὶ ἀδιαίρετος διὰ πάσης ἐννοίας καταλαμβάνεται, διὰ τοῦτο κυρίως μία θεότης καὶ εἷς Θεὸς καὶ τὰ ἄλλα πάντα τῶν θεοπρεπῶν ὀνομάτων μοναδικῶς ἐξαγγέλλεται.

ΠΡΟΣ ΣΙΜΠΛΙΚΙΟΝ
ΠΕΡΙ ΠΙΣΤΕΩΣ *

Σιμπλικίῳ τριβοῦνῳ Γρηγόριος
περὶ Πατρὸς καὶ Υἱοῦ καὶ Ἁγίου Πνεύματος

61 **[136]** Κελεύει ὁ Θεὸς διὰ τοῦ προφήτου μηδένα πρόσφατον Θεὸν εἶναι νομίζειν μηδὲ προσκυνεῖν θεῷ ἀλλοτρίῳ[1]. Οὐκοῦν δῆλόν ἐστιν, ὅτι πρόσφατον λέγεται ὃ μὴ ἐξ ἀϊδίου ἐστὶν καὶ ἐκ τοῦ ἐναντίου πάλιν ἀΐδιον λέγεται ὃ μὴ πρόσφατόν ἐστιν. Ὁ τοίνυν μὴ ἐξ ἀϊδίου τὸν μονογενῆ Θεὸν ἐκ τοῦ Πατρὸς εἶναι πιστεύων πρόσφατον εἶναι αὐτὸν οὐκ ἀρνεῖται· τὸ γὰρ μὴ ἀΐδιον πρόσφατον πάντως. Πᾶν δὲ τὸ πρόσφατον Θεὸς οὐκ ἔστιν, καθὼς εἶπεν ἡ Γραφὴ ὅτι «οὐκ ἔσται ἐν σοὶ θεὸς πρόσφατος»[2]·[α]· Ἄρα ὁ λέγων ὅτι ποτὲ οὐκ ἦν ὁ Υἱὸς ἀρνεῖται αὐτοῦ τὴν θεότητα. Πάλιν ἀλλότριον θεὸν προσκυνεῖν κωλύει ὁ λέγων «οὐδὲ προσκυνήσεις θεῷ ἀλλοτρίῳ»[3]. Ὁ δὲ ἀλλότριος τῇ πρὸς τὸν ἴδιον ἡμῶν Θεὸν ἀντιδιαστολῇ θεωρεῖται. Τίς οὖν ὁ ἴδιος ἡμῶν ἐστι Θεός; Δῆλον ὅτι ὁ ἀληθινὸς Θεός. **[137]** Τίς δὲ ὁ ἀλλότριος; Πάντως ὁ τῆς τοῦ ἀληθινοῦ **62** Θεοῦ φύσεως ἀλλοτρίως ἔχων. Εἰ οὖν ἴδιος ἡμῶν Θεὸς ὁ ἀληθινός ἐστι Θεός, ἐὰν μὴ ᾖ τῆς τοῦ ἀληθινοῦ φύσεως ὁ μονογενὴς Θεός, καθὼς λέγουσιν οἱ αἱρετικοί, ἀλλότριός ἐστι καὶ οὐχ ἡμέτερος[β]. Λέγει δὲ τὸ Εὐαγγέλιον ὅτι τὰ πρόβατα ἀλλοτρίῳ οὐ μὴ ὑπακούσῃ[4]. Ὁ λέγων κτιστὸν αὐτὸν εἶναι ἀλλότριον τῆς τοῦ ἀληθινοῦ Θεοῦ φύσεως εἶναι κατασκευάζει. Τί οὖν ποιήσουσιν οἱ λέγοντες ὅτι κτιστός ἐστιν; προσκυνοῦσι τὸν κτιστὸν αὐτῶν θεὸν ἢ οὐχί; Εἰ μὲν γὰρ οὐ προσκυνοῦσιν, ἰουδαΐζουσιν ἀρνούμενοι τοῦ Χριστοῦ τὴν προσκύνησιν· εἰ δὲ προσκυνοῦσιν, εἰδωλολατροῦσι· τὸν γὰρ ἀλλότριον τοῦ ἀληθινοῦ Θεοῦ προσκυνοῦσιν. Ἀλλὰ μὴν ἐπίσης ἀσεβὲς καὶ μὴ προσκυνεῖν τὸν Υἱὸν καὶ προσκυνεῖν τὸν ἀλλότριον θεόν. Χρὴ ἄρα τοῦ ἀληθινοῦ Πατρὸς ἀληθινὸν τὸν Υἱὸν λέγειν, ἵνα

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ Fridericus Mueller, Gregorii Nysseni, Opera Dogmatica Minora (Greg. N. op. W. Jaeger), vol III, I, σσ. 61:67, Leiden, E. J. Brill, 1958. [J.-P. Migne τ. 45, στ. 136-145].

1. Πρβλ. Ψαλ. 80,10. 2. Ψαλ. 80,10. 3. Ἔνθ' ἀν. 4. Πρβλ. Ἰω. 10,5.

α. [στ. 5-12]. Διδύμου Ἀλεξανδρέως, Ἀντιρρητικὸς κατ' Εὐνομίου, ΒΕΠ 44,230,8. 257,40. PG 29,689B. 760C.

β. [στ. 17-20]. Μ. Ἀθανασίου, Κατὰ Ἀρειανῶν, λόγ. Β', ΒΕΠ 30, 248,32. 264,36. PG 26,320B, 360A.

καὶ προσκυνῶμεν αὐτὸν καὶ μὴ κατακριθῶμεν ὡς ἀλλότριον προσκυνοῦντες Θεόν.

Πρὸς δὲ τοὺς λέγοντας τὸ ἐκ τῆς Παροιμίας ὅτι «Κύριος ἔκτισέ με»[1], καὶ διὰ τοῦτο νομίζοντας ἰσχυρόν τι λέγειν περὶ τοῦ κτιστὸν[α] εἶναι τὸν πάντων κτίστην καὶ δημιουργὸν ταῦτα προσήκει λέγειν ὅτι πολλὰ δι' ἡμᾶς ἐγένετο ὁ μονογενὴς Θεός· καὶ γὰρ καὶ Λόγος ὢν σὰρξ ἐγένετο[2] καὶ Θεὸς ὢν ἄνθρωπος ἐγένετο καὶ ἀσώματος ὢν σῶμα ἐγένετο καὶ ἔτι πρὸς τούτοις καὶ ἁμαρτία[3] καὶ κατάρα[4] καὶ λίθος[5] καὶ ἀξίνη[6] καὶ ἄρτος[7] καὶ πρόβατον[8] καὶ ὁδὸς[9] καὶ θύρα[10] καὶ πέτρα[11] καὶ πολλὰ τοιαῦτα ἐγένετο οὐδὲν τούτων τῇ φύσει ὤν, **63** ἀλλὰ δι' ἡμᾶς κατ' οἰκονομίαν γενόμενος[β]. Ὥσπερ οὖν Λόγος ὢν δι' ἡμᾶς ἐγένετο σὰρξ καὶ Θεὸς ὢν ἄνθρωπος ἐγένετο, οὕτω καὶ κτίστης ὢν δι' ἡμᾶς κτίσις ἐγένετο· κτιστὴ γὰρ ἡ σάρξ. Ὡς οὖν εἶπε διὰ τοῦ προφήτου ὅτι «οὕτως λέγει Κύριος ὁ πλάσας με ἐκ κοιλίας δοῦλον αὐτοῦ»[12] οὕτως εἶπε καὶ διὰ τοῦ Σολομῶντος τὸ «Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ»[13]· πᾶσα γὰρ ⟨ἡ⟩ κτίσις δουλεύει[14], καθώς φησιν ὁ Ἀπόστολος. Οὐκοῦν καὶ ὁ ἐν τῇ κοιλίᾳ τῆς παρθένου πλασθεὶς κατὰ τὸν λόγον τοῦ προφήτου ὁ δοῦλός ἐστιν, οὐχ ὁ Κύριος, τουτέστιν ὁ κατὰ σάρκα ἄνθρωπος, ἐν ᾧ ὁ Θεὸς ἐφανερώθη, καὶ ἐνταῦθα ὁ κτισθεὶς εἰς ἀρχὴν ὁδῶν αὐτοῦ οὐχ ὁ Θεός ἐστιν ἀλλ' ὁ ἄνθρωπος, ἐν ᾧ ἡμῖν ὁ Θεὸς ἐφανερώθη ἐπὶ τῷ τὴν καταφθαρεῖσαν ὁδὸν τῆς ἀνθρωπίνης σωτηρίας πάλιν ἀνανεώσασθαι. Ὥστε ἐπειδὴ **[140]** δύο περὶ Χριστοῦ γινώσκομεν, τὸ μὲν Θεῖον τὸ δὲ ἀνθρώπινον (ἐν μὲν τῇ φύσει τὸ Θεῖον, ἐν δὲ τῇ οἰκονομίᾳ τὸ κατὰ ἄνθρωπον), ἀκολούθως τὸ μὲν ἀΐδιον τῇ θεότητι προσμαρτυροῦμεν, τὸ δὲ κτιστὸν τῇ ἀνθρωπίνῃ λογιζόμεθα φύσει. Ὡς γὰρ κατὰ τὸν προφήτην ἐν τῇ κοιλίᾳ ἐπλάσθη δοῦλος, οὕτως καὶ κατὰ τὸν Σολομῶντα διὰ τῆς δουλικῆς ταύτης κτίσεως ἐν σαρκὶ ἐφανερώθη.

Ὅταν δὲ λέγωσιν ὅτι εἰ ἦν, οὐκ ἐγεννήθη, καὶ εἰ ἐγεννήθη, οὐκ ἦν, διδαχθήτωσαν ὅτι οὐ χρὴ τὰ τῆς σαρκικῆς γεννήσεως ἰδιώματα ἐφαρμόζειν τῇ θείᾳ φύσει. Σώματα μὲν γὰρ μὴ ὄντα γεννᾶται, ὁ δὲ Θεὸς τὰ μὴ ὄντα εἶναι ποιεῖ, οὐκ αὐτὸς ἐκ τοῦ μὴ ὄντος γίνεται. Διὸ

---

1. Παρμ. 8,22. 2. Πρβλ. Ἰω. 1,14. 3. Πρβλ. Β' Κορ. 5,21. 4. Πρβλ. Γαλ. 3,13. 5. Πρβλ. Ματθ. 21,42. 6. Πρβλ. Ματθ. 3,10. Λουκ. 3,9. 7. Πρβλ. Ἰω. 6,35,41. 8. Πρβλ. Πράξ. 8,32. 9. Πρβλ. Ἰω. 14,6. 10. Πρβλ. Ἰω. 10,7,9. 11. Πρβλ. Α' Κορ. 10,4. 12. Ἡσ. 49,5. 13. Παρμ. 8,22. 14. Πρβλ. Ρωμ. 8,21,22. Ἰουδὶθ 16,14.

α. Πρβλ. Εὐσεβίου Καισαρείας, Ἐπιστολαὶ δύο, ΒΕΠ 29,170,31-35. PG 20,1540C. Μ. Βασιλείου, Ἐπιστολαὶ 140, ΒΕΠ 55,168,16-24. Γρηγορίου Θεολόγου, Εἰς τὸ ἅγιον Βάπτισμα, ΒΕΠ 60,107,40-108,1-6. Γρηγορίου Νύσσης, Κατὰ Εὐνομίου, λόγ. Α', ΒΕΠ 67,76,13 ἑξ. 267,33 ἑξ. 270,25 ἑξ.

β. Πρβλ. Μ. Βασιλείου, Περὶ πίστεως, ΒΕΠ 54,153,40-154,1-10. PG 31, 468C. Γρηγορίου Νύσσης, Κατὰ Εὐνομίου, λόγ. Δ', ΒΕΠ 67,302,21 ἑξ.

καὶ ὁ Παῦλος ἀπαύγασμα δόξης[1] αὐτὸν ὀνομάζει, ἵνα διδαχθῶμεν ὅτι, ὥσπερ τὸ ἐκ **64** τοῦ λύχνου φῶς καὶ ἐκ τῆς φύσεώς ἐστι τοῦ ἀπαυγάζοντος καὶ μετ' ἐκείνου ἐστὶν (ὁμοῦ τε γὰρ ἐξεφάνη ὁ λύχνος καὶ τὸ φῶς τὸ ἐξ αὐτοῦ συνεξέλαμψεν), οὕτω κελεύει καὶ ἐνταῦθα νοεῖν ὁ Ἀπόστολος, ὅτι καὶ ἐκ τοῦ Πατρὸς ὁ Υἱὸς καὶ οὐδέποτε χωρὶς τοῦ Υἱοῦ ὁ Πατήρ· οὐκ ἐγχωρεῖ γὰρ ἀλαμπῆ εἶναι τὴν δόξαν, ὡς οὐκ ἐγχωρεῖ ἄνευ ἀπαυγάσματος εἶναι τὸν λύχνον. Δῆλον δὲ ὅτι, ὥσπερ τὸ εἶναι ἀπαύγασμα μαρτυρία ἐστὶ τοῦ καὶ τὴν δόξαν εἶναι (μὴ γὰρ οὔσης τῆς δόξης οὐκ ἂν εἴη τὸ ἐκ ταύτης ἀπαυγαζόμενον), οὕτω τὸ λέγειν μὴ εἶναί ποτε ἀπαύγασμα ἀπόδειξίς ἐστι τοῦ μηδὲ τὴν δόξαν εἶναι, ὅτε οὐκ ἦν τὸ ἀπαύγασμα· τὴν γὰρ δόξαν ἄνευ ἀπαυγάσματος εἶναι ἀμήχανον. Ὥσπερ οὖν οὐκ ἔστιν ἐπὶ τοῦ ἀπαυγάσματος λέγειν ὅτι εἰ ἦν, οὐκ ἐγένετο, καὶ εἰ ἐγένετο, οὐκ ἦν, οὕτω μάταιόν ἐστι περὶ τοῦ Υἱοῦ ταῦτα λέγειν, διότι ὁ Υἱός ἐστι τὸ ἀπαύγασμα[α].

Οἱ δὲ τὸ μικρότερον καὶ τὸ μεῖζον ἐπὶ τοῦ Υἱοῦ καὶ τοῦ Πατρὸς λέγοντες διδαχθήτωσαν παρὰ τοῦ Παύλου μὴ μετρεῖν τὰ ἀμέτρητα[2]· ὁ γὰρ Ἀπόστολος τὸν Υἱὸν χαρακτῆρα λέγει τῆς τοῦ Πατρὸς ὑποστάσεως[3]. Δῆλον οὖν ὅτι, ὅση ἂν ᾖ ἡ ὑπόστασις ἡ τοῦ Πατρός, τοσοῦτος καὶ ὁ χαρακτήρ ἐστι τῆς ὑποστάσεως· οὐ γὰρ ἐνδέχεται μικρότερον εἶναι τὸν χαρακτῆρα τῆς θεωρουμένης ἐν αὐτῷ ὑποστάσεως[β]. Ἀλλὰ καὶ ὁ μέγας Ἰωάννης τὰ αὐτὰ διδάσκει λέγων ὅτι «Ἐν ἀρχῇ ἦν ὁ λόγος καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεόν»[4]. Ἐκ γὰρ τοῦ εἰπεῖν ὅτι ἐν ἀρχῇ ἦν καὶ οὐ μετὰ τὴν ἀρχήν, ἔδειξεν ὅτι οὐδέποτε **65** ἄλογος ἦν ἡ ἀρχή. Ἐκ δὲ τοῦ ἀποδεῖξαι, ὅτι καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν, τὸ ἀνελ**[141]**λιπὲς τοῦ Υἱοῦ ὡς πρὸς τὸν Πατέρα ἐσήμανεν· ὅλῳ γὰρ τῷ Θεῷ ὅλος συνθεωρεῖται ὁ Λόγος. Εἰ γὰρ ἐλλιπὴς ἦν ἐν τῷ ἰδίῳ μεγέθει ὁ Λόγος, ὥστε μὴ δύνασθαι πρὸς ὅλον τὸν Θεὸν εἶναι, ἀνάγκη πᾶσα ἄλογον εἶναι τοῦ Θεοῦ νομίζειν τὸ ὑπερεκπίπτον τοῦ Λόγου. Ἀλλὰ μὴν πάσῃ τοῦ Θεοῦ τῇ μεγαλειότητι ἡ τοῦ Λόγου μεγαλειότης συνθεωρεῖται. Ἄρα οὐκ ἔχει χώραν ἐπὶ τῶν θείων δογμάτων τὸ μεῖζον λέγειν καὶ τὸ μικρότερον.

Οἱ δὲ λέγοντες τὸ γεννητὸν τῷ ἀγεννήτῳ εἶναι κατὰ τὴν φύσιν ἀνόμοιον, διδαχθήτωσαν μὴ μωραίνειν ἐκ τοῦ κατὰ τὸν Ἄβελ καὶ τὸν Ἀδὰμ ὑποδείγματος· καὶ γὰρ καὶ ὁ Ἀδὰμ κατὰ τὴν φυσικὴν τῶν ἀνθρώπων γέννησιν οὐκ ἐγεννήθη, ὁ δὲ Ἄβελ ἐκ τοῦ Ἀδὰμ ἐγεννήθη. Ἀλλὰ μὴν ὁ μὴ γεννηθεὶς ἀγέννητος λέγεται καὶ ὁ γεννηθεὶς γεν-

---

1. Πρβλ. Ἑβρ. 1,3. 2. Πρβλ. Β' Κορ. 10,13. 3. Πρβλ. Ἑβρ. 1,3. 4. Ἰω. 1,1.

α. [στ. 1-14]. Μ. Ἀθανασίου, Περὶ πίστεως, ΒΕΠ 33,241,28. PG 25, 208A. Διδύμου Ἀλεξανδρέως, Ἀντιρρητικὸς κατ' Εὐνομίου, ΒΕΠ 44,224,22. PG 29,676B.

β. Πρβλ. Μ. Ἀθανασίου, Διάλογος Δ', περὶ τῆς Τριάδος, ΒΕΠ 36,115,37 ἑξ. PG 28,1124B-C.

νητός· οὐδὲν δὲ ἐκώλυσε τὸ μὴ γεγεννῆσθαι τὸν Ἀδὰμ πρὸς τὸ ἄνθρωπον εἶναι. Οὐδὲ ἡ γέννησις τὸν Ἄβελ ἄλλο τι παρὰ τὴν ἀνθρωπίνην φύσιν ἐποίησεν, ἀλλὰ καὶ οὗτος ἄνθρωπος κἀκεῖνος, εἰ καὶ ὁ μὲν γεννηθεὶς ἦν, ὁ δὲ δίχα γεννήσεως. Ἄρα καὶ ἐπὶ τῶν θείων δογμάτων τὸ μὴ γεννηθῆναι καὶ τὸ γεννηθῆναι διαφορὰν οὐκ ἐξεργάζεται φύσεως, ἀλλ' ὥσπερ ἐπὶ τοῦ Ἀδὰμ καὶ τοῦ Ἄβελ ἀνθρωπότης μία, οὕτω καὶ ἐπὶ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ θεότης μία.

Καὶ περὶ τοῦ Πνεύματος δὲ τοῦ Ἁγίου οἱ βλασφημοῦντες τὸ αὐτὸ λέγουσιν ὃ καὶ περὶ τοῦ Κυρίου, ὅτι ἐστὶ καὶ τοῦτο κτιστόν[α], καὶ ἡ Ἐκκλησία ἐπίσης ὡς περὶ τοῦ Υἱοῦ, οὕτως **66** καὶ περὶ τοῦ Ἁγίου Πνεύματος πιστεύει, ὅτι ἐστὶν ἄκτιστον· διότι πᾶσα ἡ κτίσις ἐκ τῆς τοῦ ὑπερκειμένου ἀγαθοῦ μετουσίας γίνεται ἀγαθή, τὸ δὲ Πνεῦμα τὸ Ἅγιον οὐ προσδεές ἐστι τοῦ ἀγαθύνοντος (ἀγαθὸν γὰρ τῇ φύσει ἐστί, καθὼς ἡ Γραφὴ μαρτυρεῖ)· καὶ ὅτι ἡ κτίσις ὁδηγεῖται παρὰ τοῦ Πνεύματος, τὸ δὲ Πνεῦμα τὴν ὁδηγίαν χαρίζεται· ἡ κτίσις ἡγε**[144]**μονεύεται, τὸ δὲ Πνεῦμα ἡγεμονεύει· ἡ κτίσις παρακαλεῖται, τὸ δὲ Πνεῦμα παρακαλεῖ· ἡ κτίσις δουλεύει, τὸ δὲ Πνεῦμα ἐλευθεροῖ[1]· ἡ κτίσις σοφίζεται, τὸ δὲ Πνεῦμα τὴν τῆς σοφίας δίδωσι χάριν· ἡ κτίσις μεταλαμβάνει τῶν χαρισμάτων, τὸ δὲ Πνεῦμα κατ' ἐξουσίαν χαρίζεται. «Πάντα» γὰρ «ταῦτα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται»[2]. Καὶ μυρίας ἄλλας ἐκ τῶν Γραφῶν ἔστιν ἀποδείξεις εὑρεῖν, ὅτι πάντα τὰ ὑψηλὰ καὶ θεοπρεπῆ ὀνόματα, ὅσα τῷ Πατρὶ καὶ τῷ Υἱῷ παρὰ τῆς Γραφῆς ἐφαρμόζεται, ταῦτα καὶ περὶ τὸ Ἅγιον θεωρεῖται Πνεῦμα· ἡ ἀφθαρσία, ἡ μακαριότης, τὸ ἀγαθόν, τὸ σοφόν, τὸ δυνατόν, τὸ δίκαιον, ἡ ἁγιότης· πᾶν τίμιον ὄνομα οὕτως λέγεται ἐπὶ τοῦ Ἁγίου Πνεύματος, ὡς καὶ ἐπὶ τοῦ Πατρὸς καὶ ἐπὶ τοῦ Υἱοῦ λέγεται, πλὴν τούτων δι' ὧν αἱ ὑποστάσεις τρανῶς τε καὶ ἀσυγχύτως ἀπ' ἀλλήλων διαχωρίζονται, λέγω δὴ ὅτι οὔτε Πατὴρ λέγεται τὸ Πνεῦμα τὸ Ἅγιον οὔτε Υἱός· τὰ δὲ ἄλλα ὅσα ὁ Πατὴρ καὶ ὁ Υἱὸς ὀνομάζεται, ταῦτα καὶ τῷ Ἁγίῳ Πνεύματι παρὰ τῆς Γραφῆς ἐφαρμόζεται. Διὰ τοῦτο οὖν καταλαμβάνομεν ὅτι ἄνω τῆς κτίσεώς ἐστι τὸ Πνεῦμα τὸ Ἅγιον. Οὐκοῦν ὅπου ὁ Πατὴρ καὶ ὅπου ὁ Υἱὸς νοεῖται, ἐκεῖ νοεῖται καὶ τὸ Πνεῦμα τὸ Ἅγιον· ἄνω γὰρ τῆς **67** κτίσεως καὶ ὁ Πατὴρ καὶ ὁ Υἱός, ὅπερ καὶ τῷ Ἁγίῳ Πνεύματι ἀκολουθία τοῦ λόγου προσεμαρτύρησεν. Ὁ τοίνυν ὑπερτιθεὶς τῆς κτίσεως τὸ Πνεῦμα τὸ Ἅγιον ἀκολούθως τὸν ὀρθόν τε καὶ ὑγιῆ παρεδέξατο λόγον· μίαν γὰρ ὁμολογήσει τὴν ἄκτιστον φύσιν, τὴν ἐν Πατρὶ καὶ Υἱῷ καὶ Πνεύματι Ἁγίῳ θεωρουμένην.

---

1. Πρβλ. Ρωμ. 8,2. 2. Α' Κορ. 12,11.

α. Πρβλ. Μ. Ἀθανασίου, Περὶ τῆς ἐνσάρκου ἐπιφανείας τοῦ Θεοῦ Λόγου καὶ κατὰ Ἀρειανῶν, ΒΕΠ 33,226,12. PG 26,997A. Μ. Βασιλείου, Κατ' Εὐνομίου, Περὶ τοῦ Ἁγ. Πνεύματος, λόγ. Γ', ΒΕΠ 52,227,7. PG 29,669C.

Ἐπεὶ δὲ εἰς ἀπόδειξιν, ὡς οἴονται, τοῦ κτιστὸν εἶναι τὸ Πνεῦμα τὸ Ἅγιον τὴν τοῦ προφήτου φωνὴν ἡμῖν προφέρουσι τὴν λέγουσαν ὅτι ὁ στερεῶν βροντὴν καὶ κτίζων πνεῦμα καὶ ἀπαγγέλλων εἰς ἀνθρώπους τὸν Χριστὸν αὐτοῦ[1], τοῦτο προσήκει νοῆσαι, ὅτι ἄλλο κτίζεσθαι πνεῦμα ἐν τῇ στερεότητι τῆς βροντῆς ὁ προφήτης λέγει καὶ οὐχὶ τὸ Ἅγιον Πνεῦμα· βροντὴν γὰρ ὁ μυστικὸς λόγος τὸ Εὐαγγέλιον ὀνομάζει[α]. Ἐν οἷς οὖν γίνεται βεβαία καὶ ἀμετάθετος ἡ εἰς τὸ Εὐαγγέλιον πίστις, οὗτοι διὰ τῆς πίστεως μεταβαίνουσιν ἀπὸ τοῦ εἶναι σάρκες εἰς τὸ γίνεσθαι πνεῦμα, καθὼς λέγει ὁ Κύριος ὅτι «τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς σάρξ ἐστι, τὸ δὲ γεγεννημένον ἐκ τοῦ πνεύματος πνεῦμά ἐστιν»[2]. Θεὸς οὖν ἐστιν ὁ διὰ τοῦ στερροποιεῖν **[145]** τὴν εὐαγγελικὴν βροντὴν τοῖς πιστεύουσι πνεῦμα ποιῶν τὸν πιστεύοντα, ὁ δὲ ἐκ τοῦ πνεύματος γεννηθεὶς καὶ πνεῦμα διὰ τῆς τοιαύτης βροντῆς γενόμενος ἀπαγγέλλει τὸν Χριστόν, καθὼς ὁ Ἀπόστολος λέγει ὅτι «οὐδεὶς δύναται εἰπεῖν Κύριον Ἰησοῦν Χριστόν, εἰ μὴ ἐν Πνεύματι Ἁγίῳ»[3].

---

1. Πρβλ. Ἀμὼς 4,13. 2. Ἰω. 3,6. 3. Α' Κορ. 12,3.

α. Πρβλ. Εὐσεβίου Καισαρείας, Εἰς τοὺς Ψαλμοὺς (ΟϚ'), ΒΕΠ 22,83,19. PG 23,897C.

ΠΕΡΙ ΤΟΥ ΑΓΙΟΥ ΠΝΕΥΜΑΤΟΣ

ΚΑΤΑ ΜΑΚΕΔΟΝΙΑΝΩΝ ΤΩΝ ΠΝΕΥΜΑΤΟΜΑΧΩΝ *

89 [1301] Τάχα οὐδὲ ἀποκρίνασθαι προσήκει τοῖς ματαίοις τῶν λόγων· τὸ γὰρ σοφὸν τοῦ Σολομῶντος παράγγελμα πρὸς τοῦτο ἔοικε φέρειν τὸ διακελευόμενον μὴ ἀποκρίνεσθαι ἄφρονι κατὰ τὴν ἀφροσύνην αὐτοῦ[1]. Ἀλλ' ἐπειδὴ κίνδυνός ἐστι μὴ διὰ τῆς ἡμετέρας σιγῆς κατισχύσῃ τῆς ἀληθείας τὸ ψεῦδος καὶ πολλὴν ἡ σηπεδονώδης αὕτη τῆς αἱρέσεως γάγγραινα νομὴν κατὰ τῆς ἀληθείας λαβοῦσα τὸν ὑγιαίνοντα τῆς πίστεως λόγον διαλωβήσηται, ἀναγκαῖον ἐφάνη μοι μὴ κατὰ τὴν ἀφροσύνην αὐτῶν ἀποκρίνασθαι τῶν τὰ τοιαῦτα κατὰ τῆς εὐσεβείας προτεινομένων, ἀλλ' ἐπὶ διορθώσει τῶν μοχθηρῶν ὑπολήψεων. Καὶ γὰρ τὸ παροιμιῶδες παράγγελμα δοκεῖ μοι μὴ σιγήν, ἀλλὰ διόρθωσιν τῶν ἀφραινόντων παρεγγυᾶν ὡς δεῖν τὰς ἀποκρίσεις μὴ συντρέχειν τῇ ἀφροσύνῃ τῶν ὑπολήψεων, **[1304]** ἀνατρέπειν δὲ μᾶλλον τὰς ἀνοήτους αὐτῶν καὶ ἠπατημένας περὶ τῶν δογμάτων δόξας.

Τί οὖν ἐστιν ὃ προφέρουσιν ἡμῖν; Ἀσεβεῖν αἰτιῶνται τοὺς περὶ τοῦ Ἁγίου Πνεύματος μεγαλοπρεπεῖς ἔχοντας ὑπολήψεις· καὶ ὅσα τοῖς τῶν πατέρων ἑπόμενοι δόγμασιν ὁμολογοῦμεν περὶ τοῦ Πνεύματος, ταῦτα πρὸς τὸ δοκοῦν ἐκλαμβάνοντες ἀφορμὴν ἑαυτοῖς παρέχουσι καθ' ἡμῶν εἰς ἀσεβείας γραφήν. Ἡμῶν γὰρ συντετάχθαι τῷ Πατρὶ καὶ τῷ Υἱῷ τὸ Πνεῦμα τὸ Ἅγιον ὁμολογούντων ὡς μηδεμίαν εἶναι παραλλαγὴν ἐν μηδενὶ τῶν εὐσεβῶς περὶ τὴν θείαν φύσιν νοουμένων τε καὶ ὀνομαζομένων ἐκτὸς τοῦ καθ' ὑπόστασιν ἰδιαζόντως θεωρεῖσθαι τὸ Πνεῦμα τὸ Ἅγιον, ὅτι ἐκ τοῦ Θεοῦ **90** ἐστι καὶ τοῦ Χριστοῦ ἐστι, καθὼς γέγραπται[2]· οὔτε κατὰ τὸ ἀγέννητον τῷ Πατρὶ οὔτε κατὰ τὸ μονογενὲς τῷ Υἱῷ συνχεόμενον, ἀλλά τισιν ἐξαιρέτοις ἰδιώμασιν ἐφ' ἑαυτοῦ θεωρούμενον ἐν τοῖς ἄλλοις πᾶσι καθάπερ ἔφην τὸ συνημμένον καὶ ἀπαράλλακτον ἔχειν ὁμολογούντων· οἱ ὑπεναντίοι φασὶν ἀπεξενῶσθαι μὲν αὐτὸ πρὸς τὸν Πατέρα καὶ τὸν Υἱὸν τῆς φυσικῆς κοινωνίας καὶ διὰ τὸ τῆς φύσεως διαλλάττον ὑποβεβηκέναι καὶ ἠλαττῶσθαι τοῖς πᾶσιν ἐν δυνάμει καὶ δόξῃ καὶ ἀξιώματι καὶ πᾶσιν ἅπαξ τοῖς θεοπρεπῶς λεγομένοις ὀνόμασί τε καὶ νοήμασι· καὶ διὰ τοῦτο δόξης μὲν ἀμέτοχον, ἀνάξιον δὲ τῆς πρὸς τὸν Πατέρα καὶ

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ Fridericus Mueller, Gregorii Nysseni, Opera Dogmatica Minora (Greg. N. op. W. Jaeger), vol III, I, σσ. 89-115, Leiden, E. J. Brill, 1958. [J.-P. Migne τ. 45, στ. 1301-1333].

1. Πρβλ. Παρμ. 26,4. 2. Πρβλ. Ἰω. 15,26. Γαλ. 4,6.

Υἱὸν ὁμοτιμίας φασίν· δυνάμεως δὲ τοσοῦτον μετέχειν, ὅσον ἐπαρκεῖν αὐτῷ πρὸς ἀποτεταγμένας τινὰς καὶ μερικὰς ἐνεργείας, τῆς δὲ δημιουργικῆς ἰσχύος ἔξω παντάπασιν καθεστάναι. Ταύτης δὲ κρατούσης παρ' αὐτοῖς τῆς ὑπολήψεως ἐκ τοῦ ἀκολούθου κατασκευάζεται παρ' αὐτῶν τὸ μηδὲν ἔχειν ἐν ἑαυτῷ τὸ Πνεῦμα τῶν περὶ τὴν θείαν φύσιν εὐσεβῶς λεγομένων τε καὶ νοουμένων.

Τί οὖν ὁ ἡμέτερος λόγος; Οὐδὲν καινὸν ἡμεῖς οὐδὲ παρ' ἡμῶν αὐτῶν τοῖς τὰ τοιαῦτα προκαλουμένοις ἀποκρινούμεθα, ἀλλὰ ἀποχρησόμεθα τῇ τῆς θείας Γραφῆς περὶ τοῦ Ἁγίου Πνεύματος μαρτυρίᾳ, δι' ἧς Θεῖον τὸ Πνεῦμα τὸ Ἅγιον εἶναί τε καὶ λέγεσθαι μεμαθήκαμεν. Εἰ οὖν συντίθενται καὶ αὐτοὶ τούτῳ καὶ μὴ ἀντιβαίνουσι ταῖς θεοπνεύστοις φωναῖς, εἰπάτωσαν οἱ πρὸς τὸν καθ' ἡμῶν πόλεμον ἕτοιμοι, τίνος ἕνεκεν οὐ πρὸς τὴν Γραφήν, ἀλλὰ πρὸς ἡμᾶς διαμάχονται; Οὐδὲ γὰρ ἡμεῖς ἄλλο τι παρὰ τοῦτό φαμεν. Θείας δὲ φύσεως ⟨εἶναι τὸ Πνεῦμα⟩ ὁμολογοῦντες οὐδεμίαν ἐπιγινώσκομεν οὔτε ἐκ τῆς τῶν Γραφῶν διδασκαλίας οὔτε ἐκ τῶν κοινῶν ἐννοιῶν κατ' αὐτὸ τοῦτο διαφοράν· ὥστε μεμερίσθαι[α] πρὸς ἑαυτὴν τὴν θείαν τε καὶ ὑπερέχουσαν φύσιν διά τινος ἐπιτά**91**σεως ἢ ὑφέσεως παρὰ τὸ πλέον τε καὶ ἔλαττον αὐτὴν πρὸς ἑαυτὴν διαλλάττουσαν. Ἐπειδὴ γὰρ ἁπλῆ καὶ μονοειδὴς καὶ ἀσύνθετος εἶναι πεπίστευται καὶ οὐδεμία πλοκὴ καὶ σύνθεσις ἐξ ἀνομοίων περὶ αὐτὴν θεωρεῖται, διὰ τοῦτο, ἐπειδὰν ἅπαξ θείαν φύσιν τῇ ψυχῇ ἐννοήσωμεν, τὸ ἐν παντὶ θεοπρεπεῖ νοήματι τέλειον διὰ τοῦ ὀνόματος τούτου συμπαρεδεξάμεθα· τὸ γὰρ Θεῖον ἐν παντὶ τῷ κατὰ τὸ ἀγαθὸν λόγῳ τὸ τέλειον ἔχει[β]. Εἰ δὲ ἐλλείποι **[1305]** τινὶ καὶ ὑστερίζοι κατά τι τῆς τελειότητος, κατὰ τὸ ἐλλεῖπον χωλεύσει καὶ ὁ τῆς θεότητος λόγος ὡς μηκέτι Θεῖον ἐν ἐκείνῳ τῷ μέρει ἢ εἶναι ἢ λέγεσθαι. Πῶς γὰρ ἄν τις τῷ ἀτελεῖ καὶ ἐλλείποντι καὶ τῆς ἑτέρωθεν προσθήκης προσδεομένῳ τὴν προσηγορίαν ταύτην ἁρμόσειεν[γ];

Καθάπερ καὶ διὰ τῶν σωματικῶν ὑποδειγμάτων ἔστι τὸν λόγον πιστώσασθαι. Ἡ γὰρ τοῦ πυρὸς φύσις ἐπίσης πᾶσι τοῖς συμπληροῦσιν αὐτὴν μορίοις τὴν θερμαντικὴν αἴσθησιν τοῖς ἁπτομένοις παρέχεται· καὶ οὐ τὸ μέν τι τῆς φλογὸς ὑπερτεταμένην, τὸ δὲ ὑφειμένην ἔχει τὴν θερμασίαν· ἀλλ' ἕως ἂν ᾖ πῦρ, ὅλον διόλου τῇ ταυτότητι τῆς ἐνεργείας ἀδιάστατον πρὸς ἑαυτὸ τὴν ἕνωσιν ἔχει. Εἰ δέ τι κατά τι μέρος καταψυχθείη, οὐκέτι πῦρ κατὰ τὸ κατεψυγμένον ὀνομασθή-

---

α. Πρβλ. Τατιανοῦ, Λόγος πρὸς Ἕλληνας, ΒΕΠ 4,245,5. PG 6,816A. Μ. Ἀθανασίου, Ἔκθεσις πίστεως, ΒΕΠ 33,240,6. PG 25,204A. Μ. Ἀθανασίου, Ἐπιστολὴ ὅτι ἡ ἐν Νικαίᾳ Σύνοδος..., ΒΕΠ 31,166,28. PG 25,461D.

β. [2-8]. Πρβλ. Μ. Ἀθανασίου, Ὅτι εἷς ὁ Χριστός, ΒΕΠ 35,308,11. PG 28,129A. Γρηγορίου Νύσσης, Ἀντιρρητικὸς πρὸς τὰ Ἀπολιναρίου, κατωτέρω 213,26 ἑξ.

γ. Πρβλ. Μ. Ἀθανασίου, Κατὰ Ἀρειανῶν Α', ΒΕΠ 30,138,15. PG 26, 49B.

σεται τῇ πρὸς τὸ ἐναντίον ὑπαλλαγῇ τῆς θερμαντικῆς ἐνεργείας συμμεταποιουμένου καὶ τοῦ ὀνόματος. Ὡσαύτως καὶ τοῦ ὕδατος καὶ τοῦ ἀέρος καὶ πάντων τῶν στοιχειωδῶς ὑποβεβλημένων εἷς καὶ ὁ αὐτὸς ἐφ' ἑκάστου λόγος οὐ παραδεχόμενος πλεονασμὸν ἢ ἐλάττωσιν. Οὐδὲ γὰρ τὸ ὕδωρ μᾶλλον ἢ ἔλαττον δύναται λέγεσθαι· ἕως γὰρ ἂν ἐπίσης ὑγρὸν ᾖ, καὶ ἡ προσηγορία τοῦ ὕδατος ἐπ' αὐτοῦ ἀληθεύεται· εἰ δὲ μεταποιηθείη πρὸς τὴν ἐναντίαν ποιότητα, συνηλλοιώθη πάντως ἐπ' αὐτοῦ καὶ τὸ ὄνομα. Καὶ τοῦ ἀέρος τὸ μαλακόν τε καὶ ἀνωφερὲς καὶ κοῦφον ἐπίσης πᾶσι τοῖς μορίοις ἐνθεωρεῖται· τὸ δὲ πυκνὸν καὶ ἐμβριθὲς καὶ εἰς γῆν ῥέον διαφεύγει τὸ καὶ ἀὴρ ὀνομάζεσθαι. Οὕτως καὶ ἡ θεία φύσις, ἕως μὲν ἂν διὰ παντὸς τοῦ περὶ αὐτὴν εὐσεβῶς θεωρουμένου **92** νοήματος τὸ τέλειον ἔχῃ, ἐπαληθεύσει τὴν προσηγορίαν τῇ τοῦ ἀγαθοῦ τελειότητι· εἰ δὲ ὑποσπασθείη τι τῶν συντεινόντων εἰς τὸν τῆς τελειότητος λόγον, ψεύσεται κατ' ἐκεῖνο τὸ μέρος τὸ τῆς θεότητος ὄνομα καὶ οὐκ ἐφαρμόσει τῷ ὑποκειμένῳ· ἴσον γὰρ ἢ καὶ μᾶλλόν ἐστι τὸ ἀδύνατον ξηρῷ σώματι τὴν τοῦ ὕδατος ἐπωνυμίαν ἁρμόσαι καὶ πῦρ προσαγορεῦσαι τὸ κατεψυγμένον ἐν τῇ ποιότητι καὶ τὸ στερρὸν καὶ ἀντίτυπον ἀέρα εἰπεῖν καὶ Θεῖον ὀνομάσαι, ᾧ μὴ συνυπακούεται ἡ τῆς τελειότητος ἔννοια.

Εἰ οὖν ἀληθῶς καὶ οὐ μέχρις ὀνόματος Θεῖον τὸ Πνεῦμα τὸ Ἅγιον ὑπὸ τῆς Γραφῆς καὶ ὑπὸ τῶν πατέρων ἡμῶν προσηγόρευται, τίς ἔτι λόγος ἐστὶ τοῖς ἀντιστατοῦσι τῇ δόξῃ τοῦ Πνεύματος; Εἰ γὰρ Θεῖον, καὶ ἀγαθὸν πάντως καὶ δυνατὸν καὶ σοφὸν ἔνδοξόν τε καὶ ἀΐδιον καὶ πάντα ὅσα τοῦ τοιούτου γένους ἐστὶν ὀνόματα πρὸς τὸ μεγαλοπρεπὲς τὰς ὑπολήψεις ἡμῶν ἐπαίροντα. Ταῦτα οὐκ ἐκ μετουσίας ἔχειν ἡ ἁπλότης τοῦ ὑποκειμένου διαμαρτύρεται ὡς ἄλλο μέν τι τῇ ἑαυτοῦ φύσει ὑπονοεῖν εἶναι, ἕτερον δέ τι γενέσθαι τῇ παρουσίᾳ τῶν εἰρημένων· ἴδια γὰρ ταῦτα τῶν σύνθετον εἰληχότων τὴν φύσιν. Ἁπλοῦν δὲ τὸ Πνεῦμα τὸ Ἅγιον παρὰ πάντων ἐπίσης συνωμολόγηται καὶ ὁ ἀντιλέγων οὐκ ἔστιν. Εἰ οὖν ἁπλοῦς ὁ τῆς φύσεως αὐτοῦ λόγος, οὐκ ἐπίκτητον ἔχει τὸ ἀγαθόν, ἀλλ' αὐτὸ ὅ τί ποτέ ἐστιν, ἀγαθότης ἐστί, σοφία[1], δύναμις[2], ἁγιασμός[3], δικαιοσύνη[4], ἀϊδιότης, ἀφθαρσία[5], πάντα τὰ ὑψηλὰ τῶν ὀνομάτων καὶ ὑπεραίροντα· τὸ **[1308]** οὖν τοιοῦτον ἐκ ποίας διανοίας ἄδοξον εἶναι κατασκευάζουσιν οἱ μὴ φοβούμενοι τὸ χαλεπὸν τῆς κατὰ τοῦ Πνεύματος βλασφημίας κατάκριμα; Σαφῶς γὰρ τοῦτο προτείνουσι τὸ μὴ δεῖν αὐτὸ δοξαστὸν εἶναι πιστεύειν, οὐκ οἶδα τὸ τῇ φύσει ἔνδοξον τίνι λογισμῷ μὴ ὁμολογεῖν ὅ ἐστι λυσιτελὲς εἶναι κρίνοντες.

Οὐδὲ γὰρ ἐκεῖνο αὔταρκες εἰς ἀπολογίαν αὐτοῖς, ὅτι ἐπειδὴ κατὰ τὴν τάξιν τρίτον ὑπὸ Κυρίου τοῖς μαθηταῖς παραδέδοται, διὰ τοῦτο

---

1. Πρβλ. Α' Κορ. 1,24. 2. Ἔνθ' ἀν. 3. Πρβλ. Α' Κορ. 1,30. 4. Ἔνθ' ἀν. 5. Πρβλ. Ρωμ. 1,23.

τῆς θεοπρεποῦς ἐννοίας ἀπηλλοτρίωται. Ἐφ' ὧν γὰρ ἡ κατὰ τὸ ἀγαθὸν ἐνέργεια οὐδεμίαν ἐλάτ**93**τωσιν ἢ παραλλαγὴν ἔχει[α], πῶς ἐστιν εὔλογον τὴν κατὰ τὸν ἀριθμὸν τάξιν ἐλαττώσεώς τινος, τῆς κατὰ φύσιν παραλλαγῆς, οἴεσθαι σημεῖον εἶναι; Ὥσπερ ἂν εἴ τις ἐν τρισὶ λαμπάσι διῃρημένην βλέπων τὴν φλόγα —αἰτίαν δὲ τοῦ τρίτου φωτὸς ὑποθώμεθα εἶναι τὴν πρώτην φλόγα ἐκ διαδόσεως διὰ τοῦ μέσου τὸ ἄκρον ἐξάψασαν— ἔπειτα κατασκευάζοι πλεονάζειν ἐν τῇ πρώτῃ φλογὶ τὴν θερμασίαν, τῇ δὲ ἐφεξῆς ὑποβεβηκέναι καὶ πρὸς τὸ ἔλαττον ἔχειν τὴν παραλλαγήν, τὴν δὲ τρίτην μηδὲ πῦρ ἔτι λέγεσθαι, κἂν παραπλησίως καίῃ καὶ φαίνῃ καὶ πάντα τὰ τοῦ πυρὸς κατεργάζηται· εἰ δὲ κωλύει οὐδὲν πῦρ εἶναι τὴν τρίτην λαμπάδα, κἂν ἐκ προλαβούσης ἀναλάμψῃ φλογός, τίς ἡ σοφία τῶν διὰ τοῦτο τὴν τοῦ Ἁγίου Πνεύματος ἀξίαν ἀθετεῖν εὐσεβὲς νομιζόντων, ἐπειδήπερ μετὰ Πατέρα καὶ Υἱὸν ἠριθμήθη παρὰ τῆς θείας φωνῆς[β], εἰ μὲν γὰρ λείπει τι τῶν θεοπρεπῶν νοημάτων ἐν τοῖς ἐπιθεωρουμένοις τῇ φύσει τοῦ Πνεύματος, καλῶς αὐτῷ προσμαρτυροῦσι τὸ ἄδοξον· εἰ δὲ διὰ πάντων τὸ μεγαλεῖον τῆς τοῦ Ἁγίου Πνεύματος ἀξίας κατανοεῖται, τί μικρολογοῦσι περὶ τὴν ὁμολογίαν τῆς δόξης; Ὥσπερ ἂν εἴ τις ἄνθρωπόν τινα λέγων εἶναι μηκέτι ἀσφαλὲς ἡγοῖτο συνομολογεῖν ἐπὶ τούτου τὸ λογικὸν ἢ θνητὸν ἢ εἴ τι ἄλλο περὶ τὸν ἄνθρωπον λέγεται καὶ διὰ τοῦτο ἀνατρέποι πάλιν ὃ ἔδωκεν· εἰ γὰρ οὐ **[1309]** λογικός, οὐδὲ ἄνθρωπος πάντως· εἰ δὲ τοῦτο δέδοται, πῶς τὸ συνημμένως μετὰ τοῦ ἀνθρώπου νοούμενον ἀμφιβάλλεται; οὕτω τοίνυν εἰ ἀληθεύει περὶ τοῦ Πνεύματος ὁ θεῖον λέγων, οὐδὲ ὁ τίμιόν τε καὶ ἔνδοξον ἀγαθόν τε καὶ δυνατὸν εἶναι τοῦτο διοριζόμενος ψεύδεται· τῇ γὰρ τῆς θειότητος ἐννοίᾳ πάντα τὰ τοιαῦτα νοήματα συνεισέρχεται· ὥστε ἀναγκαῖον εἶναι τῶν δύο τὸ ἕτερον, ἢ μηδὲ Θεῖον λέγειν ἢ μηδὲν τῶν θεοπρεπῶν νοημάτων ὑποσπᾶν τῆς θειότητος. Διὰ τοῦτο δεῖ πάντως μετ' ἀλλήλων τὰ δύο καταλαμβάνεσθαι, καὶ τὴν θείαν φύσιν μετὰ τῆς **94** προσφυοῦς ὑπολήψεως καὶ τὰς εὐσεβεῖς ἐννοίας περὶ τὴν θείαν τε καὶ ὑπερέχουσαν φύσιν.

Ἐπεὶ οὖν εἴρηται τῆς θείας φύσεως εἶναι τὸ Πνεῦμα καὶ καλῶς εἴρηται, πᾶσα δὲ μεγαλοπρεπὴς ἔννοια τῷ ὀνόματι τούτῳ, καθὼς εἴρηται, συνεμφαίνεται, ὁ ἐκεῖνο δοὺς τῇ δυνάμει συνωμολόγησε τὰ λειπόμενα, τὸ καὶ ἔνδοξον εἶναι καὶ δυνατὸν καὶ εἴ τι πρὸς τὸ κρεῖττον φέρει τὴν σημασίαν. Οὐδὲ γὰρ φύσιν ἔχει μὴ ὁμολογεῖσθαι ταῦτα ἐπὶ τοῦ Πνεύματος διὰ τὸ ἀπεμφαῖνον τῶν ἀντιδιαστελλομένων τοῖς τοιούτοις ὀνόμασιν· ὁ γὰρ ἔνδοξον μὴ διδοὺς ἄδοξον δώσει· καὶ ὁ τὸ δυνατὸν ἀθετῶν ἐπ' αὐτοῦ τῷ ἐναντίῳ συνθήσεται· ὡσαύτως καὶ περὶ τοῦ τιμίου καὶ ἀγαθοῦ· καὶ τὰ πρὸς τὰ κρείττονα εἰ μὴ παραδέχοιτο,

---

α. Πρβλ. Μ. Ἀθανασίου, Κατὰ Ἀρειανῶν Α', ΒΕΠ 30,165,1 ἑξ. PG 26, 116Β. Περὶ σαρκώσεως τοῦ Κυρίου κατὰ Ἀπολιναρίου, ΒΕΠ 37,269,29-30. PG 26,1100A.

β. [στ. 4-16]. Τατιανοῦ, Λόγος πρὸς Ἕλληνας ΒΕΠ 4,245,7-20. PG 6,817A.

τὰ ἐναντία πάντως ὁμολογήσει. Εἰ δὲ φρικτὸν τοῦτο καὶ πάσης ἀτοπίας καὶ βλασφημίας ἐπέκεινα, πρόδηλον ὅτι τοῖς εὐσημοτέροις ὀνόμασί τε καὶ νοήμασι περὶ τοῦ Ἁγίου Πνεύματος οἱ εὐσεβοῦντες συνθήσονται καὶ ἐροῦσιν εἶναι ταῦτα, ἃ δὴ πολλάκις εἰρήκαμεν, τίμιον, δυνατόν, ἔνδοξον, ἀγαθὸν καὶ εἴ τι ἄλλο τῶν πρὸς εὐσέβειαν συντεινόντων λέγεται. Ταῦτα δὲ οὐκ ἀτελῶς προσεῖναι τῷ Πνεύματι οὐδὲ περιωρισμένην ἔχοντα τοῦ καλοῦ τὴν ποσότητα, ἀλλ' ἐπὶ τὸ ἄπειρον ταῖς κλήσεσι συμβαίνοντα· οὐ γὰρ μέχρι τινὸς τίμιον, εἶτα ἄλλο τι νοεῖται παρὰ τὸ τίμιον, ἀλλ' ἀεὶ τοιοῦτον. Καὶ εἰ κατόπιν τῶν αἰώνων λογίζοιο καὶ εἰ πρὸς τὸ ἐφεξῆς ἀποβλέποις, ἐν οὐδενὶ τὸ λεῖπον εἰς τιμὴν ἢ δόξαν ἢ δύναμιν ἐξευρήσεις ὡς ἢ κατὰ προσθήκην αὔξεσθαι ἢ ἐλαττοῦσθαι δι' ὑφαιρέσεως. Οὐκοῦν εἰ ὅλον δι' ὅλου τέλειον, ἐν οὐδενὶ δέχεται τὴν ἐλάττωσιν. Καθ' ὃ γὰρ ἂν μειωθῇ περὶ τὴν τοιαύτην ὑπόνοιαν ἡ τελειότης, κατ' ἐκεῖνο δώσει χώραν ταῖς ἀτιμοτέραις τῶν ὑπολήψεων· τὸ γὰρ μὴ τελείως τίμιον, μέρει τινὶ τοῦ ἐναντίου μετέχειν ὑπονοεῖται. Εἰ δὲ τοῦτο καὶ μέχρις ἐννοίας λαβεῖν τῆς ἐσχάτης παραπληξίας ἐστί, καλῶς ἔχει πάντως ἀόριστον αὐτῷ καὶ ἀπερίγραπτον καὶ κατ' οὐδὲν μέρος ἠλαττωμένην προσμαρτυρεῖν τὴν ἐν τοῖς ἀγαθοῖς τελειότητα.

95 Εἰ δὴ τοιοῦτόν ἐστιν, ἐφεξῆς ὁ λόγος καὶ περὶ τοῦ Υἱοῦ τὸ ἴσον διασκεψάσθω καὶ περὶ τοῦ Πατρὸς ὡσαύτως. Ἆρ' οὐχὶ τὸ τέλειον ὁμολογεῖ τῆς τιμῆς καὶ ἐπὶ τούτου καὶ ἐπ' ἐκείνου; πάντας οἶμαι τοὺς νοῦν ἔχοντας τοῖς εἰρημένοις συνθήσεσθαι. Εἰ οὖν τελεία τοῦ Πατρὸς ἡ τιμή, τελεία δὲ καὶ τοῦ Υἱοῦ, προσεμαρτυρήθη δὲ καὶ τῷ Ἁγίῳ Πνεύματι τῆς τιμῆς τὸ τέλειον, διὰ τί νομοθετοῦσιν ἡμῖν οἱ καινοὶ δογματι**[1312]**σταὶ μὴ δεῖν ὁμολογεῖν ἐπ' αὐτοῦ πρὸς Πατέρα καὶ Υἱὸν τὸ ὁμότιμον; Ἡμεῖς μὲν γὰρ τοῖς ἐξητασμένοις ἑπόμενοι τὸ μηδεμιᾶς προσθήκης εἰς τελείωσιν προσδεόμενον ἀτιμότερον ἑτέρου τινὸς οὔτε λέγειν οὔτε νοεῖν δυνάμεθα. Οὗ γὰρ τὸ πλεονάζον οὐκ ἐξευρίσκει ὁ λόγος διὰ τὸ ἀνελλιπές τε καὶ τέλειον, ἐν τίνι καταλήψεται αὐτοῦ τὴν ἐλάττωσιν, οὐχ ὁρῶ. Οἱ δὲ ἀπαγορεύοντες τὸ ὁμότιμον δογματίζουσι πάντως τὸ ἀτιμότερον. Καὶ πάσας καὶ ὡσαύτως κατὰ τὴν αὐτὴν ἀκολουθίαν διὰ τῆς κατὰ τὴν σύγκρισιν ἐλαττώσεως ἐπὶ τὸ ἐναντίον τὰς εὐσεβεῖς ὑπολήψεις περὶ τοῦ Πνεύματος παρατρέψουσι μὴ ἐν ἀγαθότητι μηδὲ ἐν δυνάμει μηδὲ ἐν ἄλλῳ τινὶ τῶν εὐσεβῶς περὶ αὐτοῦ λεγομένων συμμαρτυροῦντες τὸ τέλειον. Εἰ δὲ τὸ πρόδηλον τῆς ἀσεβείας ἐκκλίνοντες τὸ ἐν παντὶ τῷ κατὰ τὸ ἀγαθὸν λεγομένῳ νοήματι τέλειον ὁμολογοῦσιν, εἰπάτωσαν οἱ σοφοί, πῶς τελείου τέλειον ἢ τελειότερόν ἐστιν ἢ ἀτελέστερον· ἕως γὰρ ἂν ὁ τῆς τελειότητος ἐφαρμόζηται λόγος, οὔτε τὸ πλέον οὔτε τὸ ἔλαττον ἐν τῇ τοῦ τελείου ἐννοίᾳ ὁ λογισμὸς οὗτος παραδέχεται.

Εἰ οὖν διὰ πάντων τέλειον τὸ Πνεῦμα τὸ Ἅγιον εἶναι συντίθενται, ὡμολόγηται δὲ πρὸς τούτοις εὐσεβὲς εἶναι καὶ τοῦ Πατρὸς

καὶ τοῦ Υἱοῦ τὸ ἐν παντὶ ἀγαθῷ τέλειον, τίς ὁ λόγος, καθ' ὃν εὔλογον κρίνουσι πάλιν ἀναιρεῖν ὃ δεδώκασιν· τὸ γὰρ ἀναιρεῖν τὸ ὁμότιμον ἀπόδειξίς ἐστι τοῦ μὴ νομίζειν **96** μετέχειν τῆς τελειότητος. Αὐτὸ δὲ τοῦτο τὴν τιμὴν ἐπὶ τῆς θείας φύσεως τί ποτε ἄρα νομίζουσιν, ἧς ἄμοιρον εἶναι τὸ Πνεῦμα βούλονται; πότερον ταύτην φασὶν ἣν καὶ ἄνθρωποι ἀνθρώποις χαρίζονται λόγῳ τε θεραπεύοντες καὶ σχήματι, τὸ ὑπήκοον ἐνδεικνύμενοι κατὰ τὴν πρόσοδον καὶ ὅσα τοιαῦτα τῇ ματαίᾳ τοῦ βίου συνηθείᾳ τῷ τῆς τιμῆς γίνεται λόγῳ; Ἅπερ πάντα τῇ προαιρέσει τῶν ταῦτα ἐργαζομένων συνέστηκεν· ὧν καθ' ὑπόθεσιν μὴ προελομένων, οὐδεμίαν ἐκ φύσεως ἀφορμὴν ἔχει τῶν ἀνθρώπων οὐδεὶς εἰς τὸ εἶναι τῶν λοιπῶν τιμιώτερος πάντων ὁμοίως κατὰ τὰ αὐτὰ μέτρα τῆς φύσεως γνωριζομένων. Σαφὴς δὲ ὁ λόγος καὶ οὐδεμίαν ἀμφιβολίαν ἔχων· τὸν γὰρ σήμερον διὰ τὴν ἀρχήν, ἧς προέστηκε, τίμιον τοῖς πολλοῖς εἶναι δοκοῦντα εὑρήσομεν ἐφεξῆς ἕνα τῶν τιμώντων καὶ αὐτὸν γινόμενον τῆς ἀρχῆς εἰς ἕτερον μετενεχθείσης. Ἆρ' οὖν τοιοῦτόν τι τῆς τιμῆς εἶδος καὶ ἐπὶ τῆς θείας φύσεως ἐπινοοῦσιν, ὥστε βουλομένων μὲν ἡμῶν τὸ τίμιον ἔχειν, παυσαμένων δὲ τοῦ τιμᾶν τῇ ἡμετέρᾳ προαιρέσει συγκαταλήγειν τὴν θείαν τιμήν; ἢ καταγέλαστόν ἐστι καὶ ἀσεβὲς ἅμα τὰ τοιαῦτα νοεῖν; Οὐ γὰρ δι' ἡμᾶς τὸ Θεῖον ἑαυτοῦ τιμιώτερον γίνεται, ἀλλ' ἀεὶ ὡσαύτως ἔχει οὔτε πρὸς τὸ χεῖρον οὔτε πρὸς τὸ κρεῖττον μεταβῆναι δυνάμενον· τὸ μὲν γὰρ οὐ δέχεται, τὸ δὲ οὐκ ἔχει.

Τίνι τοίνυν τρόπῳ τιμήσεις τὸ Θεῖον; πῶς ὑψώσεις τὸ ὕψιστον; πῶς δοξάσεις τὸ ὑπὲρ πᾶσαν δό**[1313]**ξαν; πῶς ἐπαινέσεις τὸ ἀκατάληπτον; Εἰ πάντα τὰ ἔθνη ὡς σταγὼν ἀπὸ κάδου[1], καθώς φησιν Ἡσαΐας, ἐὰν πᾶσα ἡ τῶν ἀνθρώπων ζωὴ συναρμοσθεῖσα ὁμόφωνον ἀναπέμψῃ τὴν δόξαν, τίς ἔσται προσθήκη τῷ κατὰ τὴν φύσιν ἐνδόξῳ τῆς σταγόνος ἡ χάρις; Οἱ οὐρανοὶ διηγοῦνται τὴν δόξαν τοῦ Θεοῦ[2] καὶ μικροὶ κήρυκες τῆς ἀξίας νομίζονται· ὅτι ἐπήρθη ἡ μεγαλοπρέπεια αὐτοῦ, οὐ μέχρι τῶν οὐρανῶν, ἀλλ' ὑπεράνω τῶν οὐρανῶν[3], τῶν μικρῷ μέρει τῆς θεότητος τῇ σπιθαμῇ[4] τρο**97**πικῶς ὀνομαζομένῃ περιειλημμένων. Καὶ ἄνθρωπος, τὸ ἐπίκηρον τοῦτο καὶ ὠκύμορον ζῷον, καλῶς τῷ χόρτῳ προσεικασμένος[5], σήμερον ὢν καὶ αὔριον οὐκ ἐσόμενος, ἀξίως τιμῆσαι τὴν θείαν φύσιν πεπίστευκεν; Ὅμοιον ὥσπερ ἂν εἴ τις ἐξάψας λεπτὴν ἶνα ἀπὸ στιππύου προσθήκην τινὰ ταῖς τοῦ ἡλίου μαρμαρυγαῖς διὰ τοῦ σπινθῆρος ὑπολαμβάνοι χαρίζεσθαι. Τί λέγων εἰπέ μοι τιμήσεις, ἐάν περ ὅλως τιμῆσαι θελήσεις τὸ Πνεῦμα τὸ Ἅγιον; Ὅτι ἀθάνατόν ἐστι πάντως, ὅτι ἄτρεπτόν τε καὶ ἀναλλοίωτον καὶ ἀεὶ καλὸν καὶ ἀπροσδεὲς τῆς ἑτέρωθεν χάριτος, ὅτι πάντα ἐν πᾶσιν ἐνεργεῖ καθὼς βούλεται, ἅγιον, ἡγεμονικόν,

---

1. Πρβλ. Ἡσ. 40,15. 2. Πρβλ. Ψαλ. 18,2. 3. Πρβλ. Ψαλ. 8,2. 4. Πρβλ. Ἡσ. 40,12. 5. Πρβλ. Ματθ. 6,30.

εὐθές, δίκαιον, ἀληθινόν, τὰ βάθη ἐρευνῶν τοῦ Θεοῦ, ἐκ Πατρὸς ἐκπορευόμενον, ἐκ τοῦ Υἱοῦ λαμβανόμενον, καὶ εἴ τι τοιοῦτον. Τί οὖν διὰ τούτων καὶ τῶν τοιούτων χαρίζῃ; τὰ προσόντα λέγεις ἢ διὰ τῶν μὴ προσόντων τιμᾷς; Εἰ μὲν γὰρ τὰ μὴ προσόντα προσμαρτυρεῖς, ματαία ἡ χάρις καὶ εἰς οὐδὲν φέρουσα πλέον· ὁ γὰρ τὸ πικρὸν γλυκὺ λέγων, αὐτὸς μὲν ἐψεύσατο, τὸ δὲ ψεκτὸν οὐκ ἐπήνεσεν. Εἰ δὲ τὰ ὄντα λέγεις, τῇ φύσει τοιοῦτόν ἐστι πάντως καὶ ὁμολογοῦντος καὶ μή· φησὶ γὰρ ὁ Ἀπόστολος ὅτι «εἰ ἀπιστοῦμεν, ἐκεῖνος πιστὸς μένει»[1].

Τί οὖν βούλεται ἡ ὑποστολὴ τῆς ψυχῆς καὶ ἡ μεγαλοψυχία ⟨τῶν⟩ ἐπὶ μὲν τοῦ Πατρὸς φιλοτιμουμένων, καὶ τῷ Υἱῷ τυχεῖν τὰ ἴσα χαριζομένων, ἐπὶ δὲ τοῦ Πνεύματος σμικρολογούντων τὴν χάριν, εἴπερ δέδεικται οὐκ ἐκ τῆς προαιρέσεως ἡμῶν πληρουμένη ἡ ἰδίως προσοῦσα τῇ θείᾳ φύσει τιμή, ἀλλὰ προσφυῶς συνυπάρχουσα; ἡ μὲν γὰρ ἀγνωμοσύνη τῶν ἀχαρίστων διὰ τῆς τοιαύτης αὐτῶν γνώμης ἐλέγχεται· τὸ δὲ Πνεῦμα τῇ ἑαυτοῦ φύσει τίμιον, ἔνδοξον, δυνατόν, πάντα τὰ ὑψηλὰ τῶν νοημάτων ἐστί, κἂν οὗτοι μὴ βούλωνται. Ναί φησιν. Ἀλλὰ τὸν Πατέρα μὲν δημιουργὸν εἶναι παρὰ τῆς Γραφῆς ἐδιδάχθημεν· ὡσαύτως καὶ διὰ τοῦ **98** Υἱοῦ τὰ πάντα γεγενῆσθαι ἐμάθομεν· οὐδὲν δὲ τοιοῦτον περὶ τοῦ Πνεύματος ἡμᾶς ὁ λόγος ἐδίδαξεν. Καὶ πῶς ἐστιν εἰκὸς εἰς ἰσοτιμίαν ἄγειν τὸ Πνεῦμα τὸ Ἅγιον τῷ διὰ τῆς δημιουργίας τοσοῦτον μέγεθος ⟨τῆς⟩ δυνάμεως ἐπιδειξαμένῳ; Τί οὖν ἡμεῖς πρὸς τοῦτο ἀποκρινούμεθα; ὅτι μάταια ἐλάλησαν ἐν ταῖς καρδίαις αὐτῶν οἱ νομίζοντες μὴ ἀεὶ μετὰ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ τὸ Πνεῦμα εἶναι, ἀλλὰ κατὰ καιρούς τινας ποτὲ μὲν ἐφ' ἑαυτοῦ θεωρεῖσθαι, ποτὲ δὲ συνημμένως καταλαμβάνεσθαι. Εἰ γὰρ χωρὶς τοῦ Πνεύματος γέγονεν ὁ οὐρανὸς καὶ ἡ **[1316]** γῆ καὶ πᾶσα ἡ κτίσις διὰ τοῦ Υἱοῦ μόνου ἐκ τοῦ Πατρός, εἰπάτωσαν οἱ ταῦτα λέγοντες, τί ἐποίει τότε τὸ Πνεῦμα τὸ Ἅγιον, ὅτε ὁ Πατὴρ μετὰ τοῦ Υἱοῦ τὴν κτίσιν ἐνήργει; ἄλλοις τισὶν ἔργοις προσησχολεῖτο καὶ διὰ τοῦτο τῆς κτίσεως τῶν πάντων οὐ συνεφήπτετο; καὶ τί ἔχουσι δεῖξαι ἰδιάζον ἔργον τοῦ Πνεύματος, ὅτε ἡ κτίσις συνίστατο; ἢ μωρόν ἐστι καὶ ἀνόητον τὸ καὶ ἄλλην κτίσιν παρὰ τὴν ἐκ τοῦ Πατρὸς διὰ τοῦ Υἱοῦ ὑφεστῶσαν ἐπινοεῖν.

Ἀλλ' οὐκ ἠσχολεῖτο μέν, ῥᾳθυμίᾳ δέ τινι καὶ ῥᾳστώνῃ καὶ τῷ περὶ τοὺς πόνους ὄκνῳ τῆς περὶ τὴν κτίσιν σπουδῆς ἐχωρίζετο. Ἀλλ' ἵλεως εἴη ἡμῖν ἐπὶ τῇ ματαιότητι ταύτῃ τῇ τῶν λόγων αὐτὴ ἡ τοῦ Πνεύματος χάρις. Τῇ γὰρ ἀτοπίᾳ τῶν τὰ τοιαῦτα δογματιζόντων κατ' ἴχνος ἑπόμενοι ἀβουλήτως ταῖς ἐννοίαις αὐτῶν οἷόν τινι βορβόρῳ τὸν λόγον κατερρυπώσαμεν. Ἡ γὰρ εὐσεβὴς διάνοια τοῦτον ἔχει τὸν τρόπον· οὔτε Πατὴρ χωρὶς Υἱοῦ ποτε ἐννοεῖται οὔτε Υἱὸς δίχα τοῦ

1. Β' Τιμ. 2,13.

Ἁγίου Πνεύματος καταλαμβάνεται[α]. Ὡς γὰρ ἀμήχανόν ἐστιν ἀνελθεῖν πρὸς τὸν Πατέρα μὴ διὰ τοῦ Υἱοῦ ὑψωθέντα[1], οὕτως ἀδύνατόν ἐστι Κύριον Ἰησοῦν εἰπεῖν μὴ ἐν Πνεύματι Ἁγίῳ[2]· οὐκοῦν ἀκολούθως τε καὶ συνημμένως ὁ Πατὴρ καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ Ἅγιον ἀεὶ μετ' ἀλλήλων ἐν τελείᾳ τῇ τριάδι γνωρίζονται καὶ πρὸ πάσης κτίσεως καὶ πρὸ πάντων αἰώνων καὶ πρὸ πάσης καταληπτῆς ἐπινοίας ἀεὶ πατὴρ ὁ Πατήρ ἐστι καὶ ἐν τῷ **99** Πατρὶ ὁ Υἱὸς καὶ μετὰ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ Ἅγιον. Εἰ οὖν ἀχωρίστως ταῦτα μετ' ἀλλήλων ἐστίν, τίς ἡ ματαιότης τῶν ἐν καιρῷ τινι διαχωρίζειν ἐπιχειρούντων τὸ ἄτμητον καὶ διαιρεῖν τὸ ἀχώριστον, ὥστε τολμᾶν λέγειν· μόνος ἐποίησεν ὁ Πατὴρ διὰ μόνου τοῦ Υἱοῦ τὰ πάντα[3], τοῦ Ἁγίου Πνεύματος ἐν τῷ καιρῷ τῆς δημιουργίας[β] ἢ μὴ παρόντος ἢ μὴ ἐνεργοῦντος, εἰ μὲν γὰρ οὐ παρῆν, εἰπάτωσαν ποῦ ἦν, πάντα τοῦ Θεοῦ διειληφότος, εἴ τινα ἰδιάζουσαν τῷ Πνεύματι στάσιν ἐπινοοῦσιν, ὥστε ἐφ' ἑαυτοῦ κεχωρισμένως εἶναι κατὰ τὸν τῆς κτίσεως χρόνον· εἰ δὲ παρῆν, πῶς ἀνενέργητον ἦν; τῷ μὴ δύνασθαί τι ποιεῖν ἢ τῷ μὴ βούλεσθαι; ἑκουσίως ἀπολειπόμενον ἢ ὑπό τινος βιαιοτέρας ἀνάγκης ἐλαυνόμενον; εἰ μὲν γὰρ ἐκ προαιρέσεως τὴν ἀργίαν ἠσπάζετο, οὐδὲ ἐν ἄλλῳ τινὶ πάντως τὸ ἐνεργεῖν καταδέχεται, καὶ ψευδὴς κατ' αὐτοὺς ὁ λέγων, ὅτι πάντα ἐν πᾶσιν ἐνεργεῖ[4] καθὼς βούλεται.

Εἰ δὲ τούτῳ μέν ἐστιν ἡ πρὸς τὸ ἐνεργεῖν ὁρμή, ὑπερκειμένη δέ τις ἐξουσία κωλύει τὴν πρόθεσιν, εἰπάτωσαν τὴν αἰτίαν τοῦ ταῦτα κωλύοντος. Φθόνῳ τῆς ἐκ τῶν ἔργων δόξης, ὡς ἂν μὴ καὶ εἰς ἄλλον διαβαίη τῶν κατορθωμάτων τὸ θαῦμα ἢ τῷ μὴ καταπιστεύειν τῇ συνεργίᾳ, ὡς ἐπὶ λύμῃ τοῦ παντὸς ἐσομένης αὐτοῦ τῆς ἐργασίας; Πάντως γὰρ τῶν τοιούτων ὑπολήψεων καὶ τὰς αἰτίας ἡμῖν οἱ σοφοὶ οὗτοι διασαφήσουσιν. Εἰ δὲ οὔτε φθόνος τῆς θείας ἅπτεται φύσεως οὔτε τι σφάλμα περὶ τὴν ἄπταιστον **[1317]** φύσιν ἐπινοεῖται, τί βούλεται αὐτοῖς ἡ μικροπρέπεια τῶν νοημάτων ἡ τῆς δημιουργικῆς αἰτίας ἀφορίζουσα τὴν τοῦ Πνεύματος δύναμιν, δέον ταῖς ὑψηλοτέραις τῶν ἐννοιῶν ἀφιέναι μὲν τὰ ταπεινὰ καὶ ἀνθρώπινα τῶν νοημάτων, λογισμὸν δὲ λαβεῖν τοῦ ὕψους τῶν ζητουμένων ἐπάξιον· ὅτι οὔτε ὁ ἐπὶ πάντων Θεὸς συνεργίας τινὸς χρῄζων διὰ τοῦ Υἱοῦ τὰ πάντα ἐποίησεν οὔτε ὁ μονογενὴς Θεὸς ἐλάττονα τῆς προθέσεως τὴν δύναμιν ἔχων ἐν τῷ Ἁγίῳ Πνεύματι τὰ πάντα **100** ἐργάζεται. Ἀλλὰ πηγὴ μὲν δυνάμεώς ἐστιν ὁ Πατήρ, δύναμις δὲ τοῦ Πατρὸς ὁ Υἱός, δυνάμεως δὲ

---

1. Πρβλ. Ἰω. 14,6. 2. Πρβλ. Α' Κορ. 12,3. 3. Πρβλ. Ἑβρ. 1,2. 4. Πρβλ. Α' Κορ. 12,5.

α. Πρβλ. Εὐσεβίου Καισαρείας, Ἐκκλησιαστικῆς Θεολογίας Β', ΒΕΠ 29, 115,19-26. PG 24,944A. Ἐπιφανίου Κύπρου, Κατὰ αἱρέσεων, PG 42,385A.

β. Πρβλ. Μ. Ἀθανασίου, Ἐπιστολὴ ὅτι ἡ ἐν Νικαίᾳ Σύνοδος..., ΒΕΠ 31, 157,20-30. PG 25,444A. Εὐνομίου τοῦ δυσσεβοῦς, ἀπολογητικός, πρὸς ὃν ἔγραψεν ἀντιρρητικὸν ὁ Μέγας Βασίλειος, ΒΕΠ 52,154,35-155,6.

πνεῦμα τὸ Πνεῦμα τὸ Ἅγιον· ἡ δὲ κτίσις πᾶσα, ὅση τε αἰσθητὴ καὶ ὅση ἀσώματος, τῆς θείας δυνάμεώς ἐστιν ἀποτέλεσμα[α]. Καὶ ἐπειδὴ πόνος οὐδεὶς ἐν τῇ συστάσει τῶν περὶ τὴν θείαν φύσιν ὑπονοεῖται (ὁμοῦ γὰρ τῷ προελέσθαι τὸ γενέσθαι δέον εὐθὺς οὐσία ἡ πρόθεσις γίνεται), πᾶσαν τὴν διὰ τῆς κτίσεως ὑποστᾶσαν φύσιν, θελήματος κίνησιν καὶ προθέσεως ὁρμὴν καὶ δυνάμεως διάδοσιν, εἰκότως ἄν τις προσαγορεύσειεν ἐκ Πατρὸς ἀρχομένην καὶ δι' Υἱοῦ προϊοῦσαν καὶ ἐν Πνεύματι Ἁγίῳ τελειουμένην.

Ταῦτα ἡμεῖς ἰδιωτικῶς καὶ κατὰ τὸν συνήθη τρόπον ἡμῖν ἐννοοῦντες τὰ σοφὰ ταῦτα τῶν ἀνθυποφερόντων οὐ προσιέμεθα πιστεύοντες καὶ ὁμολογοῦντες ἐν παντὶ πράγματι καὶ νοήματι ἐγκοσμίῳ τε καὶ ὑπερκοσμίῳ καὶ τοῖς ἐν χρόνῳ καὶ τοῖς προαιωνίοις μετὰ Πατρὸς καὶ Υἱοῦ τὸ Πνεῦμα τὸ Ἅγιον καταλαμβάνεσθαι μήτε βουλήματος μήτε ἐνεργείας μήτε ἄλλου τινὸς τῶν κατὰ τὸ ἀγαθὸν εὐσεβῶς νοουμένων ἀπολειπόμενον· καὶ διὰ τοῦτο ἐκτὸς τῆς κατὰ τάξιν καὶ ὑπόστασιν διαφορᾶς ἐν οὐδενὶ τὸ παρηλλαγμένον καταλαμβάνομεν, ἀλλὰ τρίτον μὲν τῇ ἀκολουθίᾳ φαμὲν μετὰ Πατέρα καὶ Υἱὸν ἀριθμεῖσθαι, τρίτον δὲ καὶ τῇ τάξει τῆς παραδόσεως· ἐν δὲ τοῖς λοιποῖς πᾶσιν ἀχώριστον τὴν συνάφειαν[β] ὁμολογοῦντες ἐν φύσει καὶ ἐν τιμῇ καὶ ἐν θεότητι καὶ δόξῃ καὶ μεγαλοπρεπείᾳ καὶ τῇ ἐπὶ πάντων ἐξουσίᾳ καὶ τῇ εὐσεβεῖ ὁμολογίᾳ. Περὶ δὲ λατρείας καὶ προσκυνήσεως καὶ ὅσα τοιαῦτα μικρολογοῦντες προφέρουσιν οἱ σοφοὶ παρ' ἑαυτοῖς[1], ἐκεῖνα λέγομεν, ὅτι πάντων τῶν παρ' ἡμῖν γινομένων ἐκ προαιρέσεως ἀνθρωπίνης ὑψηλότερόν ἐστι τὸ Πνεῦμα τὸ Ἅγιον· καὶ ἡ προσκύνησις ἡμῶν ταπεινοτέρα ἐστὶ τῆς χρεωστουμένης τιμῆς καί, εἴ τι ἄλλο ἡ ἀνθρωπίνη συνήθεια τίμιον ἔχει, κάτω που τῆς ἀξίας ἐστὶ τοῦ Πνεύματος· τὸ γὰρ τῇ φύσει ἀμέτρητον μεῖζόν ἐστι τῶν ἀπὸ μικρᾶς καὶ περιγεγραμμένης καὶ εὐτελοῦς δυνάμεως τὰ κατὰ δύναμιν αὐτῷ δωροφο**101**ρούντων. Ταῦτα μὲν οὖν φαμεν πρὸς τοὺς συντιθεμένους τῇ εὐσεβεστέρᾳ περὶ τοῦ Ἁγίου Πνεύματος ὑπολήψει, ὅτι τε Θεῖόν ἐστι καὶ φύσεως θείας.

Εἰ δέ τις ἀθετοίη τὴν φωνὴν ταύτην καὶ τὴν διάνοιαν τὴν τῷ ὀνόματι τῆς θειότητος συνεμφαινομένην, λέγοι δὲ τὸ παρὰ τῶν πολλῶν ἐπὶ καθαιρέσεως τῆς τοῦ Πνεύματος μεγαλωσύνης περιφερόμενον, ὅτι οὐχὶ τῶν **[1320]** ποιούντων, ἀλλὰ τῶν ποιηθέντων ἐστὶ καὶ οὐχὶ τῆς θείας, ἀλλὰ τῆς κτιστῆς φύσεως εἶναι προσήκει νομίζειν, τοῦτον τὸν λόγον ἀποκρινούμεθα· ὅτι τοὺς οὕτως ἔχοντας ἐν Χριστιανοῖς ἀρι-

---

1. Πρβλ. Παρμ. 26,5,12,16. 28,11.

α. Πρβλ. Μ. Ἀθανασίου, Ἐπιστολὴ ὅτι ἡ ἐν Νικαίᾳ Σύνοδος..., ΒΕΠ 31, 150,5-18. PG 25,428C.

β. Πρβλ. Μ. Ἀθανασίου, Κατὰ Ἀρειανῶν Δ', ΒΕΠ 30,316,15. PG 26, 492B.

θμεῖν οὐκ ἐμάθομεν. Ὥσπερ γὰρ ἄνθρωπον οὐκ ἄν τις προσείποι τὸ ἀτελεσφόρητον ἔμβρυον[α], ἀλλὰ δυνάμενον εἴπερ ἐτελεσφορήθη εἰς ἀνθρώπου γένεσιν προελθεῖν, ἕως δ' ἂν ἐν τῷ ἀτελεῖ ᾖ, ἄλλο τί ἐστι καὶ οὐκ ἄνθρωπος· οὕτως τὸν μὴ δι' ὅλου τοῦ μυστηρίου τὴν ἀληθῆ μόρφωσιν τῆς εὐσεβείας[1] δεξάμενον Χριστιανὸν οὐκ οἶδεν ὁ λόγος. Ἔστι γὰρ καὶ Ἰουδαίων ἀκούειν Θεὸν ὁμολογούντων καὶ Θεὸν τὸν ἡμέτερον. Συντίθεται αὐτοῖς ἐν τῷ Εὐαγγελίῳ καὶ ὁ Κύριος, ὅτι οὐκ ἄλλον νομίζουσι Θεὸν ἢ τὸν Πατέρα τοῦ Μονογενοῦς, «ὃν ὑμεῖς», φησίν, «λέγετε ὅτι Θεὸς ἡμῶν ἐστιν»[2]. Ἆρ' οὖν Χριστιανοὺς ὀνομαστέον τοὺς Ἰουδαίους, ὅτι τὸν παρ' ἡμῶν προσκυνούμενον καὶ αὐτοὶ σέβειν ὁμολογοῦσιν; Οἶδα καὶ Μανιχαίους τὸ ὄνομα τοῦ Χριστοῦ περιφέροντας. Τί οὖν; ἐπειδὴ σεβάσμιον παρὰ τούτοις τὸ παρ' ἡμῶν προσκυνούμενον ὄνομα, διὰ τοῦτο καὶ αὐτοὺς ἐν Χριστιανοῖς ἀριθμήσομεν; Οὕτως καὶ ὁ τὸν Πατέρα μὲν ὁμολογῶν καὶ τὸν Υἱὸν παραδεχόμενος, ἀθετῶν δὲ τὴν μεγαλωσύνην τοῦ Πνεύματος, ἤρνηται τὴν πίστιν καί «ἐστιν ἀπίστου χείρων»[3] καὶ τῆς ἐπωνυμίας τοῦ Χριστιανοῦ καταψεύδεται. Ἄρτιον εἶναι κελεύει τὸν τοῦ Θεοῦ ἄνθρωπον ὁ Ἀπόστολος[4]. Ἄρτιον δ' ἂν εἴη ἐπὶ μὲν τοῦ κοινοῦ ἀνθρώπου τὸ παντὶ λόγῳ συμπεπληρωμένον τῆς φύσεως· λογικὸν [τε] γὰρ εἶναι χρή, νοῦ καὶ ἐπιστήμης δεκτικόν, **102** ζωῆς μετέχον, ὄρθιον τῷ σχήματι, γελαστικόν, πλατυώνυχον· εἰ δὲ ὀνομάζοι μέν τις ἄνθρωπον, τὰ δὲ εἰρημένα σημεῖα τῆς φύσεως μὴ ἔχοι ἐπὶ τούτου παρέχεσθαι, μάτην ἐτίμησε τῷ προσρήματι. Οὕτω καὶ ὁ Χριστιανὸς τῇ εἰς Πατέρα καὶ Υἱὸν καὶ Ἅγιον Πνεῦμα πίστει χαρακτηρίζεται· αὕτη ἐστὶν ἡ μορφὴ τοῦ κατὰ τὸ μυστήριον τῆς ἀληθείας μεμορφωμένου. Εἰ δὲ ἑτέρως ἡ μορφὴ διακειμένη τύχῃ, οὐχ ἐπιγνώσομαι τοῦ ἀμόρφου τὴν φύσιν· σύγχυσίς ἐστι τοῦ χαρακτῆρος καὶ τῆς κατὰ φύσιν μορφῆς ἀλλοτρίωσις καὶ παραλλαγὴ τῶν γνωριστικῶν σημείων τῆς ἀνθρωπότητος, ὅταν μὴ συμπαραληφθῇ τῇ πίστει τὸ Πνεῦμα τὸ Ἅγιον. Ἀληθεύει γὰρ τοῦ Ἐκκλησιαστοῦ ὁ λόγος· ὅτι οὗτος οὐχὶ ζῶν ἐστιν ἄνθρωπος, ἀλλὰ ὀστᾶ, καθὼς ἐκεῖνός φησιν, ἐν τῇ γαστρὶ τῆς κυοφορούσης[5]. Πῶς γὰρ ὁμολογήσει Χριστὸν ὁ μὴ συνεπινοῶν τῷ χρισθέντι τὸ χρίσμα; Τοῦτον ἔχρισε, φησίν, ὁ Θεὸς ἐν Πνεύματι Ἁγίῳ[6].

Εἰπάτωσαν οὖν ἡμῖν οἱ καθαιροῦντες τὴν τοῦ Πνεύματος δόξαν καὶ τῇ ὑποχειρίῳ φύσει συγκατατάσσοντες, τίνος σύμβολόν ἐστιν ἡ χρίσις. Οὐχὶ τῆς βασιλείας; τί δαί; οὐχὶ φύσει βασιλέα τὸν Μονογενῆ πεπιστεύκασιν; Οὐκ ἀντεροῦσι πάντως οἵ γε μὴ καθάπαξ τῷ ἰουδαϊκῷ καλύμματι τὴν καρδίαν περιεχόμενοι. Εἰ οὖν τῇ φύσει βασιλεὺς ὁ Υἱός, βασιλείας δὲ σύμβολόν ἐστι τὸ χρίσμα, τί σοι διὰ τῆς ἀκολου-

---

1. Πρβλ. Β' Τιμ. 3,5. 2. Ἰω. 8,54. 3. Α' Τιμ. 5,8. 4. Πρβλ. Β' Τιμ. 3,17. 5. Πρβλ. Ἐκκλ. 11,5. 6. Πρβλ. Πράξ. 10,38.

α. Πρβλ. Γρηγορίου Νύσσης, Περὶ ψυχῆς καὶ ἀναστάσεως, PG 46,157C.

θίας ὁ λόγος ἐνδείκνυται; Ὅτι οὐκ ἀλλότριόν τί ἐστι τοῦ κατὰ φύσιν βασιλέως τὸ χρίσμα οὐδὲ ὡς ξένον τι καὶ ἀλλόφυλον τῇ Ἁγίᾳ Τριάδι τὸ Πνεῦμα **[1321]** συντέτακται. Βασιλεὺς μὲν γὰρ ὁ Υἱός· βασιλεία δὲ ζῶσα καὶ οὐσιώδης καὶ ἐνυπόστατος τὸ Πνεῦμα τὸ Ἅγιον, ᾗ χρησθεὶς ὁ μονογενὴς Χριστός ἐστι καὶ βασιλεὺς τῶν ὄντων. Εἰ οὖν βασιλεὺς ὁ Πατήρ, βασιλεὺς δὲ ὁ Μονογενής, βασιλεία δὲ τὸ Πνεῦμα τὸ Ἅγιον, εἷς πάντως τῆς βασιλείας ἐπὶ τῆς Τριάδος ὁ λόγος. Ἡ δὲ τῆς χρίσεως ἔννοια τὸ μηδὲν εἶναι διάστημα μεταξὺ τοῦ Υἱοῦ **103** καὶ τοῦ Ἁγίου Πνεύματος δι' ἀπορρήτων αἰνίσσεται· ὡς γὰρ μεταξὺ τῆς τοῦ σώματος ἐπιφανείας καὶ τῆς τοῦ ἐλαίου χρίσεως οὐδὲν ἐπινοεῖ μέσον οὔτε ὁ λόγος οὔτε ἡ αἴσθησις, οὕτως ἀδιάστατός ἐστι πρὸς τὸ Πνεῦμα τὸ Ἅγιον τῷ Υἱῷ ἡ συνάφεια, ὥστε τῷ μέλλοντι αὐτοῦ διὰ τῆς πίστεως ἅπτεσθαι ἀναγκαῖον εἶναι προεντυγχάνειν διὰ τῆς ἁφῆς τῷ μύρῳ· οὐ γάρ ἐστί τι μέρος ὃ γυμνόν ἐστι τοῦ Ἁγίου Πνεύματος. Διὰ τοῦτο ἡ ὁμολογία τῆς τοῦ Υἱοῦ κυριότητος ἐν Πνεύματι Ἁγίῳ τοῖς καταλαμβάνουσι γίνεται πάντοθεν τοῖς διὰ πίστεως προσεγγίζουσι προαπαντῶντες τοῦ Πνεύματος. Εἰ οὖν τῇ φύσει βασιλεὺς ὁ Υἱός, ἀξίωμα δὲ βασιλείας τὸ Πνεῦμα τὸ Ἅγιον, ᾧ Υἱὸς χρίεται, τίς ἐπινοεῖται τῆς βασιλείας ἡ κατὰ τὴν φύσιν πρὸς ἑαυτὴν ἀλλοτρίωσις;

Ἔπειτα καὶ τοῦτο σκοπήσωμεν· ἡ βασιλεία ἐν τῇ τῶν ὑποχειρίων ἀρχῇ πάντως γνωρίζεται. Τί οὖν τῆς βασιλευούσης φύσεώς ἐστι τὸ ὑπήκοον; τοὺς αἰῶνας πάντως καὶ τὰ ἐν τούτοις ὁ λόγος καταλαμβάνει· ἡ γὰρ «βασιλεία σου», φησίν, «βασιλεία πάντων τῶν αἰώνων»[1]. Αἰῶνας δὲ λέγων πᾶσαν ἐκ τοῦ περιέχοντος τὴν ἐν αὐτοῖς συστᾶσαν κτίσιν περιλαμβάνει τήν τε ὁρατὴν καὶ ἀόρατον· ἐν αὐτοῖς γὰρ ἐκτίσθη τὰ πάντα διὰ τοῦ ποιητοῦ τῶν αἰώνων. Εἰ οὖν ἡ βασιλεία πάντοτε μετὰ τοῦ βασιλέως νοεῖται, ἡ δὲ ὑποχείριος φύσις ἄλλο τι παρὰ τὴν ἄρχουσαν ὁμολογεῖται, τίς ἡ ἀτοπία τῶν ἑαυτοῖς μαχομένων, τῶν προστιθέντων μὲν τὸ χρίσμα τῷ κατὰ φύσιν βασιλεῖ ὡς ἀξίωμα, καταγόντων δὲ αὐτὸ τοῦτο εἰς τὴν ὑποχείριον τάξιν ὡς τῆς ἀξίας καταδεέστερον; εἰ μὲν γὰρ τῶν ὑπηκόων κατὰ τὴν φύσιν ἐστίν, πῶς τῷ τῆς βασιλείας ἀξιώματι τοῦ Μονογενοῦς συναρμόζεται χρίσμα βασιλείας γινόμενον; εἰ δὲ τὸ ἡγεμονικὸν αὐτοῦ διὰ τοῦ συμπαραληφθῆναι εἰς τὴν τῆς βασιλείας μεγαλοπρέπειαν δείκνυται, τίς ἡ ἀνάγκη καθαιρεῖσθαι πάντα εἰς ἰδιωτικήν τε καὶ δουλικὴν ταπεινότητα τῇ δουλευούσῃ κτίσει συναριθμούμενον; οὐ γὰρ δὴ τὰ δύο περὶ αὐτοῦ λέγοντα δυνατόν **104** ἐστιν ἐν ἑκατέρῳ τἀληθῆ λέγειν, ὅτι καὶ ἡγεμονικόν ἐστι καὶ ὑποχείριον. Εἰ μὲν γὰρ ἡγεῖται, οὐ κυριεύεται· εἰ δὲ δουλεύει, οὐκέτι μετὰ τῆς βασιλευούσης φύσεως καταλαμβάνεται. Ὡς γὰρ μετὰ ἀνθρώπων ἄνθρωποι καὶ μετὰ ἀγγέλων ἄγγελοι καὶ πάντα

1. Ψαλ. 144,13.

μετὰ τῶν ὁμοφύλων ἐπιγινώσκεται, οὕτω μεθ' ἑνὸς ἑκατέρων ὁμολογεῖσθαι τὸ Πνεῦμα τὸ Ἅγιον ἀναγκαῖόν ἐστιν ἢ μετὰ τῆς κυριευούσης ἢ μετὰ τῆς ὑποκυπτούσης φύσεως. Μέσον γὰρ τούτων ἐπιγινώσκει ὁ λόγος οὐδέν, ὥστε τινὰ φύσεως ἰδιότητα ἐν μεθορίῳ τοῦ τε κτιστοῦ καὶ τοῦ ἀκτίστου καινοτομηθεῖσαν μεταξὺ τούτων εἶναι νομίζεσθαι, ὡς καὶ ἀμφοτέρων μετέχειν καὶ οὐθέτε**[1324]**ρον τελείως εἶναι. Οὐδὲ γὰρ ἐνδέχεται μίξιν τινὰ τῶν ἐναντίων καὶ συμπλοκὴν ἐννοῆσαι τοῦ κτιστοῦ πρὸς τὸ ἄκτιστον συνανακιρναμένων καὶ δύο τῶν ἐναντίων εἰς μίαν ὑπόστασιν συμμιγνυμένων· ὡς μὴ μόνον σύνθετον εἶναι τὸ διὰ τῆς ἀλλοκότου ταύτης μίξεως ἀναπλασσόμενον, ἀλλὰ καὶ ἐξ ἀνομοίων ἔχον τὴν σύνθεσιν καὶ κατὰ τὸν χρόνον οὐ συμφωνούντων· τοῦ γὰρ ἀκτίστως ὑφεστῶτος τὸ διὰ κτίσεως τὴν ὑπόστασιν ἔχον μεταγενέστερον πάντως ἐστίν, εἰ οὖν μεμίχθαι τὴν τοῦ Πνεύματος φύσιν πρὸς ἑκάτερα λέγουσιν, ἄρα καὶ τοῦ πρεσβυτέρου πρὸς τὸ νεώτερον μίξιν τινὰ ἐννοήσουσι· καὶ ἔσται κατ' αὐτοὺς ἑαυτοῦ τι πρεσβύτερον καὶ ἑαυτοῦ τι πάλιν μεταγενέστερον, ὡς καὶ τῷ ἀκτίστῳ τὸ ἀρχαιότερον ἔχειν καὶ τῷ κτιστῷ τὸ νεώτερον. Ἐπεὶ οὖν τοῦτο φύσιν οὐκ ἔχει, ἀνάγκη πάντως τὸ ἕτερον τούτων ἐπὶ τοῦ Πνεύματος ἀληθὲς εἶναι λέγειν, ὅπερ ἐστὶ τὸ ἄκτιστον.

Καὶ γὰρ κἀκεῖνο ὅσην ἔχει τὴν ἀτοπίαν σκοπήσωμεν. Πάντων τῶν ἐν τῇ κτίσει νοουμένων κατ' αὐτὸ τοῦτο, τὸ διὰ κτίσεως ἐσχηκέναι τὸ εἶναι, τὴν ὁμοτιμίαν ἐχόντων, τίς ἡ αἰτία ἢ τὸ Πνεῦμα τῶν λοιπῶν ἀποκρίνουσα εἰς τὸ ⟨τῷ⟩ Πατρὶ καὶ τῷ Υἱῷ συνταχθῆναι; Εὑρίσκεται γὰρ ἐκ τῆς ἀκολουθίας τοῦ λόγου οὐκ ὂν ἐκ τῆς κτίσεως τὸ τῇ ἀκτίστῳ στυνθεωρούμενον φύσει· ἢ εἰ ἐντεῦθεν εἴη, μηδὲν πλέον τῆς ὁμοφύλου ἰσχύειν κτίσεως μηδὲ δύνασθαι τῇ ὑπερκειμένῃ συναρμόζεσθαι φύσει. **105** Εἰ δὲ λέγοιεν καὶ κτιστὸν εἶναι καὶ ὑπὲρ τὴν κτίσιν δύνασθαι, πάλιν εὑρίσκεται αὐτὴ πρὸς ἑαυτὴν ἡ κτιστὴ στασιάζουσα φύσις καὶ μεριζομένη πρὸς τὸ κρατοῦν τε καὶ ὑποχείριον ὡς τὸ μὲν εὐεργετεῖν, τὸ δὲ εὐεργετεῖσθαι, καὶ τὸ μὲν ἁγιάζειν, τὸ δὲ ἁγιάζεσθαι· καὶ πάντα ὅσα παρὰ τοῦ Ἁγίου Πνεύματος χορηγεῖσθαι τῇ κτίσει πεπίστευται, ἐκείνῳ μὲν παρεῖναι πλουσίως πηγάζοντα καὶ εἰς ἄλλους ὑπερχεόμενα, τὴν δὲ κτίσιν ἐπιδεᾶ τῆς ἐκεῖθεν ἀναδιδομένης εὐεργεσίας καὶ χάριτος καθεστάναι καὶ ἐκ μετουσίας δέχεσθαι τὴν τῶν ἀγαθῶν κοινωνίαν τῶν ἐκ τοῦ ὁμογενοῦς προχεομένων. Ἀποκληρώσει γὰρ ὅμοιον καὶ προσωποληψίᾳ τὸ τοιοῦτόν ἐστι μηδεμιᾶς ἐν τῇ φύσει προτιμήσεως οὔσης μὴ τὰ αὐτὰ δύνασθαι, τὰ κατ' οὐδὲν ἀλλήλων ἐν τῷ εἶναι τὴν διαφορὰν ἔχοντα. Ἅπερ οὐδένα οἶμαι τῶν εὖ φρονούντων συνομολογεῖν· ἢ γὰρ οὐ παρέχει τοῖς ἄλλοις, εἴπερ οὐ φυσικῶς ἔχει, ἢ εἴπερ διδόναι πεπίστευται, τὸ ἔχειν πάντως προωμολόγηται. Τοῦτο δὲ μόνης τῆς θείας φύσεως ἴδιόν ἐστι καὶ ἐξαίρετον τὸ παρεκτικὸν ἀγαθῶν εἶναι, αὐτὸ δὲ μηδενὸς ἐπεισάκτου προσδέεσθαι.

Ἔπειτα καὶ τοῦτο σκοπήσωμεν. Τῷ ἁγίῳ βαπτίσματι —τί διὰ τούτου πραγματευόμεθα; ἆρ' οὐχὶ τὸ ζωῆς μετέχειν οὐκέτι θανάτῳ ὑποκειμένης; οὐδένα ⟨ἂν⟩ ἀντειπεῖν οἶμαι τῷ λόγῳ τόν γε καὶ ὁπωσοῦν ἐν Χριστιανοῖς ἀριθμούμενον. Τί οὖν; ἆρ' ἐν τῷ ὕδατι ἡ ζωοποιός ἐστι δύναμις τῷ συμπαραλαμβανομένῳ πρὸς τὴν τοῦ βαπτίσματος χάριν· ἢ παντὶ δῆλον ὅτι τοῦτο μὲν τῆς σωματικῆς ἕνεκεν διακονίας παρεί[1325]ληπται οὐδὲν παρ' ἑαυτοῦ πρὸς τὸν ἁγιασμὸν εἰσφερόμενον, εἰ μὴ μεταποιηθείη διὰ τοῦ ἁγιάσματος· τὸ δὲ ζωοποιοῦν τοὺς βαπτιζομένους τὸ Πνεῦμά ἐστι, καθώς φησιν ὁ Κύριος περὶ αὐτοῦ τοῦτο λέγων τῇ ἰδίᾳ φωνῇ ὅτι «τὸ πνεῦμά ἐστι τὸ ζωοποιοῦν»[1]. Ζωοποιεῖ δὲ οὐκ αὐτὸ μόνον εἰς τὴν τελείωσιν τῆς χάριτος ταύτης διὰ τῆς πίστεως λαμβανόμενον, ἀλλὰ χρὴ τὴν εἰς τὸν Κύριον προϋποκεῖσθαι πίστιν, δι' ἧς ἡ ζωτικὴ χάρις τοῖς πιστεύσασι παραγίνεται, καθὼς **106** εἴρηται παρὰ τοῦ Κυρίου ὅτι «οὓς θέλει ζωοποιεῖ»[2]. Ἀλλ' ἐπειδὴ καὶ ἡ διὰ τοῦ Υἱοῦ διακονουμένη χάρις ἤρτηται τῆς ἀγεννήτου πηγῆς, διὰ τοῦτο προηγεῖσθαι τὴν εἰς τὸ ὄνομα τοῦ Πατρὸς πίστιν ὁ λόγος διδάσκει τοῦ ζωογονοῦντος τὰ πάντα[3], καθώς φησιν ὁ Ἀπόστολος, ὡς ἂν ἐκεῖθεν ἀφορμηθεῖσαν τὴν ζωοποιὸν χάριν καθάπερ ἐκ πηγῆς τινος τὴν ζωὴν πηγαζούσης διὰ τοῦ μονογενοῦς Υἱοῦ, ὅς ἐστιν ἡ ἀληθὴς ζωή, τῇ ἐνεργείᾳ τοῦ Πνεύματος τελειοῦσθαι τοῖς ἀξιουμένοις. Εἰ οὖν ἡ ζωὴ διὰ τοῦ βαπτίσματος, τὸ δὲ βάπτισμα ἐν ὀνόματι Πατρὸς καὶ Υἱοῦ καὶ Πνεύματος Ἁγίου[4] τὴν τελείωσιν[α] ἔχει, τί λέγουσιν οἱ τὸ παρεκτικὸν τῆς ζωῆς ἀντ' οὐδενὸς λογιζόμενοι; Εἰ γὰρ μικρὰ ἡ χάρις, εἰπάτωσαν τὸ τῆς ζωῆς τιμιώτερον. Εἰ δὲ πᾶν ὅ τι πέρ ἐστι τίμιον τῆς ζωῆς ἐστι δεύτερον, ἐκείνης λέγω τῆς ὑψηλῆς καὶ τιμίας, ἧ κατ' οὐδὲν ἐπικοινωνεῖ ἡ ἄλογος φύσις, πῶς τολμῶσι τὸ τηλικοῦτον χάρισμα, μᾶλλον δὲ αὐτὸ τὸ παρεκτικὸν τοῦ χαρίσματος, κατασμικρύνειν ταῖς ἑαυτῶν ὑπολήψεσι καὶ κατασπᾶν εἰς τὴν ὑποχείριον φύσιν ⟨τῆς⟩ θείας τε καὶ ὑψηλῆς διαζεύξαντες; εἶτα καὶ εἰ μικρὸν τὸ τῆς ζωῆς λέγουσι χάρισμα, ὡς μηδὲν διὰ τούτου σεμνόν τε καὶ μέγα τῇ φύσει τοῦ χαριζομένου ἐμφαίνεσθαι, πῶς οὐ λογίζονται τὸ ἀκόλουθον, ὅτι ὁ αὐτὸς ἀναγκάσει λόγος καὶ περὶ τοῦ Μονογενοῦς καὶ περὶ αὐτοῦ τοῦ Πατρὸς μηδὲν ὑποτίθεσθαι μέγα τῆς αὐτῆς ζωῆς, ἣν διὰ τοῦ Πνεύματος ἔχομεν, διὰ τοῦ Υἱοῦ παρὰ τοῦ Πατρὸς χορηγουμένης;

Ὥστε, εἰ μικρὸν ὑπολαμβάνουσι τὸ δῶρον οἱ καὶ τῆς ζωῆς ἑαυτῶν ὑβρισταὶ καὶ πολέμιοι καὶ διὰ τοῦτο τὸ παρεκτικὸν τῆς χάριτος

---

1. Ἰω. 6,63. 2. Ἰω. 5,21. 3. Α' Τιμ. 6,13. 4. Πρβλ. Ματθ. 28,19.

α. Πρβλ. Μ. Ἀθανασίου, Κατὰ αἱρέσεων, λόγ. Β', ΒΕΠ 30,215,6. PG 26, 236C. Γρηγορίου Θεολόγου, Ἐπιτάφιος εἰς τὸν Πατέρα, παρόντος Βασιλείου, ΒΕΠ 59,117,17-21. Γρηγορίου Νύσσης, Κατὰ Εὐνομίου, ἀνωτέρω 38,14 ἑξ.

ταύτης ἀτιμάζειν ἐγνώκασι, μὴ λανθανέτωσαν οὐχ ἑνὶ προσώπῳ τὴν ἀχαριστίαν περιορίζοντες, ἀλλὰ διὰ τοῦ Ἁγίου Πνεύματος ἐπὶ τὴν Ἁγίαν Τριάδα τὴν βλασφημίαν ἐκτείνοντες. Ὥσπερ γὰρ ἡ χάρις ἀδιασπάστως ἀπὸ τοῦ Πατρὸς διὰ τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος ἐπὶ τοὺς ἀξίους ῥέουσα φέρεται, οὕτως καὶ ἡ βλασφημία εἰς τὸ **107** ἔμπαλιν κατὰ διάδοσιν ἀναλύουσα ἀπὸ τοῦ Πνεύματος διὰ τοῦ Υἱοῦ ἐπὶ τὸν τῶν ὅλων Θεὸν διεξέρχεται. Εἰ γὰρ δι' ἀνθρώπου ἀθετηθέντος ὁ ἀποστείλας ἠθέτηται, καίτοι πόσον τὸ μέσον, μεταξὺ τοῦ ἀνθρώπου καὶ τοῦ ἀποστείλαντος, τί χρὴ λέγειν, ἡλίκην ὑποσημαίνει κατάκρισιν τοῖς κατατολμῶσι τοῦ Πνεύματος; Τάχα διὰ τοῦτο ἀσυγχώρητον κρῖμα κατὰ τῆς τοιαύτης βλασφημίας παρὰ τοῦ νομοθέτου κεκύρωται[1], ἐπειδὴ πᾶσα δι' αὐτοῦ ἡ μακαρία τε καὶ θεία φύσις ἐν τῇ προαιρέσει τοῦ βλασφημοῦντος συγκαθυβρίζεται. Ὥσπερ γὰρ ὁ εὐσεβῶς τὸ Πνεῦμα δεξάμενος εἶδεν ἐν τῷ Πνεύματι τοῦ **[1328]** Μονογενοῦς τὴν δόξαν, τὸν δὲ Υἱὸν ἰδὼν τὴν εἰκόνα εἶδε τοῦ ἀορίστου καὶ διὰ τῆς εἰκόνος ἐνετυπώσατο τῇ γνώμῃ ἑαυτοῦ τὸ ἀρχέτυπον, οὕτω δηλαδὴ καὶ ὁ κατὰ † μένος καὶ καταφρονητής, ἐπειδὰν ἀποθρασύνηταί τι κατὰ τῆς δόξης τοῦ Πνεύματος, διὰ τῆς αὐτῆς ἀκολουθίας ἐπὶ τὸν Πατέρα διὰ τοῦ Υἱοῦ τὴν βλασφημίαν ἐξέτεινεν. Οὐκοῦν φοβητέον τοῖς γε νοῦν ἔχουσι μὴ κατατολμᾶν τῆς τοιαύτης θρασύτητος, ἧς τὸ πέρας παντελής ἐστιν ἀφανισμὸς τοῦ τολμήσαντος· ἀλλ' ὅση δύναμις, ὑψοῦν μὲν τῷ λόγῳ τὸ Πνεῦμα, ὑψοῦν δὲ καὶ πρὸ τοῦ λόγου κατὰ διάνοιαν· οὐ γὰρ δυνατόν ἐστι συναναβῆναι τῇ διανοίᾳ τὸν λόγον. Καὶ ἐπειδὰν ἐπὶ τὸ ἀκρότατον φθάσῃς τῆς ἀνθρωπίνης δυνάμεως, εἰς ὅσον ὁ ἀνθρώπινος νοῦς ἐξικνεῖται ὕψος καὶ μέγεθος νοημάτων, τότε νόμιζε κάτω εἶναι τῆς ἐπιβαλλούσης ἀξίας κατὰ τὸ εἰρημένον ἐν τῇ ψαλμῳδίᾳ ὅτι μετὰ τὸ ὑψῶσαι Κύριον τὸν Θεὸν ἡμῶν, τότε μόγις προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ[2]· τό τε αἴτιον τῆς ἀκαταλήπτου ἀξίας οὐδὲν ἄλλο φησὶν ἢ ὅτι ἅγιός ἐστιν.

Εἰ οὖν πᾶν ὕψωμα δυνάμεως ἀνθρωπίνης κάτω τῆς μεγαλοπρεπείας τοῦ προσκυνουμένου ἐστί (τοῦτο γὰρ ὁ λόγος διὰ τοῦ ὑποποδίου τῶν ποδῶν ὑπαινίσσεται[3]), τίς ἡ ματαιότης **108** τῶν οἰομένων ἔχειν τινὰ δύναμιν ἐν ἑαυτοῖς τοσαύτην ὥστε ἐπ' αὐτοῖς εἶναι τὸ κατ' ἀξίαν τῆς τιμῆς ὁρίζειν τῇ ἀτιμήτῳ φύσει καὶ διὰ τοῦτο καί τινων τῶν εἰς τιμὴν ἐπινοουμένων ἀνάξιον κρίνειν τὸ Πνεῦμα τὸ Ἅγιον ὡς τῆς δυνάμεως αὐτῶν μεῖζον δυναμένης ἢ ὅσον χωρεῖ ἡ ἀξία τοῦ Πνεύματος; Ὢ τῆς ἐλεεινῆς αὐτῶν καὶ ταλαιπώρου παραπληξίας, τῶν μὴ συνιέντων αὐτοί τε τίνες εἰσὶν οἱ ταῦτα διαλεγόμενοι καὶ τί τὸ Πνεῦμα τὸ Ἅγιον, ᾧ δι' ὑπερηφανίας ἑαυτοὺς ἀντεξάγουσιν! τίς ⟨ἂν⟩ εἴποι τοῖσδε ⟨τοῖς⟩ λαοῖς ὅτι ἄνθρωποί εἰσι πνεῦμα πορευόμενον καὶ οὐκ

1. Πρβλ. Ματθ. 12,32. 2. Πρβλ. Ψαλ. 98,5. 3. Πρβλ. Ψαλ. 110,1. Λουκ. 20,43. Πράξ. 2,35. Ἑβρ. 1,13. 10,13.

ἐπιστρέφον ἐν μήτρᾳ γυναικός[1], διὰ ῥυπαρᾶς συλλήψεως οἰκοδομούμενοι καὶ εἰς γῆν ῥυπαρὰν πάντες ἀναλυόμενοι[2], χόρτῳ προσεικασμένην τὴν ζωὴν λαχόντες[3], οἳ ἐπ' ὀλίγον διὰ τῆς βιωτικῆς ἀπάτης ἀνθήσαντες πάλιν ἀποξηραίνονται[4], καὶ τὸ ἄνθος περὶ αὐτοὺς καταρρυὲν ἀφανίζεται, οὔτε τι ὄντες πρὸ τῆς γενέσεως καὶ εἰς ὅ,τι μεταχωρήσουσιν οὐκ ἀκριβῶς ἐπιστάμενοι, τῆς ψυχῆς τὴν ἰδίαν λῆξιν, ἕως ἂν ἐπιμένῃ τῇ σαρκί, ἀγνοούσης; ταῦτα οἱ ἄνθρωποι.

Τὸ δὲ Πνεῦμα τὸ Ἅγιον πρῶτον μὲν ἀπὸ τῶν κατὰ φύσιν ἁγίων ἐκεῖνό ἐστιν ὅπερ ὁ Πατήρ, κατὰ φύσιν ἅγιος, καὶ ὁ Μονογενὴς ὡσαύτως. Οὕτω καὶ τὸ Πνεῦμα τὸ Ἅγιον. Καὶ κατὰ τὸ ζωοποιὸν πάλιν καὶ κατὰ τὸ ἄφθαρτόν τε καὶ ἀναλλοίωτον καὶ ἀΐδιον, δίκαιον, σοφόν, εὐθές, ἡγεμονικόν, ἀγαθόν, δυνατόν, ἀγαθῶν πάντων παρεκτικὸν καὶ πρό γε ἁπάντων αὐτῆς τῆς ζωῆς· πανταχοῦ ὂν καὶ ἑκάστῳ παρὸν καὶ τὴν γῆν πληροῦν καὶ ἐν οὐρανοῖς μένον, ἐν ταῖς ὑπερκοσμίοις δυνάμεσιν ἐκχεόμενον, πάντα πληροῦν κατὰ τὴν ἀξίαν ἑκάστου καὶ αὐτὸ πλῆρες μένον, μετὰ πάντων ὂν τῶν ἀξίων καὶ τῆς Ἁγίας Τριάδος οὐ χωριζόμενον· ἀεὶ τὰ βάθη τοῦ Θεοῦ ἐρευνᾷ[5], ἀεὶ ἐκ τοῦ Υἱοῦ λαμβάνει[6] καὶ ἀπο**[1329]**στέλλεται[7] καὶ οὐ χωρίζεται καὶ δοξάζεται καὶ δόξαν ἔχει· ὃ γὰρ ἄλλῳ δόξαν δίδωσιν, δῆλον ὅτι ἐν ὑπερβαλλούσῃ δόξῃ καταλαμβάνεται. Πῶς γὰρ δοξάζει τὸ δόξης ἄμοιρον; ἐὰν μή τι φῶς ᾖ, πῶς τὴν τοῦ φωτὸς ἐπιδείξεται χάριν; οὕτως οὐδὲ τὴν δοξαστικὴν δύναμιν **109** ἐπιδείξεται, ὃ ἂν μὴ αὐτὸ ᾖ δόξα καὶ τιμὴ καὶ μεγαλωσύνη καὶ μεγαλοπρέπεια. Δοξάζει οὖν τὸν Πατέρα καὶ τὸν Υἱὸν τὸ Πνεῦμα. Ἀλλ' ὁ εἰπὼν ἀψευδής ἐστι, «τοὺς δοξάζοντάς με δοξάζω»[8]· «ἐγώ σε ἐδόξασα»[9], φησὶ πρὸς τὸν Πατέρα ὁ Κύριος· καὶ πάλιν δόξασόν με τῇ δόξῃ ᾗ εἶχον ἀπ' ἀρχῆς παρὰ σοὶ πρὸ τοῦ τὸν κόσμον εἶναι[10]. Ἀποκρίνεται ἡ θεία φωνή· «καὶ ἐδόξασα καὶ πάλιν δοξάσω»[11]. Ὁρᾷς τὴν ἐγκύκλιον τῆς δόξης διὰ τῶν ὁμοίων περιφοράν; Δοξάζεται ὁ Υἱὸς ὑπὸ τοῦ Πνεύματος· δοξάζεται ὑπὸ τοῦ Υἱοῦ ὁ Πατήρ· πάλιν τὴν δόξαν ἔχει παρὰ τοῦ Πατρὸς ὁ Υἱὸς καὶ δόξα τοῦ Πνεύματος ὁ Μονογενὴς γίνεται· τίνι γὰρ ἐνδοξασθήσεται ὁ Πατήρ, εἰ μὴ τῇ ἀληθινῇ τοῦ Μονογενοῦς δόξῃ; ἐν τίνι δὲ πάλιν ὁ Υἱὸς δοξασθήσεται, εἰ μὴ ἐν τῇ μεγαλωσύνῃ τοῦ Πνεύματος; οὕτω πάλιν καὶ ἀνακυκλούμενος ὁ λόγος τὸν Υἱὸν μὲν δοξάζει διὰ τοῦ Πνεύματος, διὰ δὲ τοῦ Υἱοῦ τὸν Πατέρα.

Εἰ οὖν τοσαύτη τοῦ Πνεύματος ἡ μεγαλωσύνη καὶ εἴ τι καλὸν καὶ εἴ τι ἀγαθὸν παρὰ τοῦ Θεοῦ διὰ τοῦ Μονογενοῦς ἐν τῷ πάντα ἐν πᾶσιν ἐνεργοῦντι Πνεύματι τελειοῦται, τί ἐκπολεμοῦσιν ἑαυτοὺς τῇ ἰδίᾳ ζωῇ; τί ἀπαλλοτριοῦνται τῆς τῶν σῳζομένων ἐλπίδος; τί ἀποκόπτου-

---

1. Πρβλ. Ἰω. 3,4. 2. Πρβλ. Ἰὼβ 34,15. 3. Πρβλ. Ψαλ. 89,5-6. 4. Πρβλ. Ἡσ. 51,12. 5. Πρβλ. Α' Κορ. 2,10. 6. Πρβλ. Ἰω. 16,14. 7. Πρβλ. Ἰω. 15,26. Πράξ. 1,2. 8. Α' Βασ. 2,30. 9. Ἰω. 17,4. 10. Πρβλ. Ἰω. 17,5. 11. Ἰω. 12,28.

σιν ἑαυτοὺς ἀπὸ τῆς πρὸς τὸν Θεὸν προσκολλήσεως; πῶς γάρ τις προσκολληθήσεται τῷ Κυρίῳ μὴ τοῦ Πνεύματος τὴν συνάφειαν ἡμῶν πρὸς αὐτὸν ἐνεργοῦντος; τί ζυγομαχοῦσι[α] πρὸς ἡμᾶς περὶ λατρείας καὶ προσκυνήσεως; τί κατειρωνεύονται διὰ τοῦ τῆς λατρείας ὀνόματος κατὰ τῆς θείας τε καὶ ἀπροσδεοῦς φύσεως, ὥσπερ οὐχ ἑαυτοὺς εὐεργετοῦντες ἐν τοῖς ὑπὲρ τῆς σωτηρίας αἰτήμασι, ἀλλὰ τιμήν τινα προσάγοντες, ἐὰν σωθῆναι θελήσωσι; Σὸν κέρδος ἐστὶ τοῦ αἰτοῦντος ἡ δέησις, οὐχὶ τιμὴ τοῦ παρέχοντος. Τί οὖν ὡς χαριζόμενος πρόσει τῷ εὐεργέτῃ, μᾶλλον δὲ οὐδὲ εὐεργέτην τὸν τῶν ἀγαθῶν παρεκτικὸν ἀξιοῖς ὀνομάζειν; ἀλλὰ τοῦ ζῆν ἀντεχόμενος τὸν ζωοποιὸν ἀτιμάζεις καὶ τὸν ἁγιασμὸν ζητῶν παραλογίζῃ **110** τὸν τὴν χάριν τοῦ ἁγιασμοῦ διανέμοντα καὶ τὸ διδόναι τὰ ἀγαθὰ οὐκ ἀρνούμενος αὐτὸν ἔχειν τὴν δύναμιν τοῦ αἰτεῖσθαι κρίνεις ἀνάξιον, οὐδὲ τοῦτο λογιζόμενος, ὅσῳ μεῖζόν ἐστι τὸ δοῦναί τι ἀγαθὸν τοῦ αἰτηθῆναι· τῷ μὲν γὰρ αἰτηθέντι, οὐ πάντως προσμαρτυρεῖ τὸ μεγαλεῖον ἡ αἴτησις· δυνατὸν γάρ ἐστιν αἰτηθῆναί τι καὶ τὸν μὴ ἔχοντα. Ἐπὶ γὰρ τῇ προαιρέσει τοῦ αἰτοῦντός ἐστιν· ὁ δὲ παρασχών τι ἀγαθὸν ἀναμφίβολον τῆς προσούσης αὐτῷ δυνάμεως πεποίηται τὴν ἐπίδειξιν. Τί οὖν τὸ μεῖζον αὐτῷ προσμαρτυρῶν —λέγω δὲ τὸ δύνασθαι δοῦναι πᾶν ὅ τι καλόν— ὡς μεγάλου τινὸς ἀποστερεῖς τῆς αἰτήσεως, καίτοι τοῦτο πολλάκις, καθὼς εἴρηται, καὶ ἐπὶ τῶν οὐδενὸς κυρίων δι' ἀπάτης τοῦ προσιόντος γίνεται. Αἰτοῦσι καὶ παρὰ τῶν εἰδώλων οἱ **[1332]** τῆς ματαιότητος δοῦλοι τὰ κατὰ γνώμην αὐτοῖς, ἀλλ' οὐ παρὰ τοῦτο δόξαν τινὰ προστίθησι τοῖς εἰδώλοις ἡ αἴτησις· κἀκεῖνοι δὲ δι' ἀπάτης αὐτοὺς παρέχοντες προσδοκίᾳ τοῦ μετασχεῖν τινος ὧν ἐλπίζουσιν αἰτοῦντες οὐ διαλείπουσιν. Σὺ δὲ πεπεισμένος οἵων καὶ ὅσων παρεκτικόν ἐστι τὸ Πνεῦμα τὸ Ἅγιον ὑπερορᾷς τῆς αἰτήσεως καὶ καταφεύγεις ἐπὶ τὸν νόμον τὸν κελεύοντα Κύριον τὸν Θεὸν προσκυνεῖν καὶ αὐτῷ μόνῳ λατρεύειν;[1] [β] πῶς οὖν αὐτῷ μόνῳ λατρεύσεις, εἰπέ μοι, ἀποσχίσας αὐτὸν τῆς πρὸς τὸν Μονογενῆ καὶ τὸ Πνεῦμα ἑαυτοῦ συναφείας; ἀλλ' αὕτη ἰουδαϊκὴ ἡ προσκύνησις.

Ἀλλ' ἐρεῖς ὅτι Πατέρα ἐννοῶν καὶ τὸν Υἱὸν τῇ προσηγορίᾳ συμπεριέλαβον. Τὸν δὲ Υἱόν, εἰπέ μοι, τῇ διανοίᾳ λαβὼν ἆρ' οὐ συμπαρεδέξω καὶ τὸ Πνεῦμα τὸ Ἅγιον; οὐκ ἂν ἀντείποις. Πῶς γὰρ αὐτὸν ὁμολογήσεις, ⟨εἰ⟩ μὴ ἐν Πνεύματι Ἁγίῳ[2]; πότε οὖν τοῦ Υἱοῦ τὸ Πνεῦμα χωρίζεται, ὥστε τοῦ Πατρὸς προσκυνουμένου μὴ συμπεριλαμβάνεσθαι μετὰ τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος τὴν προσκύνησιν; αὐτὴν δὲ τὴν προσκύνησιν τί ποτε εἶναι λογίζονται, ἣν ὡς ἐξαίρετόν

---

1. Πρβλ. Δευτ. 6,13. 2. Πρβλ. Α΄ Κορ. 12,3.

α. Πρβλ. Εὐσεβίου Καισαρείας, Ἐκκλησιαστικὴ Ἱστορία I, 6, ΒΕΠ 20, 100,26. PG 20,892A. Γρηγορίου Θεολόγου, Εἰρηνικὸς Β΄, ΒΕΠ 59,172,10.

β. Πρβλ. Μ. Ἀθανασίου, Διάλογος Γ΄, ΒΕΠ 36,94,20 ἑξ. PG 28,1213A.

τι γέρας τῷ ἐπὶ πάντων Θεῷ χαριζόμενοι καὶ ἕως τοῦ Μονο**111**γενοῦς ἔσθ' ὅτε τὴν τιμὴν ταύτην διαβιβάζοντες ἀπαξιοῦσι τὸ Πνεῦμα τοῦ τοιούτου γέρως; Ἡ μὲν γὰρ ἀνθρωπίνη συνήθεια τὴν πρὸς τὸ ἔδαφος τῶν ὑποχειρίων ἐπίκλισιν, ἣν ἀσπαζόμενοι τοὺς δυνατωτέρους ἐπιτηδεύουσι, τοῦτο προσαγορεύει προσκύνησιν· καθὼς φαίνεται καὶ ὁ πατριάρχης Ἰακὼβ τοῦ ἀδελφοῦ τὴν ὀργὴν ἱλεούμενος τὸ καταδεέστερον ὑπὸ ταπεινοφροσύνης διὰ τοῦ τοιούτου σχήματος ἐν τῇ ὑπαντήσει πρὸς αὐτὸν ἐπιδείκνυσθαι[1]. Προσεκύνησε, γάρ φησιν, τρίτον ἐπὶ τὴν γῆν. Καὶ οἱ τοῦ Ἰωσὴφ ἀδελφοί, ἕως αὐτοί τε ἠγνόουν κἀκεῖνος τὴν ἄγνοιαν πρὸς αὐτοὺς ὑπεκρίνετο, διὰ τὸ ὑπερέχον τοῦ ἀξιώματος τῇ προσκυνήσει τὴν δυναστείαν ἐτίμησαν[2]. Προσκυνεῖ δὲ καὶ ὁ μέγας Ἀβραὰμ τοὺς Χετταίους, τοὺς ἐγχωρίους ὁ ἔπηλυς, δεικνύς, οἶμαι, δι' ὧν ἐποίει, ὅσον οἱ αὐτόχθονες τῶν παροικούντων ἐπικρατέστεροι. Καὶ πολλὰ τοιαῦτα λέγειν ἐστὶν ἔκ τε τῶν ἀρχαίων διηγημάτων καὶ ἐκ τῶν παρόντων τοῦ βίου ὑποδειγμάτων. Ἆρ' οὖν τοῦτο νοοῦσι καὶ αὐτοὶ τὴν προσκύνησιν; καὶ πῶς οὐ καταγέλαστον τὸ μήτε τούτου οἴεσθαι δεῖν ἀξιοῦν τὸ Πνεῦμα τὸ Ἅγιον, οὗ καὶ τοὺς Χαναναίους ὁ πατριάρχης ἠξίωσεν[3]; ἢ ἄλλην τινὰ παρὰ ταύτην νομίζουσι τὴν προσκύνησιν, ὡς τὴν μὲν ἀνθρώποις, τὴν δὲ τῇ ὑπερεχούσῃ φύσει προσήκουσαν; πῶς οὖν καθόλου τὴν προσκύνησιν ἀθετοῦσιν ἐπὶ τοῦ Πνεύματος μηδὲ τὴν ἐπὶ τῶν ἀνθρώπων συγκεχωρημένην αὐτῷ χαριζόμενοι;

Τίνα δὲ καὶ νομίζουσιν ἰδίως ἀποτετάχθαι τῷ Θεῷ προσκυνήσεως τρόπον; τὸ εἰπεῖν τῷ ῥήματι ἢ τὸ ἐνεργῆσαι τῷ σχήματι; ἢ ταῦτα μὲν καὶ πρὸς ἀνθρώπους ἐστὶ κοινά· καὶ γὰρ λέγεται καὶ ἐπ' ἀνθρώπων τὰ ῥήματα καὶ ἐνεργεῖται τὰ σχήματα· τί οὖν ἐπὶ Θεοῦ τὸ ἐξαίρετον; Ἢ παντὶ δῆλον τῷ καὶ ὁποσονοῦν διανοίας μετέχοντι ὅτι Θεοῦ μὲν ἄξιον **[1333]** δῶρον ἡ ἀνθρωπίνη φύσις ἔχει οὐδέν· τῶν γὰρ ἀγαθῶν ἡμῶν ὁ ποιητὴς ἡμῶν χρείαν οὐκ ἔχει. Ἡμεῖς δὲ οἱ ἄνθρωποι **112** τὰς τιμητικὰς ταύτας καὶ ἀγαπητικὰς ἐνδείξεις, ἃς ἐπ' ἀλλήλων ποιούμεθα ἕτερος τοῦ ἑτέρου ταπεινότερος εἶναι τῇ ὁμολογίᾳ τῆς τοῦ πέλας ὑπεροχῆς ἐνδεικνύμενοι, ταύτας μετηνέγκαμεν εἰς τὴν θεραπείαν τῆς κρείττονος φύσεως τῶν ἐν ἡμῖν τὰ τίμια τῇ ἀτιμήτῳ φύσει δωροφοροῦντες. Καὶ διὰ τοῦτο, ἐπειδὴ προσιόντες βασιλεῦσιν ἢ δυνάσταις οἱ ἄνθρωποι, ὑπὲρ ὧν ἂν γενέσθαι τι αὐτοῖς παρὰ τῶν δυναστευόντων θελήσωσιν, οὐ ψιλὴν προσάγουσι τοῖς κρατοῦσι τὴν αἴτησιν, ἀλλ' ὡς ἂν μάλιστα πρὸς οἶκτον καὶ εὔνοιαν ἑαυτῶν ἐπαγάγοιντο, ταπεινοῦνται τῷ λόγῳ καὶ προσκυνοῦσι τῷ σχήματι καὶ γονάτων ἅπτονται καὶ εἰς ἔδαφος πίπτουσι καὶ διὰ πάντων οἰκτιζόμενοι συνήγορον τῆς αἰτήσεως ἑαυτῶν προβάλλονται, δι' ὧν ποιοῦσι τὸν ἔλεον. Διὰ τοῦτο οἱ τὴν ἀληθῆ δυναστείαν ἐπεγνωκότες,

---

1. Πρβλ. Γεν. 33,3. 2. Πρβλ. Γεν. 42,6. 3. Πρβλ. Γεν. 23,7.

δι᾿ ἧς πάντα διοικεῖται τὰ ὄντα, προσιόντες ὑπὲρ ὧν ἂν ᾖ φίλον αὐτοῖς. Οἱ μὲν ταπεινοὶ τὰς ψυχὰς περὶ τῶν ἐν τῷ κόσμῳ τούτῳ σπουδαζομένων, οἱ δὲ ὑψηλοὶ τὴν διάνοιαν περὶ τῶν αἰωνίων καὶ ἀπορρήτων ἐλπίδων, ἐπειδὴ οὐκ ἔχουσιν ὅπως αἰτήσουσιν οὐδὲ χωρεῖ ἡ ἀνθρωπίνη φύσις ἐνδείξασθαί τινα τιμὴν πρὸς τὴν μεγαλοπρέπειαν τῆς δόξης φθάνουσαν, μετήνεγκαν τὴν ἐπὶ τῶν ἀνθρώπων νενομισμένην θεραπείαν εἰς τὴν τοῦ Θείου τιμήν. Καὶ τοῦτό ἐστιν ἡ προσκύνησις ἡ μετὰ ἱκεσίας καὶ ταπεινότητος τῶν καταθυμίων τινὸς αἴτησις γινομένη. Διὸ καὶ Δανιὴλ κάμπτει τῷ Κυρίῳ τὰ γόνατα, ἐπὶ τοῦ αἰχμαλώτου λαοῦ τὴν φιλανθρωπίαν αἰτούμενος[1] καὶ ὁ τὰς ἀσθενείας ἡμῶν βαστάσας[2] καὶ ὑπὲρ ἡμῶν ἐντυγχάνων[3] διὰ τοῦ ἀνθρώπου ὃν ἀνέλαβε πίπτειν ἐπὶ τὸ πρόσωπον ἐν καιρῷ προσευχῆς ὑπὸ τοῦ Εὐαγγελίου ἱστόρηται[4] καὶ τούτῳ τῷ σχήματι τὴν εὐχὴν ἐποιεῖτο, νομοθετῶν, οἶμαι, τῇ ἀνθρωπίνῃ ζωῇ τὸ μὴ **113** ἀπαυθαδιάζεσθαι ἐπὶ τοῦ καιροῦ τῆς αἰτήσεως, ἀλλὰ διὰ πάντων πρὸς τὸ ἐλεεινὸν μεθαρμόζεσθαι, ἐπειδὴ Κύριος ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν[5] καὶ «πᾶς ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται»[6]. Εἰ οὖν ἡ προσκύνησις οἷον ἱκετηρία τίς ἐστι, εἰς συνηγορίαν προβεβλημένη τοῦ σκοποῦ τῆς αἰτήσεως, ἡ δὲ αἴτησις πρὸς τὸν τῆς διανομῆς κύριον γίνεται, τίς ἡ διάνοια τῆς καινῆς ταύτης νομοθεσίας; Οὐ συνορῶ, μήτε παρὰ τοῦ διδόντος αἰτεῖν μήτε ὑποκύπτειν τῷ ἄρχοντι μήτε θεραπεύειν τὸν δυναστεύοντα * μήτε προσκυνεῖν τὸν ἡγούμενον· ὅτι γὰρ πάντα ταῦτα θεωρεῖται περὶ τὸ Πνεῦμα τὸ Ἅγιον, οὐδεὶς οὕτως ἐχθρὸς ἑαυτοῦ καὶ τοῦ Πνεύματος ὡς μὴ συνθέσθαι τῷ λόγῳ· ἡγεῖται μὲν γὰρ τὸ ἡγεμονικὸν[7] τῇ φύσει, δυναστεύει δὲ τὸ πάντα ἐνεργοῦν[8] ἐν πᾶσιν, ἐξουσιάζει δὲ τὸ κατ᾿ ἐξουσίαν διαιροῦν τὰ χαρίσματα καθὼς βούλεται[9], εὐεργετεῖ δὲ ζωὴν χαριζόμενον, ἐλεεῖ λυτρούμενον, θεοποιεῖ Θεῷ προσάγον, υἱοθετεῖ[10] Χριστῷ προσοικειοῦν βασιλείαν δωρούμενον, τὸ νεκρὸν ἀνίστησιν, τὸν πεπτωκότα ἐγείρει, τὸν πεπλανημένον εἰς εὐθεῖαν καθίστησιν, τῷ ἑστῶτι φυλάσσει τὴν διαμονήν, τὸν ἀποθανόντα εἰς ἀνάστασιν ἄγει. Ἆρα μικρὰ ταῦτα καὶ οὐδεμιᾶς χάριτος ἄξια; Οὐκοῦν εἰπάτωσαν τὰ τούτων ἀνώτερα, ὧν ἀμέτοχόν ἐστι τὸ Πνεῦμα τὸ Ἅγιον, δι᾿ ὃ νομίζουσι καὶ τοῦ προσκυνεῖσθαι ἀνάξιον.

Ἔπειτα κἀκεῖνο παρ᾿ αὐτῶν ἔστι μαθεῖν· ὅταν, ὡς οἴονται, τῷ Πατρὶ προσκυνῶσιν, ἆρα καθόλου τῆς διανοίας ἑαυτῶν τοῦ τε Μονογενοῦς καὶ τοῦ Πνεύματος τὴν μνήμην ἐκβάλλουσιν; Καὶ μὴν φύσιν οὐκ ἔχει Πατέρα ἐννοήσαντα μὴ συνεπινοεῖν τὸν Υἱὸν καὶ Υἱὸν τῇ διανοίᾳ δεξάμενον μὴ συμπεριλαμβάνειν μετὰ τοῦ Υἱοῦ τὸ Πνεῦμα.

---

* Ἡ συνέχεια τοῦ κειμένου ἐλλείπει παρὰ J.-P. Migne.

1. Πρβλ. Δαν. 9,3. 2. Πρβλ. Ματθ. 8,17. Ἡσ. 53,4. 3. Πρβλ. Ρωμ. 8,34. 4. Πρβλ. Ματθ. 26,39. 5. Πρβλ. Ἰακ. 4,6. 6. Λουκ. 14,11. 7. Πρβλ. Ψαλ. 50,14. 8. Πρβλ. Α' Κορ. 12,11. 9. Ἔνθ' ἀν. 10. Πρβλ. Ρωμ. 8,15.

Εἰ μὲν γὰρ ἀρνεῖται καθόλου καὶ ἀθετεῖ τὴν ὁμολογίαν, εἷς τῶν Ἰουδαίων ἢ Σαδδουκαίων ἐστίν, καὶ τὸν Υἱὸν ἀρνούμενος καὶ τὸ **114** Πνεῦμα τὸ Ἅγιον μὴ δεχόμενος· εἰ δὲ ὁπωσοῦν πρεσβεύειν τὰ τῶν Χριστιανῶν ἐπαγγέλλεται, πάντως ὅτι Πατέρα ἐννοῶν καὶ τὸν οὗ ἐστι Πατὴρ ἐνενόησε καὶ Υἱοῦ τὴν ἔννοιαν ἀναλαβὼν προκατηυγάσθη διὰ τοῦ Πνεύματος· «οὐδεὶς γὰρ δύναται εἰπεῖν κύριον Ἰησοῦν, εἰ μὴ ἐν Πνεύματι Ἁγίῳ»[1]. Οὐκοῦν ὁ ἀληθινὸς προσκυνητής[α] ἀποστὰς τῆς σωματικῆς ταύτης καὶ χαμαιζήλου ταπεινότητος τῶν νοημάτων τὸ ἄρχον καὶ τὸ κυριεῦον καὶ τὸ ἐξουσιάζον καὶ τὸ πάντα τὰ ἀγαθὰ ἐνεργοῦν ἐν πάσῃ τῇ κτίσει οὕτω τιμήσει οὐχ ὡς ἐκείνῳ ἄξιον, ἀλλ' ὅσον αὐτὸς δυνατός ἐστι φέρειν κατὰ τὴν χήραν ἐκείνην, ἣ δύο λεπτοὺς ὀβολοὺς δωροφοροῦσα[2] τοῖς ἱεροῖς θησαυροῖς ἀπεδείχθη † τῆς φιλοτιμίας, οὐχ ὅτι ἄξιόν τι θαύματος εἶχεν ἡ ὕλη, ἀλλ' ὅτι πλέον οὐκ ἐχώρει ἡ δύναμις. Οὕτω τοίνυν λογιεῖται ὄντως ἔχειν, ὅτι πάντα τὰ παρὰ ἀνθρώπων ὅσα εἰς τιμὴν καὶ δόξαν ἐπινενόηται κατώτερά ἐστι τῆς μεγαλοπρεπείας τοῦ Πνεύματος οὐδεμίαν προσθήκην τῆς δόξης ποιούμενα. Ἡ μὲν γὰρ ὡσαύτως ἔχει καὶ τιμώντων καὶ μή· ἡ δὲ ἀνθρωπίνη φύσις μόνην δωροφορεῖ[β] τὴν προαίρεσιν, αὐτῷ τῷ θελῆσαι μόνον πληροῦσα ἣν προέθετο χάριν· πλέον δ' ἔτι τοῦ θελήματος καὶ τῆς κατὰ πρόθεσιν ὁρμῆς καὶ κινήσεως ἔχει ἐν τῇ δυνάμει οὐδέν. Κἂν θαυμάσαι προέληται κἂν ἐπαίνοις τισὶ τὸ μεγαλεῖον ἀποσεμνῦναι τῆς θείας δυνάμεως, οὐ τὴν φύσιν ἐπήνεσεν· πῶς γὰρ ἐπαινέσει τὸ ἀγνοούμενον; ἀλλά τι τῶν περὶ αὐτὴν θεωρουμένων ἐδόξασε· γενεὰ γάρ φησι καὶ γενεὰ ἐπαινέσει τὰ ἔργα σου καὶ τὴν δύναμιν τῶν φοβερῶν σου καὶ τὴν μεγαλοπρέπειαν τῆς δόξης τῆς ἁγιωσύνης σου καὶ τὰ θαυμάσιά σου καὶ τὴν μνήμην τοῦ πλήθους τῆς χρηστότητός σου καὶ τὴν ἐν τούτοις μεγαλωσύνην σου διηγήσονται[3]. Ὁρᾷς ὡς διὰ τῶν ἔξωθεν περὶ τὴν θείαν φύσιν θεωρουμένων πληροῦται τῷ προφήτῃ τὸ θαῦμα;[4] Αὐτὴ δὲ ἐκείνη καθώς ἐστι ἡ θεία τε καὶ μακαρία δύναμις ἄβατος καὶ ἀθέατος λογισμοῖς μένει καὶ διανοίας **115** πολυπραγμοσύνην καὶ λόγου δύναμιν καὶ καρδίας κίνησιν καὶ ἐνθυμήσεως ὁρμήν, πάντα κάτω ἑαυτῆς ἀφιεῖσα πολὺ μᾶλλον ἢ ὅσον τὰ σώματα ἡμῖν ἀπολιμπάνεται τῆς τῶν ἀστέρων ἀφῆς. Ὁ οὖν ταῦτα εἰδὼς καὶ συνεγνωκὼς ἑαυτῷ τὸ οὐτιδανὸν καὶ ἀσθενὲς καὶ πενιχρὸν τῆς φύσεως καταγνώσεται[5] μὲν τῆς ματαιότητος τῶν ἀπὸ οὕτω μικρᾶς καὶ εὐτελοῦς τῆς δυνάμεως

---

1. Α' Κορ. 12,3. 2. Πρβλ. Μάρκ. 12,42. 3. Πρβλ. Ψαλ. 144,4-6. 4. Πρβλ. Ψαλ. 18,2. 5. Πρβλ. Γεν. 18,27.

α. Πρβλ. Κλήμεντος Ἀλεξανδρέως, Λόγος προτρεπτικὸς πρὸς Ἕλληνας, ΒΕΠ 7,59,19-25. PG 8,191. Ὠριγένους, Εἰς τὸ κατὰ Ἰωάννην, ΒΕΠ 12,25 ἑξ. PG 14,420B.

β. Πρβλ. Γρηγορίου Νύσσης, Εἰς τὴν [Κυριακὴν] Προσευχήν, ΒΕΠ 66, 338,1. Περὶ τοῦ Ἁγίου Πνεύματος κατὰ Μακεδονιανῶν τῶν Πνευματομάχων, ΒΕΠ ἀνωτέρω 195,28. 208,34.

οἰομένων ἔχειν τι τῆς ἀξίας τοῦ Πνεύματος ὑψηλότερον καὶ φειδομένων ἀπ' αὐτοῦ ῥημάτων τινῶν θεραπευτικῶν ἢ σχημάτων, ἃ εἴτε λατρείαν εἴτε προσκύνησιν σύνηθές τισιν ὀνομάζειν, οὐ διαφέρομαι· ἀναβλέπων δὲ εἰς τὸ ὕψος τῆς δόξης, ἧς ἡ ἀληθὴς κατανόησις τοῖς ἀνθρώποις ἀνέφικτος, καταγνώσεται ἑαυτοῦ, καθὼς καὶ ὁ πατριάρχης ἐποίησε τῆς θείας ἀξιωθεὶς ἐπιφανείας γῆν καὶ σποδὸν[1] ἑαυτὸν προσαγορεύων· οὕτω δὲ διακείμενος ὅλον ἑαυτὸν ἀναθήσει τῇ θεραπείᾳ τῆς κρείττονος φύσεως, οὐ τὸ μέν τι ποιῶν τῶν εἰς τιμὴν συντεινόντων, τοῦ δὲ ἀπεχόμενος, ἀλλὰ πᾶν ὅ,τι περ ἂν ἐν τῇ καθ' ἑαυτὸν δυνάμει μεῖζον καὶ ὑπερέχον εἶναι φανῇ, τοῦτο ἀναθήσει τῷ ἐπὶ πάντων Θεῷ, τιμὴν καὶ δόξαν καὶ προσκύνησιν τὴν ὑπὸ τῆς δυνάμεως χωρουμένην διηνεκῶς ἀναπέμπων τῷ ἔχοντι τοῦ σῴζειν τὴν ἐξουσίαν· σῴζει δὲ ὁ Πατὴρ καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ Ἅγιον. Διὰ τοῦτο καὶ πιστεύει τὴν ἑαυτοῦ σωτηρίαν Πατρὶ καὶ Υἱῷ καὶ Πνεύματι Ἁγίῳ οὐκ εἰς πλῆθος δυνάμεων καὶ θεοτήτων κατακερματίζων τὴν πίστιν, ἀλλ' εἰς μίαν δύναμιν, μίαν ἀγαθότητα, μίαν ζωοποιὸν ἐξουσίαν, μίαν θεότητα, μίαν ζωὴν πιστεύων. Οὕτως ἀναπέμψει τὴν εὐχαριστίαν ὑπὲρ τῆς ἑαυτοῦ ζωῆς, ἐκ Πατρὸς ἀρχόμενος καὶ τὸν Υἱὸν τῷ Πατρὶ συμπεριλαμβάνων καὶ τὸ Ἅγιον Πνεῦμα τοῦ Μονογενοῦς οὐ χωρίζων, ὡς πληροῦσθαι τῷ ἐπὶ πάντων Θεῷ σὺν τῷ μονογενεῖ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι τιμὴν καὶ δόξαν καὶ προσκύνησιν εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

1. Πρβλ. Γεν. 18,27.

ΠΡΟΣ ΘΕΟΦΙΛΟΝ
ΚΑΤΑ ΑΠΟΛΙΝΑΡΙΣΤΩΝ *

Ἀδελφῷ καὶ συλλειτουργῷ Θεοφίλῳ Γρηγόριος

119 [1269] Οὐ μόνης ἐστὶ τῆς κοσμικῆς σοφίας εὔπορος ἡ μεγάλη τῶν Ἀλεξανδρέων πόλις, ἀλλὰ καὶ τῆς ἀληθινῆς [τῆς ὄντως] σοφίας παρ' ὑμῖν ἐξ ἀρχαίου βρύουσιν αἱ πηγαί. Διό μοι δοκεῖ καλῶς ἔχειν, παρ' οἷς πλέων ἡ πρὸς τὸ ἀγαθόν ἐστι δύναμις, παρὰ τούτων γίνεσθαι τῆς κατὰ τὸ μυστήριον ἀληθείας τὴν συμμαχίαν. Φησὶ γάρ που καὶ τὸ ὑψηλὸν Εὐαγγέλιον ὅτι ᾧ πολὺ ἐδόθη, οὗτος τὸ πλέον ἀπαιτηθήσεται[1]. Οὐκοῦν δίκαιος ἂν εἴης πᾶσαν τὴν ἐκ τῆς θείας χάριτος προσοῦσάν σοί τε καὶ τῇ ἐκκλησίᾳ σου δύναμιν ἀντιστῆσαι τῇ ψευδωνύμῳ γνώσει[2] τῶν κατὰ τῆς ἀληθείας ἀεί τι καινὸν ἐφευρισκόντων, δι' ὧν τέμνεται μὲν ἡ κατὰ Θεὸν συμφωνία, σιγᾶται δὲ τὸ μέγα καὶ σεβάσμιον ὄνομα τῶν **120** Χριστιανῶν· πρὸς δὲ τὰς ἀνθρωπίνας προσηγορίας ἡ Ἐκκλησία καταμερίζεται· καὶ τὸ πάντων δεινότατον, ὅτι χαίρουσιν οἱ ἄνθρωποι τοῖς πρὸς τὴν πλάνην καθηγουμένοις ἐπονομαζόμενοι. Εἰ μὲν οὖν ἦν δυνατὸν καθόλου τὴν προφητικὴν εὐχὴν εἰς πέρας ἐλθεῖν καὶ ἐκλείπειν τοὺς ἁμαρτωλοὺς ἀπὸ τῆς γῆς καὶ τοὺς ἀνόμους, ὥστε μὴ **[1272]** ὑπάρχειν αὐτούς[3], ἦν ἂν τὸ τοιοῦτον τῷ παντὶ προτιμότερον. Ἐπειδὴ δὲ οἱ λόγοι τῶν ἀτόμων ὑπερισχύουσιν ἐν τῇ τοῦ ἀντικειμένου ἐνεργείᾳ τὴν κατὰ τῆς ἀληθείας ἔχοντες δύναμιν[4], ἀγαπητὸν ἂν εἴη ἐλαττῶσαι γοῦν τὰ κακὰ καὶ κωλῦσαι πρὸς πλέον προϊοῦσαν τὴν τῶν χειρόνων ἐπαύξησιν.

Τί οὖν ἐστιν ὅ φημι; Οἱ τῶν Ἀπολιναρίου δογμάτων προϊστάμενοι διὰ τῆς καθ' ἡμῶν μέμψεως κρατύνειν ἐπιχειροῦσι τὰ ἴδια, σάρκινον τὸν Λόγον καὶ δημιουργὸν τῶν αἰώνων τὸν τοῦ ἀνθρώπου Υἱὸν καὶ θνητὴν τοῦ Υἱοῦ κατασκευάζοντες τὴν θεότητα. Προφέρουσι γὰρ ὥς τινων τῶν κατὰ τὴν καθολικὴν Ἐκκλησίαν δύο πρεσβευόντων υἱοὺς ἐν τῷ δόγματι, τὸν μὲν κατὰ φύσιν ὄντα, τὸν δὲ κατὰ θέσιν ὕστερον προσγενόμενον (οὐκ οἶδα παρ' ὅτου τὸ τοιοῦτον **121** ἀκηκοότες καὶ πρὸς ποῖον διαπληκτιζόμενοι πρόσωπον· οὔπω γὰρ ἔγνων

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ Fridericus Mueller, Gregorii Nysseni, Opera Dogmatica Minora (Greg. N. op. W. Jaeger), vol III, I, σσ. 119-128, Leiden, E. J. Brill, 1958. [J.-P. Migne τ. 45, στ. 1269-1277].

1. Πρβλ. Λουκ. 12,48. 2. Πρβλ. Α' Τιμ. 6,20. 3. Πρβλ. Ψαλ. 103,35. 4. Πρβλ. Β' Θεσ. 2,4,9.

τὸν ταῦτα παραφθεγξάμενον) — πλὴν ἐπειδὴ ταύτην προστησάμενοι καθ' ἡμῶν τὴν ὑπόθεσιν διὰ τοῦ δοκεῖν τῇ ἀτοπίᾳ ταύτῃ συμπλέκεσθαι τὰς ἑαυτῶν ὑπολήψεις κρατύνουσιν, καλῶς ἂν ἔχοι τὴν σὴν ἐν Χριστῷ τελειότητα, καθὼς ἄν σοι ἐπὶ νοῦν ἀγάγῃ τὸ Πνεῦμα τὸ Ἅγιον, ἐκκόψαι τὰς ἀφορμὰς τῶν ζητούντων τὰς καθ' ἡμῶν ἀφορμὰς[1] καὶ πεῖσαι τοὺς ταῦτα συκοφαντικῶς ἐπικαλοῦντας τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ, ὅτι οὔτε ἔστι δόγμα τοιοῦτον ἐν Χριστιανοῖς οὔτε κηρυχθήσεται. Οὐ γάρ, ἐπειδὴ ὁ τῶν αἰώνων ποιητὴς ἐπ' ἐσχάτων τῶν ἡμερῶν «ἐπὶ τῆς γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις συνανεστράφη»[2], διὰ τοῦτο δύο υἱοὶ κατὰ τὴν Ἐκκλησίαν ἀριθμοῦνται, εἷς ὁ ποιητὴς τῶν αἰώνων καὶ ἄλλος ὁ ἐπὶ τῷ τέλει τῶν αἰώνων διὰ σαρκὸς φανερωθεὶς τῇ ἀνθρωπίνῃ ζωῇ· Εἰ γάρ τις τὴν οἰκονομικὴν τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ διὰ σαρκὸς ἐπιφάνειαν εἰς ἑτέρου υἱοῦ κατασκευὴν λαμβάνοι, οὗτος, ἀριθμήσας [καὶ] πάσας τὰς τοῖς ἁγίοις γεγενημένας θεοφανείας ⟨τὰς⟩ πρό τε τῆς κατὰ **122** σάρκα τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ φανερώσεως καὶ τὰς μετὰ ταῦτα πάλιν τοῖς ἀξίοις γεγενημένας, κατὰ τὸν ἀριθμὸν τῆς θεϊκῆς ἐπιφανείας υἱῶν πλῆθος εἶναι κατασκευάσει καὶ ἔσται αὐτῷ εἷς μὲν υἱὸς ὁ τῷ Ἀβραὰμ χρηματίσας[3], ἕτερος δὲ ὁ ἐπιφανεὶς τῷ Ἰσαάκ[4]· καὶ ὁ τῷ Ἰακὼβ συμμαχήσας ἕτερος[5]· καὶ ἄλλος ὁ τῷ Μωυσεῖ φανεὶς ἐν διαφόροις ἐπιφανείαις, ἐν φωτί[6], ἐν γνόφῳ[7], ἐν στύλῳ νεφέλης[8], ἐν τῇ κατενώπιον ὄψει[9], ἐν τοῖς ὀπισθίοις[10]. Ἄλλος πάλιν υἱὸς ὁ τῷ διαδόχῳ τοῦ Μωυσέως συμπαραταξάμενος[11]· καὶ ὁ διὰ λαίλαπος τῷ Ἰὼβ χρηματίσας[12]· καὶ ὁ ἐπὶ τοῦ ὑψηλοῦ θρόνου τῷ Ἡσαΐᾳ φανείς[13]· καὶ ὁ ἀνθρωπικῷ σχήματι παρὰ τοῦ Ἰεζεκιὴλ τῷ λόγῳ ὑπογραφείς[14]· καὶ μετὰ ταῦτα ὁ ἐν τῷ φωτὶ καταστράψας τὸν Παῦλον[15]· καὶ πρὸ τούτου ὁ ἐπὶ τοῦ ὄρους τοῖς περὶ τὸν Πέτρον ἐν ὑψηλοτέρᾳ δόξῃ φανείς[16]. Εἰ δὲ τοῦτο ἄτοπον καὶ παντελῶς ἀσεβὲς τὸ τὰς ποικίλας τοῦ Μονογενοῦς θεοφανείας εἰς ἀριθμὸν υἱῶν καταμερίζειν, τὴν ἴσην ἀτοπίαν ἔχει καὶ τὸ τὴν διὰ σαρκὸς ἐπιφάνειαν ἀφορμὴν εἰς **[1273]** ἑτέρου υἱοῦ κατασκευὴν ποιεῖσθαι.

123 Οἰόμεθα γὰρ ὅτι κατὰ τὸ μέτρον τῆς ἑκάστου δυνάμεως[17] τῶν δεχομένων τὴν θείαν ἐπιφάνειαν ἀεὶ γέγονε τῆς ὑπερεχούσης φύσεως ἡ ὀπτασία, μείζων μὲν καὶ θεοπρεπεστέρα τοῖς δυναμένοις καθικέσθαι τοῦ ὕψους, ἐλάττων δὲ καὶ σμικροπρεπεστέρα τοῖς ἀχωρήτοις τοῦ μείζονος· οὗ χάριν οὐχ ὁμοίως ταῖς προλαβούσαις ἐπιφανείαις ἐν τῇ διὰ σαρκὸς οἰκονομίᾳ τῇ τῶν ἀνθρώπων ζωῇ ἐπιφαίνεται, ἀλλ' ἐπειδὴ πάντες, καθώς φησιν ὁ προφήτης, ἐξέκλινάν τε καὶ ἠ-

---

1. Πρβλ. Β' Κορ. 11,12. 2. Βαρ. 3,38. 3. Πρβλ. Γεν. 12,17. 4. Πρβλ. Γεν. 28,13. 5. Πρβλ. Γεν. 21,31. 6. Πρβλ. Ἐξ. 3,2. 7. Πρβλ. Ἐξ. 19,16. 20,21. 8. Πρβλ. Ἐξ. 13,21. 9. Πρβλ. Ἐξ. 33,11. 10. Πρβλ. Ἐξ. 14,19. 11. Πρβλ. Ἰησ. Ν. 5,13. 12. Πρβλ. Ἰὼβ 38,1. 13. Πρβλ. Ἡσ. 6,1. 14. Πρβλ. Ἰεζ. 1,26. 15. Πρβλ. Πράξ. 9,3. 16. Πρβλ. Ματθ. 17,1. 17. Πρβλ. Β' Κορ. 10,13.

χρειώθησαν[1] καὶ οὐκ ἦν, καθὼς γέγραπται, ὁ δυνάμενος συνιέναι καὶ ἐκζητῆσαι τὸ τῆς θεότητος ὕψος[2], διὰ τοῦτο τῇ σαρκωδεστέρᾳ γενεᾷ ἐπιφαινόμενος ὁ μονογενὴς Υἱὸς σὰρξ γίνεται, κατὰ τὴν βραχύτητα τοῦ δεχομένου ἑαυτὸν συστείλας, μᾶλλον δέ, καθώς φησιν ἡ Γραφή, ἑαυτὸν κενώσας[3], ἵνα ὅσον χωρεῖ ἡ φύσις τοσοῦτον δέξηται. Τὸ γὰρ εἶναι τὴν γενεὰν ἐκείνην παρὰ τὰς προλαβούσας κατάκριτον[4], σαφῶς παρὰ τῆς τοῦ Κυρίου φωνῆς μεμαθήκαμεν, ἐν οἷς Σοδομίτας τε αὐτῶν ἀνεκτοτέρους ἀπέφηνε[5] καὶ Νινευΐτας καὶ τὴν τοῦ νότου βασίλισσαν κατακρινεῖν ἐν τῇ ἀναστάσει τὴν γενεὰν ἐκείνην ὁ Κύριος διωρίσατο.

Εἰ μὲν οὖν πάντες κατὰ τὸν Μωυσέα δυνατῶς εἶχον ἐντὸς γενέσθαι τοῦ γνόφου[6], ἐν ᾧ εἶδεν ὁ Μωυσῆς τὰ **124** ἀθέατα ἢ κατὰ τὸν ὑψηλὸν Παῦλον τριῶν οὐρανῶν ὑπεραρθῆναι καὶ ἐν παραδείσῳ περὶ τῶν ὑπὲρ λόγον πραγμάτων διδαχθῆναι τὰ ἄρρητα[7]· ἢ κατὰ τὸν ζηλωτὴν Ἠλίαν τῷ πυρὶ πρὸς τὸν αἰθέριον χῶρον συνεπαρθῆναι[8] καὶ μὴ βαρυνθῆναι τῷ ἐφολκίῳ τοῦ σώματος· ἢ κατὰ τὸν Ἰεζεκιὴλ τε καὶ Ἡσαΐαν ἐπὶ τοῦ θρόνου τῆς δόξης ἰδεῖν τὸν ἐπὶ τῶν Χερουβὶμ ἐπαιρόμενον ἢ ὑπὸ τῶν Σεραφὶμ δοξαζόμενον[9] —οὐδ' ἂν ἐγένετο πάντως χρεία τῆς διὰ σαρκὸς τοῦ Θεοῦ ἡμῶν ἐπιφανείας, πάντων τοιούτων ὄντων. Ἐπειδὴ δέ, καθὼς ὁ Κύριος λέγει, γενεὰ πονηρὰ καὶ μοιχαλὶς ἦν ἡ γενεὰ ἐκείνη[10] (πονηρὰ μὲν διὰ τό, καθώς φησι τὸ Εὐαγγέλιον, ὅλον τότε τὸν κόσμον ἐν τῷ πονηρῷ κεῖσθαι[11], μοιχαλὶς δὲ διὰ τὸ ἀποστᾶσαν αὐτὴν τοῦ ἀγαθοῦ νυμφίου τῷ διὰ κακίας μοιχεύοντι τὰς ψυχὰς ἀνακραθῆναι) — τούτου χάριν ὁ ἀληθινὸς ἰατρός, ὁ «τοὺς κακῶς ἔχοντας»[12] θεραπεύων ὡς ἐπεζήτει τὴν θεραπείαν ἡ νόσος, οὕτω προσήγαγε τῷ ἀρρωστοῦντι τὴν ἐπιμέλειαν, τρόπον τινὰ συνασθενήσας τῇ ἀρρωστίᾳ τῆς ἡμετέρας φύσεως καὶ σὰρξ γενόμενος[13], ἥτις ἐν τῇ ἑαυτῆς φύσει συνουσιωμένην ἔχει τὴν ἀσθένειαν, καθὼς διδάσκει ἡ θεία φωνὴ ὅτι «τὸ πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής»[14].

Εἰ μὲν οὖν τὸ Θεῖον ἐν τῷ ἀνθρωπίνῳ γενόμενον καὶ ἐν τῷ θνητῷ τὸ ἀθάνατον καὶ τὸ δυνατὸν ἐν τῷ ἀσθενεῖ καὶ **125** ἐν τῷ τρεπτῷ τε καὶ φθειρομένῳ τὸ ἀναλλοίωτόν τε καὶ ἄφθαρτον ἐφῆκεν ἐπιμεῖναι τὸ θνητὸν τῷ θνητῷ ἢ τῇ φθορᾷ τὸ φθαρτὸν καὶ τὰ ἄλλα τοῖς ἄλλοις κατὰ τὸν αὐτὸν τρόπον, εἰκότως ἄν τις δυάδα τῷ Υἱῷ τοῦ Θεοῦ ἐνεθεώρησεν, τῶν κατὰ τὸ ἐναντίον θεωρουμένων ἑκάτερον ἰδιαζόντως ἐφ' ἑαυτοῦ ἀριθμῶν. Εἰ δὲ τὸ θνητὸν ἐν τῷ ἀθανάτῳ γενόμε**[1276]**νον ἀθανασία ἐγένετο[α], ὁμοίως ⟨δὲ⟩ καὶ τὸ φθαρτὸν εἰς ἀφθαρσίαν μετέβαλε

1. Πρβλ. Ψαλ. 13,3. 2. Πρβλ. Ψαλ. 81,5. Ἡσ. 35,2. Ρωμ. 11,33. 3. Πρβλ. Φιλιπ. 2,7.. 4. Πρβλ. Ματθ. 12,42. 5. Πρβλ. Ματθ. 10,15. 6. Πρβλ. Ἐξ. 20,21 7. Πρβλ. Β' Κορ. 12,2 ἑξ. 8. Πρβλ. Δ' Βασ. 2,11. 9. Πρβλ. Ἰεζ. 10,1. Ἡσ. 6,1. 10. Πρβλ. Ματθ. 12,39. 11. Πρβλ. Α' Ἰω. 5,19. 12. Ματθ. 4,24. 13. Πρβλ. Ἰω. 1,14. 14. Ματθ. 26,41.

α. Πρβλ. Μ. Ἀθανασίου, Λόγος περὶ τῆς ἐνανθρωπήσεως τοῦ Λόγου, ΒΕΠ 30,85,15 ἑξ. PG 25,120B.

καὶ τὰ ἄλλα πάντα ὡσαύτως πρὸς τὸ ἀπαθές τε καὶ Θεῖον μετεποιήθη[α], τίς ὑπολείπεται λόγος ἔτι τοῖς εἰς δυϊκὴν διαφορὰν τὸ ἓν διασχίζουσιν;

Ὁ γὰρ Λόγος καὶ πρὸ τῆς σαρκὸς καὶ μετὰ τὴν ἔνσαρκον οἰκονομίαν Λόγος καὶ ἦν καὶ ἔστιν[1]· καὶ ὁ Θεὸς καὶ πρὸ τῆς τοῦ δούλου μορφῆς καὶ μετὰ ταύτην Θεός ἐστιν· καὶ τὸ φῶς τὸ ἀληθινὸν[2] πρίν τε ἐλλάμψαι τῇ σκοτίᾳ καὶ μετὰ ταῦτα φῶς ἐστιν ἀληθινόν. Εἰ οὖν ἀμετάπτωτος καὶ ἀμετάθετος πᾶσα θεοπρεπὴς ἔννοια διὰ παντὸς περὶ τὸν Μονογενῆ καθορᾶται καὶ ὁ αὐτός ἐστιν ἀεὶ πρὸς ἑαυτὸν ὡσαύτως ἔχων, πῶς τις ἡμᾶς ἀναγκάζει τὴν διὰ σαρκὸς γενομένην αὐτοῦ ἐπιφάνειαν υἱῶν δυάδα κατονομάζειν, ὡς τοῦ μὲν προαιωνίου ὄντος Υἱοῦ, τοῦ δὲ διὰ σαρκὸς τῷ Θεῷ γεννηθέντος ἄλλου Υἱοῦ;

Ἡμεῖς γὰρ σωθῆναι μὲν τὴν ἀνθρωπίνην φύσιν ἑνωθεῖσαν τῷ Λόγῳ παρὰ τοῦ μυστηρίου καὶ μεμαθήκαμεν καὶ **126** πεπιστεύκαμεν· Υἱὸν δὲ Θεοῦ σάρκινον ἰδιαζόντως ἐφ' ἑαυτοῦ θεωρούμενον οὔτε ἐμάθομεν οὔτε ἐξ ἀκολουθίας τινὸς νοεῖν ἐναγόμεθα. Οὐ γὰρ ἁμαρτία καὶ κατάρα δι' ἡμᾶς, καθὼς ὁ Ἀπόστολος λέγει, γενόμενος[3] καὶ τὰς ἡμετέρας ἀναλαβὼν ἀσθενείας, κατὰ τὴν Ἡσαΐου φωνήν[4], περὶ ἑαυτόν, ἀφῆκεν ἀνίατον τὴν ἁμαρτίαν καὶ τὴν κατάραν καὶ τὴν ἀσθένειαν· ἀλλὰ τὸ μὲν θνητὸν ὑπὸ τῆς ζωῆς κατεπόθη[5], ὁ δὲ σταυρωθεὶς ἐξ ἀσθενείας ἔζησεν ἐκ δυνάμεως[6] ἥ τε κατάρα εἰς εὐλογίαν μετεποιήθη[7] καὶ πᾶν, ὅσον ἀσθενὲς τῆς φύσεως ἡμῶν καὶ ἐπίκηρον ἀνακραθὲν τῇ θεότητι ἐκεῖνο ἐγένετο, ὅπερ ἡ θεότης ἐστίν. Πόθεν οὖν ἄν τις τὴν δυάδα τῶν υἱῶν ἐννοήσειεν ὡς ἀνάγκῃ τινὶ διὰ τῆς κατὰ σάρκα οἰκονομίας πρὸς τὴν τοιαύτην ὑπόληψιν ἐναγόμενος;

Ὁ γὰρ ἀεὶ ἐν τῷ Πατρὶ ὢν[8] καὶ ἀεὶ ἔχων ἐν ἑαυτῷ τὸν Πατέρα καὶ ἡνωμένος αὐτῷ, ὡς ἦν καὶ πρώην, οὕτω καὶ ἔστι καὶ ἔσται καὶ ἄλλος παρ' ἐκεῖνον Υἱὸς οὔτε ἦν οὔτε ἐγένετο οὔτε ἔσται[β]· ἡ δὲ προσληφθεῖσα τῆς ἀνθρωπίνης φύσεως ἀπαρχή, ὑπὸ τῆς παντοδυνάμου θεότητος (ὡς ἂν εἴποι τις εἰκόνι χρώμενος), οἷόν τις σταγὼν ὄξους ἀπείρῳ πελάγει κατακραθεῖσα, ἔστι μὲν ἐν τῇ θεότητι, οὐ μὴν ἐν τοῖς ἰδίοις αὐτῆς ἰδιώμασιν. Οὕτω γὰρ ἂν ἡ τῶν υἱῶν δυὰς **127** ἀκολούθως ὑπενοεῖτο, εἰ ἐν τῇ ἀφράστῳ τοῦ Υἱοῦ θεότητι ἑτερογενής τις φύσις [ἐν] ἰδιάζουσι σημείοις ἐπεγινώσκετο, ὡς εἶναι τὸ μὲν ἀσθενὲς ἢ μικρὸν ἢ φθαρτὸν ἢ πρόσκαιρον, τὸ δὲ δυνατὸν καὶ μέγα καὶ ἄφθαρ-

---

1. Πρβλ. Ἰω. 1,1. 2. Πρβλ. Ἰω. 1,9. 3. Πρβλ. Β' Κορ. 5,21. Γαλ. 3,13. 4. Πρβλ. Ἡσ. 53,12. 5. Πρβλ. Β' Κορ. 5,4. 6. Πρβλ. Β' Κορ. 13,4. 7. Πρβλ. Β' Ἔσδρ. 23,2. 8. Πρβλ. Ἰω. 14,11.

α. Πρβλ. Ἱππολύτου, Ἀπόδειξις περὶ Χριστοῦ καὶ Ἀντιχρίστου, ΒΕΠ 6, 199,6. PG 10,732B. Ὠριγένους, τῶν εἰς τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον Ἐξηγητικῶν ΙΓ', LIX, ΒΕΠ 12,174,30-31. PG 14,516C. Μ. Ἀθανασίου, Πρὸς Σεραπίωνα, Θμούεως Ἐπίσκοπον, ΒΕΠ 33,121,23. PG 26,609A-B.

β. Πρβλ. Μ. Ἀθανασίου, Ἀπολογητικὸς κατὰ Ἀρειανῶν, ΒΕΠ 31,96,27-31. PG 25,353C.

τον καὶ ἀΐδιον· ἐπειδὴ δὲ πάντων τῶν τῷ θνητῷ συνεπιθεωρουμένων ἐν τοῖς τῆς θεότητος ἰδιώμασι μεταποιηθέντων, ἐν οὐδενὶ καταλαμβάνεται ἡ διαφορά (ὅπερ γὰρ ἄν τις ἴδῃ τοῦ Υἱοῦ, θεότης ἐστί, σοφία, δύναμις, ἁγιασμός, ἀπάθεια), πῶς ἂν διαιροῖτο τὸ ἓν **[1277]** εἰς δυϊκὴν σημασίαν, μηδεμιᾶς διαφορᾶς τὸν ἀριθμὸν μεριζούσης;

Ἡ γὰρ θεότης τὸ ταπεινὸν ὑπερύψωσεν· τῷ κατωνομασμένῳ ἀνθρωπικῶς τὸ ὑπὲρ πᾶν εἶναι ὄνομα ἐχαρίσατο[1]· τὸ ὑποχείριον καὶ δοῦλον κύριον καὶ βασιλέα ἐποίησεν, καθὼς ὁ Πέτρος φησὶν ὅτι «Κύριον αὐτὸν καὶ Χριστὸν ὁ Θεὸς ἐποίησεν»[2] (νοοῦμεν γὰρ διὰ τοῦ Χριστοῦ βασιλέα). Καὶ διὰ τὴν ἀκριβῆ ἑνότητα τῆς τε προσληφθείσης σαρκὸς καὶ τῆς προσλαβομένης θεότητος ἀντιμεθίσταται τὰ ὀνόματα, ὥστε καὶ τὸ ἀνθρώπινον τῷ θείῳ καὶ τὸ θεῖον τῷ ἀνθρωπίνῳ κατονομάζεσθαι. Διὸ καὶ ὁ ἐσταυρωμένος Κύριος τῆς δόξης **128** ὑπὸ τοῦ Παύλου καλεῖται[3] καὶ ὁ προσκυνούμενος ὑπὸ πάσης κτίσεως, τῶν τε ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, Ἰησοῦς ὀνομάζεται[4]· διὰ τούτων γὰρ ἡ ἀληθής τε καὶ ἀδιαίρετος ἕνωσις ἑρμηνεύεται, ἐκ τοῦ καὶ τὴν ἄφραστον τῆς θεότητος δόξαν[5] τῇ τοῦ Ἰησοῦ προσηγορίᾳ σημαίνεσθαι, ὅταν πᾶσα σὰρξ ἐξομολογήσηται καὶ πᾶσα γλῶσσα ὅτι Κύριος Ἰησοῦς Χριστός[6], καὶ τὸν τὰ πάθη τοῦ σταυροῦ δεξάμενον καὶ περονηθέντα τοῖς ἥλοις καὶ διαπαρέντα τῇ λόγχῃ Κύριον δόξης παρὰ τοῦ Παύλου προσαγορεύεσθαι. Εἰ οὖν καὶ τὸ ἀνθρώπινον οὐκ ἐν τοῖς τῆς φύσεως ἰδιώμασι δείκνυται ἀλλὰ Κύριος τῆς δόξης ἐστίν[7], οὐκ ἂν δέ τις εἰπεῖν δύο κυρίους δόξης τολμήσειεν, μαθὼν ὅτι «εἷς Κύριος Ἰησοῦς Χριστός, δι' οὗ τὰ πάντα»[8], πόθεν ἡμῖν ἐπικαλοῦσι τῶν υἱῶν τὴν δυάδα οἱ τὴν καθ' ἡμῶν κατηγορίαν εὐπρόσωπον ἀφορμὴν εἰς κατασκευὴν τῶν ἰδίων ὑπολήψεων προβαλλόμενοι;

Τὰ μὲν οὖν παρ' ἡμῶν εἰς ἀπολογίαν τοιαῦτα· ζητοῦμεν δὲ παρὰ τῆς σῆς ἐν Χριστῷ τελειότητος μείζονα καὶ τελειοτέραν τῆς ἀληθείας τὴν συμμαχίαν, ὡς ἂν μηδεμίαν ἔχοιεν κατὰ τῆς Ἐκκλησίας εἰς κατηγορίαν λαβὴν οἱ διὰ τῆς καθ' ἡμῶν μέμψεως τὰς ἰδίας ὑπολήψεις κρατύνοντες.

---

1. Πρβλ. Φιλιπ. 2,9. 2. Πράξ. 2,36. 3. Πρβλ. Α' Κορ. 2,8.
4. Πρβλ. Φιλιπ. 2,10,11. 5. Πρβλ. Ἰω. 1,14. 6. Πρβλ. Φιλιπ. 2,11.
7. Πρβλ. Α' Κορ. 2,8. 8. Α' Κορ. 8,6.

ΠΡΟΣ ΤΑ ΑΠΟΛΙΝΑΡΙΟΥ ΑΝΤΙΡΡΗΤΙΚΟΣ *

131 [1124] Καλὸν ἂν γένοιτο προοίμιον ἡμῖν τοῦ λόγου ἡ τοῦ Κυρίου φωνὴ κελεύουσα προσέχειν ἀπὸ τῶν ψευδοπροφητῶν, οἵτινες ἔρχονται, φησί, πρὸς ὑμᾶς ἐν ἐνδύμασι προβάτων, ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες[1]· ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς. Εἰ οὖν ὁ καρπὸς διακρίνει τό τε ἀληθινὸν πρόβατον καὶ τὸν τῶν προβάτων φθορέα τὸν ἐν ἡμέρῳ τῷ σχήματι πρὸς τὸ σύστημα τῆς ποίμνης ἀφυλάκτως παραδυόμενον καὶ τὸ ὑποκεκρυμμένον τῷ ἡμέρῳ πολέμιον στόμα εἰς τοὐμφανὲς ἄγει, ζητεῖν προσήκει τοὺς καρποὺς τούς τε καλοὺς καὶ τοὺς χείρονας, δι' ὧν τὸ σχῆμα τῆς ἀπάτης ἀνακαλύπτεται· φησὶ γὰρ ὅτι «ἐκ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς»[2]. Πάσης τοίνυν διδασκαλίας ὁ μὲν ἀγαθὸς καρπὸς κατά γε τὴν ἐμὴν κρίσιν ἡ προσθήκη τῶν κατὰ τὴν Ἐκκλησίαν σῳζομένων ἐστίν, ὁ δὲ φθαρτικὸς καὶ δηλητήριος ἡ τῶν συνεστώτων διάλυσις. Εἰ τοίνυν τις αὔξοι διὰ τῶν λόγων τὸ ποί**[1125]**μνιον καὶ εἰς πάντα τὰ κλίτη τῆς οἰκίας ἐκτείνει τὴν ἄμπελον καὶ περιφυτεύσειε τῇ Δεσποτικῇ τραπέζῃ τοὺς ἀπὸ τῆς ἀγριελαίου πλάνης εἰς ἐλαῶν μεταποιούμενος νεόφυτα[3] καὶ τὰς μυστικὰς ῥάβδους ἐμβάλοι τῷ γλυκεῖ καὶ ποτίμῳ νάματι τῆς διδασκαλίας[4], δι' ὧν πολυγονεῖται τὰ ποίμνια, ὥστε τοῦ μὲν Λαβὰν ἐλαττοῦσθαι τὴν κτῆσιν, εὐθηνεῖσθαι δὲ τὸ μέρος τοῦ Ἰακὼβ καὶ πληθύνεσθαι τῇ **132** ἐπισήμῳ γονῇ — εἰ τοιοῦτόν τις τὸν καρπὸν τῆς διδασκαλίας ἐπιδεικνύοιτο (καρπὸς γάρ ἐστι, καθὼς εἴρηται, ἡ τῆς ἀληθείας ἐπαύξησις), ἀληθῶς ἐστι προφήτης κατὰ τὸν θεῖον σκοπὸν ὑποφητεύων τῷ πνεύματι· εἰ δέ τις ἀποτίλλοι τῆς ἀμπέλου τὰς κληματίδας, ἐρημοίη δὲ τὴν θείαν τράπεζαν ἀναρριζῶν τὴν φυτείαν, ἐπιβουλεύοι δὲ τῷ πνευματικῷ ποτιστηρίῳ[α] ὡς μηκέτι τὰ πρόβατα κατὰ τὰς ῥάβδους τοῦ πατριάρχου κισσᾶν μηδὲ ταῖς ἐπισήμοις γοναῖς πληθύνειν τὸ ποίμνιον, ἀλλ' ἀποβουκολεῖσθαι τῆς τροφίμου νομῆς τουτέστι τῶν πατρικῶν παραδόσεων καὶ ἔξω τῆς μάνδρας αὐλίζεσθαι καὶ πρὸς ἀλλοτρίας νομὰς διασκίδνασθαι — ὅταν

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ Fridericus Mueller, Gregorii Nysseni, Opera Dogmatica Minora (Greg. N. op. W. Jaeger), vol III, I, σσ. 131-233, Leiden, E. J. Brill, 1958. [J. P. Migne, τ. 45, στ. 1124-1269].

1. Πρβλ. Ματθ. 7,15. 2. Ματθ. 7,16. 3. Πρβλ. Ψαλ. 127,3. 4. Πρβλ. Γεν. 30,38.

α. Πρβλ. Γρηγορίου Νύσσης, Εἰς τὸ Ἆσμα Ἀσμάτων, ΒΕΠ 66,320, 13 ἑξ.

τοιοῦτος ὁ τῆς διδασκαλίας καρπὸς ᾖ, πρόδηλον ἂν γένοιτο τὸ λύκειον σχῆμα τὸ ἀποκεκρυμμένον τῇ τοῦ προβάτου δορᾷ.

Οὐκοῦν ἐξετάσωμεν, τί ἡμῖν ἡ ᾿Απολιναρίου τοῦ Σύρου διδασκαλία ἐβλάστησε, προσθήκην τῶν ποιμνίων ἢ μείωσιν, συναγωγὴν τῶν διεσκορπισμένων ἢ τῶν συνεστώτων διάλυσιν, συνηγορίαν ἢ ἀνατροπὴν τῶν πατρῴων δογμάτων. Εἰ μὲν οὖν πρὸς τὸ κρεῖττον ἡ σπουδὴ τοῦ προειρημένου βλέπει, πρόβατον πάντως καὶ οὐχὶ λύκος ἐστίν· εἰ δὲ τὸ ἔμπαλιν —«προσέχετε ἀπὸ τῶν ψευδοπροφητῶν»[1α], φησίν ὁ Κύριος—, μὴ λανθανέτω τὸ στόμα τὸ ἐπὶ λώβῃ καὶ ἀφανισμῷ τοῦ προσεγγίζοντος σώματος τεθηγμένον τοῖς τῆς καινοτομίας ὀδοῦσι καὶ κατασπαράσσον τὸ ὑγιὲς σῶμα τῆς τοῦ Θεοῦ ᾿Εκκλησίας. ῾Ως δ᾿ ἂν μὴ δοκοίη λοιδορία τὸ λεγόμενον εἶναι, ἕνα τῶν παρ᾿ αὐτοῦ περιφερομένων λόγων προθήσομεν, οὗ ἡ ἐπιγραφή ἐστιν αὕτη· ἀπόδειξις, φησί, περὶ τῆς θείας σαρκώσεως τῆς καθ᾿ ὁμοίωσιν ἀνθρώπου. Τάχα δ᾿ ἄν τις δι᾿ ἀκριβείας τὸν τῆς ἐπιγραφῆς νοῦν ἀπογυμνώσας οὐκ ἂν δεηθείη δι᾿ αὐτῆς τῆς λογογραφίας ἐλέγξαι τὴν ἀτοπίαν τοῦ δόγματος.

133 ᾿Απόδειξις, φησί, περὶ τῆς θείας σαρκώσεως τῆς καθ᾿ ὁμοίωσιν ἀνθρώπου. Κρεῖττον δ᾿ ἂν εἴη τὰς θείας παραθέσθαι φωνὰς εἰς ἔλεγχον τῆς καινῆς ταύτης ὀνοματοποιίας. «῾Ο Λόγος», φησί, «σὰρξ ἐγένετο»[2] καὶ ἡ δόξα κατεσκήνωσεν ἐν τῇ γῇ ἡμῶν[3] καὶ ὁ Θεὸς ἐφανερώθη ἐν σαρκί[4], ὡς ἂν δι᾿ ἑκάστου **[1128]** μάθοιμεν τῶν εἰρημένων ὅτι ἀεὶ ἄτρεπτον[β] ὂν τὸ Θεῖον τῇ οὐσίᾳ καὶ ἀναλλοίωτον[γ] ἐν τῇ τρεπτῇ καὶ ἀλλοιουμένῃ γίνεται φύσει, ἵνα τῷ ἰδίῳ ἀτρέπτῳ τὴν ἡμετέραν πρὸς τὸ κακὸν τροπὴν ἐξιάσηται. Οὑτοσὶ δέ φησιν οὐ Θεὸν ἐν σαρκὶ πεφανερῶσθαι, ὅπερ ταὐτόν ἐστι τῷ μὴ τὸν Λόγον σάρκα γενέσθαι, τὸν ἐν ὁμοιώματι ἀνθρώπου καὶ σχήματι τῇ ζωῇ τῶν ἀνθρώπων διὰ τοῦ δουλικοῦ προσώπου καθομιλήσαντα, ἀλλὰ θείαν τινὰ σάρκωσιν ἀνατυποῦται τῷ Λόγῳ, οὐκ οἶδα τί σημαίνων τῷ ῥήματι, πότερον τροπὴν τῆς θεότητος ἀπὸ τῆς ἁπλῆς αὐτοῦ καὶ ἀσυνθέτου φύσεως εἰς σαρκώδη ἀντιτυπίαν ἀλλοιωθείσης ἢ μενούσης τῆς θείας οὐσίας ἐφ᾿ ἑαυτῆς ἄλλην τινὰ σάρκωσιν θείαν, μεθόριον τῆς τῶν ἀνθρώπων τε καὶ τοῦ Θεοῦ φύσεως ἀναφανῆναι οὔτε ἄνθρωπον οὖσαν οὔτε Θεόν, μετέχουσαν δέ πως ἀμφο-

---

1. Ματθ. 7,15. 2. ᾿Ιω. 1,14. 3. Πρβλ. Ψαλ. 84,10. 4. Πρβλ. Α´ Τιμ. 3,16.

α. Πρβλ. ᾿Ωριγένους, Εἰς τὸ κατὰ Λουκᾶν Εὐαγγέλιον, ΒΕΠ 15,11,7. PG 17,312A. Εὐσεβίου Καισαρείας, ᾿Εκκλησιαστικὴ ἱστορία, V,22, ΒΕΠ 19, 304,11. PG 20,381A.

β. Πρβλ. ῾Ιππολύτου Ρώμης, ᾿Εκ τοῦ κατὰ Βήρωνος καὶ ῞Ηλικος τῶν αἱρετικῶν, ΒΕΠ 6,271,36. PG 10,832C. Μ. ᾿Αθανασίου, Κατὰ ᾿Αρειανῶν, λόγ. Α´, ΒΕΠ 30,152,9. PG 26,85B.

γ. Πρβλ. ᾿Αθηναγόρου, Πρεσβεία περὶ χριστιανῶν, ΒΕΠ 4,298,28. PG 6,937C. Μ. ᾿Αθανασίου, Κατὰ ᾿Αρειανῶν, λόγ. Α´, ΒΕΠ 30,152,9. PG 26,85B.

τέρων, ἥτις τῷ μὲν σάρκωσις εἶναι συγγενῶς πρὸς τὸ ἀνθρώπινον ἔχει, τῷ δὲ θεία εἶναι κρείττων ἐστὶν ἢ κατὰ ἄνθρωπον. Ἀλλὰ μὴν Θεὸς εἶναι οὐ δύναται· ἁπλοῦν γὰρ τῇ φύσει τὸ Θεῖόν ἐστι καὶ ἀσύνθετον[α]· οὗ δὲ ἡ ἁπλότης, τούτου κατὰ τὸ ἴσον πάντως καὶ ἡ θεότης κεχώρισται. Ἄνθρωπος δὲ αὖ πάλιν οὐκ ἔστιν· ὁ γὰρ ἐκ ψυχῆς νοερᾶς καὶ σώματος συνεστηκὼς ἄνθρωπος λέγεται· ᾧ δὲ μὴ συνεπινοεῖται τὰ δύο, πῶς ἡ τοῦ ἀνθρώπου κλῆσις ἐφαρμοσθήσεται; Ἀνθρώπου γὰρ σῶμα λέγομεν καὶ ψυχὴν ἀνθρώπου, ἕως ἂν ἐφ' ἑαυτοῦ ἑκάτερον τούτων θεωρῆται· ἡ δὲ συνδρομὴ τούτων τῶν δύο ἄνθρωπος καὶ ἔστι καὶ λέγεται. Τί οὖν ἐστιν ἡ θεία **134** σάρκωσις ἡ μήτε ἄνθρωπος οὖσα μήτε Θεός, ἣν ἀναπλάσσει ἡ τοῦ λόγου ἐπιγραφή, οὐκ ἔστιν ἐκ τῶν ἐξητασμένων εὑρεῖν.

Ἀπόδειξις, φησί, περὶ τῆς θείας σαρκώσεως τῆς καθ' ὁμοίωσιν ἀνθρώπου. Τί τοῦτο πάλιν ἐνδείκνυται, τὸ καθ' ὁμοίωσιν ἀνθρώπου; ὅτι ἡ θεία σάρκωσις ὁμοίως τῇ ἀνθρωπίνῃ συνίσταται[β]. Πότε τοῦτο; ἆρα «ἐπ' ἐσχάτου τῶν ἡμερῶν»[1]; καὶ ποῦ τὸ τῆς παρθενίας μυστήριον; Οὐ γὰρ καθ' ὁμοίωσιν ἀνθρώπου σαρκοῦται ὁ Κύριος, καθὼς ὁ λογογράφος φησίν, ἀλλὰ θείᾳ δυνάμει καὶ Πνεύματι Ἁγίῳ[2], καθὼς τὸ Εὐαγγέλιον λέγει. Ἀλλὰ πρὸ τῶν αἰώνων; καὶ πῶς ὁμοιοῦται τῷ μὴ ὄντι τὸ ὄν; Τελευταῖος μὲν γὰρ τῶν κατὰ τὴν κτίσιν ὁ ἄνθρωπος, ὁ δὲ Κύριος βασιλεὺς πρὸ αἰώνων. Κατὰ ποίου τοίνυν ἀνθρώπου ὁμοίωσιν· ἐκείνη ἡ θεία σάρκωσις κατὰ τὸ προαιώνιον γίνεται; κατὰ τὴν τοῦ Ἀδάμ; Ἀλλ' οὔπω ἦν. Ἀλλὰ καθ' ἕτερόν τινα ἄνθρωπον; καὶ τίς οὗτος ὁ προνοούμενος τοῦ Ἀδὰμ ἄνθρωπος, ἵνα κατὰ τὸ ἐγκείμενον ὑπόδειγμα ὁμοιωθῇ τοῦ Θεοῦ ἡ σάρκωσις; Τὸ **[1129]** γὰρ ὅμοιον τῷ ὄντι πάντως, οὐ τῷ μὴ ὄντι ὅμοιον γίνεται. Ὥστε δύο κατ' αὐτὸν φαίνεται τῷ λόγῳ τὰ ἄτοπα· ἢ γὰρ πρεσβύτερον εὑρίσκεται τὸ πλάσμα τοῦ πλάσαντος ἢ τῷ μὴ ὄντι ὁμοιοῦται τὸ Θεῖον σαρκούμενον· κατ' ἀρχὰς γὰρ ἡ μὲν θεότης ἦν, ὁ δὲ Ἀδὰμ οὐκ ἦν. Οὐκοῦν εἰ καθ' ὁμοίωσιν ἀνθρώπου σαρκοῦται ἡ θεία φύσις, τῷ μὴ ὄντι ὁμοιοῦται ἡ θεία σάρκωσις· τὸ δὲ τῷ μὴ ὄντι ὁμοιούμενον οὐδ' ἂν αὐτὸ πάντως εἴη. Ἀλλ' ἕτερόν τινα τρόπον παρὰ τὸν ἀνθρώπινον τὴν σάρκωσιν ἐκείνην γεγενῆσθαί φησιν. Καὶ τίς τῶν ἑτεροφυῶν ἡ ὁμοίωσις; Εἰ οὖν μήτε κατὰ τὸ προαιώνιον ἐνδέχεται τὴν θείαν σάρκωσιν καθ' ὁμοίωσιν ἀνθρώπου γενέσθαι μήτε ἐπὶ τοῦ ἐσχάτου τῶν χρόνων, ὅτε κατὰ ἄν-

---

1. Ἑβρ. 1,2. 2. Πρβλ. Λουκ. 1,35.

α. Πρβλ. Εὐσεβίου Καισαρείας, Εὐαγγελικὴ ἀπόδειξις Δ, XV, ΒΕΠ 27, 160,7. PG 22,293A. Εἰς Κωνσταντῖνον τὸν βασιλέα, Τριακονταετηρικός, ΒΕΠ 24,261,23. PG 20,1392,B. Μ. Ἀθανασίου, Κατὰ Ἀρειανῶν πρὸς τοὺς ἐν Ἀφρικῇ τιμιωτάτους ἐπισκόπους, ΒΕΠ 31,141,27 ἑξ. PG 26,1044B. Πρὸς τοὺς Σαβελλίζοντας, ΒΕΠ 35,302,32 ἑξ.

β. Πρβλ. Διδύμου Ἀλεξανδρέως, Περὶ Τριάδος Γ, 4, ΒΕΠ 44,86,14 ἑξ.

θρωπον ἡ τοῦ Κυρίου οἰκονομία, καθ' ἣν ἐν **135** σαρκὶ Θεὸς ἐφανερώθη[1], καθ' ὁμοίωσιν ἀνθρώπου ἡ σάρκωσις γίνεται (οὐ γὰρ παραδέχεται τὴν τοιαύτην ἔννοιαν τὸ κατὰ τὴν παρθενίαν μυστήριον), μάτην ἂν εἴη κατ' ἀμφοτέρας τὰς ἐννοίας ταύτην τοῦ λόγου τὴν ἐπιγραφὴν ποιησάμενος. Ὅτι μὲν οὖν ἀνεπίσκεπτος ἡ ἐπιγραφὴ καὶ οὐδενὶ συνεστῶτι ἐπερειδομένη νοήματι, μετρίως οἶμαι διὰ τῶν εἰρημένων πεφανερῶσθαι τοῖς ἐπιστατικῶς ἐπαΐουσιν.

Καιρὸς δ' ἂν εἴη καὶ αὐτὸν προθεῖναι τῇ ἐξετάσει τὸν λόγον τὸν ὑπὸ τῆς Γραφῆς ταύτης δηλούμενον. Γράψω δὲ τὰ πρῶτα τῇ ἐμαυτοῦ λέξει δι' ὀλίγων ἐπιδραμὼν τὴν διάνοιαν, ἐν οἷς ἀκίνδυνόν ἐστι τὸ παραδραμεῖν τῶν γεγραμμένων τι ἀνεξέταστον. Μόνον, φησί, τὴν εὐσεβῆ πίστιν ἀγαθὸν ἦν νομίζεσθαι· μηδὲ γὰρ τῇ Εὔᾳ συνενεγκεῖν τὴν ἀνεξέταστον πίστιν· ὥστε προσῆκε καὶ τὴν τῶν Χριστιανῶν ἐξητασμένην εἶναι, μή που λάθῃ ταῖς τῶν Ἑλλήνων ἢ τῶν Ἰουδαίων συνεμπεσοῦσα δόξαις. Ταῦτα διὰ πλειόνων προοιμιασάμενος ἐπάγει τὸν λόγον εἰπὼν ὅτι παρὰ τοῖς ἀπίστοις καὶ ταῖς αἱρέσεσι προτεθρύλληται τὸ μὴ δυνατὸν εἶναι Θεὸν ἄνθρωπον γενέσθαι καὶ πάθεσιν ὁμιλῆσαι, ὃ καὶ παρὰ ταῖς αἱρέσεσιν ἐπὶ σχήματι πίστεως εἰσάγεται ἄνθρωπον ἔνθεον διὰ τὴν ἐκ γυναικὸς γέννησιν καὶ διὰ τὰ πάθη λεγούσαις τὸν Χριστόν. Τίνας μὲν οὖν οἶδεν αἱρέσεις, αἳ τὸν Χριστὸν ἔνθεον ἄνθρωπον λέγουσιν, αὐτὸς ἂν εἰδείη καὶ εἴ τις τὰ ἐκείνου πεπαίδευται· ἡμεῖς δὲ πολλοῖς ἐπιδεδημηκότες τόποις καὶ κατὰ σπουδὴν τοῖς τε κοινωνοῦσι τοῦ δόγματος τοῖς τε ἀφεστηκόσι περὶ τῶν κατὰ τὸν Λόγον ζητουμένων καθομιλήσαντες, οὔπω τινὸς ἀκηκόαμεν τὴν τοιαύτην ῥήξαντος περὶ τοῦ μυστηρίου φωνήν, ὅτι ἄνθρω**[1132]**πος ἔνθεος ὁ Χριστὸς ἦν. Τὸν τοίνυν μέλλοντα διορθοῦσθαι μὲν τὰς **136** ἠπατημένας περὶ τοῦ δόγματος ὑπολήψεις, ἀντεισάγειν δὲ τὰς εὐσεβεστέρας μὴ ἀναπλάσσειν ἑαυτῷ τὰ μὴ ὄντα καὶ πρὸς τὰ ἀνύπαρκτα μάχεσθαι προσῆκον ἦν, ἀλλὰ πρὸς τὰ λεγόμενα παρὰ τῶν ἀντιδιατιθεμένων ὁπλίζεσθαι. Οὐδὲ γὰρ τῶν ἰατρῶν οἱ ἐπιστήμονες πρὸς τὰ μὴ ὄντα πάθη τὴν ἑαυτῶν τέχνην ἀντεισάγουσιν, ἀλλὰ πρὸς τὸ γεγονὸς ἤδη νόσημα διὰ τῆς ἐπιστήμης ἵστανται. Ἢ τοίνυν δειξάτω τὸν εἰρηκότα μὴ Θεὸν ἐν σαρκὶ πεφανερῶσθαι[2], ἀλλ' ἔνθεον ἄνθρωπον τὸν Χριστὸν εἶναι, εἶτα καὶ τὸν λόγον αὐτοῦ ὡς οὐ μάτην πεποιημένον παραδεξόμεθα, ἢ ἕως ἂν ἡ τοιαύτη μὴ εὑρίσκηται νόσος, μάταιον εἶναι πάντες ὁμολογήσουσι τὸ τοῖς μὴ οὖσι συμπλέκεσθαι.

1. Πρβλ. Α' Τιμ. 3,16. 2. Ἔνθ' ἀν.

Ἀλλ' οὐκ εἰκῇ τὴν τοιαύτην τῆς λογογραφίας ἀνάγκην ἑαυτῷ σχηματίζεται· ἀλλ' ὡς ἂν ὁδόν τινα καὶ ἀκολουθίαν πρὸς τὴν κατασκευὴν τοῦ καθ' ἑαυτὸν δόγματος λάβοι, τὸ μὴ λεχθὲν ὡς εἰρημένον ὑπέθετο, ἵνα τῷ πρὸς ταῦτα δοκεῖν ἀγωνίζεσθαι διὰ τῆς ἐσχηματισμένης ἀντιρρήσεως κατασκευάσῃ τὸ θνητὸν εἶναι τὸ Θεῖον. Ἅπας γὰρ αὐτῷ τῆς λογογραφίας ὁ σκοπὸς πρὸς τοῦτο βλέπει, τὸ θνητὴν εἶναι τοῦ μονογενοῦς Υἱοῦ τὴν θεότητα καὶ οὐχὶ τῷ ἀνθρωπίνῳ τὸ πάθος δέξασθαι, ἀλλὰ τὴν ἀπαθῆ καὶ ἀναλλοίωτον φύσιν πρὸς πάθους μετουσίαν ἀλλοιωθῆναι. Ὅθεν πρὸς τί μὲν αὐτῷ χρήσιμον ὁ λόγος βλέπει, εἰδεῖεν ἂν οἱ τῶν μυστηρίων αὐτοῦ ἐπίστορες· ἃ δὲ ἡ ἀκολουθία καὶ τοῖς ἄγαν νηπίοις προδείκνυσι, τοιαῦτά ἐστιν, οἷα μηδ' ἂν τοὺς ἀθεωτάτους τῶν Ἑλλήνων εἰπεῖν. Εἰ γὰρ αὐτὴ τέθνηκε τοῦ Μονογενοῦς ἡ θεότης, συναπέθανε ταύτῃ πάντως καὶ ἡ ζωὴ καὶ ἡ ἀλήθεια καὶ ἡ δικαιοσύνη καὶ ἡ ἀγαθότης καὶ τὸ φῶς καὶ ἡ δύναμις· ταῦτα γὰρ κατὰ διαφόρους ἐπιβολὰς ὁ μονογενὴς Θεὸς καὶ ἔστι καὶ λέγεται. Ἁπλοῦς δὲ ὢν καὶ ἀμερὴς καὶ ἀσύνθετος, **137** ὅπερ ἂν λέγηται, ὅλος ἐστίν, οὐκ ἐν μέρει τοῦτο καὶ ἐν μέρει τὸ ἕτερον, ὥστε ἑνὸς ὄντος πάντα ἐν αὐτῷ νοεῖσθαι καὶ μὴ ὄντος τὰ πάντα συνδιαγράφεσθαι. Εἰ οὖν ἠφανίσθη τῷ θανάτῳ τὸ Θεῖον, συνηφανίσθη τῷ θανάτῳ πάντα τὰ συνημμένως περὶ τὴν αὐτοῦ θεότητα θεωρούμενα. Ἀλλὰ μὴν οὐχ ἁπλῶς δύναμις ὁ Χριστός, ἀλλὰ Θεοῦ δύναμις καὶ Θεοῦ σοφία[1]. Ὅτε οὖν ταῦτα τῇ θεότητι τοῦ Υἱοῦ διὰ τοῦ θανάτου συγκατεσβέσθη, οὐκ ἦν παρὰ τῷ Πατρὶ Θεοῦ σοφία, οὐ δύναμις, οὐ ζωή, οὐκ ἄλλο τι τῶν πρὸς τὸ κρεῖττον ὀνομαζομένων οὐδέν· Θεοῦ γὰρ πάντα ταῦτα εἶναι ⟨καὶ πάντα⟩ τὰ τοῦ Πατρὸς ἐν αὐτῷ εἶναι πιστεύεται, ἅπερ ὄντος μὲν τοῦ Υἱοῦ ἔστι, μὴ ὄντος δὲ πάντως οὐκ ἔστι διὰ τὸ ἐν αὐτῷ εἶναι πάντα τὰ **[1133]** τοῦ Πατρὸς ὁμολογεῖσθαι[2]. Εἰ οὖν ἐναπεσβέσθη τῷ θανάτῳ ἡ δύναμις, Χριστὸς δὲ Θεοῦ ἐστι δύναμις[3], ποία πάλιν ἐκ τοῦ μὴ ὄντος ἀνεκλήθη δύναμις τῆς μὲν οὔσης τῷ θανάτῳ ἀφανισθείσης, ἑτέρας δὲ οὐχ ὑπολειφθείσης; Τὴν γὰρ τοῦ Πατρὸς δύναμιν ἐν τῷ Υἱῷ εἶναι καὶ παρὰ τῶν μαχομένων ἡμῖν ὁμολογεῖται. Εἰ οὖν μία ἡ δύναμις[α], αὕτη δὲ ὑπὸ τοῦ θανάτου δυναστευθεῖσα εἰς ἀφανισμὸν μετεχώρησεν ἐν τῷ καιρῷ τῆς τοῦ πάθους οἰκονομίας, τίς ἄλλη δύναμις παρ' αὐτὸν ἀναπλάττεται ἡ ταύτην ἐκ τοῦ θανάτου ἀνακαλουμένη τὴν δύναμιν; Εἰ γὰρ τοῦτο λέγοιεν ὅτι ἡ μὲν ἀπέθανεν, ἡ δὲ ἀθάνατος ἔμεινεν, οὐκέτι ἐν τῷ Υἱῷ τὴν τοῦ Πατρὸς δύναμιν εἶναι ὁμολογήσουσι καὶ οὕτως ἐκ τοῦ ἀκολούθου τὰς αὐτοῦ τοῦ Κυρίου φωνὰς παραγράψονται ὡς οὐκ ἀληθῶς ἐχούσας, αἳ πάντα τὰ τοῦ Πατρὸς τοῦ Υἱοῦ εἶναι διαμαρτύρονται.

---

1. Πρβλ. Α' Κορ. 1,24. 2. Πρβλ. Ἰω. 16,14-15. 3. Πρβλ. Α' Κορ. 1,24.

α. Πρβλ. Ἱππολύτου, Εἰς τὴν αἵρεσιν Νοητοῦ, ΒΕΠ 6,16,11. PG 10,816B.

Ὁ γὰρ πάντα ἔχων τὰ τοῦ Πατρὸς καὶ τὴν ἀθανασίαν πάντως τοῦ Πατρὸς ἐν ἑαυτῷ ἔχει· ἡ δὲ ἀθανασία, ἕως ἂν ᾖ τοῦτο ὃ λέγεται, ἀμίκτως τε καὶ ἀκοινωνήτως πρὸς τὸν θάνατον ἔχει. Εἰ οὖν θνητὴν λέγουσι τοῦ Υἱοῦ τὴν θεότητα, **138** τὸ μὴ ἔχειν αὐτὸν ἐν ἑαυτῷ τὴν τοῦ Πατρὸς ἀθανασίαν κατασκευάζουσιν. Ἀλλὰ μὴν ἀληθεύει ὁ λέγων ὅλον ἔχειν ἐν ἑαυτῷ τὸν Πατέρα. Ψεύδεται ἄρα ὁ θνητὸν κατασκευάζων τοῦτον ᾧ πᾶσα ἡ τοῦ Πατρὸς ἀϊδιότης ἐγκαθορᾶται. Ἐπεὶ οὖν μία Πατρὸς καὶ Υἱοῦ κατὰ τὸν λόγον τῶν εὐσεβούντων ἡ δύναμις (ἐν γὰρ τῷ Πατρὶ τὸν Υἱὸν βλέπομεν καὶ ἐν τῷ Υἱῷ τὸν Πατέρα)[1], σαφῶς ἀποδείκνυται, ὅτι τὸ μὲν ἐμπαθὲς τῇ φύσει τὸν θάνατον δέχεται, τὸ δὲ ἀπαράδεκτον πάθους ἐν τῷ παθητῷ τὴν ἀπάθειαν ἐνήργησεν.

Ἀλλὰ πρὸς τὸ ἐφεξῆς τοῦ λόγου προέλθωμεν. Λέξω δὲ πάλιν τῇ ἐμαυτοῦ φωνῇ συνελὼν ἐν βραχεῖ τὴν διάνοιαν. Φησὶ γὰρ τὸ ἄνθρωπον ἔνθεον. Τὸν Χριστὸν ὀνομάζειν ἐναντίον μὲν εἶναι ταῖς ἀποστολικαῖς διδασκαλίαις, ἀλλότριον δὲ τῶν συνόδων· Παῦλον δὲ καὶ Φωτεινὸν καὶ Μάρκελλον τῆς τοιαύτης διαστροφῆς κατάρξαι. Εἶτα κατὰ τοὺς δεινοὺς τῶν ἀγωνιστῶν ὥσπερ συμπλακεὶς τῷ προσδιαλεγομένῳ καὶ εὑρὼν τὸν αὐθέντην τοῦ ῥήματος τοῦτό φησι· πῶς ἐρεῖς ἐκ γῆς ἄνθρωπον τὸν ἐξ οὐρανοῦ καταβεβηκέναι μαρτυρούμενον ἄνθρωπον καὶ Υἱὸν ἀνθρώπου τὸν Θεὸν καὶ Θεοῦ Υἱὸν ἀναγορευόμενον; Πάλιν ἐν τούτοις ἡ κατασκευὴ τῶν προλαβόντων ἑτέρας ἀτοπίας ἐστὶν ἀρχή· ἵνα γὰρ δείξῃ Θεὸν τεθνηκότα, οὐδὲν ὅλως καταδέχεται τῆς γηίνης φύσεως περὶ αὐτὸν θεωρεῖσθαι, ἐπειδὴ ὅλως τῇ **[1136]** γῇ συγγενῶς ἔχειν δοκεῖ τὸ κατὰ θάνατον πάθος. Οὐκ ἔστι, φησίν, ἐκ γῆς ἄνθρωπος ὁ ἐξ οὐρανοῦ καταβὰς ἄνθρωπος. Ἄνθρωπος μέντοι, καὶ εἰ ἐξ οὐρανοῦ καταβέβηκεν· οὐ γὰρ ἀρνεῖται τὴν τοιαύτην προσηγορίαν ἐν τοῖς Εὐαγγελίοις ὁ Κύριος. Πῶς οὖν ἐν τοῖς εἰρημένοις τὸ ἀκόλουθον σῴζει; εἰ μὴ ἐκ γῆς ὁ ἄνθρωπος, ἀλλ' ἐξ οὐρανοῦ πρὸς ἡμᾶς καταβαίνει, **139** πῶς ἀνθρώπου Υἱὸς ὁ ἐξ οὐρανοῦ καταβαίνων λέγεται; Δώσει γὰρ πάντως, ὥσπερ ἐπὶ τῆς γῆς προεπινοοῦμεν τῶν υἱῶν τοὺς πατέρας, οὕτω καὶ ἐπὶ τοῦ κατ' αὐτὸν οὐρανόθεν ἥκοντος ἀνθρώπου, ἐπειδὴ Υἱὸς ἀνθρώπου[2] λέγεται, μὴ εἰκῇ πατρόθεν κατονομάζεσθαι, ἀλλ' εἶναι αὐτοῦ κατὰ τὸ ἀνθρώπινον ἐν οὐρανῷ προθεωρούμενον πατέρα ἄλλον ἄνθρωπον. Εἰ γὰρ στηρίζεται τούτῳ τῷ ῥήματι τῷ εἰρηκότι «οὐδεὶς ἀναβέβηκεν εἰς

---

1. Πρβλ. Ἰω. 14,9. 2. Πρβλ. Ματθ. 11,19. Λουκ. 19,10. Πράξ. 7,56 κ.ά.

τὸν οὐρανὸν εἰ μὴ ὁ ἐξ οὐρανοῦ καταβάς, ὁ Υἱὸς τοῦ ἀνθρώπου»[1], καὶ διὰ τοῦτο τῆς πρὸς τὸν γήινον ἄνθρωπον συγγενείας αὐτὸν ἀποσχίζει, ἐκ τοῦ οὐρανοῦ ἥκοντα Υἱὸν ἀνθρώπου λέγων· δώσει τινὰ πάντως τοῦ καταβάντος πρὸς ἡμᾶς ἄλλον ἐν οὐρανῷ τοιοῦτον πατέρα, ὥστε καὶ ἐν τῇ οὐρανίῳ ζωῇ ἔθνη ἀνθρώπων καὶ δήμους καὶ πατριὰς καὶ πάντα, ὅσα κατὰ τὸν τῇδε βίον ἔστιν, ὑπονοεῖσθαι. Εἰ οὖν τὸ ἐξ οὐρανοῦ ἧκον ἀνθρώπου ἐστὶν Υἱός, τὸ δὲ ἐκ Μαρίας «ἐκ σπέρματος Δαβίδ»[2] κατὰ σάρκα γεγεννημένον ἄνωθεν δὲ ἀνθρώπου Υἱὸς ὠνόμασται, ψευδῶς κατ᾽ αὐτοὺς Υἱὸς Θεοῦ λέγεται μήτε τοῦ οὐρανίου μήτε τοῦ γηίνου πρὸς τὸ Θεῖον οἰκειουμένου. Ἀλλὰ συναγαγὼν ἑαυτῷ πρὸς τὸ κεφάλαιον τὰ εἰρημένα ἐν τούτῳ συμπεραίνει τὸν λόγον· εἰ δὲ καὶ ἐξ οὐρανοῦ Υἱὸς ἀνθρώπου καὶ ἐκ γυναικὸς Υἱὸς Θεοῦ, πῶς οὐχ ὁ αὐτὸς Θεὸς καὶ ἄνθρωπος; Ἐγὼ δὲ τὸ μὲν τὸν αὐτὸν ἄνθρωπον καὶ Θεὸν πιστεύειν εἶναί φημι καὶ παντὸς εἶναι τοῦ τὸν ὀρθὸν λόγον πρεσβεύοντος, οὐ μὴν κατὰ τὴν τοῦ λογογράφου διάνοιαν· οὔτε γὰρ τὸ Θεῖον γήινον οὔτε ἀνθρώπινον τὸ οὐράνιον, καθὼς ἐκεῖνος οἴεται· ἀλλ᾽ ἄνωθεν μὲν ἡ τοῦ ὑψίστου δύναμις διὰ τοῦ Ἁγίου Πνεύματος ἐν τῇ ἀνθρωπίνῃ φύσει ἐπεσκιάσθη[3], τουτέστιν ἐνεμορφώθη, ἐκ δὲ τῆς ἀμιάντου Παρθένου ἡ τῆς σαρκὸς μοῖρα συνηφανίσθη καὶ οὕτω τὸ ἐν αὐτῇ γεννηθὲν Υἱὸς Ὑψίστου κατωνομάσθη[4]· τῆς μὲν θείας **140**
δυνάμεως τὴν πρὸς τὸν Ὕψιστον ἀγχιστείαν, τῆς δὲ σαρκὸς τὴν ἀνθρωπίνην οἰκειουμένης συγγένειαν.

Ἀλλὰ Θεὸς μέν, φησί, τῷ πνεύματι τῷ σαρκωθέντι, ἄνθρωπος δὲ τῇ ὑπὸ τοῦ Θεοῦ προσληφθείσῃ σαρκί. Τί ἐστι πάλιν τοῦ πνεύματος σάρκωσις ἐκτὸς τῆς πρὸς τὴν ἡμετέραν σάρκα ἑνώσεως; πόθεν δὲ προσελήφθη ἄνθρωπος, εἰ μὴ ἐκ τοῦ πρώτου ἀνθρώπου, οὗ τὴν πρώτην γένεσιν ἐκ γῆς, οὐκ ἐκ τοῦ οὐρανοῦ γενεαλογοῦντος τοῦ Μωυσέως ἠκούσαμεν; Λαβὼν γὰρ ὁ Θεὸς χοῦν ἀπὸ τῆς γῆς τὸν ἄνθρωπον ἔπλασεν[5]· ἄλλην δὲ ἀνθρώπου κατα**[1137]**σκευὴν ἐξ οὐρανοῦ συστῆναι παρ᾽ οὐδενὸς μεμαθήκαμεν. Εἶτα ἐπάγει τοῖς εἰρημένοις ὅτι τὸ μυστήριον ἐν σαρκὶ ἐφανερώθη[6], καλῶς τοῦτο λέγων, οὗτος ὁ ἡμέτερος λόγος, καὶ ὅτι «ὁ Λόγος σὰρξ ἐγένετο»[7] κατὰ τὴν ἕνωσιν, καὶ ταῦτα τῆς ὑγιαινούσης φωνῆς ἐστι τὰ ῥήματα· ὁ γὰρ ἡνῶσθαι τῇ σαρκὶ τὸν Λόγον εἰπὼν οὐδὲν ἕτερον ἢ τῶν δύο τὴν συνδρομὴν λέγει. Ἀλλ᾽ οὐκ ἄψυχος, φησίν, ἡ σάρξ· στρατεύεσθαι γὰρ κατὰ τοῦ πνεύματος εἴρηται καὶ ἀντιστρατεύεσθαι τῷ νόμῳ τοῦ

---

1. Ἰω. 3,13. 2. Ἰω. 7,42. Ρωμ. 1,3. 3. Πρβλ. Λουκ. 1,35. 4. Πρβλ. Λουκ. 1,32. 5. Πρβλ. Γεν. 2,7. 6. Πρβλ. Α´ Τιμ. 3,16. 7. Ἰω. 1,14.

ν ο ό ς[1]. Ὑπέρευγε τῆς εὐγνωμοσύνης! οὐκ ἄψυχον τῷ Θεῷ περιπλάσσει τὴν σάρκα[α]. Οὐκοῦν ἐρωτήσωμεν, εἰ ἔμψυχος προσελήφθη παρὰ τοῦ Θεοῦ Λόγου ἡ σάρξ, καθώς φησιν ὁ λογογράφος· ἔμψυχα δέ φαμεν καὶ τῶν ἀλόγων τὰ σώματα· ὁ ἀνθρωπίνην σάρκα καὶ ταύτην ἔμψυχον προσοικίζων τῷ λόγῳ οὐδὲν ἕτερον ἢ ὅλον συνάπτει τὸν ἄνθρωπον· οὐδὲν γὰρ ἄλλο παρὰ τὴν νοερὰν φύσιν τῆς ἀνθρωπίνης ψυχῆς ἐστιν ἰδίωμα διὰ τὸ ἐν πᾶσι τοῖς ἄλλοις κοινωνίαν εἶναι ἡμῖν πρὸς τὰ ἄλογα· τὸ ἐπιθυμητικόν, τὸ θυμοειδές, ἡ κατὰ τροφὴν ὄρεξις, ἡ πρὸς τὴν αὔξησιν δύναμις, ὁ κόρος, ὁ ὕπνος, ἡ πέψις, **141** ἡ ἀλλοίωσις, ἡ τοῦ ἀχρειωθέντος ἐκποίησις, πάντα κατὰ τὸ ἴσον ἐν ἡμῖν καὶ τοῖς ἀλόγοις διά τινος ψυχικῆς δυνάμεως οἰκονομεῖται. Ὁ τοίνυν λέγων ἄνθρωπον εἶναι τὸν προσειλημμένον, ἔμψυχον δὲ τοῦτον διδοὺς οὐδὲν ἕτερον ἢ καὶ νοητὴν αὐτῷ προσεμαρτύρησε δύναμιν, ὅπερ ἴδιον τῆς ἀνθρωπίνης ἐστὶ ψυχῆς, ἐξ αὐτῶν, ὧν παρέθετο ἡμῖν, τῶν τοῦ Ἀποστόλου ῥημάτων· ὁ γὰρ εἰπὼν ὅτι «τὸ φρόνημα τῆς σαρκὸς ἔχθρα εἰς Θεόν (τῷ γὰρ νόμῳ τοῦ Θεοῦ οὐχ ὑποτάσσεται)»[2] τῆς προαιρετικῆς τε καὶ διανοητικῆς δυνάμεως ἐναργῆ τὰ ἰδιώματα λέγει· τὸ γὰρ ἐπιπειθῶς ἢ ἀντιτύπως πρὸς τὸν νόμον ἔχειν προαιρέσεως ἴδιον αὐτό τε τὸ τοῦ φρονήματος ὄνομα οὐκ ἄν τις τῆς κατὰ τὸ φρονεῖν ἐνεργείας ἀποχωρίσειεν. Τὸ δὲ φρονεῖν ταὐτὸν εἶναι τῷ νοεῖν οὐδ' ἂν τῶν κομιδῇ τις νηπιαζόντων ἀντείποι· ὅ τε ἀντιστρατευόμενος καὶ αἰχμαλωτίζων[3] πῶς ἂν τῆς ἐνεργείας τοῦ νοεῖν ἀμοιρήσειεν; Οὐ γὰρ τὸ πρὸς τὰ φαῦλα κινεῖσθαι τοῖς κακοῖς τὴν προαίρεσιν ἀπόδειξις τοῦ μὴ εἶναι νοῦν ἐν ἐκείνοις ἐστίν, ἀλλὰ καλῆς μὲν διανοίας ἐκτός εἰσι, νοοῦσι δὲ ὅμως· ἐπεὶ καὶ τὸν ὄφιν ἐκεῖνον[4], ὃν δὴ τῆς κακίας ἀρχηγὸν καὶ εὑρετὴν παρὰ τῶν Γραφῶν ἐδιδάχθημεν, οὐκ ἀνόητον εἶναί φησιν ὁ θεόπνευστος λόγος, πλείονα τῶν ἄλλων προσμαρτυρῶν τούτῳ τὴν φρονιμότητα.

Οὐκοῦν ἐξ αὐτῶν, δι' ὧν οἴεται συνιστᾶν τὸν ἑαυτοῦ λόγον, αἱ παρατεθεῖσαι ἡμῖν φωναὶ τὸ ἀσεβὲς τοῦ κατ' αὐτὸν δόγματος διελέγχουσιν. Οὐ γὰρ ἐν τούτοις μόνοις ὁ Ἀπόστολος ἀνθίστησι τὴν σάρκα τῷ πνεύματι[β], τουτέστι τὴν πονηρὰν προαίρεσιν τῇ **[1140]** ἀστειοτέρᾳ ζωῇ, ἀλλὰ καὶ πρὸς Κορινθίους φησὶ τὸ ἐμπαθὲς αὐτοῖς ὀνειδίζων ὅτι σάρκινοί ἐστε[5]. Ἆρα κατὰ τὸν χρόνον ἐκεῖνον, καθ' ὃν πρὸς αὐτοὺς ὁ λόγος ἐγένετο, κατὰ τὴν τριμερῆ τοῦ Ἀπολιναρίου τῶν ἀνθρώπων τομὴν ἀμέτοχοι τῆς κατὰ τὸν νοῦν ἐνεργείας ἦσαν οἱ

---

1. Πρβλ. Ρωμ. 7,23. 2. Ρωμ. 8,6-7. 3. Πρβλ. Ρωμ. 7,23. 4. Πρβλ. Γεν. 3,1. 5. Πρβλ. Α' Κορ. 3,3.

α. Πρβλ. Εὐσεβίου Καισαρείας, Εἰς Κωνσταντῖνον τὸν βασιλέα, Τριακονταετηρικός, ΒΕΠ 24,260,39. PG 20,1389C. Γρηγορίου Νύσσης κατωτέρω σ. 265,7 ἑξ.

β. Πρβλ. Ἀθηναγόρου, Πρεσβεία περὶ χριστιανῶν, ΒΕΠ 4,303,20 ἑξ. PG 6,952D.

ἄνθρωποι; ἢ πάντως ἐκ τῆς ἀμέτρου πρὸς τὴν σάρκα διαθέσεως **142** σάρκινοι παρὰ τοῦ Παύλου προσηγορεύθησαν ἐκ τοῦ πλεονάζοντος τὴν ἐπωνυμίαν λαβόντες; Καὶ δείκνυσι τὸν τοιοῦτον λόγον ἡ σύμφρασις τῶν γεγραμμένων· «ὅπου γὰρ ἐν ὑμῖν», φησί, «ζῆλος καὶ ἔρις, οὐχὶ σαρκικοί ἐστε;»[1] Τὸ δὲ ζηλοῦν καὶ ἐρίζειν τῆς κατὰ τὸν νοῦν ἐνεργείας ἐστίν. Τὰ δὲ τούτων ἐχόμενα τῆς λογογραφίας ἀπόδειξιν δῆθεν περιέχει διὰ πλειόνων μαρτυριῶν τοῦ ἐκ τριῶν συνεστάναι τὸν ἄνθρωπον, ἀπὸ σαρκός τε καὶ ψυχῆς καὶ νοῦ, ἅπερ οὐ πόρρω τοῦ καθ' ἡμᾶς ἐστι λόγου. Ταὐτὸν γάρ ἐστιν ἐκ νοερᾶς ψυχῆς καὶ σώματος τὸν ἄνθρωπον λέγειν καὶ ἰδιαζόντως τὸν νοῦν ἐφ' ἑαυτοῦ ἀριθμήσαντα τριχῇ[α] διελεῖν τὴν περὶ τὸν ἄνθρωπον θεωρίαν· εἰ καὶ ὅτι πολλὰς τοῖς αἱρετικοῖς δίδωσιν ὁ λόγος ἐν τούτῳ λαβάς· δύναται γάρ, εἰ τὸ νοητικὸν ἐφ' ἑαυτοῦ τις ἀριθμοίη, ἑτέραν τοῦ θυμοειδοῦς[β] τὴν περιγραφὴν λέγειν καὶ τοῦ ἐπιθυμητικοῦ[γ] πάλιν ἑτέραν. Ἴσως δ' ἄν τις καὶ τὰ λοιπὰ τῆς ψυχῆς κινήματα κατὰ τὸν λόγον ἐξαριθμούμενος πολυσχιδῆ τινα καὶ πολυσύνθετον ἀντὶ τοῦ τριμεροῦς ἀποδείξειε τὸν ἄνθρωπον.

Ἀλλ' ἐάσθω ταῦτα, ὡς ἂν μὴ τοῖς καθ' ἕκαστον ἐπεξιόντες εἰς ἀμετρίαν ἐκτείνωμεν τὴν ἀντίρρησιν, πρὸς δὲ τὰ ἐφεξῆς τοῦ λόγου προΐωμεν. Κατασκευάσας γὰρ διὰ πολλῶν τὸ τριφυὲς ἢ τριμερὲς ἢ ὅπως ἂν ἐθέλῃ τις ὀνομάζειν τὸ ἀνθρώπινον σύγκριμα, μέμνηταί τινων καὶ δογμάτων συνοδικῶν τῶν τε κατὰ Παύλου τοῦ Σαμωσατέως συνειλεγμένων λέγοντος ἐξ οὐρανοῦ ἀποτεθεῶσθαι τὸν Κύριον· καὶ τοῦ κατὰ Νίκαιαν ἐκφωνηθέντος, οὗ τὴν ῥῆσιν ἐπὶ λέξεως τοῦτον τὸν τρόπον εἰρημένην παρέθετο τὸ ἐξ οὐρανοῦ καταβάντα καὶ σαρκωθέντα καὶ ἐνανθρωπήσαντα. Καὶ ταῦτα εἰπὼν ὡς προκατασκευάσας τὸν μέλλοντα ῥηθήσεσθαι λόγον οὕτως ἀπογυμνοῖ τοῦ ἰδίου βουλήματος τὴν διάνοιαν καί φησιν οἱονεὶ προσοικειῶν τοῖς ἀποδεδειγμένοις **143** οὕτω κατὰ τὴν λέξιν· τὸ δὴ πνεῦμα, τουτέστι τὸν νοῦν, Θεὸν ἔχων ὁ Χριστὸς μετὰ ψυχῆς καὶ σώματος εἰκότως ἄνθρωπος ἐξ οὐρανοῦ λέγεται. Τί κοινὸν ἔχει τὰ εἰρημένα πρὸς τὰ προάγοντα; ποῦ **[1141]** τοῦτο ἡ κατὰ τοῦ Σαμωσατέως ἐδογμάτισε σύνοδος; Ἀλλ' ἐῶ τὰ τῆς μνήμης ἡμῶν πρεσβύτερα. Τί τοιοῦτον ἐν τοῖς κατὰ Νίκαιαν δόγμασιν ἔδειξεν; τὸν καταβάντα ἐκ τῶν οὐρανῶν ἡ πίστις λέγει καὶ σαρκωθέντα, ὡς

---

1. Α' Κορ. 3,3.

α. Πρβλ. Κλήμεντος Ἀλεξανδρέως, Παιδαγωγὸς Α,Ι, ΒΕΠ 7,189,24 ἑξ. PG 8,556A-B.

β. Πρβλ. Γρηγορίου Νύσσης, Περὶ ψυχῆς καὶ ἀναστάσεως, κατωτέρω σ. 332,38 ἑξ.

γ. Πρβλ. Ὠριγένους, Ἐκλογαὶ εἰς τοὺς Θρήνους, PG 13,644C. Γρηγορίου Νύσσης, ἔνθ' ἀν.

μὴ πρὸ τῆς καθόδου νοεῖσθαι τὴν σάρκα, ἀλλὰ δευτερεύειν μετὰ τὴν κάθοδον τὸν σαρκωθέντα καὶ ἐνανθρωπήσαντα; Τοῦτο παρὰ πάντων ἐν ἐκκλησίαις κηρύσσεται καὶ οὗτος ἡμέτερος, μᾶλλον δὲ τῆς Ἐκκλησίας ὁ λόγος. Ποῦ τοίνυν ἐν τοῖς εἰρημένοις ἐστίν, ὅτι τὸ Πνεῦμα, τουτέστι τὸν νοῦν, Θεὸν ἔχων ὁ Χριστὸς μετὰ ψυχῆς καὶ σώματος ἐξ οὐρανοῦ ἄνθρωπος λέγεται; Εἴτε γὰρ ἐπὶ τῆς λέξεως ψιλῆς ἐξετάζοις τὸν λόγον εἴτε καὶ τὴν τῶν εἰρημένων διάνοιαν, ἐν οὐθετέρῳ τὸ ῥηθὲν εὑρεθήσεται. Ἡ μὲν γὰρ λέξις τοσοῦτον ἀπέχει τῆς λέξεως καθ' ὅσον ἀπέχουσι, ψαλμικῶς εἰπεῖν, ἀνατολαὶ ἀπὸ δυσμῶν[1]· ἡ δὲ διάνοια τῶν εἰρημένων τί κοινὸν πρὸς τὰ δι' ἐκείνης δηλούμενα δείκνυσιν; Φησὶν οὗτος τὸν σαρκωθέντα τῇ ἀνθρωπίνῃ σαρκὶ Χριστὸν ἐν ἑαυτῷ Θεὸν τὸ πνεῦμα, τουτέστι τὸν νοῦν, ἔχειν· λέγει δὲ τοῦτο ὁ κελεύων ἔνθεον ἄνθρωπον μὴ λέγειν τὸν Χριστόν, Θεὸν ἔχοντα ἐν ἑαυτῷ ὡς ἄλλον ἐν ἄλλῳ, αὐτὸς πρὸ τῶν ἄλλων τοῦτο κατασκευάζων. Ἡ δὲ τῆς συνόδου φωνὴ τὸν ἐξ οὐρανοῦ καταβάντα λέγει. Νοείτω μὲν οὖν ὁ πολὺς καὶ ἀκέραιος τὴν ἐκ τῶν οὐρανῶν πρὸς ἡμᾶς κάθοδον· οὐδὲν γὰρ πρὸς τὴν τοιαύτην ὑπόληψιν διοισόμεθα, κἂν ὑψηλοτέραν ὁ νοῦς ἐμφαίνῃ διάνοιαν, μὴ τοπικῶς λέγων καταβαίνειν τὸ Θεῖον πανταχοῦ ὂν καὶ περιδεδραγμένον τῶν ὄντων, ἀλλὰ τὴν πρὸς τὸ ταπεινὸν τῆς φύσεως ἡμῶν παραδηλῶν συγκατάβασιν· πλὴν ὅπως ἂν ᾖ φίλον τῷ βουλομένῳ δέχεσθαι τὴν κάθοδον, τὸν σαρκω- **144** θέντα πάλιν ὁ τῆς συνόδου λόγος φησὶ καλῶς καὶ τοῦτο λέγων· πῶς γὰρ ἂν οἰκειότερον τὴν ἐκ γυναικὸς ἡρμήνευσε γέννησιν; Οὐ γάρ, ᾗ Θεός ἐστιν, αὐτὸς καθ' ἑαυτὸν ἐκ γυναικὸς ἐγεννήθη. Ὁ γὰρ πρὸ τῆς κτίσεως ὢν τῷ διὰ σαρκὸς γεγεννῆσθαι αὐτὸ τὸ εἶναι οὐκ ἐπιδέχεται· ἀλλὰ τῷ Ἁγίῳ Πνεύματι προοδοποιήσας τὴν τῆς ἰδίας δυνάμεως εἴσοδον καὶ μηδὲν τῆς ὑλικῆς ἀφορμῆς πρὸς τὴν κατασκευὴν τοῦ οἰκείου σκήνους προσδεηθεὶς κατὰ τὸ εἰρημένον περὶ τῆς σοφίας ἑαυτῷ ᾠκοδόμησεν οἶκον[2] τὸν ἐκ τῆς Παρθένου χοῦν ἀνθρωποποιήσας, δι' οὗ συνεκράθη πρὸς τὸ ἀνθρώπινον.

Ποῦ τοίνυν ἐν τούτοις φησὶν ὁ λόγος, ὅπερ τῷ Ἀπολιναρίῳ δοκεῖ, ⟨ὅτι⟩ τὸ πνεῦμα, τουτέστι τὸν νοῦν, Θεὸν ἔχων ὁ Χριστὸς μετὰ ψυχῆς καὶ σώματος, εἰκότως ἐξ **[1144]** οὐρανοῦ ἄνθρωπος λέγεται; Εἰ μὲν γὰρ ἔξεστι κατ' ἐξουσίαν αὐτῷ πρὸς τὸ δοκοῦν ἕλκειν τὰ θεῖα λόγια καὶ κατὰ τοὺς τῶν ὀνείρων ὑποκριτάς, ὅπερ ἂν ἐθέλῃ, τοῦτο τῷ γράμματι προσαρμόζειν τὸ νόημα, ταῦτα καὶ τὰ τοιαῦτα τοῖς θείοις λόγοις ἐπιφημιζέτω νοήματα· εἰ δὲ τοὺς γραώδεις μύθους[3] καὶ τὰς βεβήλους καινοφωνίας[4] κατὰ πάντα τρόπον ἀπωθεῖσθαί φησι δεῖν ὁ Ἀπόστολος, οὐδαμῶς συγχωρητέον αὐτῷ συναρμόζειν ἀλλήλοις τὰ ἀκοινώνητα καὶ προσκολλᾶν τὰ ἀσύμβατα[5]. Καὶ μᾶλλον

---

1. Πρβλ. Ψαλ. 106,3. Ματθ. 8,11. 2. Πρβλ. Παρμ. 9,1. 3. Πρβλ. Α' Τιμ. 4,7. 4. Πρβλ. Α' Τιμ. 6,20. 5. Πρβλ. Β' Κορ. 6,14-18.

δ' ἂν ἡμῖν αὐτὸς δι' ὧν ἐπαγωνίζεται τοῖς εἰρημένοις πρὸς ἀνατροπὴν τοῦ δόγματος αὐτοῦ συμμαχήσειε· φησὶ γὰρ ὅτι καὶ ὁ Παῦλος τὸν πρῶτον Ἀδὰμ ψυχὴν καλεῖ μετὰ σώματος οὖσαν[1], καλῶς τοῦτο καὶ ὑπὲρ τῆς ἀληθείας εἰπών. Ἆρα οὖν ὁ πρῶτος ἄνθρωπος[2], ὁ εἰς ψυχὴν ζῶσαν παρὰ τοῦ Παύλου μνημονευθείς, κτηνείαν τινὰ ψυχὴν εἶχε καὶ ἄλογον; Καὶ μὴν οὐκ ὀλίγην αὐτῷ προσμαρτυρεῖ τὴν διανοητικὴν χάριν ἡ ἱστορία· προσήγετο μὲν γὰρ αὐτῷ παρὰ τοῦ Θεοῦ τὰ **145** ζῶα, τῆς δὲ τῶν ὀνομάτων εὑρέσεως ἐκεῖνος κύριος[3] ἦν, τὸ προσφυὲς καὶ ἁρμόδιον ἑκάστῳ περινοῶν. Ἀλλὰ καὶ ἡ παρακοὴ καὶ ἡ περὶ τὰ μὴ δέοντα συνδιάθεσις καὶ ἡ ἐπὶ τοῖς πεπραγμένοις αἰσχύνη καὶ τὸ πρόσφορον ἐπὶ τοῖς ἐγκλήμασιν ἀπολογίαν εὑρεῖν, πάντα ταῦτα τῆς κατὰ τὸν νοῦν ἐνεργείας ἀπόδειξις γίνεται. Τί δήποτε τοίνυν παρεσιωπήθη παρὰ τοῦ Παύλου τὸ νοερὸν τῆς ψυχῆς ἐπὶ τοῦ Ἀδάμ; ἢ δῆλον ὅτι τῷ μέρει συνονομάζεται τὸ λειπόμενον, ὡς τῷ «πρὸς σὲ πᾶσα σὰρξ ἥξει»[4] διὰ τῆς σαρκὸς ὅλον σημαίνει ὁ Δαβὶδ τὸ ἀνθρώπινον· καὶ ὁ Ἰακὼβ ἐν ἑβδομήκοντα πέντε ψυχαῖς τοῖς Αἰγυπτίοις ἐπιξενούμενος[5] οὐκ ἄνους οὐδὲ ἄσαρκος κατὰ τὸν χρόνον ἐκεῖνον ὑπὸ τῆς Γραφῆς ἱστορεῖται.

Ἀλλά φησιν ὁ λογογράφος ὅτι *ὁ δεύτερος ἄνθρωπος ἐξ οὐρανοῦ πνευματικὸς λέγεται καὶ τοῦτο σημεῖον ποιεῖται τοῦ ἄνουν εἶναι τὸν τῷ Θεῷ συγκραθέντα ἄνθρωπον*. Καίτοι πρόχειρος τῆς ἀτοπίας ὁ ἔλεγχος ἐξ αὐτῶν, ὧν παρέθετο. Ὁ γὰρ εἰπὼν «οἷος ὁ ἐπουράνιος, τοιοῦτοι καὶ οἱ ἐπουράνιοι»[6], πόρρω τῆς τοιαύτης ὑπονοίας ἀφίστησιν. Εἰ γὰρ οἱ πεπιστευκότες τῷ ἐξ οὐρανῶν ἥκοντι καὶ αὐτοὶ παρὰ τοῦ Παύλου ἐπουράνιοι λέγονται, οἱ μετατεθεικότες, καθώς φησιν, εἰς οὐρανοὺς τὸ πολίτευμα[7], καὶ οἷος ἐκεῖνος ὁ ἐπουράνιος, τοιούτους εἶναι καὶ τούτους τοὺς ἐπουρανίους φησὶν ὁ Ἀπόστολος, οὐδεὶς δὲ ἄνους τῶν παραδεξαμένων τὴν πίστιν· ἀνάγκη πᾶσα τὴν ὁμοιωτικὴν ταύτην σύγκρισιν ἀπόδειξιν γενέσθαι τοῦ καθ' ὁμοιότητα τῶν ἀνθρώπων καὶ ἐν ἐκείνῳ τὸν νοῦν εἶναι. «Οἷος» γάρ, φησίν, «ὁ ἐπουράνιος, τοιοῦτοι καὶ οἱ ἐπουράνιοι»· ὥστε ἢ ἐν πᾶσι τὸν νοῦν ἢ ἐν οὐδενὶ κατ' ἀνάγκην ὁμολογήσουσιν. Ὥσπερ γὰρ τὰ τοῦ χοϊκοῦ ἰδιώματα τοῖς ἐξ ἐκεί**[1145]**νου ἐνθεωρεῖται, οὕτως ἐπάναγκες κατὰ τὴν τοῦ Ἀποστόλου ἀπόφασιν τὸν κατὰ πάντα πεπειραμένον τοῦ ἡμετέρου βίου καθ' ὁμοιότητα **146** χωρὶς ἁμαρτίας[8] —ὁ δὲ νοῦς ἁμαρτία οὐκ ἔστι— πρὸς πᾶσαν ἡμῶν οἰκείως ἔχειν τὴν φύσιν. Οὕτω γὰρ τὸ ἀποστολικὸν ἀληθεύεται τὸ ἡμᾶς κατ' ἐκεῖνον εἶναι, εἰ ὁμολογηθείη κἀκεῖνος καθ' ἡμᾶς γεγενῆσθαι, ἵνα ἐκ τοῦ γενέσθαι οἷος ἡμεῖς ἡμᾶς ποιήσῃ οἷος ἐκεῖνος.

---

1. Πρβλ. Α' Κορ. 15,45. 2. Ἔνθ' ἀν. 3. Πρβλ. Γεν. 2,20. 4. Ψαλ. 64,3. 5. Πρβλ. Γεν. 46,26,27. 6. Α' Κορ. 15,48. 7. Πρβλ. Φιλιπ. 3,20. 8. Πρβλ. Ἑβρ. 4,15.

Πάλιν τοίνυν τῶν παρ' αὐτοῦ ῥηθέντων ἐπιμνησθησώμεθα· καθὸ καὶ τὸν πρότερον Ἀδὰμ ὁ Παῦλος ψυχὴν καλεῖ μετὰ σώματος οὖσαν καὶ οὐκ ἄνευ σώματος[1], τῷ δὲ ὅλῳ τὴν ἐπωνυμίαν διδοῦσαν, κἂν ἐφ' ἑαυτῆς καὶ αὐτὴ κατὰ σύλληψιν τοῦ πνεύματος καλῆται ψυχή. Ταῦτα λέγων ὁμολογεῖ τὰ τρία κατὰ σύλληψιν τῷ τῆς ψυχῆς καλεῖσθαι ὀνόματι ὡς περιειλημμένης τῆς τε τοῦ σώματος καὶ τῆς τοῦ πνεύματος ἐν τῷ αὐτῷ σημασίας. Ἀλλὰ τὸν ἔσχατον, φησί, Πνεῦμα ζωοποιοῦν[2] ὁ Παῦλος καλεῖ. Ὅπερ οὖν ἐν ἐκείνῳ διὰ τοῦ πλεονάζοντος κεκρατηκέναι τὴν ἐπωνυμίαν κατὰ τῶν λοιπῶν τῶν σημαινομένων ἔδειξε, τοῦτο πάντως καὶ ἐπὶ τούτου τὴν ἴσην δύναμιν ἔχει. Εἰ γὰρ ὁ Ἀδάμ, ἐπειδὴ ἥμαρτε, ψυχὴ λέγεται, ὁ τῷ Θεῷ ἐγκραθεὶς ἄνθρωπος, ἐπειδὴ ἁμαρτίαν οὐκ ἐποίησεν οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ[3], πνεῦμα τὸ ὅλον κατονομάζεται. Ἀλλ' οὐ καταδέχεται τὴν τοιαύτην διάνοιαν· φησὶ γὰρ ἐκεῖνον μὲν ἐκ γῆς χοϊκόν[4], διότι τὸ σῶμα ἐκ τοῦ χοῦ πλασθὲν ἐψυχώθη. Ἆρα ὁ νοῦς, ὅπερ ὀνομάζει πνεῦμα, οὐ συγκατεβλήθη τῷ κατὰ τὸν Ἀδὰμ πλάσματι; οὐκοῦν ἐν τίνι αὐτῷ ἡ πρὸς τὸν Θεὸν ὁμοιότης; τίς δὲ ἡ ἐκ τοῦ θείου ἐμφυσήματος ἀπορροή, εἰ μὴ ὁ νοῦς ταῦτα εἶναι πιστεύοιτο; τοῦτον δέ φησιν ἐξ οὐρανοῦ διὰ τοῦτο καλεῖσθαι, διότι τὸ πνεῦμα τὸ οὐράνιον ἐσαρκώθη[α]. Τίς Γραφὴ ταῦτα **147** λέγει; εἰς τίνα τῶν ἁγίων ἀναφέρει τὸν λόγον, ὅτι Πνεῦμα ἐσαρκώθη; οὐχ οὕτως παρὰ τῶν Εὐαγγελίων ἠκούσαμεν, οὐχ οὕτως παρὰ τῆς μεγάλης τοῦ Ἀποστόλου φωνῆς ἐδιδάχθημεν, ἀλλ' ὅτι μὲν «ὁ Λόγος σὰρξ ἐγένετο»[5], λέγει τὸ κήρυγμα καὶ ἐν εἴδει περιστερᾶς τὸ Πνεῦμα καταβῆναί[6] φησιν ἡ εὐαγγελικὴ ἱστορία· σάρκωσιν δὲ Πνεύματος οὐδεὶς εἶπε τῶν τῷ πνεύματι λαλούντων μυστήρια[7]. Ἡ δόξα κατεσκήνωσεν ἐν τῇ γῇ ἡμῶν[8]· καὶ ἡ ἀλήθεια ἐκ τῆς γῆς ἀνέτειλε[9]· καὶ Θεὸς ἐφανερώθη ἐν σαρκί[10]· καὶ δικαιοσύνη ἐκ τοῦ οὐρανοῦ διέκυψε[11]· καὶ ἄλλα τοιαῦτα πολλά. Πνεῦμα δὲ σαρκούμενον ἡ θεόπνευστος οὐκ οἶδε Γραφή.

Καὶ προϋπάρχει, φησίν, ὁ ἄνθρωπος Χριστὸς οὐχ ὡς ἑτέρου ὄντος παρ' αὐτὸν τοῦ Πνεύματος, τουτέστι τοῦ Θεοῦ, ἀλλ' ὡς τοῦ Κυρίου ἐν τῇ τοῦ Θεοῦ ἀνθρώπου φύσει θείου Πνεύματος ὄντος. Ταῦτα **[1148]** μὲν ἐπὶ λέξεως τοῦ λογογράφου τὰ ῥήματα. Ἐπειδὴ δέ πως τῇ ἀτονίᾳ τῆς ἑρμηνευτικῆς δυνάμεως οὐκ

---

1. Πρβλ. Α' Κορ. 15,45. 2. Ἔνθ' ἀν. 3. Πρβλ. Ἡσ. 53,9. 4. Πρβλ. Α' Κορ. 15,47. 5. Ἰω. 1,14. 6. Πρβλ. Ματθ. 3,16. 7. Πρβλ. Α' Κορ. 14,2. 8. Πρβλ. Ψαλ. 84,10. 9. Πρβλ. Ψαλ. 84,12. 10. Πρβλ. Α' Τιμ. 3,16. 11. Πρβλ. Ψαλ. 84,12.

α. Πρβλ. Κλήμεντος Ἀλεξανδρέως, Ἐκ τοῦ Θεοδότου Ἐπιτομαί, ΒΕΠ 8,330,29 ἑξ. PG 9,685AB.

ἄγαν ἔκδηλόν ἐστιν ἐν σαφηνείᾳ τὸ νόημα, πρότερον ἀπογυμνώσω τοῦ ζόφου τῆς λέξεως τὴν ἐγκειμένην διάνοιαν, εἶθ' οὕτω προθήσω τῇ ἐξετάσει τὸν λόγον. Προϋπάρχει, φησίν, ὁ ἄνθρωπος Χριστός. Συνεπινοεῖ τῷ ἐν ἀρχῇ ὄντι Λόγῳ τὸν φανέντα ἄνθρωπον ὡς προϋπάρχοντα πρὸ τῆς φανερώσεως καὶ ἐπεξεργάζεται διὰ τοῦ ἀκολούθου τὸ νόημα. Φησὶ γὰρ ὅτι οὐχ ἕτερόν ἐστι παρ' αὐτὸν τὸ Πνεῦμα, κατασκευάζων διὰ τούτου αὐτὴν τοῦ Υἱοῦ τὴν θεότητα ἐξ ἀρχῆς ἄνθρωπον εἶναι, ὅπερ σαφέστερον διὰ τοῦ ἐφεξῆς δείκνυται λόγου· φησὶ γὰρ ὅτι ὁ Κύριος ἐν τῇ τοῦ Θεοῦ ἀνθρώπου φύσει θεῖον Πνεῦμα ἦν. Μίαν ἐποίησε τοῦ Θεοῦ τε καὶ ἀνθρώπου τὴν φύσιν καὶ ἀνθρώπων δύο τὴν συναλοιφὴν κατωνόμασεν. **148** Ἡ μὲν οὖν διάνοια τῶν εἰρημένων αὕτη, ὅτι τὸ διὰ σαρκὸς ἐκ τῆς Παρθένου φανερωθὲν οὐ μόνον κατὰ τὴν τῆς θεότητος ἀϊδιότητα προεπινοεῖται τῶν ὄντων, καθὼς πάντες πιστεύομεν, ἀλλὰ καὶ κατ' αὐτὴν τὴν σάρκα. Ἐπάγει γὰρ τοῖς εἰρημένοις εἰς τὴν τῆς τοιαύτης ὑπολήψεως μαρτυρίαν τὸ «πρὶν Ἀβραὰμ γενέσθαι ἐγώ εἰμι»[1]· καὶ τὴν τοῦ Ἰωάννου φωνὴν τὸ «πρῶτός μου ἦν»[2]· καὶ εἷς Κύριος, δι' οὗ τὰ πάντα[3]· καὶ «αὐτός ἐστι πρὸ πάντων»[4]· καί τινα τοῦ Ζαχαρίου φωνήν, ἣν ὡς βεβιασμένως πρὸς τὸν σκοπὸν τοῦτον ἐπισυρεῖσαν παρήσομεν. Ἐγὼ τοίνυν, εἰ μὲν ἐλάνθανε διά τινος νοημάτων περιβολῆς ἡ τοῦ ἀτόπου κατασκευή, καλῶς ἂν περὶ τὸν ἔλεγχον τῶν κεκρυμμένων ἐσπούδαζον· ἐπεὶ δὲ διαρρήδην βοᾷ τὴν ἀσέβειαν, οὐκ οἶδα τί ἂν πλέον ἐκ τῶν ἡμετέρων γένοιτο λόγων. Εἰ προαιώνιος ἡ σάρξ, εἰ πρὸ τοῦ Ἀβραὰμ γενέσθαι τῷ ἐκ Μαρίας ἦν, ἄρα πρεσβυτέρα τοῦ Ναχὼρ ἡ Παρθένος· ἄρα καὶ πρὸ τοῦ Ἀδὰμ ἡ Μαρία. Καίτοι τί τοῦτο λέγω; αὐτῆς, ὡς ἔοικε, προγενεστέρα τῆς τῶν ὄντων συστάσεως καὶ αὐτῶν τῶν αἰώνων ἀρχαιοτέρα. Εἰ γὰρ ἐσαρκώθη μὲν ἐν τῇ Παρθένῳ, ἡ δὲ σὰρξ Ἰησοῦς λέγεται, ἐκεῖνον δὲ πρὸ πάντων εἶναι διὰ τοῦ Ἀποστόλου μαρτύρεται, ὡς ἔοικε, τῇ τοῦ Πατρὸς ἀϊδιότητι συνεπινοεῖσθαι καὶ τὴν Μαρίαν ὁ γενναῖος κατασκευάζει. Καὶ σιωπῶ τὰ λίαν ἀπεμφαίνοντα, πρὸς ἃ κατὰ τὸ ἀκόλουθον ἡ ἀτοπία τῆς καινοφωνίας ἐκφέρεται· ἴδοι γὰρ ἂν ὁ ἀγχίνους ἐκ τοῦ ἀκολούθου τὸ ἄτοπον, κἂν μὴ τῇ λέξει τὴν ἀσχημοσύνην παραγυμνώσωμεν.

[1149] Ἀλλὰ παραδράμωμεν τὴν τῶν νοημάτων τούτων δυσωδίαν, τοσοῦτον παρασημηνάμενοι μόνον ὅτι, εἰ προαιώνιος ἡ σάρξ, οὐ κεκένωται ἡ θεότης, οὐχ ὑπῆρχεν ἐν Θεοῦ μορφῇ ὁ Υἱός, οὐ μετημφιάσατο τὸ δουλικὸν πρόσωπον· ἀλλ' ὅπερ **149** ἦν τῇ φύσει, τοῦτο ἐφανερώθη νῦν, οὐκ ἐταπεινώθη. Ἵλεως δὲ εἴη τῷ λόγῳ ὁ Λόγος —ἀλλὰ σιωπῶ τὸ λειπόμενον. Εἰ πρὸ πάντων ἡ σάρξ, ἐξ ἀσθενείας ἄρα τὰ πάντα, οὐκ ἐκ δυνάμεως· τὸ γὰρ «πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθε-

---

1. Ἰω. 8,58. 2. Ἰω. 1,15. 3. Πρβλ. Α' Κορ. 8,6. 4. Κολ. 1,17.

νής»[1]. Ἄρα εἰ καὶ μέχρι τούτου μόνον τὴν ἀτοπίαν ἵστησι, καὶ τίς οὐκ ἂν ἐκ τοῦ ἀκολούθου καὶ τὰ συνημμένα τούτοις κατανοήσειεν; πάντως γὰρ πάντα τὰ τῆς σαρκὸς ἰδιώματα συνεπινοήσει τῷ μετὰ τῆς σαρκὸς ὄντι πρὸ τῶν αἰώνων, τὸν κόπον, τὴν λύπην, τὸ δάκρυον, τὴν δίψαν, τὸν ὕπνον, τὴν κατὰ πεῖναν ἔνδειαν καὶ τὸ ἔτι τούτου παραλογώτερον. Ἐπειδὴ δὲ Παιδίον ἐγεννήθη ἡμῖν[2], καθὼς ἡ θεία φωνὴ λέγει, καὶ ὤφθη παρὰ τῶν ποιμένων ἐν σπαργάνοις ὁ Κύριος[3], καθώς φησιν ὁ Λουκᾶς, ⟨καὶ⟩ ὅτι προέκοπτεν Ἰησοῦς ἡλικίᾳ καὶ σοφίᾳ καὶ χάριτι[4], τελειούμενος, ἕως ἐπὶ τὸ μέτρον προῆλθε τῆς ἀνθρωπότητος ὁδῷ βαδίζων διὰ τῆς φύσεως, τί ἐροῦσιν ⟨οἱ⟩ πρὸ τῶν αἰώνων τὴν σάρκα βλέποντες, ποίῳ μέτρῳ τοῦ σώματος πρὸ τῶν αἰώνων ἦν; διὰ πάσης γὰρ ἐν τῷ κατὰ ἄνθρωπον βίῳ διεξῆλθε τῆς ἡλικίας. Ἄρα παῖς ἦν ἐκεῖνος ὁ ἄνθρωπος, ὁ πρὸ πάσης τῆς κτίσεως ὤν, ἢ βρέφος νήπιον ἢ μειράκιον ἢ εὐθὺς ἐν τελείῳ τῷ σώματι; ἀλλ' εἰ παῖδα λέγουσι, πάντως καὶ τὴν αἰτίαν προσθήσουσι, πῶς τοσούτου παρελθόντος αἰῶνος ἐπὶ τὸ τέλειον τῆς ἡλικίας οὐκ ἔφθασεν; εἰ δὲ τέλειον λέγουσι, τοῦτο μαθεῖν ἀξιώσομεν, πῶς ἐν τῇ ἀνθρωπίνῃ γενέσει συστέλλεται εἰς τὴν νηπιώδη βραχύτητα; ποῦ καταλείπει τὸ περιττεῦον τοῦ σώματος; πῶς εἰς ὀλίγην περιγραφὴν ὁ ὄγκος ἀποσμικρύνεται; εἶτα πάλιν πῶς πρὸς τὸ ἴδιον μέτρον ἐπανάγει τὸν ὄγκον τοῦ σώματος; πότερον ὅπερ εἶχεν ἐξ ἀρχῆς ἀναλαμβάνων διὰ τῆς κατ' ὀλίγον αὐξήσεως ἢ ἕτερον **150** ἐν ἑαυτῷ διὰ τῆς τροφῆς προστιθείς; ἀλλ' εἰ μὲν τὸ ἀρχαῖον φήσουσι, περιττὴν πάντως τὴν τροφὴν ἀποδείξουσιν· εἰ δὲ οὐκ ἀρνοῦνται τροφῆς μετεσχηκέναι τὸν Κύριον, τί ἐροῦσι περὶ τῆς ἄνω καταλειφθείσης σαρκός, ἧς τὸ πολὺ κατὰ τὸ εἰκὸς κατελείφθη, μόνον δὲ τοσοῦτον ἀπ' αὐτῆς ἐλήφθη, ὅσον ἡ νηδὺς τῆς Παρθένου ἐχώρησεν; πάντως γάρ τι καὶ περὶ αὐτῆς τερατεύσονται καὶ συνθήσουσι διὰ τούτων ἕτερα δόγματα, ἐφ' ἅπερ ⟨ἂν⟩ αὐτοὺς ἡ ἀκολουθία τῆς ἀτοπίας τῶν μύθων κατ' ἀνάγκην προάγηται.

[1152] Ἀλλὰ παρείσθω καὶ ταῦτα. Ἐκεῖνο δέ τις οὐκ ἂν ἀλόγως ἐπιζητήσειε παρὰ τῶν τὴν θείαν ἐκείνην σάρκωσιν προαιώνιον δογματιζόντων. Εἰ γὰρ πάντοτε τὴν σάρκα περὶ αὐτὸν οἴονται, Θεὸν δὲ εἶναι τὴν σάρκα φασί, πᾶσα δὲ σὰρξ ἀντίτυπός ἐστι τῷ ἁπτομένῳ, τὸ δὲ ἀντίτυπον ὑλῶδες καὶ σύνθετον, τὸ δὲ σύνθετον καὶ διαλυτὸν πάντως, ἀνάγκη πᾶσα διὰ τούτων καὶ ὑλικὸν αὐτὸν ἐγκατασκευάζεσθαι καὶ ἐκ διαφόρων συγκείμενον καὶ ἀναμένοντα φυσικῶς τὴν διάλυσιν. Οἴδαμεν γάρ, ὅτε ἀνθρωπικῶς τοῖς ἀνθρώποις ἐπεχωρίαζεν, ἐκ τίνων εἶχε τὸ σῶμα τὴν σύνθεσιν· ὅτι διὰ σαρκῶν καὶ ὀστέων καὶ αἵματος καθ' ὁμοιότητα τῶν ἄλλων κἀκεῖνο ἦν ἔκ τε τοῦ τύπου τῶν ἥλων καὶ ἐκ τοῦ προχεθέντος διὰ τῆς λόγχης αἵματος καὶ ἐκ τοῦ

1. Ματθ. 26,41. 2. Πρβλ. Ἡσ. 9,5. 3. Πρβλ. Λουκ. 2,12.
4. Πρβλ. Λουκ. 2,52.

πρὸς τοὺς ἀπιστοῦντας τῷ φαινομένῳ εἰπεῖν ταῦτα τὸν Κύριον ὅτι ψηλαφήσατέ με [καὶ ἴδετε] καὶ γνῶτε, ὅτι τὸ πνεῦμα σάρκα καὶ ὀστέα οὐκ ἔχει, ὥσπερ ἐμὲ θεωρεῖτε ἔχοντα[1]. Εἰ οὖν ἡ θεία σάρκωσις, καθὼς ὁ Ἀπολινά**151**ριος λέγει, οὐ τὴν ἀρχὴν ἐκ τῆς Παρθένου ἔσχεν, ἀλλὰ καὶ πρὸ τοῦ Ἀβραὰμ καὶ πρὸ πάσης κτίσεως ἦν, τοιαύτη πάντως ἦν, οἵα τοῖς μαθηταῖς ἑωρᾶτο, στερρὰ καὶ ἀντιτυπὴς σαρκί τε καὶ ὀστέοις διειλημμένη. Οὐκοῦν ταῦτα πάντοτε ἦν καὶ οὐδεμία πρὸς τὸ ταπεινὸν αὐτῷ γέγονε κάθοδος, ἀλλὰ τὸ λανθάνον, θεῖον κατὰ φύσιν ὄν, τοῦτο τῷ τῆς ἐνανθρωπήσεως ἐφανερώθη καιρῷ. Τί τοιοῦτον Ἄρειος, τί δὲ ὁ τούτου χείρων Εὐνόμιος ἐπὶ καθαιρέσει τῆς δόξης τοῦ Μονογενοῦς ἐνενόησεν, οἷον διὰ τῆς τοιαύτης ἡμῖν λογογραφίας ὑπὸ τοῦ Ἀπολιναρίου κατασκευάζεται; Θεὸς ἔνσαρκος πρὸ αἰώνων, ὀστώδης τις καὶ τετριχωμένος καὶ δέρματι καὶ νεύροις καὶ σαρκὶ καὶ πιμελαῖς διειλημμένος καὶ ἐκ διαφόρων συγκείμενος καὶ τὸ ἁπλοῦν τε καὶ ἀσύνθετον ἐν ἑαυτῷ μὴ ἔχων, ὁ Λόγος ὁ ἐν ἀρχῇ ὢν καὶ πρὸς τὸν Θεὸν ὤν[2], ὁ ἐπ' ἐσχάτων ἡμερῶν τῇ πρὸς τὸ ταπεινὸν τῆς φύσεως ἡμῶν κοινωνίᾳ σὰρξ ὑπὸ φιλανθρωπίας γενόμενος, διὰ τοῦτο τῷ ἀνθρώπῳ ἀνακραθεὶς καὶ πᾶσαν ἐν ἑαυτῷ τὴν ἡμετέραν φύσιν δεξάμενος, ἵνα τῇ πρὸς τὸ Θεῖον ἀνακράσει συναποθεωθῇ τὸ ἀνθρώπινον διὰ τῆς ἀπαρχῆς ἐκείνης παντὸς συναγιαζομένου τοῦ τῆς φύσεως ἡμῶν φυράματος.

Ἀλλὰ παραδραμεῖν οἶμαι χρῆναι τὴν ἐφ' ἑκάστῳ τῶν εἰς τοῦτο παρατεθέντων αὐτῷ θείων πεπλανημένην ὑπόληψιν· τὰ γὰρ ἐκ τοῦ προχείρου ὄντα καταφανῆ περιττὸν ἂν εἴη διεξετάζοντα μη-**[1153]** κύνειν τὸν λόγον. Εἰς γὰρ μαρτυρίαν τοῦ ἀεὶ αὐτὸν ἐν σαρκί τε καὶ αἵματι εἶναι τὴν ἀποστολικὴν παρέθετο ῥῆσιν τὴν λέγουσαν δι' αὐτοῦ ἡμᾶς εἰληφέναι τὴν ἀπολύτρωσιν διὰ τοῦ αἵματος αὐτοῦ, τὴν ἄφεσιν τῶν ἁμαρτιῶν[3] διὰ τῆς σαρκὸς αὐτοῦ —ὅπερ, ὅτι πρὸς ἑτέραν βλέπει διάνοιαν, οὐκ ἂν οἶμαί τινας τῶν νοῦν ἐχόντων ἀμφιβάλλειν. Τίς γὰρ οὐκ οἶδε τὸ θεῖον μυστήριον, ὅτι ὁ **152** ἀρχηγὸς τῆς σωτηρίας[4] ἡμῶν ὡς ποιμὴν τὸ πεπλανημένον πρόβατον μέτεισιν[5]; ἡμεῖς δὲ οἱ ἄνθρωποί ἐσμεν ἐκεῖνο τὸ πρόβατον, οἱ τῆς λογικῆς ἑκατοντάδος ἀποβουκοληθέντες διὰ τῆς ἁμαρτίας. Καὶ λαμβάνει ἐπὶ τῶν ἰδίων ὤμων ὅλον τὸ πρόβατον[6]· οὐδὲ γὰρ ἐν μέρει ἦν τοῦ προβάτου ἡ πλάνη, ἀλλ' ἐπειδὴ ὅλον ἀπεφοίτησε, καὶ ὅλον ἐπανάγεται· οὐχ ἡ μὲν δορὰ βαστάζεται, τὸ δὲ ἐντοσθίδιον καταλείπεται, καθὼς Ἀπολινάριος βούλεται. Τοῦτο δὲ ἐν τοῖς ὤμοις τοῦ ποιμένος, τουτέστιν ἐν τῇ θεότητι τοῦ Κυρίου γενόμενον ἓν πρὸς ἐκεῖνον διὰ τῆς ἀναλήψεως γίνεται. Διὰ τοῦτο θέλων ἐπιζητῆσαι καὶ σῶσαι τὸ ἀπολωλός[7], ἐπειδὴ εὗρε τὸ ζητούμενον,

---

1. Πρβλ. Λουκ. 24,39. 2. Πρβλ. Ἰω. 1,1. 3. Πρβλ. Ἐφ. 1,7. 4. Πρβλ. Ἑβρ. 2,10. 5. Πρβλ. Λουκ. 15,4. Ματθ. 18,12. 6. Πρβλ. Λουκ. 15,5. 7. Πρβλ. Λουκ. 19,10.

ἀνέλαβεν ἐφ' ἑαυτοῦ τὸ εὑρημένον· οὐ γὰρ ἔτι τοῖς ἰδίοις ποσὶ τοῖς πλανηθεῖσιν ἅπαξ ἐκινεῖτο τὸ πρόβατον, ἀλλ' ὑπὸ τῆς θεότητος ἐκομίζετο. Διὰ τοῦτο τὸ μὲν φαινόμενον πρόβατον, τουτέστιν ἄνθρωπος, τὰ δὲ ἴχνη αὐτοῦ, κατὰ τὸ γεγραμμένον, οὐκ ἐγινώσκετο[1]. Οὐδὲν γὰρ ἁμαρτίας ἢ πλάνης ἴχνος τῷ ἀνθρωπίνῳ βίῳ ἐνεσημήνατο ὁ ἐφ' ἑαυτοῦ φέρων τὸ πρόβατον· ἀλλ' οἷα εἰκὸς ἦν Θεοῦ ἴχνη διὰ τῆς τοῦ βίου πορείας ἐντυπωθῆναι, ταῦτα ἐφαίνετο, ἅτινα ἦν διδασκαλίαι καὶ θεραπεῖαι καὶ νεκρῶν ζωοποιήσεις καὶ τὰ ἄλλα θαύματα. Τοῦτο τοίνυν τὸ πρόβατον ἐφ' ἑαυτοῦ λαβὼν ὁ ποιμὴν ἓν πρὸς ἐκεῖνο ἐγένετο· διὰ τοῦτο καὶ τῇ τοῦ προβάτου φωνῇ τοῖς ποιμνίοις λαλεῖ[2]. Πῶς γὰρ ἂν ἐχώρησεν ἀνθρωπίνη ἀσθένεια θείας φωνῆς προσβολήν; ἀλλ' ἀνθρωπικῶς, ὡς δ' ἄν τις εἴποι προβατικῶς, ἡμῖν διαλέγεται λέγων τὰ ἐμὰ πρόβατα τῆς ἐμῆς φωνῆς ἀκούει[3]. Ὁ οὖν ἀναλαβὼν ἐφ' ἑαυτοῦ τὸ πρόβατον ποιμὴν καὶ δι' ἐκείνου ἡμῖν φθεγγόμενος καὶ πρόβατόν ἐστι καὶ ποιμήν· ἐν μὲν τῷ ἀναληφθέντι πρόβατον· ἐν δὲ τῷ ἀνειληφότι ποιμήν.

Ἐπεὶ οὖν ἔδει τὸν καλὸν ποιμένα τὴν ψυχὴν ἑαυτοῦ θεῖναι ὑπὲρ τῶν προβάτων[4], ἵνα διὰ τοῦ ἰδίου θανάτου **153** καταλύσῃ τὸν θάνατον, τότε γίνεται τὸ συναμφότερον ὁ ἀρχηγὸς τῆς σωτηρίας ἡμῶν[5] τῇ ἀνθρωπίνῃ φύσει καὶ ἱερεὺς καὶ ἀμνὸς ἐν τῷ δυναμένῳ δέξασθαι τὴν κοινωνίαν τοῦ πάθους ἐνεργήσας τὸν θάνατον. Ἐπειδὴ γὰρ οὐδὲν ἕτερόν ἐστιν ὁ θάνατος εἰ μὴ διάλυσις ψυχῆς τε καὶ σώματος[α], ὁ πρὸς ἀμφότερα ἑαυτὸν ἑνώσας, πρός τε τὴν ψυχήν φημι καὶ τὸ σῶμα, οὐθετέρου χωρίζεται (ἀμεταμέλητα **[1156]** γὰρ τοῦ Θεοῦ τὰ χαρίσματα[6], καθώς φησιν ὁ Ἀπόστολος)· ἀλλὰ καὶ τῷ σώματι καὶ τῇ ψυχῇ ἑαυτὸν ἐπιμερίσας διὰ μὲν τῆς ψυχῆς ἀνοίγει τῷ λῃστῇ τὸν παράδεισον[7], διὰ δὲ τοῦ σώματος ἵστησι τῆς φθορᾶς τὴν ἐνέργειαν· καὶ τοῦτό ἐστιν ἡ τοῦ θανάτου κατάλυσις, τὸ ἀνενέργητον γενέσθαι τὴν φθορὰν ἐν τῇ ζωοποιῷ φύσει ἀφανισθεῖσαν[8]· τὸ γὰρ ἐπὶ τούτων γενόμενον κοινὴ τῆς φύσεως ἡμῶν εὐεργεσία καὶ χάρις γίνεται. Καὶ οὕτω πάντα τὰ διεστῶτα συνάπτει διὰ τῆς ἀναστάσεως ὁ ἐν ἀμφοτέροις ὤν, ὁ κατ' ἐξουσίαν τὸ μὲν σῶμα διδοὺς τῇ καρδίᾳ τῆς γῆς[9], καθὼς γέγραπται, τὴν δὲ ψυχὴν ἀφ' ἑαυτοῦ τιθείς, ὡς μὲν πρὸς τὸν Πατέρα φησὶν ὅτι ἐν ταῖς χερσί σου παρατίθημι τὸ πνεῦμά μου[10], ὡς δὲ πρὸς τὸν λῃστὴν ⟨ὅτι «σήμερον μετ' ἐμοῦ ἔσῃ⟩ ἐν τῷ παραδείσῳ»[11], ἀληθεύων δι' ἑκατέρων· οὐ γὰρ ἄλλοθί που πιστεύειν χρὴ τὴν θείαν ἐκείνην εἶναι

1. Πρβλ. Ψαλ. 76,20. 2. Πρβλ. Ἰω. 10,16. 3. Πρβλ. Ἰω. 10,27. 4. Πρβλ. Ἰω. 10,11. 5. Πρβλ. Ἑβρ. 2,10. 6. Πρβλ. Ρωμ. 11,29. 7. Πρβλ. Λουκ. 23,43. 8. Πρβλ. Ρωμ. 8,21. 9. Πρβλ. Ματθ. 12,40. 10. Πρβλ. Λουκ. 23,46. 11. Πρβλ. Λουκ. 23,43.

α. Πρβλ. Κλήμεντος Ἀλεξανδρέως, Στρωματεῖς Ζ,ΧΙΙ, ΒΕΠ 8,279,1-4. PG 9,500A. Γρηγορίου Θεολόγου, Ἔπη θεολογικά, ἠθικά, ΒΕΠ 61,222,12 ἑξ. Γρηγορίου Νύσσης, Κατὰ Εὐνομίου, ἀνωτέρω σ. 138,31-32.

διαγωγὴν ἥπερ παράδεισος λέγεται, εἰ μὴ ἐν τῇ πολυχώρῳ τοῦ Πατρὸς παλάμῃ, καθώς φησι καὶ ὁ προφήτης πρὸς τὴν ἄνω Ἱερουσαλὴμ ἐκ προσώπου Κυρίου τὸν λόγον ποιούμενος «ἐπὶ τῶν χειρῶν μου ἐζωγράφηκά σου τὰ τείχη καὶ ἐνώπιόν μου εἶ διὰ παντός»[1]. Οὕτω τοίνυν καὶ ἐν τῷ θανάτῳ γίνεται καὶ ὑπὸ τοῦ θανάτου οὐ κυριεύεται. Τὸ μὲν γὰρ σύνθετον μερίζεται· τὸ δὲ ἀσύνθετον λύσιν οὐκ ἐπιδέχεται· ἀλλὰ παραμένει μὲν ⟨ἐν⟩ τῷ μερισμῷ τοῦ συνθέτου ἡ ἀσύνθετος φύσις **154** καὶ τῆς ψυχῆς τοῦ σώματος ἀποχωρεύσης οὐθετέρου χωρίζεται. Τεκμήριον δὲ ἡ ἐνέργεια, καθὼς εἴρηται, ἐπὶ μὲν τοῦ σώματος τὴν ἀφθαρσίαν, ἐπὶ δὲ τῆς ψυχῆς τὴν ἐν παραδείσῳ διαγωγὴν ἐνεργήσασα. Οὐ μὴν συνδιασχίζεται τῷ χωρισμῷ τούτων ὁ ἁπλοῦς καὶ ἀσύνθετος, ἀλλὰ τὸ ἐναντίον ἓν ἐργάζεται· τῷ γὰρ καθ' ἑαυτὸν ἀδιαιρέτῳ καὶ τὸ διῃρημένον εἰς ἕνωσιν ἄγει καὶ τοῦτο ἐνδείκνυται ὁ εἰπὼν ὅτι ὁ Θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν[2]. Οὐ γὰρ ὥσπερ ὁ Λάζαρος ἤ τις ἄλλος τῶν ἀναβεβιωκότων ἀλλοτρίᾳ δυνάμει πρὸς τὸ ζῆν ἐπανάγεται[3], οὕτως εὐαγὲς καὶ ἐπὶ τῆς τοῦ Κυρίου ἀναστάσεως οἴεσθαι. Ἀλλ' ὁ μονογενὴς Θεὸς αὐτὸς ἀνίστησι τὸν ἀνακραθέντα ἄνθρωπον αὐτῷ καὶ χωρίσας τοῦ σώματος τὴν ψυχὴν καὶ ἑνώσας πάλιν ἀμφότερα καὶ οὕτως ἡ κοινὴ γίνεται σωτηρία τῆς φύσεως· ὅθεν καὶ ἀρχηγὸς ζωῆς[4] ὀνομάζεται· ἐν γὰρ τῷ ὑπὲρ ἡμῶν ἀποθανόντι καὶ ἐγερθέντι τὸν κόσμον ἑαυτῷ κατήλλαξεν ὁ μονογενὴς Θεός[5], οἷόν τινας δορυαλώτους, ἡμᾶς διὰ τοῦ συγγενοῦς ἡμῶν αἵματος πάντας τοὺς κεκοινωνηκότας αὐτῷ τῆς σαρκὸς καὶ τοῦ αἵματος ἐξωνησάμενος, ὡς πρὸς τοῦτο βλέπειν τὴν ἀποστολικὴν ῥῆσιν, ἥ φησιν ἔχειν ἡμᾶς «τὴν ἀπολύτρωσιν διὰ τοῦ αἵματος αὐτοῦ»[6], τὴν ἄφεσιν τῶν ἁμαρτιῶν διὰ τῆς σαρκὸς αὐτοῦ[7]. Οὗτος ὁ ἡμέτερος λόγος, ὃν ἐκ τῶν παρατεθέντων τοῦ Ἀποστόλου ῥημάτων ἐνοήσαμεν καὶ οὐχ ὡς [Ἀπολινάριος] ἐκεῖνος. Δοκιμαζέτω δὲ ὁ κρίνων ἐπεσκεμμένως **[1157]** τὸν εὐσεβέστερον, εἴτε, καθὼς ἡμεῖς φαμεν, ἡ δόξα οἰκονομικῶς κατασκηνοῖ ἐν τῇ γῇ ἡμῶν εἴτε, καθὼς ἐκεῖνός φησιν, οὐχὶ ἐπίκτητος ἐπὶ τῇ εὐεργεσίᾳ γίνεται ἡ σὰρξ τῇ θεότητι, ἀλλὰ συνουσιωμένη καὶ σύμφυτος[α].

Εἰ δὲ Ζαχαρίας ὁ προφήτης εἰς τούτων ἕτερον τοῖς **155** αἰνίγμασι φέρεται, οὐδὲν οἶμαι δεῖν ἐξετάζειν τῷ λόγῳ, εἴτε πρὸς τὸν Κύριον εἴτε πρὸς ἕτερόν τινα βλέπει τὸ νόημα. Λέγει γὰρ ὅτι ῥομφαία, ἐξεγέρθητι ἐπὶ νομέα μου καὶ ἐπὶ ἄνδρα σύμφυλόν μου[8]. Ἡμεῖς μὲν γὰρ ἀπειλητικῶς οἰόμεθα κατὰ τῶν τῇ ἀδικίᾳ πρὸς τὸ ὁμόφυλον κεχρημένων κινεῖν τὴν ῥομφαίαν τὸν λόγον· Ἀπολινάριος δέ φησι κατὰ

---

1. Ἡσ. 49,16. 2. Πρβλ. Κολ. 2,12. Α' Θεσ. 1,10. 3. Πρβλ. Ἰω. 11,43. 4. Πρβλ. Πράξ. 3,15. 5. Πρβλ. Β' Κορ. 5,19. 6. Ἐφ. 1,7. 7. Πρβλ. Ρωμ. 8,3. 8. Πρβλ. Ζαχ. 13,7.

α. Πρβλ. Γρηγορίου Νύσσης, Εἰς τὴν [Κυριακὴν] Προσευχήν, ΒΕΠ 66, 353,29-32.

τοῦ Κυρίου τὴν ῥομφαίαν ἐγείρειν διὰ τὴν τοῦ νομέως προσηγορίαν, οὐκ εἰδὼς ὅτι πολλαχῇ τῆς Γραφῆς τοὺς εἰς ἀρχὴν τεταγμένους καὶ ποιμένας καὶ νομέας κατονομάζει ὁ λόγος. Ὅσα δὲ πάλιν τῆς πρὸς Ἑβραίους ἐπιστολῆς πρὸς τὸν αὐτὸν σκοπὸν ἐπισύρεται, οὕτως ἔκδηλον τὴν ἐν ταῖς κατασκευαῖς ἀτοπίαν ἔχει, ὡς παντὶ συνιδεῖν ῥᾴδιον, εἰ μικρόν τις μετέχοι φρονήσεως. Ἐπειδὴ γὰρ γέγραπται ὅτι ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν ἐν Υἱῷ ἐλάλησεν ἡμῖν ὁ Θεὸς ὁ πολυμερῶς καὶ πολυτρόπως ἐν τοῖς προφήταις λαλήσας τοῖς πατράσι τὸ πρότερον[1], ἀπόδειξίς ἐστί, φησί, τοῦ τὸ ἀνθρώπινον τοῦ φανέντος ἡμῖν Θεοῦ προαιώνιον εἶναι· φησὶ γὰρ οὕτω κατὰ τὴν λέξιν ἐφερμηνεύων δῆθεν τὸν Ἀπόστολον· Ἔστι δὲ ἐν τούτοις καταφανές, ὅτι αὐτὸς ὁ ἄνθρωπος ὁ λαλήσας ἡμῖν τὰ τοῦ Πατρὸς Θεός ἐστι, ποιητὴς τῶν αἰώνων, ἀπαύγασμα δόξης, χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, ἅτε δὴ τῷ ἰδίῳ πνεύματι Θεὸς ὢν καὶ οὐ Θεὸν ἔχων ἐν ἑαυτῷ ἕτερον παρ᾽ αὐτό, αὐτὸς ὁ δι᾽ ἑαυτοῦ, τουτέστι διὰ τῆς σαρκός, καθαρίσας κόσμον ἁμαρτιῶν[2]. Ταῦτά φησιν ὁ Ἀπολινάριος ἐπὶ λέξεως καὶ οὐδὲν παρ᾽ ἡμῶν ἐν τοῖς εἰρημένοις παραπεποίηται. Εἰ οὖν ἄνθρωπος ὁ λαλήσας, ποιητής ἐστι τῶν αἰώνων, καθὼς τῷ λογογράφῳ δοκεῖ, καὶ ἡ σάρξ ἐστι τὸ ἀπαύγασμα καὶ ἡ τοῦ δούλου μορφὴ χαρακτηρίζει τοῦ Θεοῦ τὴν ὑπόστασιν, οὐκέτι μοι δοκεῖ καλῶς ἔχειν μάχεσθαι πρὸς τὸ εἰρημένον, θρηνεῖν δὲ μᾶλλον τῆς ἀναισθησίας τοὺς **156** τὴν τοιαύτην παραδεχομένους καινοφωνίαν. Ἄνθρωπος ὁ λαλήσας ἡμῖν ἀνθρωπικῶς διὰ τῆς ἡμετέρας φωνῆς, ὁ πτύσας τῷ στόματι καὶ τῇ χειρὶ πηλουργήσας, ὁ ἐμβαλὼν τοὺς δακτύλους ἐν ταῖς τῶν κωφῶν ἀκοαῖς καὶ τῶν ἀρρωστούντων τε καὶ τεθνεώτων ἁπτόμενος καὶ ὕπνῳ καὶ καθέδρᾳ ἀναπαύων τὸν κόπον καὶ δακρύων[3] καὶ ἀδημονῶν[4] καὶ λυπούμενος[5] καὶ πείνας αἴσθησιν[6] ἔχων καὶ τροφὴν προσιέμενος[7] καὶ ὕδωρ αἰτῶν[8]· οὗτος κατ᾽ αὐτὸ τὸ σαρκῶδές τε καὶ ἀνθρώπειον τῆς τῶν ὄντων προεπινοεῖται συστάσεως καὶ Θεὸς ἡ τῆς σαρκὸς φύσις λέγεται, ἡ σύνθετος καὶ στερρὰ καὶ ἀντίτυπος; Ἐπιφραξάσθω πᾶσα τῶν εὐσεβῶν **[1160]** ἀκοὴ μηδὲ μολυνθείη τὰ θεῖα καὶ ἀκήρατα δόγματα τοῖς σαρκωδεστέροις πάθεσι παρὰ τῶν ἐξανθρωπιζόντων τὸ Θεῖον καθυβριζόμενα. Τίς γὰρ οὐκ οἶδεν, ὅτι ὁ φανερωθεὶς ἡμῖν ἐν σαρκὶ Θεὸς[9] κατὰ μὲν τὸν λόγον τῆς εὐσεβοῦς παραδόσεως ἄϋλος καὶ ἀφανὴς καὶ ἀσύνθετος καὶ ἦν καὶ ἔστιν ἀόριστος καὶ ἀπερίγραπτος, πανταχοῦ ὢν καὶ διὰ πάσης τῆς κτίσεως διήκων, κατὰ δὲ τὸ φαινόμενον ἐν ἀνθρωπίνῃ

1. Πρβλ. Ἑβρ. 1,1. 2. Πρβλ. Ἑβρ. 1,3. 3. Πρβλ. Ἰω. 11,35. 4. Πρβλ. Ματθ. 26,37. Μάρκ. 14,33. 5. Πρβλ. Ματθ. 26,37. 6. Πρβλ. Ματθ. 4,2. 7. Πρβλ. Λουκ. 24,41-43. 8. Πρβλ. Ἰω. 4,7. 9. Πρβλ. Α΄ Τιμ. 3,16.

περιγραφῇ ἑωρᾶτο; ἀνάγκη γὰρ πᾶσα πᾶν σῶμα ὑπὸ ἐπιφανείας τινὸς περιέχεσθαι. Αὐτὴ τοίνυν ἡ ἐπιφάνεια τοῦ ἐν αὐτῇ περιειλημμένου σώματος ὅρος ἐστί· πᾶν δὲ τὸ ὅρῳ περιεχόμενον ὡρισμένῃ τινὶ ποσότητι περιείργεται· τὸ δὲ ὡρισμένον ἀόριστον εἶναι οὐ δύναται. Ἀλλὰ μὴν ὁ προφήτης φησὶν ὅτι «τῆς μεγαλωσύνης αὐτοῦ οὐκ ἔστι πέρας»[1]. Εἰ οὖν ἡ θεία φύσις, καθώς φησιν ὁ λογογράφος, σάρξ ἐστιν, αὕτη δὲ ἀναγκαίως τῷ τῆς ἐπιφανείας περιλαμβάνεται πέρατι, πῶς ἡ τοῦ Θεοῦ μεγαλωσύνη κατὰ τὸν προφήτην εἰς ἄπειρον πρόεισιν; ἢ πῶς διὰ τοῦ ὡρισμένου νοεῖται τὸ ἀόριστον, διὰ τοῦ πεπερασμένου τὸ ἄπειρον; μᾶλλον δέ, **157** ὃ καὶ φθάσαντες ἐν τοῖς προλαβοῦσιν εἰρήκαμεν, πῶς ἐκ τοῦ θανάτου τὸ ἰσχυρόν; Εἰ γάρ, καθώς φησιν, αὐτὸς ὁ ἄνθρωπος ὁ λαλήσας, ποιητὴς τῶν αἰώνων ἐστίν, αὐτὸς ὁ δι' ἑαυτοῦ, τουτέστι διὰ τῆς σαρκός, καθὼς ὁ Ἀπολινάριος ἑρμηνεύει, τὰ πάντα ποιῶν, ἀσθενὴς δὲ παρ' αὐτῆς τῆς θείας φωνῆς ἡ σὰρξ ὠνομάσθη[2], οὐδὲν ἕτερον εἰ μὴ τὸ κράτος καὶ τὴν ἰσχὺν καὶ τὴν δύναμιν καὶ ὅσα ὑψηλὰ καὶ θεοπρεπῆ νοήματα ἔκγονα τῆς ἀσθενείας ὁ λογογράφος οἴεται.

Καὶ οὔπω τοσοῦτον τοῦτο δεινόν, ἀλλὰ προϊὼν ὁ λόγος διὰ τῆς κατὰ τὸ ἀκόλουθον ἐξετάσεως αὐτῆς ἅπτεται τῆς κατὰ τοῦ Πατρὸς βλασφημίας. Λέγει γὰρ τὸν ἄνθρωπον εἶναι τῆς τοῦ Θεοῦ δόξης ἀπαύγασμα καὶ ἐν τῷ σαρκίνῳ Θεῷ, ὃν διὰ τῆς ματαιότητος τῶν λογισμῶν εἰδωλοποιήσας ἀνέπλασε, τὴν τοῦ Θεοῦ ὑπόστασιν χαρακτηρίζεσθαι. Ὥσπερ τοίνυν συγγενῶς ἔχει πρὸς τὸν ἥλιον ἡ ἀκτὶς καὶ πρὸς τὸν λύχνον τὸ ἐκ τῆς λαμπάδος ἀπαυγαζόμενον φῶς καὶ ὁ τοῦ ἀνθρώπου χαρακτὴρ ἀνθρωπίνην ὑπόστασιν δείκνυσιν, οὕτως πάντως, εἴπερ τὸ ἡμῖν φανὲν παρὰ τῆς δόξης τοῦ Πατρὸς ἀπηυγάσθη καὶ ὁ χαρακτὴρ αὐτοῦ τῆς ὑποστάσεως σάρξ ἐστι, σαρκώδης ἐκ τοῦ ἀκολούθου καὶ ἡ τοῦ Πατρὸς φύσις κατασκευάζεται. Οὐ γὰρ ἂν εἴποι χα**[1161]**ρακτηρίζεσθαι μὲν σώματι τὸ ἀσώματον, ἐκ δὲ τοῦ ἀοράτου τὸ ὁρατὸν ἀπαυγάζεσθαι. Ἀλλ' οἵα ἡ δόξα, τοιοῦτον δηλονότι καὶ τὸ ἀπαύγασμα, καὶ οἷος ὁ χαρακτήρ, τοιαύτη πάντως καὶ ἡ ὑπόστασις, ὥστε εἰ τοῦτο σῶμα, μηδὲ ἐκεῖνο πάντως ἀσώματον οἴεσθαι. Ἀλλὰ καὶ τοῦ κατὰ Νίκαιαν μέμνηται δόγματος, ἐν ᾧ τὸ ὁμοούσιον ἡ κοινὴ τῶν πατέρων ἐξεφώνησε σύνοδος οὐκ ἂν δέ τις εἴποι τι ἑτερογενὲς ὁμοούσιον, ἀλλ' ὧν εἷς καὶ ὁ αὐτός ἐστι τῆς οὐσίας λόγος, τούτοις ἐφαρμόζει πάντως τὸ ὁμοούσιον. Εἰ οὖν σάρκινος Θεὸς ὁ Υἱός, αὐτὸ ὅπερ ἐστὶ τῇ φύσει σὰρξ ὢν κατὰ τὸ προαιώνιον ὄνομα, ὁμοούσιος δὲ τῷ Πατρὶ καὶ παρ' αὐτοῦ τοῦ λογογράφου **158** εἶναι οὐκ ἀμφιβάλλεται, ἐκεῖνα δὲ ἀλλήλοις ἐστὶν ὁμοούσια, τὰ τῷ αὐτῷ λόγῳ τῆς οὐσίας ὑπογραφόμενα, ἄρα καὶ τὴν τοῦ Πατρὸς φύσιν ἀνθρωπίνην τινὰ καὶ σαρκικὴν ὁ Ἀπολινάριος ὑποτίθεται, ἵνα σώσῃ ἐπ' ἀμφοτέρων

1. Ψαλ. 144,3. 2. Πρβλ. Ματθ. 26,41.

τοῦ ὁμοουσίου τὸ ὄνομα, ὥστε δυοῖν θάτερον, ἢ ἀσώματον τὸν Πατέρα λέγων, σαρκίνην δὲ τοῦ Υἱοῦ τὴν θεότητα τῷ ἑτερουσίῳ συνθήσεται, ἢ τὸ κοινὸν τῆς θεότητός τε καὶ τῆς οὐσίας ὁμολογῶν ὁμοίως ἐπὶ Πατρός τε καὶ Υἱοῦ ἀποσαρκώσει καὶ ἐπὶ Πατρὸς τὴν τῆς θεότητος φύσιν. Ἀλλ' ὥσπερ διορθούμενος τὴν ἀτοπίαν ταύτην ἐν τοῖς πρὸ τούτου φησί, τοῦ Ζαχαρίου τὴν ῥῆσιν πρὸς τὸ δοκοῦν ἑρμηνεύων ὡς ἐκ προσώπου τοῦ Πατρὸς περὶ τοῦ Υἱοῦ λέγων, εἰρῆσθαι τὸ σύμφυλον, ὅπερ ἐστὶ συμφυῆ τε καὶ ὁμοούσιον· εἰ μὲν οὖν ὀρθῶς ἢ μὴ τοῦτο ὑπείληφεν, ἑτέρου λόγου, ὃ δ' οὖν κατασκευάζει, τοῦτό ἐστι· Δηλοῖ, φησί, διὰ τούτων ὁ προφητικὸς λόγος, ὅτι οὐ κατὰ τὴν σάρκα ὁμοούσιος τῷ Θεῷ, ἀλλὰ κατὰ τὸ πνεῦμα τὸ ἡνωμένον τῇ σαρκί. Πῶς τοίνυν ἑνοῦται σαρκὶ πρὸ τῆς τοῦ κόσμου συστάσεως ὁ σαρκώδης αὐτοῦ Θεός, ὅτε οἱ αἰῶνες οὐκ ἦσαν οὐδὲ ἄλλο τι τῶν τῆς κτίσεως ἦν; ἡ δὲ σὰρξ πολλοστόν τε καὶ ἔσχατον τῶν ἐν τῇ κτίσει γεγονότων ἐστίν. Ποίᾳ τοίνυν ἡνώθη σαρκὶ μήπω τῆς ἀνθρωπίνης φύσεως παρελθούσης εἰς γένεσιν; ἀλλ' ἑτέραν τινὰ οἶδε σάρκα παρὰ τὸν ἄνθρωπον. Καὶ πῶς φησιν, ὅτι αὐτὸς ὁ ἄνθρωπος, ὁ λαλήσας ἡμῖν τὰ τοῦ Πατρός, ἐκεῖνός ἐστι Θεὸς ποιητὴς τῶν αἰώνων; τίς ἡμῖν ἑρμηνεύσει τῶν καινῶν τούτων αἰνιγμάτων τὴν ἀτοπίαν; ἄνθρωπος πρὸ τοῦ γενέσθαι ἄνθρωπον καὶ σὰρξ τῆς ἰδίας δημιουργίας προγενεστέρα καὶ προαιώνιον τὸ ἐπ' ἐσχάτων χρόνων γενό**[1164]**μενον καὶ ὅσα ἄλλα τοιαῦτα κατὰ τὸν λόγον συγκεχυμένως διέξεισιν.

Ἀλλ' ὁ μὲν λογογράφος κατὰ τὸ δοκοῦν ἐν ταῖς τῶν λογισμῶν ἀνοδίαις διαπλανάσθω· ἡμεῖς δὲ τὴν ἀποστολικὴν **159** διδασκαλίαν τὴν παρ' αὐτοῦ τούτου μνημονευθεῖσαν εἰς ἔλεγχον τῶν ἀσεβῶν ὑπολήψεων παραθέντες πρὸς τὰ ἑξῆς τοῦ λόγου δραμούμεθα. «Ὃς ἐν μορφῇ Θεοῦ», φησίν, «ὑπάρχων»[1]. Οὐκ εἶπε μορφὴν ἔχων ὁμοίαν Θεοῦ, ὅπερ ἐπὶ τοῦ καθ' ὁμοίωσιν Θεοῦ γεγονότος λέγεται, ἀλλ' ἐν αὐτῇ ὑπάρχων τοῦ Θεοῦ τῇ μορφῇ· πάντα γὰρ τὰ τοῦ Πατρὸς ἐν τῷ Υἱῷ. Οὐκοῦν καὶ τὸ ἀΐδιον καὶ τὸ ἄποσον καὶ τὸ ἄυλον καὶ ἀσώματον, ὡς ἂν διὰ πάντων σῴζοιτο τοῦ πατρικοῦ χαρακτῆρος ἐν τῷ Υἱῷ ἡ μορφή· καὶ ὢν ἴσα Θεῷ. Ποίαν ἡ ἰσότης διαφορᾶς τινος ἢ παραλλαγῆς ἔννοιαν ὑπολείπεται; πῶς δ' ἂν ἐφαρμοσθείη τοῖς κατὰ τὴν φύσιν παρηλλαγμένοις τὸ ἴσον; Εἰ γὰρ ὁ μὲν σαρκώδης τὴν φύσιν, ὁ δὲ καθαρεύων ἀπὸ σαρκός, πῶς ἄν τις εἰς ἴσον ἄγοι τὸ τοιοῦτον τῷ μὴ τοιούτῳ; «Ἐκένωσεν ἑαυτόν», φησί, «μορφὴν δούλου λαβών»[2]. Τίς ἡ δουλικὴ μορφή; πάντως τὸ σῶμα· οὐ γὰρ ἕτερόν τι παρὰ τοῦτο παρὰ τῶν Πατέρων ἠκούσαμεν. Οὐκοῦν ὁ εἰπὼν ὅτι μορφὴν ἔλαβε δούλου, σάρξ δέ ἐστιν ἡ μορφή[α], ἄλλο τι ὄντα αὐτὸν κατὰ τὴν θείαν μορφήν, ἄλλο

1. Φιλιπ. 2,6. 2. Φιλιπ. 2,7.

α. Πρβλ. Κλήμεντος Ἀλεξανδρέως, Παιδαγωγὸς Γ,Ι, ΒΕΠ 7,190,13 ἑξ.

τι οὖσαν τῇ φύσει τὴν δουλικὴν μορφὴν εἰληφέναι λέγει. Ἀλλὰ καὶ ἡ τοῦ «ἐκένωσε» λέξις σαφῶς παρίστησι τὸ μὴ ἀεὶ τοῦτο εἶναι, ὅπερ ἡμῖν ὤφθη, ἀλλ' εἶναι μὲν ἐν τῷ πληρώματι τῆς θεότητος ἴσα Θεῷ ἀπρόσιτον καὶ ἀπροσπέλαστον καὶ μάλιστά γε τῇ βραχύτητι τῆς ἀνθρωπίνης οὐδενείας ἀχώρητον· χωρητὸν δὲ τῇ ἐπικήρῳ τῆς σαρκὸς φύσει τότε γενόμενον, ὅτε ἐκένωσε, καθώς φησιν ὁ Ἀπόστολος, τὴν ἄφραστον αὐτοῦ τῆς θεότητος δόξαν καὶ τῇ βραχύτητι ἡμῶν συγκατεσμίκρυνεν, ὥστε ὃ μὲν ἦν, μέγα καὶ τέλειον καὶ ἀπερίληπτον ἦν, ὃ δὲ ἔλαβεν, ἰσομέγεθες ἦν τῷ ἡμετέρῳ μέτρῳ τῆς φύσεως. «Ἐν ὁμοιώματι» γάρ, φησίν, «ἀνθρώπου γενόμενος καὶ σχήματι»[1] ὡς οὐκ ἔχων δηλονότι ἐξ ἀρχῆς περὶ ἑαυτὸν τῆς τοιαύτης φύσεως τὸ ὁμοίωμα οὐδὲ πρός τινα σωματώδη τύπον σχηματιζόμενος. Πῶς γὰρ ἂν περιτυπωθείη τῷ ἀσωμάτῳ σχήματος **160** τύπος; Ἀλλὰ τότε ἐν σχήματι γίνεται, ὅτε σχηματιζόμενος ἑαυτῷ περιτίθησιν. Τοῦτο δέ ἐστιν ἡ τοῦ σώματος φύσις.

Εὑρεθεὶς τοίνυν ὡς ἄνθρωπος —καὶ γὰρ καὶ ἄνθρωπος, εἰ καὶ μὴ δι' ὅλου ἄνθρωπος, ἀλλ' ὡς ἄνθρωπος διὰ τὸ κατὰ τὴν παρθενίαν μυστήριον, ὡς ἂν φανερὸν διὰ τοῦτο γένοιτο, ὅτι οὐ διὰ πάντων τοῖς νόμοις τῆς ἀνθρωπίνης ἐδούλευσε φύσεως, ἀλλὰ θεϊκῶς ἑαυτὸν εἰσοικίσας τῷ βίῳ καὶ μὴ δεηθεὶς τῆς ἐκ τοῦ γάμου **[1165]** συνεργίας πρὸς τὴν κατασκευὴν τοῦ ἰδίου πλάσματος— εὑρίσκεται οὐ διὰ πάντων κοινὸς ἄνθρωπος διὰ τὸ παρηλλαγμένον αὐτοῦ τῆς συστάσεως, ἀλλ' ὡς ἄνθρωπος. Καὶ οὕτως ἐταπείνωσεν ἑαυτὸν ἀτρέπτως γενόμενος ἄνθρωπος. Εἰ γὰρ ἀπ' ἀρχῆς τοῦτο ἦν, ἐν τίνι γέγονεν ἡ ταπείνωσις; Νῦν δὲ ὁ Ὕψιστος διὰ τῆς πρὸς τὸ ταπεινὸν τῆς φύσεως ἡμῶν ἑνώσεως ἑαυτὸν ἐταπείνωσεν. Ἑνωθεὶς γὰρ τῇ μορφῇ τοῦ δούλου, ἣν ἔλαβε, καὶ ἓν πρὸς αὐτὴν γενόμενος, οἰκειοῦται τὰ τοῦ δούλου πάθη καὶ καθάπερ καὶ ἐν ἡμῖν γίνεται διὰ τῆς πρὸς τὰ μέλη συμφυΐας, ⟨ὅτι⟩, ἐάν τι τῷ ἄκρῳ συμπέσῃ τοῦ ὄνυχος, τὸ πᾶν τῷ πεπονθότι συνδιατίθεται ἐφ' ὅλον τὸ σῶμα διηκούσης τῆς συναισθήσεως, οὕτως ὁ ἑνωθεὶς ἡμῶν τῇ φύσει οἰκειοῦται τὰ ἡμέτερα πάθη, καθώς φησιν Ἡσαΐας ὅτι «αὐτὸς τὰς ἀσθενείας ἡμῶν ἀνέλαβε καὶ τὰς νόσους ἐβάστασε»[2] τὴν ὑπὲρ ἡμῶν ὑποστὰς πληγήν, ἵνα τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰαθῶμεν[3]· οὐχ ὅτι ἡ θεότης ἐμωλωπίσθη, ἀλλ' ὁ προσφυεὶς διὰ τῆς ἑνώσεως τῇ θεότητι ἄνθρωπος, οὗ ἡ φύσις δεκτικὴ μώλωπος γενέσθαι δύναται· ταῦτα δὲ γίνεται, ὅπως ἂν διὰ τῶν αὐτῶν πάλιν ὁδῶν ἡ τῆς κακίας ὁδὸς ἀναλυθείη. Ἐπειδὴ γὰρ διὰ τῆς παρακοῆς τοῦ πρώτου ἀνθρώπου ὁ θάνατος εἰσῆλθε, τούτου χάριν διὰ τῆς ὑπακοῆς

1. Φιλιπ. 2,7. 2. Ματθ. 8,17. Πρβλ. Ἡσ. 53,4. 3. Πρβλ. Ἡσ. 53,5.

PG 8,557A. Μ. Ἀθανασίου, Περὶ τῆς σωτηριώδους ἐπιφανείας τοῦ Χριστοῦ, καὶ κατὰ Ἀπολιναρίου, ΒΕΠ 37,284,13 ἑξ. Μ. Βασιλείου, Ἐπιστολαὶ 261, ΒΕΠ 55,326,2. Γρηγορίου Θεολόγου, Θεολογικὸς τέταρτος, ΒΕΠ 59,255,36 ἑξ.

τοῦ δευτέρου ἀνθρώπου ἐξοικίζεται[1]. **161** Διὰ τοῦτο «ὑπήκοος μέχρι θανάτου»[2] γίνεται, ἵνα διὰ μὲν τῆς ὑπακοῆς τὸ ἐκ τῆς παρακοῆς θεραπεύσῃ πλημμέλημα, διὰ δὲ τῆς ἐκ νεκρῶν ἀναστάσεως τὸν συνεισελθόντα τῇ παρακοῇ θάνατον ἐξαφανίσῃ. Ἀφανισμὸς γάρ ἐστι θανάτου ἡ ἐκ θανάτου τοῦ ἀνθρώπου ἀνάστασις· «διό», φησί, «καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσεν»[3]. Τοῦτο καθάπερ σφραγίς τις τῆς προλαβούσης διανοίας ἐστίν. Δῆλον γάρ, ὅτι τὸ ὕψιστον τοῦ ὑψωθῆναι οὐκ ἐπιδέεται, ἀλλὰ τὸ ταπεινὸν εἰς ὕψος αἴρεται, νῦν γινόμενον ὃ μὴ πρότερον ἦν· ἑνωθεῖσα γὰρ τῷ Κυρίῳ ἡ ἀνθρωπίνη φύσις συνεπαίρεται τῇ θεότητι καὶ τὸ ὑψούμενον ἐκεῖνό ἐστι τὸ ἐκ τοῦ ταπεινοῦ ἐπαιρόμενον· ταπεινὸν δὲ ἡ τοῦ δούλου μορφὴ ⟨ἡ⟩ διὰ τῆς ὑψώσεως γινομένη Χριστός τε καὶ Κύριος. Καὶ ἐπειδὴ ὁ κατὰ Χριστὸν ἄνθρωπος κατὰ τὴν ἀνθρωπίνην ἀκολουθίαν ὀνόματι κατὰ τὸ ἰδιάζον προσηγορεύθη διὰ τῆς γενομένης τῇ Παρθένῳ παρὰ τοῦ Γαβριὴλ μυσταγωγίας καὶ τὸ ἀνθρώπινον, καθὼς εἴρηται, Ἰησοῦς ὠνομάσθη[4], ἡ δὲ θεία φύσις ἀπερίληπτός ἐστιν ὀνόματι, ἓν δὲ τὰ δύο διὰ τῆς ἀνακράσεως γέγονε· τούτου χάριν καὶ ὁ Θεὸς ἐκ τοῦ ἀνθρωπίνου κατονομάζεται. Ἐν γὰρ τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψει[5] καὶ ὁ ἄνθρωπος ὑπὲρ ὄνομα γίνεται, ὅπερ ἴδιόν ἐστι τῆς θεότητος τῆς δηλωθῆναι μὴ δυναμένης ὑπό τινος ὀνομαστικῆς **[1168]** σημασίας, ἵν' ὥσπερ ἐν τῷ ταπεινῷ τὸ ὑψηλὸν γίνεται, οὕτως ἀντιλάβῃ τὸ ταπεινὸν τὰ ὑψηλὰ ἰδιώματα· ὡς γὰρ διὰ τοῦ ἀνθρώπου ὀνομάζεται ἡ θεότης, οὕτως ὑπὲρ ὄνομα γίνεται τὸ ἐκ τοῦ ταπεινοῦ συνεπαρθὲν τῇ θεότητι· καὶ ὥσπερ ἡ ἀτιμία τῆς δουλικῆς μορφῆς εἰς τὸν Θεὸν τὸν ἀνακραθέντα τῷ δούλῳ τὴν ἀναφορὰν ἔχει, οὕτω καὶ ἡ προσκύνησις τῆς θεότητος ἡ παρὰ πάσης **162** κτίσεως προσαγομένη τῷ ἑνωθέντι πρὸς τὴν θεότητα γίνεται καὶ οὕτως ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ πᾶν γόνυ κάμψει ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται ὅτι Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ Πατρός[6]. Ἀμήν.

Ἀλλ' ἔοικεν, οἷον ἐπερυθριῶν αὐτὸς ἑαυτῷ καὶ τῇ ἀτοπίᾳ τῶν εἰρημένων ἐπαισχυνόμενος, ἀνατίθεσθαι τρόπον τινὰ τὰ κατεσκευασμένα καὶ ἐπιγεννηματικὴν τοῦ Υἱοῦ τὴν πρὸς τοὺς ἀνθρώπους ὁμοιότητα βούλεσθαι κατασκευάζειν. Φησὶ γὰρ ἰδοὺ τοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ ἡ πρὸς Πατέρα ἰσότης προϋπάρχουσα, ἡ πρὸς ἀνθρώπους ὁμοιότης ἐπιγινομένη. Μεταγινώσκειν ἔοικε ἐπὶ τοῖς εἰρημένοις καὶ ποιείτω γε τοῦτο μόνον ἀπὸ καρδίας τῆς ἀτόπου δόξης μεταβαλλόμενος καὶ ἡμεῖς τῶν ἐλέγχων παυσόμεθα. Ἀλλὰ δοκεῖ δι' ὧν ποιεῖ, ἄλλης ἀτοπίας διὰ τῆς ἐν τούτοις εὐγνωμοσύνης τὰς ἀφορμὰς καταβάλλεσθαι.

---

1. Πρβλ. Ρωμ. 5,19. 2. Φιλιπ. 2,8. 3. Φιλιπ. 2,9. 4. Πρβλ. Λουκ. 1,31. 5. Πρβλ. Φιλιπ. 2,10. 6. Ἔνθ' ἀν.

Φησὶ δὲ οὕτω κατὰ τὴν λέξιν *καὶ τί τούτων σαφέστερον, εἰς τὸ μὴ ἕτερον μεθ' ἑτέρου εἶναι, Θεὸν τέλειον μετὰ τελείου ἀνθρώπου;* Ὅτι μὲν οὖν οὐδὲ μίαν κοινωνίαν ὁ λόγος οὗτος ἔχει πρὸς τὰ προάγοντα, φανερὸν ἂν εἴη πᾶσι τοῖς ἐπισταμένοις ἕπεσθαι λόγῳ. Πῶς γὰρ ἀποδείκνυσιν ἡ πρὸς Πατέρα ἰσότης προϋπάρχουσα καὶ ἡ πρὸς ἀνθρώπους ὁμοιότης ἐπιγινομένη, καθὼς αὐτός φησι, τὸ μὴ εἶναι ἄνθρωπον τέλειον, δι' οὗ ὁ τέλειος Θεὸς ἐνηνθρώπησεν; Ὅμοιον γὰρ ὥσπερ ἂν εἴ τις ἀφεστάναι τὸν οὐρανὸν τῆς γῆς λέγων ἔπειτα διὰ τούτων εἴποι φανερὸν γίνεσθαι τὸ βαρύτερον εἶναι τοῦ κασσιτήρου ἐν ἴσῳ σηκῷ τὸν μόλυβδον καὶ βάρος νομίσειε τὴν οὐρανίαν ἀπόστασιν, οὕτως οὐδὲ τὸ ἐλλιπὲς τῆς **163** ἀνθρωπότητος, δι' ἧς ἐν τῇ φύσει ἡμῶν ὁ Θεὸς γίνεται, εἴποι τις ἂν ἀποδείκνυσθαι ἐκ τοῦ ἐπιγεννηματικὴν ὁμολογεῖσθαι τὴν πρὸς ἀνθρώπους τοῦ Υἱοῦ ὁμοιότητα. Ἀλλὰ τὴν μὲν ἀσέβειάν τε καὶ τὴν ἄνοιαν τῆς τοιαύτης ὑπολήψεως ἐπιδεῖξαι μικρὸν ὑπερθήσομαι, νυνὶ δὲ καθεξῆς τοῖς γεγραμμένοις κατὰ λέξιν διευθῦναι τὸν λόγον πειράσομαι, ὅσαπερ ἂν ὑπαίτια κατὰ τὸ πρόχειρον ᾖ. Φησὶ γὰρ μὴ εἶναι Θεὸν τέλειον μετὰ ἀνθρώπου τελείου. Τέως ἐνταῦθα πότερον ἀτελῆ τῶν εἰρημένων ὠνόμασεν, ἀφῆκεν ἀμφίβολον καὶ τῷ **[1169]** ἀδήλῳ τοῦ σημαινομένου πρὸς ἑκάτερον ἐπίσης ἡ διάνοια βλέπει καὶ οὐκ ἔστιν ἐξ ὧν ἠκούσαμεν περὶ τίνα νομίζει τὸ ἀτελὲς διδαχθῆναι, περὶ τὸν Θεὸν ἢ τὸν ἄνθρωπον ἢ καὶ περὶ ἀμφοτέρων τὸ ἴσον οἴεται. Αὐτὸν εἶναι φησὶ Θεὸν μὲν πνεύματι τὴν τοῦ Θεοῦ δόξαν ἔχοντα, ἄνθρωπον δὲ σώματι τὴν τῶν ἀνθρώπων ἄδοξον φορέσαντα μορφήν. Εἶπε Θεόν, εἶπε καὶ ἄνθρωπον· φανερὸν δὲ πᾶσιν, ὅτι οὐ ταὐτὸν τῶν ὀνομάτων τούτων τὸ σημαινόμενον, ἀλλ' ἴδιος μὲν ὁ τῆς θεότητος, ἕτερος δὲ ὁ τῆς ἀνθρωπότητος ἑρμηνευτικός ἐστι λόγος. Θεὸς μὲν γάρ ἐστι τὸ ἀεὶ ὡσαύτως ἔχον πάντων ἀγαθῶν αἴτιον, οὔτε ποτὲ μὴ ὂν οὔτε μὴ ἐσόμενον· ἄνθρωπος δὲ τὰ μὲν ἄλλα συγγενῶς πρὸς τὴν τῶν ἀλόγων φύσιν διάκειται καὶ διὰ σαρκὸς καὶ αἰσθήσεως παραπλησίως αὐτοῖς διοικούμενος, τῇ δὲ τοῦ νοῦ προσθήκῃ τῶν ἀλόγων κεχωρισμένος ἐν τούτῳ τὸ ἰδιάζον ἔχει τῆς φύσεως. Οὐ γὰρ ἄν τις ἄνθρωπον ὁριζόμενος ἀπὸ σαρκῶν τε καὶ ὀστέων καὶ αἰσθητηρίων ὁρίσαιτο οὐδὲ τὴν βρωτικήν τε καὶ ἀλλοιωτικὴν δύναμιν εἰπών τις τὸ ἴδιον τῆς ἀνθρωπίνης ἐνεδείξατο φύσεως, ἀλλὰ τὸ διανοητικὸν καὶ λογικὸν τὸν ἄνθρωπον ἔδειξεν. Ἴσον οὖν ἐστιν ἢ διὰ τοῦ ὀνόματος ἑρμηνεῦσαι τὴν φύσιν ἢ διὰ τοῦ **164** ἰδίως παρεπομένου τῇ φύσει. Ὅ τε γὰρ ἄνθρωπον εἰπὼν τὸ λογικὸν ἐνεδείξατο ὅ τε λογικὸν ὀνομάσας τὸν ἄνθρωπον διὰ τῆς φωνῆς ταύτης ἀπέδειξεν. Οὐκοῦν καὶ ὁ Ἀπολινάριος Θεὸν καὶ ἄνθρωπον ὀνομάσας, εἴπερ τὰς ἐμφαινομένας τῇ θεότητι σημασίας τῇ φωνῇ ταύτῃ συμπεριέλαβεν, οὐδ' ἂν τοῦ ἀνθρώπου τὸ σημαινόμενον διὰ τῆς ἑρμηνείας λωβήσαιτο. Ἀλλ' εἴπερ ἄνθρωπος λέγεται, ἔστι πάντως ἡ κλῆσις ἀληθὴς καὶ οὐ ψευδώνυμος· τὸ δὲ ἀληθὲς

τοῦ ὀνόματος ἐν τῷ λογικὸν εἶναι ζῷον τὸν οὕτω κατονομαζόμενον ἐπιδείκνυται, ὁ δὲ λόγος ἐκ διανοίας πάντως· ὥστε εἰ ἄνθρωπος, καὶ διανοητικὸς ἐξ ἀνάγκης· εἰ δὲ οὐ διανοητικός, οὐδὲ ἄνθρωπος.

'Αλλ' ἄνθρωπος ἦν τῷ σώματι, φησί, τὴν τῶν ἀνθρώπων ἄδοξον φορέσας μορφήν. Ταῦτα μὲν οἴκοθεν καὶ οὐκ ἐκ τῆς γραφικῆς ἡμῖν διδασκαλίας προβάλλεται· πλὴν ὡς ἂν καὶ ἀπ' αὐτῶν ὧν λέγει πρὸς τοὐναντίον αὐτῷ περιτραπείη τὸ σπουδαζόμενον, οὑτωσὶ τὸν λόγον κατανοήσωμεν. Τὴν ἄδοξον, φησίν, ἐφόρεσε τῶν ἀνθρώπων μορφήν. Τίς δόξα ἀνθρώπου, πρῶτον ἐπισκεψόμεθα καὶ οὕτως ἐκ τοῦ ἀκολούθου τὴν ἀδοξίαν νοήσομεν. Οὐκοῦν δόξα ἀνθρώπου ἥ γε ἀληθὴς δόξα ἡ κατὰ ἀρετήν ἐστι πάντως ζωή. Τὸ γὰρ εὐχροίᾳ τινὶ ἢ ὥρᾳ σαρκὸς ἢ τὸ ἔμπαλιν ἀμορφίᾳ σώματος τὴν δόξαν τῶν ἀνθρώπων ἢ τὴν ἀδοξίαν ὁρίζεσθαι τῶν διατεθρυμμένων ἂν εἴη. Εἰ [1172] οὖν ἡ ἀρετὴ τὸ ἔνδοξον ἐπ' ἀνθρώπων ὁμολογεῖται, ἡ κακία πάντως τὸ ἄδοξον. 'Αλλὰ μὴν φησὶ τὸν Θεὸν ὁ 'Απολινάριος τὴν ἄδοξον τῶν ἀνθρώπων ὑπεληλυθέναι μορφήν. Εἰ οὖν ἐν κακίᾳ τὸ ἄδοξον, κακία δὲ προαιρέσεως αἰσχός ἐστι, προαιρεῖται δὲ ἡ διάνοια, διάνοια δὲ νοῦ τι κίνημα, ἄρα τὴν ἀνθρωπίνην ἀδοξίαν περὶ τὸν Θεὸν βλέπων οὐκ ἀποσχίζει τῆς διανοίας τὸν ἄνθρωπον, δι' οὗ ὁ Θεὸς τῇ ἀνθρωπίνῃ ζωῇ καθωμίλησεν. Καὶ συμβαίνει γε τοῦτο ταῖς **165** θείαις Γραφαῖς, τὸ δι' ἡμᾶς αὐτὸν ἁμαρτίαν γενέσθαι[1], τουτέστι τὴν ἁμαρτικὴν τοῦ ἀνθρώπου ψυχὴν πρὸς ἑαυτὸν ἑνῶσαι. Κύριον, φησίν, ἐν δουλικῷ φανέντα σχήματι· ἄρα ὁ δοῦλος οὗτος, οὗ τὸ σχῆμα ὑπέδυ ὁ Κύριος, ἄρτιος ἦν ἢ λελώβητο; τὸ γὰρ ἐλλιπές τε καὶ ἠκρωτηριασμένον κατὰ τὴν τοῦ ζῴου συμπλήρωσιν λώβην ἄν τις εἰκότως προσαγορεύσειεν. Οὐκ ἄνθρωπος, φησίν, ἀλλ' ὡς ἄνθρωπος, διότι οὐχ ὁμοούσιος τῷ ἀνθρώπῳ κατὰ τὸ κυριώτατον· εἰ μὴ ὁμοούσιος, ἑτεροούσιος πάντως· ὧν δὲ ὁ λόγος τῆς οὐσίας ἕτερος, τούτοις οὔτε ἡ φύσις κοινὴ οὔτε ἡ κλῆσις. Ἄλλη πυρὸς οὐσία καὶ ὕδατος ἄλλη καὶ αἱ προσηγορίαι τῶν δύο διάφοροι· Πέτρος δὲ καὶ Παῦλος, ἐπειδὴ φύσις μία, καὶ τὸ ὄνομα τῆς οὐσίας κοινόν· ἄνθρωπος γὰρ τούτων ἑκάτερος. Εἰ οὖν ἄλλο τι κατὰ τὴν οὐσίαν ἦν καὶ οὐκ ἄνθρωπος, ἀλλὰ μέχρι τοῦ φαινομένου κατὰ ἄνθρωπον ἐσχηματίζετο, τῇ δὲ ἀληθείᾳ κατὰ τὴν φύσιν παρήλλακτο, λεγέτω πάντα δόκησιν εἶναί τινα καὶ ἀπατηλὴν φαντασίαν, ψευδὴς κατ' αὐτὸν ἡ βρῶσις, ψευδὴς ὁ ὕπνος, ἀνύπαρκτα πάντα τὰ κατὰ τὰς ἰάσεις θαύματα, οὐ γέγονεν ὁ σταυρός, οὐχ ἡ ἐν μνημείῳ θέσις, οὐχ ἡ ἐκ τοῦ πάθους ἀνάστασις· ἀλλὰ δοκήσει μὲν τὰ πάντα ἐφαίνετο, ἦν δὲ κατὰ τὸν τοῦ λογογράφου λόγον τῶν φαινομένων οὐδέν. Εἰ γὰρ ἄνθρωπος οὐκ ἦν, πῶς τὰ περὶ αὐτὸν ἱστορούμενα ἦν; πῶς δ' ἂν εἴποι τις εἶναι ἄνθρω-

1. Πρβλ. Ρωμ. 8,3.

πον τὸν τῆς ἀνθρωπίνης οὐσίας ἀλλότριον; Οὐ γὰρ ἦν, φησίν, ὁμοούσιος τῷ ἀνθρώπῳ κατὰ τὸ κυριώτατον· ὁ δὲ τὸ κυριώτατον ἀφαιρῶν τοῦ ἀνθρώπου, τοῦτο δέ ἐστιν ὁ νοῦς, κτῆνος ἀπέδειξε τὸ λειπόμενον· τὸ δὲ κτῆνος οὐκ ἄνθρωπος. Εἶτά φησι· ταπεινώσαντα ἑαυτὸν σαρκί, ὑπερυψωθέντα δὲ ὑπὸ Θεοῦ τὴν θείαν ὕψωσιν. Τουτὶ πάλιν τῶν προλαβόντων μετὰ ἀσεβείας ἀνοητότερον. Ἄλλον φησὶ τεταπεινῶσθαι καὶ ἕτερον ὑπερυψῶσθαι. Ἡ σάρξ, φησί, τεταπείνωται, καίτοι οὐδὲν τοῦ ταπεινω**166**θῆναι προσδεομένη ἢ τὸ ταπεινὸν ἐκ φύσεως ἔχουσα, τὴν δὲ θεότητα ὑπερυψοῦσθαι λέγει· καὶ μὴν τὸ ὕψιστον ἀνεπιδεὲς τῆς ὑψώσεως· ποῦ τοίνυν ὑπερυψώθη ἡ θεότης ἡ τοῦ παντὸς ὑπερκειμένη καὶ ὑπερανεστῶσα πάσης ὑψώσεως; ἀλλὰ τὸ τῇ φύσει ταπεινὸν ὑψοῦται, κἂν ὁ λογογράφος μὴ βούληται, καθὼς μικρῷ πρόσθεν ὁ περὶ τούτων λόγος διήρηται.

[1173] Πάλιν κατὰ τοὺς ἐν ὕπνῳ παραφθεγγομένους ἀφεὶς τῆς κατασκευῆς τὸ ἀκόλουθον τοῖς ἡμετέροις λόγοις συγκέχρηται καί, ἅπερ ἄν τις εἴποι τῶν ὑγιῶς φρονούντων περὶ τοῦ δόγματος, ταῦτα καὶ αὐτὸς τοῖς ἰδίοις καταμίγνυσι λόγοις. Διακρίνει γὰρ τὸ δοξαζόμενον καὶ τὸν τὴν δόξαν ἔχοντα. Δοξάζεται, γάρ, φησίν, ὡς ἄνθρωπος· δόξαν δὲ ἔχει πρὸ τοῦ κόσμου ὡς Θεὸς προϋπάρχων τῶν αἰώνων. Μέχρι τούτων εὐγνωμονῶν. Ἀλλ' εἰ μὲν τούτοις τὰ λεγόμενα παρ' αὐτοῦ περιώριστο, ἴσως ἄν τις αὐτὸν ἐκ μεταμελείας ᾠήθη πρὸς τὰς εὐσεβεστέρας ἐλθεῖν τῶν ὑπολήψεων· νυνὶ δὲ καθάπερ καμπτήν τινα τὴν ὑγιῆ ταύτην διάνοιαν τῷ λόγῳ περιοδεύσας πάλιν ἐπὶ τὸ τῆς πλάνης ἐπανατρέχει στάδιον καὶ πολλαῖς καθ' ἡμῶν λοιδορίαις χρησάμενος καὶ Ἰουδαίοις καὶ Ἕλλησι τὸ καθ' ἡμᾶς παρισώσας αὖθις ἐπαναλαμβάνει τῷ λόγῳ τὸν ἔμετον, ὃν ἐν τοῖς προλαβοῦσι φθάσας ἐξήμεσε, τὴν προαιώνιον σάρκα διὰ τῆς ματαιότητος τῶν λόγων τῷ Χριστῷ περιπλάσσων καὶ λέγων νοῦν ἔνσαρκον ὄντα τὸν Υἱὸν ἐκ γυναικὸς τεχθῆναι οὐκ ἐν τῇ Παρθένῳ σάρκα γενόμενον, ἀλλὰ παροδικῶς δι' αὐτῆς διεξελθόντα, οἷος πρὸ τῶν αἰώνων ἦν, τότε φανερωθῆναι αὐτὸ τὸ φαινόμενον σάρκινον ὄντα Θεὸν ἤ, καθὼς αὐτὸς ὀνομάζει, ἔνσαρκον νοῦν. Διό φησιν αὐτὸν Κύριον δόξης[1] τὸν ἐσταυρωμένον κατονομάζεσθαι καὶ Κύριον δυνάμεων[2] παρὰ τῆς προφητείας λέγεσθαι καὶ τὰς αὐθεντικὰς ἐκείνας καὶ δεσποτικὰς ποιεῖσθαι φωνάς, τὸ ἐγὼ λέγω σοι[3] καὶ «ἐγὼ ἐπιτάσσω σοι»[4] καὶ ἐργάζομαι ἐγὼ[5] καὶ ὅσα ἄλλα τῆς **167** ὑψηλοτέρας ἐμφάσεως ἔχεται. Τί οὖν ὁ γεννάδας; ποῦ θήσει τὴν θηλήν[6], τὰ σπάργανα[7], τὴν ἐπίρρυτον ζωὴν καὶ ἀπόρρυτον, τὴν κατ' ὀλί-

---

1. Πρβλ. Α' Κορ. 2,8. 2. Πρβλ. Ψαλ. 23,10. 3. Πρβλ. Λουκ. 7,14. 4. Μάρκ. 9,25. 5. Πρβλ. Ἰω. 5,17. 6. Πρβλ. Λουκ. 11,27. 7. Πρβλ. Λουκ. 2,7,12.

γον τοῦ σώματος αὔξησιν[1], τὸν ὕπνον[2], τὸν κόπον[3], τὴν τῶν γονέων ὑποταγήν[4], τὴν ἀδημονίαν[5], τὴν λύπην[6], τὴν ἐπιθυμίαν τοῦ Πάσχα[7], τὴν τοῦ ὕδατος αἴτησιν[8], τὴν μετουσίαν τῆς βρώσεως[9], τὰ δεσμά[10], τὰ ῥαπίσματα[11], τὰς ἐκ μαστίγων πληγάς[12], τὴν ἐπὶ τῆς κεφαλῆς ἀκανθοφορίαν[13], τὴν τοῦ κοκκίνου περιβολήν[14], τὴν διὰ τοῦ καλάμου ὕβριν[15], τὴν χολήν[16], τὸ ὄξος[17], τοὺς ἥλους[18], τὴν λόγχην[19], τὴν σινδόνα[20], τὸν ἐνταφιασμόν[21], τὸ μνημεῖον[22], τὸν λίθον[23]; πῶς ταῦτα συναρτήσει τῷ Θεῷ; εἰ γὰρ ὁ ἔνσαρκος αὐτοῦ Θεός, ὅπερ διὰ τῆς Μαρίας ὤφθη, τοῦτο πάντοτε ἦν καὶ τὸ φαινόμενον θεότης ἦν, πάντα ταῦτα ἡ θεότης πάσχει, θηλάζει, σπαργανοῦται, τρέφεται, κοποῦται, αὔξεται, πληροῦται, κενοῦται, ὑπνοῖ, λυπεῖται, ἀδημονεῖ, στενάζει, δίψης **[1176]** καὶ πείνης αἰσθάνεται, πρὸς τὴν συκῆν τρέχει[24], ἀγνοεῖ τοῦ δένδρου καὶ τῆς ὥρας τὴν καρποφορίαν, τὴν ἡμέραν καὶ τὴν ὥραν οὐκ οἶδε, τύπτεται, δεσμεύεται, ῥαπίζεται, ἥλους δι' ἑαυτῆς δέχεται, αἱμάσσει, νεκρὰ γίνεται, ἐνταφιάζεται, μνήματι καινῷ ἐναποτίθεται. Ἆρα συντίθεται οἰκεῖα καὶ κατὰ φύσιν εἶναι τῇ προαιωνίᾳ θεότητι ταῦτα καὶ μὴ ἀνατραφῆναι, εἰ μὴ ἐθήλασε, μηδ' ἂν ὅλως ἐν τῷ ζῆν εἶναι, ⟨εἰ⟩ μὴ τὸ διαπνευσθὲν τῆς δυνάμεως ⟨τῇ⟩ τῆς τροφῆς μετουσίᾳ παρεμυθήσατο; Πῶς δὲ καὶ ἀγνοεῖ ὁ ἔνσαρκος αὐτοῦ Θεὸς τὴν ἡμέραν καὶ τὴν ὥραν ἐκείνην[25], πῶς δὲ οὐκ ἐπίσταται τὸν τῶν συκῶν καιρόν[26], ὅτι κατὰ τὸ Πάσχα οὐκ ἂν **168** ἐφευρεθείη τῷ δένδρῳ καρπὸς εἰς ἐδωδὴν ἐπιτήδειος; τίς ὁ ἀγνοῶν, εἰπάτω; τίς ὁ λυπούμενος; τίς ὁ ἐν ἀμηχανίᾳ στενοχωρούμενος; τίς ὁ ἐγκαταλελεῖφθαι παρὰ τοῦ Θεοῦ βοήσας εἰ μία θεότης Πατρὸς καὶ Υἱοῦ; Καὶ παρὰ τίνος ἡ ἐγκατάλειψις γίνεται, ἣν ἐπὶ τῷ σταυρῷ ἐξεφώνησεν; Εἰ γὰρ τὸ πάσχον ἡ θεότης, μιᾶς δὲ εἶναι θεότητος τῷ Πατρὶ τὸν Υἱὸν οἱ εὐσεβοῦντες συντίθενται —φησὶ δὲ ὁ πάσχων ὅτι «Θεέ μου, Θεέ μου, ἵνα τί με ἐγκατέλιπες;»[27]—, πῶς μία οὖσα ἡ θεότης ἐν τῷ πάθει μερίζεται καὶ ἡ μὲν καταλείπει, ἡ δὲ καταλείπεται· ἡ μὲν ἐν θανάτῳ γίνεται, ἡ δὲ ἐν τῇ ζωῇ διαμένει· ἡ μὲν νεκροῦται, ἡ δὲ τὸ νεκρωθὲν διανίστησιν; ἢ γὰρ οὐχ

---

1. Πρβλ. Λουκ. 1,80. 2. Πρβλ. Ματθ. 8,24. 3. Πρβλ. Ἰω. 4,6. 4. Πρβλ. Λουκ. 2,51. 5. Πρβλ. Ματθ. 26,37. 6. Πρβλ. Μάρκ. 14,34. 7. Πρβλ. Λουκ. 22,15. 8. Πρβλ. Ἰω. 4,7. 9. Πρβλ. Ματθ. 26,27. 10. Πρβλ. Ματθ. 27,15-17. Μάρκ. 15,6. 11. Πρβλ. Μάρκ. 14,65. Ἰω. 18,22. 19,3. 12. Πρβλ. Ματθ. 20,19. Μάρκ. 10,34. Λουκ. 18,33. 13. Πρβλ. Μάρκ. 15,17. Ἰω. 19,5. 14. Πρβλ. Ματθ. 27,28. 15. Πρβλ. Ματθ. 27,29. Μάρκ. 15,19. 16. Πρβλ. Ματθ. 27,34. 17. Πρβλ. Ματθ. 27,48. Μάρκ. 15,36. Λουκ. 23,36. Ἰω. 19,29-30. 18. Πρβλ. Ἰω. 20,25. 19. Πρβλ. Ἰω. 19,34. Ματθ. 27,49. 20. Πρβλ. Ματθ. 27,59. Μάρκ. 14,51-52. 15,46. Λουκ. 23,53. 21. Πρβλ. Μάρκ. 14,8. Ἰω. 12,7. 22. Πρβλ. Ματθ. 27,60. Μάρκ. 15,46. Ἰω. 19,41-42. 23. Πρβλ. Ματθ. 27,60. Μάρκ. 15,46. Ἰω. 20,1. 24. Πρβλ. Μάρκ. 11,13. 25. Πρβλ. Ματθ. 24,36. 26. Πρβλ. Μάρκ. 11,13. 27. Πρβλ. Ματθ. 27,46. Μάρκ. 15,34.

ὁμολογήσει μίαν ἐπὶ Πατρός τε καὶ Υἱοῦ τὴν θεότητα καὶ συνήγορος Ἀρείου διὰ τοῦτο ἀναφανήσεται ἤ, εἴπερ Ἀρείῳ μαχόμενος μίαν λέγοι, οὐδὲ ἑαυτῷ πάντως συνθήσεται στῆσαι τὸν ἀναπλασθέντα μῦθον ἐν ἑαυτῷ μὴ δυνάμενος. Ἀλλὰ κατ' ἀνάγκην τὰς ἐμπαθεῖς ταύτας καὶ ταπεινοτέρας φωνάς τε καὶ διαθέσεις τῷ ἀνθρωπίνῳ προσμαρτυρήσει, ἄτρεπτον δὲ καὶ ἀπαθῆ τοῦ Θεοῦ τὴν φύσιν καὶ ἐν τῇ κοινωνίᾳ τῶν ἀνθρωπίνων παθημάτων διαμεμενηκέναι συνθήσεται. Καὶ τούτων μάρτυς αὐτὸς ὁ εἰπὼν περὶ αὐτοῦ ὅτι δοξάζεται μὲν ὡς ἄνθρωπος ἐξ ἀδοξίας ἀναβαίνων, ἔχει δὲ τὴν δόξαν πρὸ τοῦ κόσμου ὡς Θεὸς προϋπάρχων. Ἡ γὰρ ἀδοξία πάντως ἡ παθητὴ τῆς σαρκὸς φύσις ἐστίν· δόξα δὲ ἄρα αἰώνιος ἡ ἀπαθής τε καὶ ἀκήρατος δύναμις.

Ὡς δ' ἂν μὴ συκοφαντεῖν ἐν τοῖς εἰρημένοις δοκοίημεν, αὐτῶν τῶν κατὰ τὸν νοῦν ἡμῖν προεξετασθέντων καὶ τὴν λέξιν ἐκθήσομαι. Ἕλληνες γάρ, φησί, καὶ Ἰουδαῖοι προφανῶς ἀπιστοῦσι, μὴ καταδεχόμενοι Θεὸν ἀκούειν τὸν ἐκ γυναικὸς τεχθέντα. Διὰ τί νῦν ἐν **169** τῷ τόκῳ τὴν σάρκα παρεσιώπησε; καίτοι «τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς σάρξ»[1] ἦν πάντως, **[1177]** καθώς φησί που ὁ Κύριος. Ἀλλ' ἐπειδὴ βούλεται αὐτὴν τὴν τεχθεῖσαν σάρκα θεότητα εἶναι καὶ κατασκευάσαι οὐκ ἐν σαρκὶ πεφηνέναι τὸν Θεόν, λέγει· Ἀλλὰ Θεὸν ἔνσαρκον πρὸ αἰώνων ὄντα μετὰ ταῦτα διὰ γυναικὸς τετέχθαι καὶ πρὸς τὴν τῶν παθημάτων πεῖραν καὶ πρὸς τὴν τῆς φύσεως ἀνάγκην ἐλθεῖν. Καὶ ταῦτα λέγων οὐ δίδωσιν αὐτῷ οὐδὲ τὸ ἄνθρωπον εἶναι· ἀλλὰ τοῖς μὲν πάθεσιν ὑπάγει ὡς ἄνθρωπον, τῆς δὲ ἀνθρωπίνης οὐ μεταδίδωσι φύσεως. Πῶς γὰρ ἄνθρωπος τὸ μὴ ἐκ γῆς εἶναι λεγόμενον; ἐκ γὰρ τοῦ Ἀδὰμ λέγει ἡ Γραφὴ τὸ ἀνθρώπινον γενέσθαι καὶ πρῶτον ἐκεῖνον διὰ τῆς θείας δυνάμεως ἐκ γῆς φῦναι[2]. Διὰ τοῦτο καὶ ὁ Λουκᾶς τὸν νομιζόμενον τοῦ Ἰωσὴφ υἱὸν γενεαλογῶν φησι τοῦ Ἀδὰμ ἐξάπτων καθ' ἕκαστον τῶν πατέρων τὴν ἀρχὴν τῆς γενέσεως[3]. Ὁ τοίνυν μὴ ἐκ τοῦ γένους τῶν ἀνθρώπων γενόμενος ἄλλο τι πάντως ἐστὶ καὶ οὐκ ἄνθρωπος. Ὁ οὖν μήτε ἄνθρωπος τῷ μηδὲν ἔχειν τοῦ ἀνθρωπίνου γένους μήτε Θεὸς τῷ μὴ εἶναι ἀσώματος, ἐκεῖνος ὁ ἔνσαρκος τοῦ λογογράφου Θεὸς τί ἂν εἴη, λεγέτωσαν οἱ τῆς ἀπάτης αὐτοῦ μαθηταὶ καὶ συνήγοροι· ἀλλ' ἐδέξαντο ἄν, φησίν, Ἕλληνες καὶ Ἰουδαῖοι, εἴπερ ἄνθρωπον ἔνθεον εἶναι τὸν τεχθέντα ἐλέγομεν, ὥσπερ Ἠλίαν. Καὶ τίς τῶν Ἑλλήνων τὰ κατὰ τὸν Ἠλίαν θαύματα ὡς ἀληθῆ παρεδέξατο; ὅτι πῦρ διχῇ τῷ σχήματι τυπωθέν, τὸ μὲν εἰς ἅρματος εἶδος τὸ δὲ εἰς ἵππων μορφήν, τὴν ἐναντίαν τῇ οἰκείᾳ φύσει κινεῖται φορὰν ἄνωθεν

---

1. Ἰω. 3,6. 2. Πρβλ. Γεν. 2,7. 3. Πρβλ. Λουκ. 3,38.

ἐπὶ τὸ κάτω φερόμενον· καὶ ὅτι μετάρσιος ἐπὶ τοῦ φλογίνου ἅρματος ἡνιοχῶν τὸ πῦρ ὁ ᾿Ηλίας ἀπαθὴς ἐν τῇ φλογὶ διασῴζεται τοῦ πυρὸς τὸ πῦρ ἕλκοντος τοῦ ἐν τοῖς ἵπποις τὸ ἐν τῷ ἅρματι;[1] εἰ γὰρ ταῦτά τις δέξαιτο καθ' ὃν δεῖ τρόπον, δι' αὐτῶν δὴ τούτων **170** τῶν λόγων πρὸς τὴν τοῦ μυστηρίου παραδοχὴν ἀναδειχθήσεται τυπικήν τινα προφητείαν περὶ τῆς τοῦ Κυρίου ἐνανθρωπήσεως ἐν τῷ διηγήματι βλέπων διὰ τῶν γεγονότων προτυπουμένην. ῾Ως γὰρ ἀνωφερὲς ὂν τῇ φύσει τὸ πῦρ θείᾳ δυνάμει πρόσγειον γίνεται, ὁ δὲ ᾿Ηλίας περισχεθεὶς τῷ οὐρανίῳ πυρὶ πάλιν πρὸς τὴν κατὰ φύσιν ἐπανατρέχοντι κίνησιν καὶ αὐτὸς συνεπαίρεται, οὕτως ἄυλός τις οὖσα καὶ ἀειδὴς ἡ τοῦ ῾Υψίστου δύναμις τὴν δουλικὴν μορφὴν τὴν διὰ τῆς Παρθένου ὑποστᾶσαν διαλαβοῦσα πρὸς τὸ ἴδιον ὕψος ἀνήγαγεν εἰς τὴν θείαν τε καὶ ἀκήρατον μεταστοιχειώσασα φύσιν· ὥστε ὁ πρὸς τοῦτο δυσπειθῶς ἔχων οὐδ' ἂν τῇ κατὰ τὸν ᾿Ηλίαν θαυματοποιΐᾳ προσθοῖτο· ὁ δὲ ἐν ἐκείνῳ προκαταμαθὼν σκιαγραφηθεῖσαν τὴν ἀλήθειαν οὐδ' ἂν πρὸς αὐτὴν τὴν ἀλήθειαν ἀντιτύπως ἔχοι.

Εἶτα ἐφ' ἡμᾶς στρέφει τὴν λοιδορίαν τοὺς μὴ παραδεχομένους αὐτοῦ τὸν ἀναπλασθέντα μῦθον καί **[1180]** φησιν· Οἱ δὲ ἐν σχήματι πίστεως ἄπιστοι τῷ ἐκ γυναικὸς τεχθέντι Θεῷ καὶ σταυρωθέντι πρὸς ᾿Ιουδαίων ὁμοίως ἐκείνοις ἐπαισχύνονται. Τὸ μὲν οὖν ἀραῖς κατὰ τῶν ὑπεναντίων κεχρῆσθαι, τίς οὐκ οἶδεν ὅτι τῶν ἀτονούντων ἐστὶ περὶ ἃ σπουδάζουσιν ἴδιον; ἡμεῖς δὲ τοσοῦτόν φαμεν, ὅτι δύο προκειμένων βαράθρων, ἔνθεν μὲν τοῦ κατὰ τὸν ᾿Απολινάριον, ἑτέρωθεν δὲ τοῦ κατὰ τὸν ῎Αρειον πτώματος, ἴσον μὲν καθ' ἑκάτερον τοῖς καταπίπτουσίν ἐστι τὸ σύντριμμα· πλὴν ἐν κακῶν ἐκλογῇ κουφότερον δοκεῖ τὸ κατὰ τὸν ῎Αρειον κλάσμα. ᾿Αμφότεροι μὲν γὰρ πρὸς τὸ ταπεινότερον τὴν ἀκήρατον τοῦ Μονογενοῦς φύσιν καθέλκουσιν· ἀλλ' ὁ μὲν ῎Αρειος τῇ ἀσωμάτῳ τῶν ἀγγέλων φύσει **171** προσοικειοῖ τὸν τῶν ἀγγέλων Δεσπότην κατὰ τὸ ἴσον ἠλαττῶσθαι τῆς τοῦ ἀκτίστου φύσεως καὶ τοῦτον κἀκείνους διὰ κτίσεως εἶναι ἀποφηνάμενος· οὗτος δὲ τοσοῦτον ἐπιτείνει τὴν ἀτοπίαν, ὥστε καὶ ἀνθρώπῳ τῷ παρ' ἀγγέλους ἠλαττωμένῳ[2] κρίνειν ὁμότιμον καὶ σαρκώδη εἶναι τὴν φύσιν αὐτοῦ διορίζεσθαι. ῞Οσῳ δὲ κρείττων τῶν σωμάτων ἡ ἀσώματος φύσις, τοσοῦτον ἡ κατὰ ῎Αρειον ἀσέβεια τῆς ᾿Απολιναρίου πλάνης αἱρετωτέρα. Τίς οὖν ἐν σχήματι πίστεως ἄπιστος ἑρμηνεύων τὸ ἐκ τῆς Παρθένου μυστήριον; προθήσω γὰρ τῷ κοινῷ τήν τε κωμῳδουμένην ἡμῶν παρὰ τοῦ λογογράφου πίστιν καὶ τὴν ἐκείνου ὑπόληψιν. ῾Ημεῖς γάρ φαμεν, ὅτι ἄυλός τε καὶ ἀειδὴς καὶ ἀσώματος[a] κατ' οὐσίαν

---

1. Πρβλ. Δ' Βασ. 2,11. 2. Πρβλ. ῾Εβρ. 2,7.

α. Πρβλ. Εὐσεβίου Καισαρείας, Εὐαγγελικὴ ἀπόδειξις Δ', XIII, ΒΕΠ 27, 156,41. PG 22,285D. Γρηγορίου Θεολόγου, Θεολογικὸς δεύτερος, ΒΕΠ 59, 223,2 ἑξ.

Θεὸς ὢν οἰκονομίᾳ τινὶ φιλανθρώπῳ πρὸς τῷ τέλει τῆς τοῦ παντὸς συμπληρώσεως ἤδη τῆς κακίας εἰς τὸ ἀκρότατον αὐξηθείσης, τότε ἐπὶ καθαιρέσει τῆς ἁμαρτίας τῇ ἀνθρωπίνῃ κατακιρνᾶται φύσει, οἷόν τις ἥλιος ἐν γνοφώδει σπηλαίῳ εἰσοικιζόμενος καὶ διὰ τοῦ φωτὸς ἐξαφανίζων τῇ παρουσίᾳ τὸ σκότος. Τὸν γὰρ ἡμέτερον ῥύπον εἰς ἑαυτὸν ἀναλαβὼν οὐκ αὐτὸς ἐμμολύνεται τῷ μιάσματι, ἀλλ' ἐν ἑαυτῷ καθαρίζει τὸν ῥύπον· τὸ γὰρ φῶς, φησίν, ἐν τῇ σκοτίᾳ ἔλαμψεν· ἡ δὲ σκοτία αὐτὸ οὐ κατέλαβεν[1]. Ὥσπερ καὶ ἐπὶ τῆς ἰατρείας γίνεται· ἐπαχθείσης γὰρ τῷ νοσήματι τῆς ἰάσεως εἰς ἀφανισμὸν μεταχωρεῖ τὸ ἀρρώστημα, οὐκ εἰς τὴν ἰατρικὴν τέχνην ἀντιμεθίσταται. Οὗτος ὁ ἡμέτερος λόγος. Ὁ δέ φησιν ἔνσαρκον εἶναι τὸ κατ' ἀρχὰς τὸν Θεὸν καὶ οὕτως ἐπ' ἐσχάτων ἡμερῶν τὸ τεχθὲν ἐκεῖνο τὸ ὁρατὸν καὶ ψηλαφητὸν σῶμα, τὸ διὰ τῆς ἀνθρωπίνης τροφῆς ταῖς κατ' ὀλίγον προσθήκαις αὐξανόμενον, ἐκεῖνο εἶναι ὃ πρὸ τῶν ὄντων ἁπάντων ἦν, **172 δ** καὶ τοὺς ἀνθρώπους ἐποίησε καὶ πᾶσαν κτίσιν ὁρατήν τε καὶ ἀόρατον, ὃ καὶ τοῦ κόπου αἰσθάνεται καὶ ἐν ἀδημονίᾳ θανάτου δέχεται πεῖραν. Οὐκ οἶδα πῶς ὁ σοφός, ὅτε μὲν οἱ οὐρανοὶ καὶ ἡ γῆ καὶ πάντα τὰ ἐν τῇ κτίσει συνίστατο θαύματα, κόπον οὐδένα προσμαρτυρῶν τῷ **[1181]** ποιήσαντι, ἵνα δὲ διέλθῃ ἀπὸ τῆς Ἰουδαίας ἐπὶ τὴν Γαλιλαίαν, ἐν κόπῳ αὐτὸν γεγενῆσθαι λέγων[2]· καὶ τοῖς μὲν Ἰσραηλίταις στρέφειν τὴν πέτραν εἰς λίμνας ὑδάτων[3], αὐτὸν δὲ πιεῖν αἰτεῖν παρὰ γυναικὸς Σαμαρείτιδος[4]· καὶ ἐν τεσσαράκοντα ἔτεσι μὴ κάμνειν τοσαύταις μυριάσι τὴν οὐρανίαν τροφὴν ἐπιχέοντα[5], αὐτὸν δὲ πρὸς τὴν συκῆν δραμεῖν ἐλπίδι βρώσεως τῆς μὴ οὔσης[6]. Τοιαύτης οὔσης παρ' ἑκατέροις τῆς τοῦ δόγματος ὑπολήψεως ὁ συνετὸς ἀκροατὴς ἐφ' ἑαυτοῦ κρινέτω τίς ὁ σχήματι πίστεως ἄπιστος.

Ἀλλά, φησί, λέγειν ἡμᾶς ὅτι ὁ σταυρωθεὶς οὐδὲν εἶχε θεϊκὸν ἐν τῇ ἑαυτοῦ φύσει οὐδὲ αὐτὸ τὸ κυριώτατον, ὅ ἐστι πνεῦμα. Πρὸς δὲ τὴν τοιαύτην συκοφαντίαν πρόχειρος ἡ ἐκ τῆς ἀρνήσεώς ἐστιν ἀπολογία. Εἰ γὰρ τὸ πνεῦμα νοῦν ὁ Ἀπολινάριος οἴεται, οὐδεὶς τῶν Χριστιανῶν λέγει τὸν ἀνακραθέντα τῷ Θεῷ ἄνθρωπον ἥμισυν εἶναι, ἀλλ' ὅλον προσφυῆναι τῇ θείᾳ δυνάμει. Πᾶσιν οὖν ἂν ἐθέλοι τις τὰ μέρη τοῦ ἀνθρώπου προσαγορεύειν ὀνόμασιν, εἴτε νοῦν εἴτε πνεῦμα εἴτε καρδίαν· λέγεται γὰρ παρὰ τῆς Γραφῆς ἐπὶ τοῦ ἡγεμονικοῦ τὰ τρία· τὸ «καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός»[7]· καὶ «ὁ νοήμων κυβέρ-

1. Πρβλ. Ἰω. 1,5. 2. Πρβλ. Ἰω. 4,6. 3. Πρβλ. Ἀριθ. 20,11. 4. Πρβλ. Ἰω. 4,7. 5. Πρβλ. Ἐξ. 16,35. 6. Πρβλ. Ματθ. 21,19. 7. Ψαλ. 50,12.

νησιν κτήσεται»[1]· καὶ οὐδεὶς οἶδε τὰ τοῦ ἀνθρώπου εἰ μὴ τὸ πνεῦμα τὸ ἐν αὐτῷ[2]. Οὔτε οὖν ἄπνους οὔτε ἄνους οὔτε ἀκάρδιος τῇ ἐπισκιάσει τῆς τοῦ Ὑψίστου δυνάμεως καὶ τῇ ἐπελεύσει τοῦ Ἁγίου Πνεύματος[3]. Οὐκοῦν οὐ πρὸς ἡμᾶς ἂν βλέποι ἡ λοιδορία ὡς τὸν ἄνθρωπον ἐκεῖνον οὐκ ἔχοντα ἐν ἑαυτῷ τὸ πνεῦμα, **173** ὅ ἐστιν ὁ νοῦς, γεγενῆσθαι λέγοντας, ἀλλὰ πρὸς αὐτὸν ἐκεῖνον τὸν τῆς λοιδορίας ἐργάτην τὸν τοῖς ἰδίοις ὀνείδεσιν ἡμᾶς βάλλοντα. Ὁ γὰρ πνεῦμα τὸν νοῦν ὀνομάζων, μὴ ἔχειν δὲ νοῦν τὸν κατὰ Χριστὸν ἄνθρωπον λέγων ἐκεῖνός ἐστιν ὁ μὴ ἔχειν πνεῦμα κατασκευάζων τὸν Κύριον. Ἀλλὰ τί τὸ ἐπαγόμενον ἔγκλημα; φησὶν ἐκεῖνος ἀδικεῖν ἡμᾶς τοῦτο λέγοντας, ὅτι ὑπὲρ τὴν ἑαυτοῦ φύσιν ὁ ἄνθρωπος ἔσχε τι μεῖζον ἕτερον, τὴν ἐν αὐτῷ κατοικοῦσαν θεότητα. Εἰ δὲ τοῦτο ἐν ἐγκλήμασι τίθεται, οὐ φεύγομεν τὴν κατηγορίαν τῷ Ἀποστόλῳ συνεκβαλλόμενοι. Παρ' αὐτοῦ γὰρ τὸ τοιοῦτον μαθόντες πιστεύομεν, ὅτι Θεοῦ μορφὴ κατὰ τὸ νοούμενον ὑπάρχων ἐν δούλου μορφῇ κατὰ τὸ φαινόμενον γίνεται[4]. Εἰ δὲ προτιμοτέρα ἡ θεία μορφὴ τοῦ δουλικοῦ προσώπου, οὐχ ὁμότιμον πάντως τῷ κρυπτῷ τὸ φαινόμενον. Οὐκοῦν τὸ κατὰ σάρκα βλεπόμενον καὶ τοῖς ἀνθρώποις συναναστρεφόμενον εἶχέ τι ἐν ἑαυτῷ ἑαυτοῦ τιμιώτερον, ὅπερ ὁ λογογράφος ἔγκλημα ποιεῖται κατὰ τῆς πίστεως. Ἀλλὰ καὶ ἐν αὐτῷ φησιν ὁ Ἀπόστολος κατοικεῖν πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς[5]· ὁ δὲ *ἐν αὐτῷ* εἰπὼν οὐ τὸ ἥμισυ τοῦ δηλουμένου ἐσήμανεν, ἀλλ' ὅλον τὸ ὑποκείμενον τῇ σημασίᾳ συμπεριέλαβεν. Εἰ οὖν ἀνθρώπινον σῶμα, ἐν ᾧ κατῴκησεν ἡ θεότης, σῶμα δὲ οὐκ ἄψυχον, ἴδιον δὲ τῆς ἀνθρωπίνης ψυχῆς **[1184]** τὸ νοερόν ἐστι μέρος —εἰ γὰρ τοῦτο χωρισθείη, καθὼς πολλάκις εἰρήκαμεν, κτηνῶδές ἐστι τὸ λειπόμενον— ἆρ' οὐχ ἡμῶν ὁ γεννάδας, ἀλλὰ τοῦ Ἀποστόλου ταῖς λοιδορίαις καθάπτεται· μᾶλλον δὲ καὶ τῆς μεγάλης τοῦ Ἰωάννου φωνῆς, ἥ φησιν ὅτι «ὁ Λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν»[6]. Οὐ γὰρ ἐν μέρει ἡμῶν, ἀλλὰ πάντα τὰ ἐν τῇ φύσει νοούμενα τῇ πληθυντικῇ φωνῇ συνεσήμανε καὶ τὸν Λόγον τῆς σαρκὸς πρότερον μὲν προδιέστειλεν, εἶθ' οὕτως εἰς ἕνωσιν **174** ἤγαγεν. Ἦν γὰρ ἐφ' ἑαυτοῦ ὁ Λόγος καὶ πρὸς τὸν Θεὸν ἦν[7]. Καὶ ὅπερ ὁ Θεὸς ἦν, τοῦτο καὶ ὁ Λόγος ἦν· Θεὸς γὰρ καὶ οὗτος ἦν. Ἀλλ' ὅτε εἰς τὰ ἴδια ἦλθε[8] καὶ ἐν τῇ σκοτίᾳ ἔλαμψε[9], τότε ὁ Λόγος σὰρξ ἐγένετο[10], τῇ ἑαυτοῦ δυνάμει ἐν τῇ Παρθένῳ σὰρξ γενόμενος. Οὐκοῦν φειδέσθω τῆς καθ' ἡμᾶς λοιδορίας, ὡς ἂν μὴ συμπεριλάβοι τοὺς ἁγίους διὰ τῆς ὕβρεως.

Τὰ δὲ διὰ μέσου παρείς, δι' ὧν ἀρνήσασθαι τὰ κατὰ τὸ μυστήριον οἴεται τοὺς μὴ τὰ αὐτὰ φρονοῦντας αὐτῷ, ἑνὸς τῶν ἐν τῇ καταφορᾷ

---

1. Παρμ. 1,5. 2. Πρβλ. Α' Κορ. 2,11. 3. Πρβλ. Λουκ. 1,35. 4. Πρβλ. Φιλιπ. 2,6-7. 5. Πρβλ. Κολ. 2,9. 6. Ἰω. 1,14. 7. Πρβλ. Ἰω. 1,1. 8. Πρβλ. Ἰω. 1,11. 9. Πρβλ. Ἰω. 1,5. 10. Πρβλ. Ἰω. 1,14.

πρὸς διαβολὴν ἡμετέραν εἰρημένων ἐπιμνησθήσομαι. Φησὶ γὰρ ἡμᾶς, εἰ μὴ ἐκεῖνο λέγομεν, μήτε προϋπάρχειν τῆς ἐν γῇ γεννήσεως μήτε πρὸ πάντων εἶναι λέγειν μήτε σύμφυλον εἶναι Θεοῦ. Ἀλλὰ τὸ μὲν προϋπάρχειν αὐτὸν τῆς γηΐνης αὐτοῦ γεννήσεως ὁμολογοῦμεν, εἴπερ ἐκ τῆς γηΐνης συστάσεως ἡ σὰρξ εἶναι οὐκ ἀμφιβάλλεται· τὸ δὲ σύμφυλον[α] εἶναι Θεοῦ, ἄπαγε, μηδεὶς οὕτως ἐν Χριστιανοῖς ταπεινά τε καὶ ἔκφυλα τῆς θείας μεγαλοπρεπείας ὀνοματοποιήσειε ῥήματα, ὥστε τὸν ὄντως ὄντα Θεὸν σύμφυλον Θεοῦ καὶ μὴ ἀληθινὸν ἀνακηρύσσειν Θεόν. Οὐδ' ἂν ὁ Εὐνόμιος τῆς τοιαύτης που φείσαιτο ἐπὶ Κυρίου φωνῆς. Εἴποι γὰρ ἂν καὶ ἐκεῖνος μὴ παραδεχόμενος αὐτοῦ τὸ ἀληθινὸν τῆς θεότητος, τὸ σύμφυλον αὐτὸν εἶναι Θεοῦ, καθὸ καὶ σύσσωμοι τοῦ Χριστοῦ καὶ συμμέτοχοι οἱ τὴν εἰς αὐτὸν πίστιν παραδεξάμενοι γίνονται[1], οὐκ ἐκεῖνο ὄντες, ὅπερ ἐστὶν ὁ Κύριος, ἀλλ' ἐκείνου μετέχοντες καὶ τῷ μετεχομένῳ συνονομαζόμενοι· ὥστε ὁ ταῦτα αἰτιώμενος μὴ λέγειν ἡμᾶς, ὅσα παρὰ τῶν εὐσεβούντων ὁμολογεῖται, τὸ εὐσεβές τε καὶ ἀνεπίληπτον τῷ καθ' ἡμᾶς λόγῳ προσεμαρτύρησεν. Εἶτα εἰς κατασκευὴν τοῦ εἶναι τὴν σάρκα θεότητα καὶ ταῦτα τοῖς εἰρημένοις προστίθησιν. Τίς γάρ, φησίν, ὁ ἅγιος ἐκ γεννητῆς; ὥσπερ οὐκ ἀνεγνωκὼς τὴν κατὰ τὸν Ἱερεμίαν Γραφήν, περὶ οὗ φησιν **175** ὅτι πρὶν ἐμὲ πλάσαι σε ἐκ κοιλίας ἡγίακά σε[2]. Οὐ γὰρ μόνον ἐκ γεννητῆς, ἀλλὰ καὶ πρὸ γενέσεως ἐκεῖνος παρὰ τῆς Γραφῆς μαρτυρεῖται ἅγιος. Ἀλλὰ καὶ **[1185]** ὁ ἐν τῇ γαστρὶ τῇ μητρῴᾳ σκιρτήσας, ὁ τοῦ ἀσπασμοῦ τῆς μητρὸς τοῦ Κυρίου τὴν φωνὴν ἐν ἀγαλλιάσει δεξάμενος[3], καὶ αὐτὸς ἂν εἴη ἐκ γεννητῆς ἅγιος, καθὼς ἡ τοῦ ἀγγέλου περὶ αὐτοῦ μηνύει φωνὴ λέγουσα· καὶ Πνεύματος Ἁγίου πλησθήσεται ἔτι ἐκ κοιλίας μητρός[4]. Ἀλλ' ἐπάγει καὶ τοῦτο τοῖς εἰρημένοις· τίς ἀδίδακτος σοφός; ἡμεῖς δὲ τὴν ἐκ τοῦ Θεοῦ σοφίαν, ἥτις ἐστὶν ὁ Χριστός, οὐχὶ διδακτὴν εἶναί φαμεν· τὴν δὲ ἑνωθεῖσαν τῇ θείᾳ σοφίᾳ τῆς σαρκὸς ἡμῶν μοῖραν ἐκ μετοχῆς δέξασθαι τὸ ἀγαθὸν τῆς σοφίας οὐκ ἀμφιβάλλομεν, πειθόμενοι τῷ Εὐαγγελίῳ οὑτωσὶ διεξιόντι ὅτι Ἰησοῦς δὲ προέκοπτεν ἡλικίᾳ καὶ σοφίᾳ καὶ χάριτι[5]. Ὥσπερ ἐν τῷ σώματι ἡ κατ' ὀλίγον προσθήκη τῇ τῆς τροφῆς συνεργίᾳ πρὸς τὸ τέλειον τῆς φύσεως πρόεισιν, οὕτως καὶ ἐν τῇ ψυχῇ ἡ ἐπὶ τὸ τέλειον τῆς φύσεως πρόεισιν, οὕτως καὶ ἐν τῇ ψυχῇ ἡ ἐπὶ τὸ τέλειον τῆς σοφίας πρόοδος δι' ἀσκήσεως τοῖς μετιοῦσι προστίθεται. Τίς, φησίν, ἐν ἐξουσίᾳ τὰ τοῦ Θεοῦ ἐργαζόμενος; πῶς κατασμικρύνει τοῖς βρεφικοῖς ἐπιχειρήμασι τὴν ἄφραστον τοῦ Κυρίου μεγαλειότητα; Τὸ γὰρ ἐν ἐξουσίᾳ τὰ τοῦ Θεοῦ ποιεῖν καὶ ἀν-

---

1. Πρβλ. Ἐφ. 3,6. 2. Πρβλ. Ἱερ. 1,5. 3. Πρβλ. Λουκ. 1,41. 4. Λουκ. 1,15. 5. Πρβλ. Λουκ. 2,52.

α. Πρβλ. Γρηγορίου Νύσσης, ἀνωτέρω σ. 231,7.

θρώπων ἐστὶ τῶν ἠξιωμένων θείας δυνάμεως, οἷος ἦν ὁ Ἠλίας κατ' ἐξουσίαν ἀνιείς τε καὶ ἀποκλείων τοῖς ἀνθρώποις τὸν ὄμβρον πῦρ ἐπάγων τοῖς ὑπεναντίοις[1], γεωργῶν ἐν τῷ κεράμῳ τὸ ἄλευρον καὶ βρύειν ποιῶν ἐν τῷ καμψάκῃ τὸ ἔλαιον[2] καὶ διὰ προσφυσήματος τῷ ἀψύχῳ ζωὴν χαριζόμενος καὶ ὅσα ἄλλα περὶ αὐτοῦ ὁ λόγος κατέχει, ὥστε οὐδὲν ὑπὲρ ἄνθρωπον τὸ ἐν ἐξουσίᾳ τοῦ Θεοῦ ποιεῖν τι τῶν θαυμάτων ἐκ θείας δυνάμεως, ἀλλὰ τὸ αὐτὸν εἶναι τὴν ὑπερέχουσαν δύναμιν. Ὅπερ δὴ καὶ παρ' ἡμῶν καὶ παρὰ πάντων τῶν ἐν ἀληθείᾳ δεξαμένων τὸν λόγον πεπίστευται.

176 Τὴν δὲ ἀδιανοήτως αὐτοῦ προστεθεῖσαν τοῖς εἰρημένοις διαίρεσιν ὡς οὐ πρέπον ἡμῖν ὂν τὸ κατὰ σπουδὴν διελέγχειν ταῖς ἐννοίαις τῶν ἐπιστημόνων παρήσομεν. Τί γὰρ βούλεται αὐτῷ τὸ διαιρῶν μὲν τὴν ἐνέργειαν κατὰ σάρκα, ἐξισῶν δὲ κατὰ πνεῦμα, ὅπερ ἐπήγαγε τῇ Εὐαγγελικῇ φωνῇ τῇ λεγούσῃ ὅτι «ὁ Πατήρ μου ἕως ἄρτι ἐργάζεται κἀγὼ ἐργάζομαι»[3]; Εἴ τις ἔχει δύναμιν πρὸς τὴν τῶν ἀνοήτων συνηγορίαν, συνιστάσθω τῷ λόγῳ καὶ λεγέτω, τί νοῶν ἐπάγει τοῖς εἰρημένοις πάλιν τὸ ὅμοιον οὑτωσὶ κατὰ τὴν λέξιν ἔχον· ὅπερ ἔχει, φησί, τὴν ἐν δυνάμει πάλιν ἰσότητα καὶ τὴν κατὰ σάρκα τῆς ἐνεργείας διαίρεσιν, καθ' ἥν, φησίν, οὐ πάντας ἐζωοποίησεν, ἀλλά τινας, οὓς ἠθέλησεν. Ἡμεῖς γὰρ τὴν ἁπλῆν τε καὶ ἀκατάσκευον ἐξειληφότες τῆς θείας Γραφῆς διάνοιαν οὕτω περὶ τῶν εἰρημέ**[1188]**νων γινώσκομεν· ὅταν τοῦ Κυρίου διεξιόντος ἀκούσωμεν ὅτι «ὁ Πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ»[4] καὶ «ὁ Υἱὸς οὓς θέλει ζωοποιεῖ»[5], οὐχ ὥς τινων ἀποβαλλομένων τοῦ ζωοποιοῦ θελήματος ἐκ τούτου νοοῦμεν. Ἀλλ' ἐπειδὴ πάντα τὰ τοῦ Πατρὸς τοῦ Υἱοῦ εἶναι καὶ ἠκούσαμεν καὶ πιστεύομεν, δῆλον ὅτι καὶ τὸ θέλημα τοῦ Πατρὸς ὡς ἓν τῶν πάντων ἐν τῷ Υἱῷ καθορῶμεν. Εἰ οὖν ἐν τῷ Υἱῷ τὸ πατρικόν ἐστι θέλημα, ὁ δὲ Πατήρ, καθώς φησιν ὁ Ἀπόστολος, πάντας θέλει σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν[6], δηλαδὴ ὁ πάντα τὰ τοῦ Πατρὸς κεκτημένος καὶ ὅλον ἔχων ἐν ἑαυτῷ τὸν Πατέρα ὅλον ἔχει πάντως ἐν ἑαυτῷ μετὰ τῶν ἄλλων τῶν τοῦ Πατρὸς ἀγαθῶν καὶ τὸ σωτήριον θέλημα. Εἰ οὖν οὐκ ἀπολείπεται τοῦ τελείου θελήματος, πάντως δῆλον ὅτι οὓς ὁ Πατὴρ θέλει ζωοποιηθῆναι καὶ αὐτὸς ζωοποιεῖ, οὐκ ἐλαττούμενος ἐν τῷ φιλανθρώπῳ θελήματι, καθώς φησιν ὁ Ἀπολινάριος, ὅτι τινὰς ἠθέλησεν, οὐ πάντας **177** ζωοποιηθῆναι. Οὐ γὰρ παρὰ τὴν τοῦ κυριακοῦ θελήματος αἰτίαν οἱ μὲν σῴζονται οἱ δὲ ἀπόλλυνται (ἢ οὕτω γ' ἂν εἰς ἐκεῖνον ἐπανίοι ἡ τῶν ἀπολλυμένων αἰτία), ἀλλὰ παρὰ τὴν προαίρεσιν τῶν δεχομένων τὸν λόγον, συμβαίνει τὸ σῴζεσθαί τινας ἢ ἀπόλ-

1. Πρβλ. Δ' Βασ. 1,10. 2. Πρβλ. Γ' Βασ. 17,14. 3. Ἰω. 5,17. 4. Ἰω. 5,21. 5. Ἔνθ' ἀν. 6. Πρβλ. Α' Τιμ. 2,4.

λυσθαι. Ὁ δὲ προστίθησι ταῖς κατασκευαῖς ὅτι οὐδεὶς κατ' ἐξουσίαν ἀπέθανε καὶ ἀνέστη. Καὶ τοῦτο εἰπὼν ἐπάγει τὴν τοῦ Εὐαγγελίου φωνήν, τὸ οὐδεὶς αἴρει τὴν ψυχήν μου ἀπ' ἐμοῦ· ἐξουσίαν ἔχω θεῖναι αὐτὴν καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν[1]. Ποίαν ψυχήν, λογικὴν ἢ ἄλογον; Εἴποιμι ἂν πρὸς τοὺς τὴν ἀνόητον ψυχὴν τῷ Θεῷ συνορίζοντας. Εἰ ἄλογόν φασι, κτῆνος ἐροῦσιν εἶναι περὶ τὸν Χριστὸν καὶ οὐκ ἄνθρωπον· εἰ δὲ λογικήν, τί ἄλλο παρὰ τὸν λόγον τὴν διάνοιαν οἴονται; Οὐ γὰρ φωνὴ ἄσημος ὁ λόγος ἐστίν, ἀλλὰ νοήματος κίνησις ἀρχὴ καὶ ὑπόθεσις τοῦ λόγου γίνεται. Οὐκοῦν ὁ λογικὴν ψυχὴν εἰπὼν καὶ διανοητικὴν ὡμολόγησεν· εἰ δὲ διάνοια νοῦ κίνησίς ἐστι καὶ ἐνέργεια, πῶς ἂν ὁ νοῦς μὴ παρὼν ἐνεργήσειεν, εἴπερ ἀμέτοχον τοῦ νοῦ τὴν τοῦ Κυρίου ψυχὴν διορίζοιτο; Ὥστε εἰ ψυχὴν ἔχει ὁ Κύριος, ἣν κατ' ἐξουσίαν καὶ λαμβάνει καὶ ἀποτίθεται, ψυχὴν δὲ οὐ κτηνώδη καὶ ἄλογον, ἀλλὰ τοῦ ἀνθρωπίνου συγκρίματος, ὁμολογεῖται πάντως ἐν τῷ ἀνθρωπίνην προσειληφέναι καὶ διανοητικὴν εἶναι.

[1189] Ταῦτα εἰπὼν ὅσα περὶ τοῦ κόκκου φησὶ τοῦ ἀποθνήσκοντος καὶ οὕτω μετὰ πλεόνων κόκκων ἀναβλαστάνοντος[2], ἐπειδὴ πρὸς ἡμῶν ἐστι καὶ τὸν ἡμέτερον βεβαιοῖ λόγον, ἑκὼν ὑπερβήσομαι. Τίς γὰρ ὁ ἀποθνήσκων κόκκος καὶ τῷ ἰδίῳ τῆς ἀναστάσεως στάχυϊ σωρείαν κόκκων ἐν ἑαυτῷ συνεγείρων; οὐκ οἶμαί τινα τοσοῦτον τῶν θείων δογμάτων εἶναι ἀμύητον, ὡς μὴ περὶ τὸν ἄνθρωπον τὸ κατὰ τὸ πάθος βλέπειν μυστήριον. Ἀπόδειξις δὲ τοῦ λόγου τὸ καὶ ἡμᾶς **178**
συναποθνήσκειν αὐτῷ καὶ συνθάπτεσθαι καὶ συνεγείρεσθαι[3]. Πρὸς γὰρ τὸ ὁμογενὲς ῥᾳδία γίνεται τοῖς βουλομένοις ἡ μίμησις, τοῦ δὲ ὑπερβεβηκότος ἡ ὁμοίωσις ἄπορος· ὥστε εἰ μὲν σάρξ ἐστιν ἡ ὑποστᾶσα τὸν θάνατον, καὶ ἡμᾶς τοὺς ἐν σαρκὶ ζῶντας εὐκολώτερον ἂν εἴη μιμήσασθαι τῷ θανάτῳ τὸν θάνατον· εἰ δὲ θεότης τέθνηκε, πῶς συντεθνηξόμεθα οἱ ἐν σαρκὶ τῇ θεότητι; Σαρκὶ σὰρξ συναποθνήσκει καὶ συνεγείρεται· θεότητος δὲ τοῦτο παθούσης, καθὼς Ἀπολινάριος βούλεται, ἄλλας θεότητας ἐπιζητεῖν προσήκει, αἳ συντεθνήξονται καὶ συναναστήσονται τῇ θεότητι· ὥσπερ γὰρ Χριστὸς ἀπέθανε καὶ ἀνέστη, οὕτως καὶ ἡμεῖς[4], φησὶν ὁ Ἀπόστολος. Τί ὄντες ἡμεῖς κατὰ τὴν ἑαυτῶν φύσιν; θεία δύναμις ἢ αἷμα καὶ σάρξ, καθώς φησιν ἡ Γραφή; Διὸ κεκοινώνηκεν ἡμῖν ἡμῶν ἕνεκεν σαρκὸς καὶ αἵματος[5] ὁ δι' ἡμᾶς καθ' ἡμᾶς γενόμενος. Οὐκοῦν ὅπερ ἡμεῖς ἐσμεν κατ' οὐσίαν, καὶ ὁ ὑπὲρ ἡμῶν ἀποθανὼν ἦν, οὗ πρόκειται τοῖς ὁμογενέσιν ἡ μίμησις. Ἀπόδειξις δὲ τῆς ἀσεβείας τοῦ λόγου τοῦ θνητὴν ἀποδεικνύντος τὴν θεότητα αὐτὸ τὸ ἐν ἡμῖν αὐτοῖς γινόμενον. Ἐν γὰρ τῷ κοινῷ τῶν ἀνθρώπων θανάτῳ τί τὸ ἀποθνῆσκόν ἐστι καὶ φθειρόμενον; οὐχὶ

---

1. Πρβλ. Ἰω. 10,18. 2. Πρβλ. Ἰω. 12,24. 3. Πρβλ. Κολ. 2,12. 3,1. Β' Τιμ. 2,11. 4. Πρβλ. Α' Θεσ. 4,14. 5. Πρβλ. Ἑβρ. 2,14.

σὰρξ μὲν εἰς τὴν γῆν ἀναλύεται, ὁ δὲ νοῦς τῇ ψυχῇ παραμένει οὐδ' ἐν τῇ μεταστάσει τοῦ σώματος πρὸς τὸ εἶναι βλαπτόμενος; Τεκμήριον δὲ ὅτι μέμνηται τῶν ὑπὲρ γῆς ὁ πλούσιος καὶ δεῖται τοῦ Ἀβραὰμ περὶ τῶν κατὰ τὸ γένος συνημμένων αὐτῷ[1]. Τοῦτο δὲ οὐκ ἄν τις ἀνοίας εἴποι, τὸ ἐπειδὴ τὸ καθ' ἑαυτὸν ἄφυκτον ἔγνω, πρόνοιάν τινα τῶν ἐπιτηδείων ποιήσασθαι. Εἰ τοίνυν ὁ ἡμέτερος νοῦς διαμένει καὶ μετὰ θάνατον ἀπαθής τε καὶ ἀναλλοίωτος, πῶς εἰκὸς τὸν τριτημόριον ἐκεῖνον τοῦ Ἀπολιναρίου Θεὸν τὸν σαρκώδη θάνατον ὑπομεῖναι; πῶς ἀποθανόντα ἢ τίνα τρόπον παθόντα τὴν τοῦ **179** θανάτου διάλυσιν; οὐδενὶ γὰρ τῶν πάντων τὸ τοιοῦτον ἄγνωστον, ὅτι θάνατός ἐστι ψυχῆς καὶ σώματος ἡ ἀπ' ἀλλήλων διάζευξις, αὐτὴ δὲ ἡ ψυχὴ καὶ ἡ διάνοια πῶς ἀφ' ἑαυτῆς μερίζεται, ἵνα καὶ ἐν ἑαυτῇ τὸν θάνατον δέξηται; Εἰ οὖν ἀνεπίδεκτος ἡ ἡμετέρα ψυχὴ τοῦ θανάτου, πῶς δέχεται θάνατον, εἰπάτωσαν οἱ εἰς μοῖραν τὸν Χριστὸν κερματίζοντες.

[1192] Ἀλλὰ ταράσσονται, φησί, τὴν τῶν ἀπίστων ταραχήν. Καθ' ἡμῶν χρῆται τῇ λοιδορίᾳ ταρασσομένους καὶ ἀπίστους ἀποκαλῶν τοὺς τῇ Εὐαγγελικῇ φωνῇ ἀνεξετάστως προσέχοντας, ἥ φησιν εἰ δυνατόν, παρελθέτω τὸ ποτήριον τοῦτο ἀπ' ἐμοῦ· πλὴν μὴ τὸ ἐμόν, ἀλλὰ τὸ σὸν γενέσθω θέλημα[2]. Τούτοις δὲ προστίθησι τὴν ἰδίαν λέξιν ἔχουσαν οὕτως· καὶ οὐ μνημονεύουσι, φησίν, ὅτι τὸ θέλημα τοῦτο ἴδιον εἴρηται οὐκ ἀνθρώπου τοῦ ἐκ γῆς, καθὼς αὐτοὶ νομίζουσιν, ἀλλὰ τοῦ Θεοῦ τοῦ καταβάντος ἐξ οὐρανοῦ. Τί ἂν ἐξεύροι τις τοιοῦτον εἰπεῖν; οὐ λέγω τούτων τινὰ τῶν ἐπὶ αἱρέσει κατεγνωσμένων· ἀλλ' οὐδ' αὐτὸν οἶμαι τὸν ἀσεβείας τε καὶ τοῦ ψεύδους πατέρα εὑρεῖν τι τῶν εἰρημένων εἰς βλασφημίαν δεινότερον. Ἆρα οἶδεν ὁ λογογράφος ἃ φθέγγεται; Ὁ Θεὸς ἐξ οὐρανοῦ καταβὰς τὸ ἴδιον τῆς θεότητος θέλημα παραγράφεται καὶ οὐ βούλεται εἰς ἔργον ἐλθεῖν, ὅπερ βούλεται. Οὐκοῦν μεμέρισται τοῦ Υἱοῦ καὶ τοῦ Πατρὸς τὰ θελήματα. Καὶ πῶς ἂν εἴη κοινὸν ἐπ' ἀμφοτέρων τὸ θέλημα; πῶς δ' ἂν ἡ τῆς φύσεως ταυτότης τῇ διαφορᾷ τῶν θελημάτων ἐμφαίνοιτο; ἀνάγκη γὰρ πᾶσα σύνδρομον εἶναι τῇ φύσει τὴν βούλησιν, καθώς φησί που ὁ Κύριος· οὐ δύναται δένδρον καλὸν καρποὺς πονηροὺς ποιεῖν οὐδὲ δένδρον σαπρὸν καρποὺς ἀγαθοὺς ποιεῖν[3]· καρπὸς δ' ἂν εἴη φύσεως ἡ προαίρεσις, ὥστε ἀγαθῆς μὲν ἀγαθὴν εἶναι, κακῆς δὲ τοιαύτην. Εἰ οὖν διάφορος ἐπὶ Πατρὸς καὶ Υἱοῦ ὁ **180** καρπὸς τοῦ θελήματος, διάφορον ἐξ ἀνάγκης εἶναι καὶ τὴν ἑκατέρων φύσιν ὁμολογήσουσιν. Τί οὖν πολεμεῖται ὁ Ἄρειος; τί δὲ οὐκ αὐτομολοῦσι πρὸς τὸν Εὐνόμιον, ὃς διαιρῶν τοῦ Πατρός τε καὶ τοῦ Υἱοῦ τὴν φύσιν συνδιατέμνει τῇ φύσει τὴν βούλησιν καὶ διὰ τοῦτο

---

1. Πρβλ. Λουκ. 16,27. 2. Πρβλ. Ματθ. 26,39. Λουκ. 22,42. 3. Πρβλ. Ματθ. 7,18.

μάλιστα κατασκευάζει τὸ τῆς οὐσίας ἀλλότριον, τῷ ὑποβεβηκότι πρὸς τὸ προέχον συνδιασχίζων τὸν τῆς θεότητος λόγον;

Πάλιν δὲ τὸ παρ' αὐτοῦ ῥηθὲν ἀναλάβωμεν. Οὐ μνημονεύουσι, φησίν, ὅτι τὸ θέλημα τοῦτο ἴδιον εἴρηται, οὐκ ἀνθρώπου τοῦ ἐκ γῆς, καθὼς αὐτοὶ νομίζουσιν, ἀλλὰ Θεοῦ τοῦ καταβάντος ἐξ οὐρανοῦ. Ποῖον θέλημα φησὶν ὁ λογογράφος; Ὃ βούλεται δηλαδὴ μὴ γενέσθαι ὁ Κύριος λέγων πρὸς τὸν Πατέρα μὴ τὸ ἐμὸν θέλημα, ἀλλὰ τὸ σὸν γενέσθω. Ἆρα συνίησιν, οἵᾳ περιπέπτωκεν αὐτῷ ὁ λόγος ἐναντιότητι; Ἐγγίζει τὸ πάθος καὶ ὅσον οὔπω μέλλει ὁ προδότης ἐφίστασθαι μετὰ τοῦ πλήθους καὶ τότε γίνεται ἡ τοιαύτη εὐχή. Ὁ **[1193]** εὐχόμενος ἄνθρωπος ἢ Θεός, εἰ Θεὸν εἶναι τὸν εὐχόμενον οἴεται, ἴσην αὐτῷ πρὸς τοὺς ἀνθρώπους ἐνορᾷ τὴν ἀσθένειαν. Πῶς οὖν Θεὸς ὁ μηδὲν οἴκοθεν ἀγαθὸν ἔχων, ἀλλὰ τῆς ὑπερκειμένης συμμαχίας δεόμενος; εἶτα καὶ πῶς καταγινώσκει ἡ θεότης τοῦ ἰδίου θελήματος; ἀγαθὸν ἦν ἢ κακόν, ὃ ἠβούλετο; εἰ μὲν γὰρ ἀγαθόν, διὰ τί οὐκ εἰς πέρας ἄγεται ὃ ἠβούλετο; εἰ δὲ κακόν, τίς πρὸς τὸ κακὸν τῇ θεότητι ἡ οἰκείωσις; Ἀλλ' ὅπερ ἔφην, ὅτι οὐ συνίησιν εἰς τὸ ἐναντίον περιτρέπων τὸν λόγον. Εἰ γὰρ τοῦ μονογενοῦς ἐστι Θεοῦ ἡ φωνὴ ἡ λέγουσα μὴ τὸ ἐμὸν θέλημα γινέσθω, ἀλλὰ τὸ σόν[1], αὐτὸς ὁ λόγος περὶ ἑαυτὸν ἀεὶ διά τινος ἐναντιότητος στρέφεται καὶ οὐδαμοῦ τὸ στά**181**σιμον ἔχει. Ὁ γὰρ μὴ βουλόμενος τὸ ἴδιον θέλημα γενέσθαι, αὐτὸ τοῦτο βούλεται πάντως, τὸ μὴ γενέσθαι ὃ βούλεται. Πῶς οὖν ἡ εὐχὴ πρὸς πέρας ἀχθήσεται λέγοντος, ὅτι τοῦτο θέλω, ἵνα ὃ θέλω μὴ γένηται; πρὸς τοὐναντίον πάντως τοῦ σπουδαζομένου περιτραπήσεται καὶ ἀμηχανήσει καθ' ἑκάτερον ὁ τῆς τοιαύτης ἐπαΐων εὐχῆς. Ὅπερ γὰρ ἂν ποιήσῃ, πρὸς τὸ ἀβούλητον τῷ εὐχομένῳ περιτρέπει τὴν ἔκβασιν. Ποιήσει τὸ θέλημα τοῦ εὐχομένου; Ἀλλ' ἡ εὐχή ἐστι τὸ μὴ γενέσθαι ἃ βούλεται. Μὴ ποιήσῃ ὃ βούλεται; Ἀλλ' ὁ εὐχόμενος βούλεται γενέσθαι αὐτῷ, ὃ μὴ βούλεται· ὥστε κατὰ πάντα τρόπον πάντῃ μεταλαμβανόμενον ἀστατήσει τὸ νόημα αὐτὸ ἑαυτῷ μαχόμενον καὶ ὑφ' ἑαυτοῦ καθαιρούμενον. Τῆς δὲ τοιαύτης κατὰ τὸν λόγον ἀμηχανίας μία γένοιτο ἂν παραμυθία, ἡ ἀληθὴς τοῦ μυστηρίου ὁμολογία, ὅτι τὸ μὲν δειλιᾶν πρὸς τὸ πάθος τῆς ἀνθρωπίνης ἀσθενείας ἐστί, καθώς φησι καὶ ὁ Κύριος τὸ πνεῦμα πρόθυμον εἶναι λέγων, ἀσθενῆ δὲ τὴν σάρκα[2]· τὸ δὲ ἀνέχεσθαι τὸ ἐξ οἰκονομίας πάθος τῆς θείας ἐστὶ καὶ βουλῆς καὶ δυνάμεως. Ἐπειδὴ τοίνυν ἄλλο τὸ ἀνθρώπινον βούλημα καὶ τὸ θεῖον ἄλλο, φθέγγεται μὲν ὡς ἐκ τοῦ ἀνθρώπου τὸ τῇ ἀσθενείᾳ τῆς φύσεως πρόσφορον ὁ τὰ ἡμέτερα πάθη οἰκειωσάμενος· ἐπάγει δὲ τὴν δευτέραν φωνήν, τὸ ὑψηλόν τε καὶ θεοπρεπὲς βούλημα κυρωθῆναι παρὰ τὸ ἀνθρώπινον ὑπὲρ τῆς τῶν ἀνθρώπων **[1196]**

1. Πρβλ. Λουκ. 22,42. Ματθ. 26,40. 2. Πρβλ. Ματθ. 26,41.

σωτηρίας θέλων. Ὁ γὰρ εἰπὼν «μὴ τὸ ἐμὸν» τὸ ἀνθρώπινον τῷ λόγῳ ἐσήμανε· προσθεὶς δὲ τὸ «σὸν» ἔδειξε τὸ συναφὲς τῆς ἑαυτοῦ πρὸς τὸν Πατέρα θεότητος, ἧς οὐδεμία θελήματός ἐστι διαφορὰ διὰ τὴν κοινωνίαν τῆς φύσεως· τὸ γὰρ τοῦ Πατρὸς εἰπὼν θέλημα καὶ τὸ τοῦ Υἱοῦ ἐνεδείξατο. Τοῦτο δέ ἐστι τὸ πάντας ἀνθρώπους θέλειν σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν[1]· ὅπερ οὐκ ἦν **182** ἄλλως γενέσθαι μὴ τοῦ θανάτου καταποθέντος τοῦ πρὸς τὴν ζωὴν ἐμποδίζοντος. Τὰ δὲ ταπεινὰ τῆς ἀνθρωπίνης δειλίας καὶ ῥήματα καὶ πάθος οἰκειοῦται ὁ Κύριος, δεικνὺς ὅτι ἀληθῶς ἦν περὶ αὐτὸν τὸ ἡμέτερον, ἐκ τῆς τῶν παθημάτων κοινωνίας τὴν φύσιν πιστούμενος.

Ἀλλ' οὐκ ἦν, φησὶν ὁ Ἀπολινάριος, ἀνθρώπου τοῦ ἐκ γῆς, ὡς αὐτοὶ νομίζουσιν, ἀλλὰ Θεοῦ τοῦ καταβάντος ἐξ οὐρανοῦ τὸ εἰς ἕνωσιν αὐτοῦ προσειλημμένον. Ἐν τούτοις δὲ τὸ μὲν ἄτονόν τε καὶ ἀσήμαντον τῆς ἑρμηνείας παράγει τῆς κατὰ τὸν νοῦν ἀκολουθίας τὸ τοῖς γεγραμμένοις ἑπόμενον, πλὴν οὐ παντελῶς ἀποκέκρυπται ἡ διάνοια τῇ συγχύσει τῆς λέξεως. Οὐκ ἀνθρώπου, φησί, τοῦ ἐκ γῆς εἰσιν αἱ περιπαθεῖς ἐκεῖναι φωναί, ἀλλὰ Θεοῦ τοῦ καταβάντος ἐξ οὐρανοῦ. Μέχρι τούτου δῆλον ἐκ τῶν εἰρημένων τὸ βούλημα, ὅτι τὴν θεότητα ἐμπαθῆ εἶναι κατασκευάζει. Εἶτα συγχεῖ τῇ ἀτοπίᾳ τῆς λέξεως τὴν διάνοιαν. Εἰπὼν γὰρ ὅτι Θεοῦ τοῦ καταβάντος ἐξ οὐρανῶν προστίθησι τὸ εἰς ἕνωσιν αὐτοῦ προσειλημμένον, ὡς ἄν τις ἐπὶ τὸ σαφέστερον μεταβαλὼν τὸν λόγον εἴποι, ὅτι οὐκ ἄνθρωπος ἦν ὁ λαλῶν, ἀλλὰ Θεὸς διὰ τοῦ ἀνθρώπου ἐφθέγγετο ὁ εἰς τὴν ἑαυτοῦ ἕνωσιν προσλαβὼν τὸ φαινόμενον. Πόθεν οὖν προσελήφθη ἐκεῖνος ὁ ἄνθρωπος; ἐκ γῆς; Οὔ φησιν. Ἐν οὐρανοῖς δὲ γένος ἀνθρώπων οὐκ ἔστι· Λείπεται τὸ μηδαμόθεν λέγειν, ᾧ συγκατασκευάζεται τὸ δόκησιν τὸ φαινόμενον εἶναι καὶ οὐκ ἀλήθειαν· τὸ γὰρ μηδαμόθεν ὂν οὐδὲ ἔστιν ὅλως. Ἀλλ' ἐξ ὧν παρέθετο λόγων, ἐξ οὐρανοῦ καταβεβηκέναι τὸν ἄνθρωπον λέγει. Καὶ μὴν ἐπὶ γῆς ἡ Μαρία καὶ ἐν γῇ τὸ σπήλαιον καὶ γηΐνη ἡ φάτνη. Καὶ πῶς ἡμῖν οὗτος οὐρανόθεν ἄνθρωπον ἐπὶ τὴν γῆν μετοικίζει; Πάσης γὰρ ὁμολογούσης ⟨τῆς⟩ Γραφῆς τὴν Παρθένον, τὸν τόκον, τὴν σάρκα, **183** τὰ σπάργανα, τὴν θηλήν, τὴν φάτνην, τὴν ἀνθρωπίνην διασκευήν, οὗτος πάντα καταλιπὼν ἕτερον ἄνθρωπον ἄρριζον καὶ ἀσυναφῆ πρὸς τὴν ἡμετέραν φύσιν ἀναπλάσσει τῷ λόγῳ.

Ἀλλ' ὅσας διὰ μέσου λοιδορίας τοῖς λόγοις συμπλέκων διὰ τούτων οἴεται κρατύνειν τὴν ἀτοπίαν τοῦ **[1197]** δόγματος, δι' ὧν ἂν σφοδρότερον ἡμῶν ταῖς βλασφημίαις καθικνῆται, παριδεῖν οἶμαι χρῆναι τόν γε νοῦν ἔχοντα καὶ τῇ ἀκοῇ τῶν ἐντυγχανόντων ἐπιτρέψαι τὴν κρίσιν, τίνες οἱ παραχαράκται τῆς ἀποστολικῆς εἰσι πίστεως,

---

1. Πρβλ. Α' Τιμ. 2,4.

ἡμεῖς οἱ κατὰ τὴν τοῦ Παύλου φωνὴν γνόντες μὲν κατὰ σάρκα Χριστὸν νῦν δὲ οὐκ ἔτι γινώσκοντες[1] ἢ ὁ πάντοτε καὶ πρὸ τῆς κατὰ ἄνθρωπον οἰκονομίας καὶ μετὰ τοῦτο τὸν σάρκινον ἑαυτοῦ Θεὸν περιφέρων τῷ λόγῳ. Προστίθησι δὲ τὴν παρὰ τῶν Ἰουδαίων γεγενημένην κατ' αὐτοῦ βλασφημίαν, τὸ φάγον αὐτὸν λέγεσθαι παρ' ἐκείνων καὶ οἰνοπότην[2], καί φησιν ἀναγκαῖα εἶναι ταῦτα ἐπὶ τοῦ ἀνθρώπου. Τίς οὖν ὁ ἄνθρωπος ὁ παρὰ τῶν Ἰουδαίων ἐπὶ τῇ βρώσει τε καὶ τῇ πόσει ὀνειδιζόμενος, μετέχων τούτων ἢ ἀμέτοχος ὤν; Ἀλλ' εἰ μὲν μὴ μετεῖχε, δόκησις ἦν· εἰ δὲ μετεῖχε, γήινον τὸ μετεχόμενον· τὸ δὲ οὐράνιον διὰ τῶν γηίνων οὐ τρέφεται. Ὢ τῆς τῶν ἀτόπων ἐναντιότητος! Πῶς ἐν τῷ αὐτῷ τοῖς ἐναντίοις καταβάλλεται πτώμασιν! Νῦν μὲν λέγει κρείττονα τῆς ἀνθρωπίνης φύσεως εἶναι τὸν σωματικῶς προφαινόμενον, πάλιν δὲ καὶ τῶν ἀνθρώπων καταδεέστερον δείκνυσιν, ἠκρωτηριασμένον τῷ κρείττονι. Τῶν γὰρ ἐν ἡμῖν τὸ ὑπερέχον ἐστὶν ἡ διάνοια, ἧς ἄμοιρον εἶναι τὴν σάρκα λέγει, ἐν ᾗ ὁ Θεὸς ἐφανερώθη[3]· καὶ τοῦτο σαφῶς διὰ τῶν ἐφεξῆς ἀγώνων κατασκευάζων, ἐφ' ὧν εἰ μή τις περιττὸν ἡγοῖτο τὴν ἐπιμελῆ τῶν ματαίων ἐξέτασιν, δι' ὀλίγων τοῖς εἰρημένοις ἐπιδραμούμεθα. Πάλιν γὰρ πλῆθος ὕβρεων ἐπαντλήσας τῇ συγγραφῇ τοιοῦτον καθ' **184** ἡμῶν λόγον προτείνεται, ἀδικεῖν λέγων τοὺς ταὐτὸν εἶναι φάσκοντας σαρκὸς ἕνωσιν καὶ ἀνθρώπου πρόσληψιν. Ἐγὼ δὲ κἂν ἀγροικότερον εἶναι δοκῇ τὸ λεγόμενον, οὐκ ἐπικρύψομαι τὴν ἀλήθειαν, ὅτι οὐθέτερον τῶν εἰρημένων ὁ καθ' ἡμᾶς ἰδιωτισμὸς δι' ἀκριβείας συνίστησιν. Τί γὰρ διαφέρει σαρκὸς ἕνωσις καὶ ἀνθρώπου πρόσληψις, οὑτωσὶ κατὰ τὸ πρόχειρον ἑρμηνεύειν οὐκ εὔπορον, διότι πολλαχῶς νοεῖται ἡ ἕνωσις καὶ ἀριθμῷ καὶ εἴδει καὶ φύσει καὶ ἐπιτηδεύμασι καὶ μαθήμασι καὶ τοῖς κατὰ κακίαν ἢ ἀρετὴν ἰδιώμασι καὶ ἐπιτηδεύμασιν. Τίς οὖν ἐστιν ἡ τῆς σαρκὸς ἕνωσις, εἴτε πρὸς ἑαυτὴν εἴτε πρὸς ἕτερον ἑνουμένης, τῶν ἑρμηνευόντων τὸν λόγον δεόμεθα. Ἥ τε τοῦ ἀνθρώπου πρόσληψις πῶς γίνεται, ποίου καὶ πόθεν καὶ πῶς καὶ παρὰ τίνος καὶ τίνα τρόπον προσειλημμένου, ἐπίσης τῷ προλαβόντι ἡμῖν ἐν τοῖς ἀγνοουμένοις ἐστίν. Ἕως γὰρ ἂν μὴ τῷ θείῳ τῆς Γραφῆς ἅλατι τὸν περὶ τοῦ μυστηρίου λόγον τις ἐπαρτύων προφέρῃ, τὸ μεμωραμένον τῆς ἔξω σοφίας ἅλας παρεῖσθαι παρὰ τῶν πιστῶν καταλείψομεν. Τίς τῶν εὐαγγελιστῶν σαρκὸς ἕνωσιν διηγήσατο; ποῖον δὲ τῶν ἀποστολικῶν διηγημάτων τὴν τοῦ ἀνθρώπου **[1200]** πρόσληψιν οὑτωσὶ κατὰ τὴν λέξιν ἐδίδαξε; τίς νόμος, ποῖοι προφῆται, τίς θεόπνευστος λόγος, ποῖον συνόδου δόγμα τοιοῦτόν τι ἡμῖν παρακατέθετο; ἐκ τούτων τοίνυν τῶν δύο ῥημάτων τὸ μὲν ἡμῖν προσνέμει, τὸ δὲ ἴδιον εἶναι λέγει· πότερον δὲ τούτων ἑαυτοῦ ποιεῖται, μέχρι τοῦ νῦν ἀμφιβάλ-

---

1. Πρβλ. Β' Κορ. 5,16. 2. Πρβλ. Ματθ. 11,19. 3. Πρβλ. Α' Τιμ. 3,16.

λομεν. Ἡμεῖς γὰρ ἢ οὐθέτερον οἰκειούμεθα ἢ ἀμφότερα διὰ τὸ μηδεμίαν ἐν θατέρῳ πρὸς τὸ ἕτερον διαφορὰν ἐξευρίσκειν. Ἥ τε γὰρ ἕνωσις πρός τι γίνεται ἥ τε πρόσληψις τινὸς πάντως ἐστίν· ἑκάτερον δὲ τὴν πρὸς ἕτερον σχέσιν ἀποσημαίνει καὶ ὁ προσλαβὼν ἥνωται τῷ προσληφθέντι καὶ τὸ ἑνωθὲν διὰ προσλήψεως ἥνωται.

185 Ἀλλ' ἡμᾶς, φησί, δύο πρόσωπα λέγειν, τὸν Θεὸν καὶ τὸν παρὰ τοῦ Θεοῦ προσληφθέντα ἄνθρωπον· αὐτὸν δέ, φησί, μὴ οὕτως ἔχειν, ἀλλὰ φάσκειν τὸν σαρκωθέντα καὶ ὄντα οὐχ ἕτερον παρὰ τὸν ἀσώματον, ἀλλὰ τὸν αὐτὸν καθ' ὁμοίωσιν ἡμετέρας τῆς ἐν σαρκὶ ζωῆς. Ἔτι διὰ τῶν ἀσυστάτων ἡμῖν τοὺς φληνάφους διέξεισιν. Ὁ σάρκινος αὐτοῦ Θεὸς ἁπλοῦς εἶναι φύσιν οὐκ ἔχει· οὐ γὰρ ἄν τις ἐν τῇ σαρκὶ τὸ ἁπλοῦν θεωρήσειε· τὸ δὲ μὴ ἁπλοῦν ἀσύνθετον εἶναι οὐ δύναται. Ἀλλ' οὗτος εἶναι τὸ ἕν, λέγει, ὡς καὶ ἡμῶν ἕκαστον, ἐκ πνεύματος, φησί, καὶ ψυχῆς καὶ σώματος. Νῦν πρώτως τὸ καινὸν εἶδος τοῦ ἀριθμοῦ ἐδιδάχθημεν, μαθόντες ὅτι τὰ εἰς τρία ἑτερογενῆ διῃρημένα μονάς ἐστιν. Ἀλλ' ὁ μὲν περὶ τοῦ ἀναπλασθέντος αὐτῷ πνεύματος ὑπερκείσθω λόγος· κατὰ δὲ τὴν παχυμερεστέραν τοῦ ἀνθρώπου τομήν, καθὼς οἱ πολλοὶ διαιρεῖν ἐδιδάχθημεν, ἐκ νοερᾶς ψυχῆς καὶ σώματος εἶναι τὴν τοῦ ἀνθρώπου σύστασιν ὁμολογοῦντες πῶς εἴπωμεν τὰ δύο ἕν, τοῦ Ἀποστόλου σαφῶς δύο ἀνθρώπους περὶ ἕκαστον βλέποντος, ἐν οἷς φησιν, «εἰ καὶ ὁ ἔξωθεν ἡμῶν ἄνθρωπος διαφθείρεται», τὸ σῶμα λέγων, «ἀλλ' ὁ ἔσωθεν ἀνακαινοῦται ἡμέρᾳ καὶ ἡμέρᾳ»[1], τὴν ψυχὴν αἰνισσόμενος. Καίτοι εἰ τρεῖς ἦσαν κατὰ τὸν Ἀπολινάριον ἄνθρωποι, δύο πάντως ἂν τοὺς ἀφανεῖς καὶ ἕνα ἐποίησε τὸν φαινόμενον, ὥστε κἂν ἐν τῷ καθ' ἡμᾶς ὑποδείγματι κρατύνῃ τὸν ἴδιον λόγον ἓν ὀνομάζων τὰ δύο, παραγράφεται αὐτὸν ὁ Παῦλος διαιρῶν τὸν ἄνθρωπον ἐν τῇ δυϊκῇ σημασίᾳ. Ἐπεὶ οὖν διὰ τοῦ ἀνθρωπίνου τὸν τοῦ δόγματος ἑαυτοῦ λόγον συνίστησι, τῇ τούτου ἀνατροπῇ κἀκεῖνο πάντως συναπελέγχεται· ὃ δὲ λέγει τοιοῦτόν ἐστι ὅτι ὥσπερ ἄνθρωπος εἷς ἐστιν ἐκ πνεύματος καὶ ψυχῆς καὶ σώματος. Ἐγὼ μὲν οὖν ἠξίουν τοῦτο πρότερον στῆσαι, ποίου σώματος καὶ πόθεν **186** εἰλημμένου καὶ πότε πλασθέντος καὶ ποδαπῆς ψυχῆς, ἢ λογικῆς ἢ ἀν-**[1201]**θρωπίνης ἢ ἀλόγου, τουτέστιν, εἰ κτηνείας εἶναι τὸν ἄνθρωπον ἐκεῖνον οἴεται, εἶθ' οὕτως ἐπεμβαλεῖν τὸ νοερόν, ὅπερ ἄλλο τι παρὰ τὸ πνεῦμα εἶναί φησιν, ἐπὶ μὲν ἡμῶν νοῦν, ἐπὶ ἐκείνου δὲ Θεὸν ὀνομάζων· εἰ γάρ τις οὐρανίου ἀνθρώπου πλάσις καθ' ὁμοιότητα τοῦ χοϊκοῦ παρ' αὐτοῦ πρότερον ἐπεδείχθη, προήχθημεν ἂν δι' ἀκολουθίας τῷ μύθῳ, μαθόντες παρὰ τῆς καινῆς ταύτης σοφίας, ὅτι τὸ μὲν

---

1. Β' Κορ. 4,16.

ἐπίγειον τῶν ἀνθρώπων φῦλον ἐκ νοερᾶς ψυχῆς καὶ σώματος τὴν σύστασιν ἔχει, γένος δέ τι ἔστιν ἐπουρανίων ἀνθρώπων, οἷς ἄλογος μὲν ἡ ψυχὴ σῶμα δὲ ἀνθρώπινον καὶ Θεὸς ἀντὶ νοῦ τῷ λόγῳ τοῦ σώματος καὶ τῆς ψυχῆς ἀνακιρνᾶται, ἐξ ὧν εἶναι τὸν ἐπὶ γῆς φανέντα Ἀπολινάριος οἴεται. Ἐκείνου δὲ μήτε ἀποδειχθέντος μήτε ὄντος, τοῦ δὲ διὰ τῆς Παρθένου γεννηθέντος ἀθετουμένου ὡς οὐδὲ τῆς ἡμετέρας μετασχόντος φύσεως, ἀλλότριον ἡγοῦμαι καὶ ἀνακόλουθον σῶμα μὲν ὀνομάζεσθαι τὸ μὴ σῶμα, ψυχὴν δὲ ἀνθρώπου τὴν μὴ ψυχήν. Εἰ γὰρ μὴ νοερὰν αὐτήν τις εἶναι ὁμολογοίη, οὐδὲ ἀνθρώπου αὐτὴν ὅλως συνθήσεται. Τούτων δὲ μὴ ὄντων τίνα καιρὸν ἔχει ἡ τριμερὴς ἐκείνη τοῦ ἀνθρώπου τομή, ἧς τὸ μὲν δίμοιρον ἄνθρωπος, Θεὸς δὲ τὸ τριτημόριον; Οὐ γὰρ ἄν, φησίν, ἐν ὁμοιώματι ἀνθρώπου γεγονὼς εἴη, εἰ μὴ τυγχάνοι καθάπερ ἄνθρωπος νοῦς ἔνσαρκος ὤν. Ἐγὼ δὲ εἰ μὲν ἐκεῖνος ὁ ἄνθρωπος ἄνους ἦν, ἐν ᾧ Θεὸς κατήλλαξε τὸν κόσμον ἑαυτῷ, εἰπεῖν οὐκ ἔχω· ὅτι δὲ ὁ ταῦτα γράφων ἔξω διανοίας ἦν, καθ' ὃν ἔγραφε ταῦτα χρόνον, κἂν ἐγὼ μὴ εἴπω, τὰ γεγραμμένα βοᾷ, πῶς γίνεται ἐν ὁμοιώματι ἀνθρώπου ὁ ἄλλο τι παρὰ τὸν ἄνθρωπον ὢν καὶ πάντη ⟨ἀμέτοχον⟩ τῆς ἡμετέρας φύσεως; Εἰ γὰρ νοερὰ ψυχὴ καὶ σῶμα τὸ ἀνθρώπινον σύγκριμα, μήτε δὲ τὸ σῶμα τοῦτο μήτε ἡ ψυχὴ ἐκείνη ἐν τῷ παρ' αὐτοῦ ἀναπλασθέντι ἐστί, πῶς **187** δέχεται τὴν ὁμοίωσιν τοῦ ἀνθρώπου τὸ τῆς ἡμετέρας ἔκφυλον φύσεως; ἀλλ' οὐκ ἄνθρωπον αὐτὸν εἶναί φησιν, ἀλλὰ καθάπερ ἄνθρωπον, νοῦν ἔνσαρκον ὄντα. Ταῦτά ἐστιν, ἅ με πείθει ἔξω διανοίας εἶναι τὸν γράφοντα. Πῶς ὁμοιοῦται τῇ φύσει τὸ μὴ μέτοχον τῆς φύσεως; τίς δέ ἐστιν ὁ ἔνσαρκος ἐκεῖνος νοῦς ὁ συμφυὴς τῆς σαρκὸς καὶ ἀχώριστος, ἀεὶ τοιοῦτος ὤν; οὐκοῦν καὶ ἐκ τοιούτου πάντως ἐστίν; Οὐ γὰρ ἂν εἴη γεννητὴ σάρξ, εἰ μὴ ἀπὸ σαρκὸς γένοιτο, καθώς φησί που ὁ Κύριος ὅτι «τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς σάρξ ἐστιν»[1]. ['Ἀλλ' ὕστερον γίνεται.] Ποίαν οὖν περιτιθέμενος σάρκα ἔνσαρκος γίνεται; τὴν οὖσαν; ⟨Ἀλλ' ὕστερον γίνεται. Τὴν μὴ οὖσαν;⟩ Ἀλλ' ἐκ τῆς αὐτῆς. [Τὴν μὴ οὖσαν;] Οὐκοῦν οὐ λέγεται ἔνσαρκος· οὐ γὰρ ἂν τῷ μὴ ὄντι ἐπονομάζοιτο.

[1204] Ἀλλ' ἴδωμεν τὰς ἀφύκτους αὐτοῦ τῶν συλλογισμῶν ἀνάγκας, δι' ὧν ἡμᾶς πρὸς συγκατάβασιν τοῦ ἔνσαρκον εἶναι νοῦν τὸν μονογενῆ Θεὸν συναναγκάζει. Εἰ μὴ νοῦς, φησίν, ἔνσαρκός ἐστιν ὁ Κύριος, σοφία ἂν εἴη. Ὢ τῆς ἀμάχου προτάσεως! Τὸ ἕτερον ἐξ ἀμφοτέρων οἴεσθαι πάντως εἶναι τὸν Κύριον, ἢ νοῦν ἔνσαρκον ἢ σοφίαν· διὰ τοῦτό φησιν ἐκεῖνο εἶναι, εἰ μὴ τοῦτό ἐστιν, ὅτ' ἂν μὴ νοῦς ἔνσαρκος ᾖ, πᾶν ὃ μή ἐστι νοῦς ἔνσαρκος, σοφία ἐστίν. Τί οὖν ὁ λίθος; τί δὲ ὁ κάνθαρος; τί δὲ τὰ λοιπὰ τῶν φαινομένων; Δώσει γὰρ ἐπὶ τούτων πάντως τῶν δύο τὸ ἕτερον, ἢ νοῦν αὐτὰ

1. Ἰω. 3,6.

ἔνσαρκον ἢ σοφίαν εἶναι· ἀλλὰ μὴν οὔτε νοῦς οὔτε σοφία τούτων ἐστὶν
οὐδέν. Διαπέπτωκεν ἄρα τῷ λογογράφῳ ἡ πρότασις καὶ διερρύη πᾶν
τὸ σκευώρημα τῇ τῆς ἀρχῆς διαλύσει συνδιαπεπτωκότος τοῦ λόγου.
Οὐδὲ γὰρ ἐδείχθη ταῦτα τὴν ἀντιδιαστολὴν πρὸς ἄλληλα ἔχοντα
ὥστε, εἰ τὸ ἕτερον τούτων εἴη, μὴ εἶναι τὸ ἕτερον ἢ τὸ ἔμπαλιν, εἰ τὸ
188 ἓν μὴ ὑπάρχοι, τὸ λειπόμενον ὑπάρχειν πάντως· ἀλλὰ κωλύει
οὐδὲν καὶ ἀμφότερα εἶναι κατὰ ταὐτὸν καὶ οὐθέτερον. Ἀλλὰ καὶ ἐκ
τοῦ ἀντιστρόφου τὸ τῆς προτάσεως ἀσύστατον ἴδωμεν. Εἰ γὰρ ὡς
ἀληθὲς προτείνεται τὸ εἰ μὴ νοῦς ἐστιν ἔνσαρκος, σοφία ἂν εἴη, ἀλη-
θὲς καὶ τὸ ἐκ τοῦ ἀντιστρόφου ἀναφαινόμενον ὅτι, εἰ σοφία ἐστί, νοῦς
ἔνσαρκος οὐκ ἔστιν. Ἀλλὰ μὴν σοφίαν εἶναι τὸν Χριστὸν πᾶς ὁ παρα-
δεξάμενος τὴν πίστιν συντίθεται· ἄρα κατὰ τὴν τοῦ σοφοῦ πρότασιν
τὸ μὴ εἶναι αὐτὸν νοῦν ἔνσαρκον ὁμολογεῖται ὥστε κατ' ἀμφότερα,
κατά τε τὸν πρῶτον καὶ τὸν δεύτερον καὶ κατὰ τὸν νῦν λόγον, αὐτὸς ὁ
λογογράφος, δι' ὧν κατασκευάζει ὃ βούλεται, τὸ μὴ εἶναι ἔνσαρκον
νοῦν τὸν Κύριον ἀποδείκνυσιν. Τοιαύτη ἡ πρότασις, τοιαύτη καὶ ἡ
διὰ μέσου κατασκευή.

Ἄξιον ἀμφοτέρων καὶ τὸ συμπέρασμα. Τί λέγει; Οὐκ ἦν
ἐπιδημία Θεοῦ ἡ Χριστοῦ παρουσία, ἀλλ' ἀν-
θρώπου γέννησις. Γελάτωσαν ἐπὶ τοῖς εἰρημένοις ὅσοι
ἀγέρωχοι· ἡμεῖς δὲ δακρύειν εὔκαιρον ἐπὶ τῇ ἀπάτῃ τῶν εἰρημένων
καὶ τῇ ματαιότητι κρίναντες ἐπὶ πλέον διελέγχειν τὸν λόγον, ὡς ἂν
μὴ γελοιάζειν δόξαιμεν, παραιτούμεθα. Τίς γὰρ οὐκ ἂν εἰκότως γελά-
σειεν ἐπὶ τῇ ἀσυναρτήτῳ τοῦ συλλογισμοῦ πλοκῇ; Ἐκθήσομαι δὲ τὴν
λέξιν αὐτὴν κατὰ τὸ ἀκόλουθον οὕτως ἔχουσαν· Εἰ μὴ νοῦς
ἔνσαρκός ἐστιν ὁ Κύριος, σοφία ἂν εἴη φωτί-
ζουσα νοῦν ἀνθρώπου· αὕτη δὲ τὸ ἐν πᾶσιν ἀν-
θρώποις. Εἰ δὲ ταῦτα, οὐκ ἦν ἐπιδημία Θεοῦ
ἡ Χριστοῦ παρουσία, ἀλλ' ἀνθρώπου γέννησις.
Τὸ μὲν οὖν σοφίαν εἶναι τὸν Κύριον **[1205]** ὑπερέχουσαν πάντα νοῦν
οὐδεὶς ἂν τῶν εὐσεβούντων ἀρνήσαιτο, ταῖς φωναῖς τῶν ἁγίων πα-
τέρων καὶ ἀποστόλων πρὸς ταῦτα χειραγωγούμενος. Καὶ γὰρ ὅτι
189 σοφία ἐγενήθη ἡμῖν παρὰ τοῦ Θεοῦ[1], διαρρήδην ὁ Παῦλος βοᾷ·
καὶ ὅτι ἐπεφάνη ἡμῖν ἡ σωτήριος χάρις, παιδεύουσα ἡμᾶς ἀρνήσασθαι
μὲν τὴν ἀσέβειαν, δι' ὁσιότητος δὲ καὶ δικαιοσύνης προσδέχεσθαι
τὴν μακαρίαν ἐλπίδα[2]. Καὶ ταῦτα τοῦ Ἀποστόλου διεξιόντος ἠκού-
σαμεν· νοῦν δὲ ἔνσαρκον τὸν μονογενῆ Θεόν, τὸν ἐπὶ πάντων καὶ διὰ
πάντων καὶ ἐν πᾶσιν, οὔτε ἠκούσαμεν τῶν ἁγίων τινὸς οὔτε παρεν-
θεῖναι ταῖς θείαις φωναῖς τὴν ἀλλόκοτον ταύτην καινοφωνίαν κατα-
δεχόμεθα καὶ μάλιστα πρὸς τὸν σκοπὸν ὁρῶντες τοῦ καινοῦ λογο-
γράφου, ὃς βούλεται διὰ τῆς ψυχρᾶς ταύτης κατασκευῆς τοῦ σοφί-

1. Πρβλ. Α' Κορ. 1,30. 2. Πρβλ. Τίτ. 2,11-13.

σματος ἐκβαλεῖν μὲν ἐπὶ τοῦ Κυρίου τὴν τῆς σοφίας ὁμολογίαν, δι' ἧς πάντα νοῦν φωτίζεσθαι πεπιστεύκαμεν, ἀντεισαχθῆναι δὲ τὴν παράλογον ταύτην καινοφωνίαν, ἵνα νοῦς ἔνσαρκος ὁ Μονογενὴς καὶ μὴ σοφία κατονομάζηται. Ἐὰν γὰρ σοφία, φησίν, πιστευθῇ εἶναι ὁ Κύριος, ἡ ἐν πᾶσι γινομένη δηλαδὴ τοῖς δεχομένοις τὴν χάριν, οὐκέτι ἐπιδημίαν Θεοῦ τὴν Χριστοῦ παρουσίαν ὁμολογήσομεν, ὡς ἠλλοτριωμένης τοῦ Θεοῦ τῆς σοφίας. Τίς οὐκ ἂν τὸν ἄνδρα τῆς μελαγχολίας ταύτης οἰκτείρειεν; Ἐὰν σοφίαν, φησίν, εἶναι πιστεύσωμεν, οὐκ ἔσται Θεοῦ ἐπιδημία ἡ Χριστοῦ παρουσία, ὃς ἐγεννήθη ἡμῖν σοφία ἀπὸ Θεοῦ[1], ἀλλὰ ἀνθρώπου γέννησις. Ἐὰν σοφία ᾖ; οὐκ ἤκουσας τοῦ προφήτου βοῶντος ὅτι ἡ παρθένος ἐν γαστρὶ λήψεται καὶ τέξεται υἱόν;[2] καὶ ὅτι «παιδίον ἐγεννήθη ἡμῖν»;[3] καὶ ὅτι Υἱὸς τὴν ἀρχὴν ἐπὶ τοῦ ὤμου ἔχει[4], ὡς ἰσχυρὸς καὶ δυνατὸς καὶ οὐ μόνον τοῦ παρελθόντος, ἀλλὰ καὶ τοῦ μέλλοντος αἰῶνος Πατήρ[5];

Ἀλλ' ἐάσωμεν τοῦτον τὸν ὀνειρώδη λῆρον, δι' οὗ ἀπε**190**φήνατο νοῦν ἔνσαρκον αὐτὸν δεῖν εἶναι λέγειν, μήτε σοφίαν φωτίζουσαν μήτε τὴν διὰ γεννήσεως εἰς τὴν ζωὴν ἡμῶν πάροδον. Ἕτερον ἐπιχείρημα· Εἰ μὴ νοῦς ἔνσαρκος, φησίν, γέγονεν ὁ Λόγος, ἀλλὰ σοφία. Ἐν ᾧ τί πάλιν παθὼν ὁ σοφὸς ἀντιδιαστέλλει τὸν νοῦν τῇ σοφίᾳ καθάπερ ἐπὶ τῶν ἀντιδιακειμένων; Οἱ δι' ἀκριβείας τὰ ὄντα διαιροῦντές φασι τὰ ἀντιδιαστελλόμενα τῶν ὀνομάτων τῆς ἀλλήλων ὑποχωρεῖν παρουσίας ὡς τῷ θανάτῳ τὴν ζωὴν καὶ τῇ ζωῇ πάλιν τὸν θάνατον, τῇ ἀρετῇ τὴν κακίαν κἀκείνῃ ταύτην καὶ ὅσα ἄλλα κατὰ τὸν αὐτὸν λέγεται τρόπον. Πῶς τοίνυν οὗτος κατὰ τὸ ἴσον **[1208]** τοῖς ἀντιθέτοις ἀντιδιαστέλλει τῷ νῷ τὴν σοφίαν ὥσπερ ἀμήχανον ἐν τῷ αὐτῷ καὶ περὶ τὸν αὐτὸν εἶναι τὰ δύο; διό φησιν· εἰ μὴ νοῦς ἔνσαρκος ἦν, σοφία ἦν· ὡς εἴ τις λέγοι, εἰ μὴ ὑγεία ἐστί, νόσον εἶναι. Τίς οὖν ἡ κατασκευή; Εἰ σοφία, φησίν, ἦν ἐν τῷ νῷ, οὐ κατέβη ὁ Κύριος οὐδὲ ἐκένωσεν ἑαυτόν. Ὦ τῆς ἀνανταγωνίστου ἀνάγκης! πῶς κατασκευάζει τὸ μὴ καταβεβηκέναι τὸν Κύριον ἐκ τοῦ δεῖξαι, ὅτι σοφία ἦν; Οὐκοῦν εἰ ἐκ τοῦ σοφίαν αὐτὸν εἶναι ἀθετεῖται ἡ κάθοδος, ὁ τὴν κατάβασιν ὁμολογῶν τὸ μὴ εἶναι σοφίαν ἐξ ἀνάγκης κατασκευάζει. Ἀλλὰ μὴν ὁμολογεῖται παρὰ τοῦ Ἀπολιναρίου κάθοδος. Ἄρα τὸ μὴ εἶναι σοφίαν τὸν κατεληλυθότα παρ' ἐκείνου συνωμολόγηται. Τοιαῦτα τοῦ γενναίου τὰ σοφὰ κατὰ τῆς ἀληθείας ἐπιχειρήματα. Εἶτα ἐπάγει διὰ τῆς ἀσυναρτήτου ἀκολουθίας τῇ προτάσει ταύτῃ τὴν ἐκ τῶν μὴ τεθέντων κατασκευήν, ἔχουσαν οὕτως· διὰ τοῦτο καὶ ἄνθρωπος ἦν· ἄνθρωπος γὰρ νοῦς ἐν σαρκὶ κατὰ τὸν Παῦλον. Παραι-

---

1. Πρβλ. Α' Κορ. 1,30. 2. Πρβλ. Ἡσ. 7,14. 3. Ἡσ. 9,5. 4. Πρβλ. ἔνθ' ἀν. 5. Πρβλ. Ἡσ. 9,6.

τοῦμαι δὲ τοὺς ἐντυγχάνοντας μὴ παρ' ἡμῶν οἴεσθαι κατά τινα παιδιὰν ἐπὶ γέλωτι τὰ τοιαῦτα, ὡς ἐκ προσώπου τοῦ 'Απολιναρίου συμπλάσσεσθαι· ἔξεστι γὰρ καὶ ἐξ αὐτῶν τῶν παρ' αὐτοῦ γεγραμμένων μαθεῖν, ὅτι κατὰ τὴν λέξιν ὁ **191** παρ' ἐκείνου προενήνεκται λόγος οὕτως ἔχων. Κατὰ ποῖον τοίνυν Παῦλον νοῦς ἔνσαρκος ἄνθρωπος λέγεται; εἰπάτω τίνα ἕτερον ἐν κρυπτῷ ἔχει Παῦλον; ὁ γὰρ δοῦλος 'Ιησοῦ Χριστοῦ ὁ κλητὸς 'Απόστολος ἐν πᾶσι τοῖς παρ' αὐτοῦ γεγραμμένοις τοιοῦτον εἶπεν οὐδέν. Εἰ οὖν μήτε ἡ ἀκολουθία μήτε ἡ μαρτυρία τὸν λόγον συνίστησι, πόθεν ἡ ἀλλόκοτος αὕτη δογματοποιία τὸ πιστὸν ἔχει; Πάλιν ἕτερον τοῖς εἰρημένοις ἐπάγει νόημα. 'Επειδὴ ἄνθρωπος φησίν, ἦν καὶ ἐπουράνιος, οὗτος ὁ χοϊκός. Πάλιν λέγω ἐπιλελῆσθαι τῆς Μαρίας, ᾗ εὐαγγελίζεται ὁ Γαβριήλ, ἐφ' ἣν ἐληλυθέναι τὸ Ἅγιον Πνεῦμα πιστεύεται, ᾗ ἐπισκιάζει τοῦ 'Υψίστου ἡ δύναμις, ἀφ' ἧς τίκτεται ὁ 'Ιησοῦς ὁ ἔχων τὴν ἀρχὴν ἐπὶ τοῦ ὤμου αὐτοῦ[1], τουτέστιν ὁ βαστάζων ἐφ' ἑαυτοῦ τὴν ἀρχήν. 'Αρχὴ δὲ πάντως ἐστὶν ὁ Θεὸς Λόγος ὁ ἐν ἀρχῇ ὢν καὶ ἀρχὴ ὤν, καθώς φησί που τῆς Γραφῆς ὁ λόγος, ὅτι ἐγώ εἰμι ἡ ἀρχή[2]. Ἢ τοίνυν δειξάτω μὴ ἐν γῇ τὴν Παρθένον ἢ ἄνθρωπον οὐράνιον μὴ πλασσέτω μηδὲ φοβείτω τοὺς ἀμαθεστέρους ὡς εἰς τὸ Θεῖον ἐξαμαρτάνοντας, ὡς τὸ ἀνθρώπινον παραδεξάμενοι μὴ συνομολογοῖεν τὸ Θεῖον. 'Η μὲν γὰρ ἐκ γυναικὸς γέννησις τὸ ἀνθρώπινον ἔχει, ἡ δὲ παρθενία ὑπηρετήσασα τῷ τόκῳ τὸ ὑπὲρ ἄνθρωπον ἔδειξεν. Ὥστε τὸ μὲν γεννηθὲν ἄνθρωπος, ἡ δὲ πρὸς τὴν γέννησιν δύναμις οὐκ ἐξ ἀνθρώπων, ἀλλὰ διὰ Πνεύματος 'Αγίου καὶ τῆς τοῦ 'Υψίστου δυνάμεως. Οὐκοῦν κατὰ τὸν ἀληθῆ λό- **[1209]**γον καὶ ἄνθρωπός ἐστι καὶ Θεός, τῷ ὁρωμένῳ ἄνθρωπος, τῷ νοουμένῳ Θεός. 'Ο δὲ οὐ τοῦτό φησιν, ἐν τῷ συμπεράσματι τῷ φαινομένῳ τὸ Θεῖον, οὐ τῷ νοητῷ ὁριζόμενος.

'Αλλὰ πρὸς τὸ ἐφεξῆς ἐπιχείρημα τῷ λόγῳ μετέλθωμεν. Εἰ μετὰ τοῦ Θεοῦ, φησί, νοῦ ὄντος, καὶ ἀνθρώπινος νοῦς ἦν ἐν Χριστῷ. Τοῦτο ἡ πρότασις. 'Ημεῖς δὲ τῷ εἰρημένῳ ἀντιπροτείνομεν· τίς τῶν ἁγίων νοῦν τὸ **192** Θεῖον ὡρίσατο; παρὰ ποίαις Γραφαῖς ταὐτὸν εἶναι τῷ νῷ τὸν Θεὸν ἐδιδάχθημεν, ὥστε παραδέξασθαι τὸ λεγόμενον, ὅτι ὁ μὲν κατὰ Χριστὸν ἄνθρωπος ἄνους, ὁ δὲ Θεὸς νοῦς τῷ ἀνοήτῳ γίνεται; Ἆρα χρὴ καὶ ὅλον τοῦ ἐπιχειρήματος τούτου καταγράψαι τὸν ὄνειδον. 'Αλλὰ δέδοικα, μὴ χλευασταί τινες τοῖς ἐντυγχάνουσι δόξωμεν ὡς ἐπὶ γέλωτι τὴν ἀσχημοσύνην τοῦ λογογράφου δημοσιεύοντες. Πλὴν ὡς ἂν μὴ ἀτελὴς μένοι ἡ πρότασις, τὸ συμπέρασμα μόνον ἐπαγαγεῖν δέον, τὸν διὰ μέσου συρφετὸν ὑπερβήσομαι. Εἰ μετὰ τοῦ Θεοῦ, φησί, νοῦ ὄντος, καὶ ἀνθρώπινος ἦν ἐν Χριστῷ νοῦς· οὐκ ἄρα ἐπιτελεῖται ἐν αὐτῷ τὸ τῆς σαρκώ-

---

1. Πρβλ. 'Ησ. 9,5. 2. Πρβλ. 'Αποκ. 1,8.

σεως ἔργον. Εἰ δὲ μὴ ἐπιτελεῖται τὸ τῆς σαρκώσεως ἔργον ἐν τῷ αὐτοκινήτῳ καὶ μὴ ἀναγκαστῷ νοΐ, ἐν τῇ ἑτεροκινήτῳ καὶ ὑπὸ τοῦ θείου νοῦ ἐνεργουμένῃ σαρκὶ τελεῖται τὸ ἔργον, ὅ ἐστι λύσις ἁμαρτίας· μεταλαμβάνει δὲ τῆς λύσεως ὁ ἐν ἡμῖν αὐτοκίνητος νοῦς, καθ' ὅσον οἰκειοῖ ἑαυτὸν Χριστῷ. Ὁρᾷς πῶς οἰκεῖα τῇ προτάσει τὰ συμπεράσματα; Τάχα δέ τινος ἐπαοιδοῦ καὶ γαζαρηνοῦ προσδεόμεθα πρὸς τὸ διακρῖναι ἡμῖν τὰ τῶν ἐνυπνίων αἰνίγματα, ὥστε εἰπεῖν τί σημαίνει ἡ τῶν ῥημάτων τούτων καινοφωνία· ὁ αὐτοκίνητος νοῦς καὶ ἑτεροκίνητος, σὰρξ ἡ ἐπιτελοῦσα τὸ ἔργον τῆς λύσεως. Ἀλλ' ἀφείσθω καὶ ταῦτα τῇ ἀγερωχίᾳ τῶν νέων καταχλευάζεσθαι, ἡμεῖς δὲ πρὸς τὰ ἐφεξῆς τοῦ λόγου προΐωμεν. Εἴ τι πλέον, φησίν, ἕτερος ἑτέρου κομίζεται, τοῦτο δι' ἄσκησιν γίνεται· οὐδεμία δὲ ἄσκησις ἐν Χριστῷ· οὐκ ἄρα νοῦς ἐστιν ἀνθρώπινος. Πῶς μέμνηται τῆς θεοπνεύστου Γραφῆς; ποία τοῦ Βεσελεὴλ[1] ἄσκησις τῶν τεχνῶν καθηγήσατο; **193** πόθεν δὲ τῷ Σολομῶντι τῶν τοσούτων ἡ γνῶσις; ὁ δὲ τὰ συκάμινα κνίζων Ἀμὼς πῶς ἐξ αἰπόλων τοσαύτην ἔσχεν ἐν προφητείᾳ τὴν δύναμιν;[2] καὶ ὅμως οὐδεὶς τῶν εἰρημένων, ἐξ οὐρανοῦ καταβέβηκεν, ⟨ὃς⟩ οὔτε ἐν ἀρχῇ ἦν οὔτε ἴσα Θεῷ ἦν.

[1212] Ἀλλὰ σιγάσθω καὶ τοῦτο τὸ ἐπιχείρημα μάλιστα διὰ τὸ προσφυὲς τοῦ προτεθέντος αὐτῷ συμπεράσματος οὕτως κατὰ τὴν λέξιν ἔχοντος· οὐκ ἄρα σῴζεται τὸ ἀνθρώπινον γένος δι' ἀναλήψεως νοῦ καὶ ὅλου ἀνθρώπου, ἀλλὰ διὰ προσλήψεως σαρκός. Τὸ μὲν συμπέρασμα τοῦτο· τὴν δὲ τῆς ἀναλήψεως καὶ προσλήψεως διαφορὰν ἑρμηνευόντων οἱ ταῖς γραμματικαῖς ψυχρολογίαις ἐμμελετήσαντες, ὥστε τῶν τοιούτων τοῦ λόγου μορίων, ἃ προθέσεις κατονομάζονται, τεχνολογεῖν ἐν μειρακίοις τὴν ἐν ὀλίγῳ διαφωνίαν. Ἡμεῖς γὰρ καὶ τὸν προσειλημμένον ἀνειλῆφθαι νομίζομεν καὶ τὸν ἀνειλημμένον προσειλῆφθαι οὐκ ἀμφιβάλλομεν, παρὰ τῆς Γραφῆς τὴν τοιαύτην χρῆσιν τοῦ λόγου μεμαθηκότες. «Μετὰ δόξης προσελάβου με»[3], φησὶν ὁ Δαβίδ· καὶ πάλιν ἑτέρωθι· «ἐξελέξατο Δαβὶδ τὸν δοῦλον αὐτοῦ καὶ ἀνέλαβεν αὐτὸν ἐκ τῶν ποιμνίων»[4] τοῦ πατρὸς αὐτοῦ. Οὐκοῦν καὶ ὁ μετὰ δόξης προσληφθεὶς ἀνελήφθη καὶ ἐκ τῶν ποιμνίων ἀναληφθεὶς προσελήφθη· περὶ γὰρ τοῦ αὐτοῦ δύο λέγει, ὥστε τί βούλεται ὁ λέγων οὐκ ἀναλήψει ἀλλὰ προσλήψει τῷ Μονογενεῖ τὸ κατὰ τὸν ἄνθρωπον οἰκονομεῖσθαι μυστήριον, οὐδ' ἂν αὐτὸς εἴποι τάχα. Ἐγὼ δὲ φεύγων τῇ ἰλύι τῶν ἀσυναρτήτων αὐτοῦ ῥημάτων συνδιαβαπτίζειν τὸν λόγον τὰ πολλὰ

---

1. Πρβλ. Ἐξ. 31,2. 2. Πρβλ. Ἀμὼς 7,14. 3. Ψαλ. 72,24.
4. Ψαλ. 77,70.

τῆς φλυαρίας ἀφίημι, ἱκανὸν ἔλεγχον εἶναι τῆς ἀτοπίας τῶν λεγομένων οἰόμενος αὐτὴν ἐπὶ λέξεως αὐτοῦ τὴν τῶν γεγραμμένων ἀνάγνωσιν, ὡς καὶ τὸν σφοδρῶς καταδραμεῖν τῆς αἱρέσεως ἐθέλοντα μὴ ἂν τοσοῦτον ἐξ **194** οἰκείων λογισμῶν διελέγξαι τὴν ἀτοπίαν ὡς αὐτὸς ὁ λόγος· δι' ὧν γὰρ κατασκευάζει τὸ ψεῦδος ἐν τῇ ἀτονίᾳ τῆς συνηγορίας ἀπογυμνοῖ τὴν ἀσέβειαν. Καὶ γὰρ εἰ ἀνθρώπῳ τελείῳ, φησί, συνήφθη Θεὸς τέλειος, δύο ἂν ἦσαν. Τὸ δὲ ἀτελὲς ἄρα τῷ τελείῳ συντεθειμένον οὐκ ἐν δυάδι παρ' αὐτοῦ θεωρεῖται. Οὐκ εἶδεν ὁ γεννάδας οὐδὲ παιδία ποτὲ τοὺς ἐπὶ τῆς παλάμης δακτύλους ἐξαριθμούμενα; Ὁ τὸν μικρὸν τῷ μείζονι συναριθμῶν ἕνα μὲν ὀνομάζει τὸν ἐλαττούμενον καὶ ἕνα τὸν ὑπερέχοντα, δύο δὲ ὅμως εἶναί φησιν, εἰ μετ' ἀλλήλων ἀμφοτέρους λογίζοιτο. Πᾶς γὰρ ἀριθμὸς μονάδων ἐστὶ σύνθεσις, τὸ ἀθροιζόμενον ἐκ τούτων ἐν κεφαλαίῳ σημαίνων. Εἰ δὲ τὸ ἀριθμητόν, ὅ,τι περ ἂν ᾖ, τῷ συναριθμουμένῳ παρατιθέμενον κατὰ τὴν πηλικότητα πλεονάζοι τῷ ὄγκῳ παρὰ τὸ ἔλαττον, οὐδὲν ἧττον ἓν καὶ τὸ ἐλαττούμενον ἔσται, κἂν ἐλλείπῃ τὸ μέγεθος. Ὅταν μὲν οὖν ἰσομεγέθη δύο τῷ ἀριθμῷ διαλάβωμεν, δύο τέλεια λέγομεν· ὅταν δὲ τῷ τελείῳ τὸ λεῖπον συναριθμήσωμεν, δύο μὲν καὶ **[1213]** οὕτω φαμέν, ἀλλὰ τὸ μὲν ἐλλιπές, τὸ δὲ τέλειον. Ὁ δὲ πολὺς οὗτος κατὰ τὴν ἀριθμητικὴν ἐπιστήμην, εἰ μὲν τελείως ἑκάτερον κατὰ τὴν αὐτοῦ φύσιν ἔχει, δύο φησὶ λέγεσθαι τὰ οὕτω λεγόμενα· εἰ δὲ τὸ μὲν ἐλλείποι, τὸ δὲ ἕτερον τέλειον εἴη, ἓν ἀμφότερα γενέσθαι, οὐκ οἶδα ὅπως τὸ ἀτελὲς συναλείφων τῷ περιττεύοντι καὶ διὰ τῶν ἐναντίων ἐπινοῶν τοῖς ἀσυμβάτοις τὴν ἕνωσιν. Τέλειον γὰρ τελείῳ καὶ ἀτελὲς ἀτελεῖ μᾶλλον ἁρμόζεται τῇ ὁμοιότητι· τῆς δὲ τοῦ ἐναντίου πρὸς τὸ ἐναντίον ἑνώσεως, τοῦ ἀτελοῦς φημι πρὸς τὸ τέλειον, λεγέτω τὸν τρόπον ὁ τῆς καινῆς ταύτης ἀριθμητικῆς νομοθέτης.

Ἀλλ' οὐχ ἡγεῖται πρέπειν ἀνθρώπινον νοῦν περὶ τὸν μονογενῆ Θεὸν ἐννοεῖν καὶ τὴν αἰτίαν λέγει, ὅτι τρεπτὸς ὁ νοῦς ὁ ἀνθρώπινος. Οὐκοῦν ὁ αὐτὸς λόγος μηδὲ τὴν σάρκα **195** τῷ Θεῷ συγχωρείτω. Τὸ γὰρ τρεπτὴν αὐτὴν εἶναι οὐδὲ ὁ λογογράφος ἀντείποι, ἀπὸ νεότητος μέχρι τελειώσεως ὥσπερ ἐνδύματα μετενδυομένην τὰς ἡλικίας. Ἢ πῶς οὐκ ἦν τρεπτὸς ὁ πρότερον ἐπ' ὠλένης ὑπὸ τῆς μητρὸς κομιζόμενος, εἶτα ἐν παιδίοις, εἶτα ἐν μειρακίοις γινόμενος καὶ οὕτω κατ' ὀλίγον προελθὼν εἰς τὸ τέλειον, ὥστε εἰς τὸ μέτρον τῆς ἀνθρωπίνης ἡλικίας ἐλθεῖν; Εἰ οὖν ὁ νοῦς διὰ τὸ τρεπτὸν ἀποβάλλεται, διὰ τὴν αὐτὴν αἰτίαν μηδὲ ἡ σὰρξ ὑπ' αὐτοῦ συγχωρείσθω καὶ οὕτω ψευδὲς κατ' αὐτὸν δειχθήσεται τὸ Εὐαγγέλιον ἅπαν καὶ κενὸν τὸ κήρυγμα[1] καὶ ματαία ἡ πίστις[2]. Εἰ δὲ οὐκ ἀπιστεῖται τὸ ἐν σαρκὶ πεφανερῶσθαι καὶ ταύτῃ τρεπτῇ, οὐδὲ τὸν νοῦν πάντως διὰ τὴν αὐτὴν αἰτίαν ἀπόβλητον ἔχει, ἀλλ' ὥσπερ ἐν σαρκὶ γενόμενος οὐκ ἐμολύνθη, οὕτως

1. Πρβλ. Α' Κορ. 15,14. 2. Πρβλ. Α' Κορ. 15,17.

οὐδὲ τὸν νοῦν παραδεξάμενος εἰς τροπὴν ἠλλοιώθη. Πάλιν δὲ τὸν αὐτὸν ὑπολήψομαι λόγον ἐκθέμενος τὴν ῥῆσιν αὐτοῦ ἐπὶ λέξεως· οὐκ ἄρα, φησί, σῴζεται τὸ ἀνθρώπινον γένος δι᾽ ἀναλήψεως νοῦ καὶ ὅλου ἀνθρώπου, ἀλλὰ διὰ προσλήψεως σαρκός, ᾗ φυσικὸν μὲν τὸ ἡγεμονεύεσθαι· ἐδεῖτο δὲ ἀτρέπτου νοῦ μὴ ὑποπίπτοντος αὐτῇ διὰ ἐπιστημοσύνης ἀσθένειαν, ἀλλὰ συναρμόζοντος αὐτὴν ἀβιάστως ἑαυτῷ. Τίς οὐκ οἶδεν, ὅτι τὸ δεόμενον τοῦ ἀνενδεοῦς ἕτερον τῇ φύσει πάντως ἐστὶ καὶ τὸ πεφυκὸς ἡγεμονεύεσθαι τοῦ ἐν τῇ φύσει τὸ ἄρχειν ἔχοντος ὁμοίως κατὰ τὸν λόγον τῆς οὐσίας παρήλλακται, ὡς ἡ τῶν ἀλόγων φύσις ὑποχειρίως ἔχειν τῇ τῶν ἀνθρώπων κατεσκευάσθη καὶ ὁ ἄνθρωπος οὐκ ἐπίκτητον τὴν κατὰ τῶν ἀλόγων ἀρχὴν ἀλλ᾽ οἰκείαν ἔχει; Εἰ οὖν φυσικὸν τῇ σαρκὶ τὸ [1216] ἡγεμονεύεσθαι, καθώς φησιν ὁ ᾿Απολινάριος, ἡγεμονικὸν δὲ τῇ φύσει τὸ Θεῖον, πῶς ὁ ταῦτα διδοὺς ἓν ἐξ ἀρχῆς εἶναι τὰ ἀμφότερα τῇ φύσει διορίζεται, πᾶσιν ὄντος **196** προδήλου, ὅτι ἕτερος τοῦ ὑποχειρίου καὶ ἄλλος τοῦ ἐπιστατοῦντος ὁ λόγος καὶ ἄλλο τὸ πεφυκὸς ὁδηγεῖσθαι καὶ ἕτερον πάλιν, ᾧ φύσις τὸ ἡγεμονεύειν ἐστίν; εἰ οὖν ἐν τοῖς ἐναντίοις ἰδιώμασιν ἡ θατέρου τούτων θεωρεῖται φύσις, τῆς σαρκὸς λέγω καὶ τῆς θεότητος, πῶς μία αἱ δύο φύσεις εἰσίν; πῶς δὲ θείαν τινὰ καὶ οὐρανίαν σάρκα περιπλάσσει τῷ Λόγῳ, μᾶλλον δὲ αὐτὸν προαποσαρκοῖ τὸν Λόγον, οὐκ οἰκονομικῶς ἐπ᾽ ἐσχάτων ἡμερῶν τὴν ἡμετέραν ὑπελθόντα μορφήν, ἀλλ᾽ ἀεὶ τοῦτο ὄντα καὶ ἀεὶ ἐν τῷ αὐτῷ διαμένοντα; ῾Ο γὰρ ἐπιδεᾶ λέγων εἶναι τοῦ ἀτρέπτου τὴν σάρκα καὶ τοῦ καθηγουμένου προσδέεσθαι, τὴν ἡμετέραν ἄντικρυς λέγει σάρκα τὴν διὰ τὸ τρεπτὸν τῆς φύσεως εἰς ἁμαρτίαν πεσοῦσαν. Εἰ δὲ ὑπερουράνιόν τι καὶ θεῖον σῶμα, καθώς φησι, θεωρεῖται περὶ τὸν λόγον, οὔτε τὸ τρεπτὸν αὐτῷ πάντως κατὰ τὸ ἀκόλουθον δίδωσιν οὔτε τὸ ἐπιδεὲς τοῦ εὐθύνοντος· καὶ οὗτος οὐχ ἡμέτερος ἀλλὰ τῆς θείας φωνῆς ἐστιν ὁ λόγος ὁ εἰπὼν μὴ δεῖσθαι τοὺς ὑγιαίνοντας ἰατροῦ, ἀλλὰ τοὺς κακῶς ἔχοντας[1]. ᾿Εν γὰρ τῷ οὐρανῷ ἡ ἐξ ἁμαρτίας νόσος οὐκ ἔστιν, ἀλλ᾽ ἡμεῖς μὲν οἱ τὴν ἁμαρτίαν νοσήσαντες, οἱ διὰ τῆς τοῦ κακοῦ παραδοχῆς ἀσθενήσαντες, ἡμεῖς διὰ τὸ τραπῆναι πρὸς τὸ κακὸν τοῦ ἀτρέπτου προσεδεήθημεν, οἱ τῆς σῳζούσης ἀποπλανηθέντες ὁδοῦ τοῦ καθηγουμένου πρὸς τὸ ἀγαθὸν ἐν χρείᾳ γεγόναμεν· ὥστε εἰ ἀληθῆ ταῦτα τῇ περὶ τὸν Κύριον σαρκὶ προσμαρτυρεῖ ὁ λογογράφος, ὅτι καὶ πέφυκεν ἡγεμονεύεσθαι καὶ ἀτρέπτου τοῦ καθηγουμένου χρῄζει, οὐδὲν ἕτερον ἢ τὸ ἡμέτερον σύγκριμα διερμηνεύει τῷ λόγῳ. Εἰ δὲ ἐν τῇ σαρκὶ ὁρίζεται τὴν θεότητα, τὸ δὲ Θεῖον, ἕως ἂν ᾖ τοῦτο, ὃ λέγεται, ἄλλου τοῦ ὁδηγοῦντος οὐκ ἐπιδέεται (οὐδὲ γὰρ ἐπιδέχεται τὴν πρὸς τὸ χεῖρον τροπὴν καὶ ἀλλοίω-

1. Πρβλ. Λουκ. 5,31. Ματθ. 9,12.

σιν), μάτην οὖν αὐτῷ τὰ περὶ τῆς σαρκὸς νῦν εἰρημένα διερραψῳ- **197**δηται· εἰ γὰρ θεία τις αὕτη, δῆλον ὅτι καὶ ἄτρεπτος· εἰ δὲ τρεπτή, πάντως οὐ θεία.

[1217] Τίς ἂν οὖν διεξέλθοι τὸν συγκεχυμένον τοῦτον καὶ ἀσύστατον τῶν δογμάτων μῦθον μηδέποτε ἐπὶ τοῦ αὐτοῦ βαίνοντα, ἀλλὰ κατὰ τὰς ἐνυπνίους φαντασίας ἄλλοτε ἄλλον φαινόμενον; Νῦν μέν φησι θείαν εἶναι τὴν σάρκα τοῦ Λόγου καὶ συναΐδιον, πάλιν ἐπίκτητον καὶ προσειλημμένην, εἶτα ἀλλοτρίως [ὡς] πρὸς τὴν ἡμετέραν ἔχουσαν φύσιν, τὴν παθητὴν καὶ ἐπίκηρον, πάλιν ἐπιδεᾶ τοῦ εὐθύνοντος καὶ τῷ κατὰ τροπήν τε καὶ ἀλλοίωσιν πάθει ἐνεχομένην· καὶ διὰ τοῦτο αὐτὴν ἄνουν ποιεῖ, ἵνα ἰατρευθῇ τῇ θεότητι ὥσπερ ἐμπόδιον ἡγούμενος τὸν νοῦν τῆς θείας ἐπ' ἀνθρώπων κηδεμονίας καὶ προσφιλέστερον τῷ Θεῷ τὸ ἀνόητον. Οὐκοῦν μακαριστότερον οἴεται τὸ νοῦν μὴ ἔχειν, εἴπερ προσλαμβάνεται, καθὼς φησιν οὗτος, παρὰ Θεοῦ τὸ ἀνόητον. Τί οὖν οὐ διορθοῦται τὸν Σολομῶντα, ὅς φησιν· «ὁ δὲ νοήμων κυβέρνησιν κτήσεται»[1]; Οὐδὲ γὰρ ἄλλην οἶμαι τὴν κυβέρνησιν ἐνταῦθα παρὰ τοῦ παροιμιακοῦ αἰνίγματος λέγεσθαι, εἰ μὴ τὴν ἡμετέραν φύσιν τὴν ἐν κακίᾳ χειμασθεῖσαν καὶ ναυαγήσασαν, τῇ ἐπιστασίᾳ τοῦ ἀληθινοῦ κυβερνήτου πρὸς τὸν λιμένα τοῦ θείου θελήματος εὐθυνομένην. Εἰ οὖν ἐν τῇ ἀνοίᾳ ὁ ἄνθρωπος σῴζεται, πῶς ὁ νοήμων κυβέρνησιν κτήσεται; τίνι δ' ἂν οἰκειότερον [ἐν] φύσει εἴη τὸ Θεῖον; πρὸς τί μᾶλλον καταλλήλως ἔχειν τὴν θείαν φύσιν ὁ λογισμὸς ὑποτίθεται; Παχεῖά τις καὶ ἀντιτυπής ἐστιν ἡ σὰρξ καὶ πρὸς τὴν γεώδη φύσιν συγγενῶς ἔχει, νοερὸν δέ τι καὶ ἀφανὲς καὶ ἀσχημάτιστον ἡ διάνοια. Τί ἂν μᾶλλον οἰκειότερον εὑρεθείη ἐκ τούτων πρὸς τὸ συναρμοσθῆναι Θεῷ, τὸ παχὺ καὶ γεῶδες ἢ τὸ ἀναφές τε καὶ ἀσχημάτιστον; πῶς δὲ συναρμόζεται τῷ Θεῷ σάρξ, ὥς φησιν, ἀβιάστως ἡ μεταλαμβάνουσα τῆς καθαρᾶς ἀρετῆς; **198** τίς γὰρ οὐκ οἶδεν, ὅτι ἀρετὴ προαιρέσεώς ἐστι κατόρθωμα; Ἡ δὲ σὰρξ ὄργανόν ἐστι τῆς προαιρέσεως, τῇ ὁρμῇ τῆς διανοίας ἐγκείμενον, πρὸς ὅπερ ἂν ὁ κινῶν ἄγῃ, πρὸς τοῦτο μετατιθέμενον. Ἡ δὲ προαίρεσις οὐδὲν ἕτερον εἰ μὴ νοῦς τίς ἐστι καὶ πρός τι διάθεσις. Εἰ οὖν μεταλαμβάνειν φήσει τὸν ἄνθρωπον καθαρᾶς ἀρετῆς, ἐν ᾧ νοῦς οὐκ ἔστι, τὸ τὴν ἀρετὴν ἑκουσίως ὑποδεχόμενον τί ἂν εἴη; Εἰ μὴ ἄρα τὸ βεβιασμένον ἀβίαστον ὁ λογογράφος νοεῖ. Ὅταν γὰρ μὴ τοῦ νοῦ συντιθεμένου τῇ προτιμοτέρᾳ ῥοπῇ ἔξω τῶν κατὰ κακίαν ἐνεργημάτων τὸ σῶμα γένηται, ἀνάγκης ἔργον, οὐ προαιρέσεως ἔσται τὸ κατορθούμενον· ὁ δὲ διὰ τῆς τῶν λογισμῶν ἐπικρίσεως τὸ ἀγαθὸν προαιρούμενος κρείττων πάσης ἀνάγκης καὶ βίας ἐστὶν οἴκοθεν ἔχων τὴν πρὸς τὸ κρεῖττον ῥοπήν. Πῶς οὖν τῷ ἀπροαιρέτῳ ὁ λογογράφος μαρτυρεῖ τὸ ἀβίαστον, οὗ μηδεὶς λογισμὸς ἴδιος πρὸς τὸ καλὸν καθηγήσατο; Τὸ γὰρ μὴ ἐκ **[1220]** προαιρέσεως ἀναμάρτητον

1. Παρμ. 1,5.

οὐδὲ ἐπαινετόν ἐστι πάντως, ἢ οὕτω καὶ τοὺς ὑπὸ δεσμῶν πρὸς κακουργίαν κωλυομένους ἐπαινεσόμεθα, οὓς ἀφίστησι τῆς τῶν κακῶν ἐνεργείας ὁ δεσμός, οὐχ ἡ γνώμη. Ἀλλ' ἀβιάστως, φησί, τὴν σάρκα ἡ θεότης προσάγεται· τὸ ἀβίαστον δηλαδὴ τὸ ἑκούσιον λέγει. Πῶς οὖν ἄν τις ἐθελοντὴς τῇ ἀρετῇ προσαχθείη, θέλημα οἰκεῖον μὴ κεκτημένος; Τὸ γὰρ προαιρεῖσθαι καὶ βούλεσθαι καὶ ἡ τοῦ συμφέροντος ἐκλογὴ καὶ ἡ τοῦ βλάπτοντος ἀποβολή, ταῦτα πάντα διανοίας ἐστί· τὸ δὲ διανοεῖσθαι τῶν ἀνοήτων οὐκ ἔστιν. Εἰ οὖν ἀβιάστως τῷ Θεῷ προσοικειοῦται ἡ σάρξ, μαρτυρεῖται παρὰ τούτων διὰ τοῦ λογογράφου μὴ ἀπροαίρετος εἶναι ἡ σὰρξ μηδὲ ἀκρίτως τε καὶ ἀνεπισκέπτως τοῦ λυσιτελοῦντος ἔχειν· τὸ δὲ τοιοῦτον οὐκ ἄν τις ἀλογίαν εἴποι. Πῶς γὰρ ἂν γένοιτο ἐν τῷ ἀλόγῳ ὁ λόγος; Ὥστε οὐ μόνον εἶναι τὸν νοῦν ἐν τῷ ἀνθρώπῳ δι' **199** ὧν λέγει συντίθεται, ἀλλὰ καὶ ὑπὲρ τοὺς ἄλλους εἶναι. Ἡ γὰρ ἑκούσιός τε καὶ ἀβίαστος πρὸς τὸ ἀγαθὸν ὁρμὴ μαρτυρία τῆς τοῦ νοῦ τελειότητος γίνεται. Καὶ ὅτι διανοίας ἐστὶν ἡ πρὸς τὸ κρεῖττον οἰκείωσις, διὰ τῶν ἐφεξῆς εἰρημένων μάλιστα δείκνυται, οὑτωσὶ κατὰ τὴν λέξιν ἐχόντων· μεταδιδόντος γάρ, φησί, τῆς καθαρᾶς ἀρετῆς παντὶ τῷ ὑποχειρίῳ νῷ. Εἰ οὖν ἐν τῷ νῷ θεωρεῖ τὴν τῆς ἀρετῆς καθαρότητα, πῶς ἐξοικίζει τῆς σαρκὸς ἐκείνης τὸν νοῦν, ἐν ᾗ τὴν καθαρότητα βλέπει; Ἀνάγκη γὰρ ἓν ἐξ ἀμφοτέρων διημαρτῆσθαι τῷ λόγῳ, ἢ τὸ μεθεκτὴν εἶναι τοῦ νοῦ τὴν ἀρετὴν ἢ τὸ ἄνουν εἶναι τὴν σάρκα τὴν ἀβιάστως τῇ ἀρετῇ προσαχθεῖσαν.

Ὅσα δὲ προσέθηκε κατὰ τὸ ἀπρόσκολλόν τε καὶ ἀνακόλουθον, περιττὸν οἶμαι διεξετάζειν τοῦτον ἔχοντα τὸν τρόπον· καὶ πᾶσι, φησί, τοῖς νοερῶς ὁμοιουμένοις Χριστῷ καὶ μὴ σαρκικῶς ἀνομοιουμένοις. Τί γὰρ βούλεται ἡ τῶν εἰρημένων ναυτία, διδασκέτωσαν ταῦτα οἱ θαυμασταὶ τῆς ἀπάτης· ἡμεῖς δὲ πρὸς τὰ ἐφεξῆς τοῦ λόγου προέλθωμεν. Καὶ εἰ ἀνθρώπῳ, φησί, συνήφθη ὁ Θεός, τέλειος τελείῳ, δύο ἂν ἦσαν, εἷς μὲν φύσει Υἱὸς Θεοῦ, εἷς δὲ θετός. Ἡδέως ἂν μάθοιμι παρὰ τῶν τὰ τοιαῦτα πεπαιδευμένων, οἳ τὸν ἔννουν καὶ τέλειον ἄνθρωπον υἱὸν θετὸν λέγουσι, τὸν ἀνόητον ἄνθρωπον —οὕτω γὰρ πάντως τὸν μὴ ἔχοντα νοῦν ὀνομάζουσι— τί προσεροῦσιν; Ὁ γὰρ μονογενὴς Θεὸς αὐτὸς καθ' ἑαυτὸν ἀνελλιπὴς καὶ τέλειος ὢν τὴν τοῦ ἀληθινοῦ Υἱοῦ προσηγορίαν ἔχει ἐπαληθευούσης τὴν κλῆσιν τῆς φύσεως· ἡ δὲ προσθήκη τοῦ ἡμιτελοῦς ἀνθρώπου ποῖον ὄνομα ἔχει; Εἰ γὰρ ὁ τέλειος ἄνθρωπος θετὸς υἱὸς κατὰ τὸν Ἀπολινάριον λέγεται, **[1221]** καὶ ὁ ἡμιτελὴς ἄνθρωπος, καθ' ὃ ἄνθρωπος, ἡμίθεος δηλονότι υἱὸς καὶ οὗτος ὀνομασθήσεται, ἡμισεύων ἐφ' ἑαυτοῦ τὴν τοῦ θετοῦ κλῆσιν· ὥστε κυριώτερον εἰπεῖν ἐκεῖνον μὲν τέλειον τὸν θετὸν εἶναι, τοῦτον δὲ **200** ἥμισυν ἢ τὸ τριτημόριον λείποντα κατὰ τὸ βούλημα τῶν ταῖς τοιαύταις τομαῖς μιστυλλόντων

τὸν ἄνθρωπον. ᾿Αλλ᾿ εἰ ἀνάρμοστόν ἐστι τῷ Θεῷ τὸ θετὸν ἔχειν υἱόν, ὁμοίως πάντως καὶ ἐπὶ τοῦ τελείου καὶ ἐπὶ τοῦ ἀτελοῦς ἐστι τὸ ἀνάρμοστον· μᾶλλον δὲ καὶ πλέον ἐν τῷ ἠκρωτηριασμένῳ τὸ ἄτοπον. Εἰ γὰρ αἰσχρόν τι καὶ ἔξω τῆς θεοπρεποῦς ὑπολήψεως τὸ ἄρτιον τῆς ἀνθρωπίνης φύσεως ἐνομίσθη περὶ τὸ Θεῖον βλεπόμενον, πολλῷ μᾶλλον αἰσχρὸν ἂν εἴη τὸ λελωβημένην περὶ αὐτὸν καθορᾶσθαι τὴν φύσιν. Οὐ γὰρ ἐπειδὴ νοῦς οὐκ ἔστι, διὰ τοῦτο ἡ σάρξ πρὸς τὴν τοῦ Πατρὸς φύσιν οἰκείως ἔχει, ἀλλὰ τῆς μὲν τοῦ Πατρὸς οὐσίας, ὁμοίως..... ἄνθρωπος καὶ ὅλος καὶ τὸ μέρος κεχώρισται κατὰ τὸν τῆς φύσεως λόγον, καὶ οὐθέτερον τῶν ἐν ἡμῖν, οὔτε ὁ νοῦς οὔτε τὸ σῶμα, πρὸς τὴν ὑπερκειμένην φύσιν τῷ λόγῳ τῆς οὐσίας ᾠκείωται. Κἂν οὐράνιόν τι σαρκὸς εἶδος ἀναπλάσῃ περὶ τὸ Θεῖον ὁ μῦθος, οὐδὲν μᾶλλον διὰ τοῦτο ὁμοούσιον εἶναι τῷ Θεῷ καὶ Πατρὶ τὴν σάρκα ἐκείνην ὁ λελογισμένος συνθήσεται. Εἰ δὲ ἠλλοτρίωται τῆς πατρικῆς οὐσίας ἡ σάρξ, πῶς ἂν εἴη Υἱὸς τὸ ἀλλότριον; ᾿Ανάγκη γὰρ πᾶσα τὸ ἀληθῶς ἔκ τινος ὂν ἐκεῖνο κατὰ τὴν οὐσίαν εἶναι ὅπερ ὁ γεννήσας ἐστίν. ᾿Αλλὰ μὴν ὁ Πατὴρ σάρξ οὐκ ἔστιν· οὐδ᾿ ἂν ὁ ἐξ ἐκείνου πάντως σάρξ εἴη· τὸ γὰρ γεγεννημένον ἐκ τοῦ πνεύματος πνεῦμα[1] καὶ οὐχὶ σάρξ εἶναι λέγεται. Εἰ οὖν μὴ ἔστιν ἐκ τοῦ Πατρὸς ἡ σάρξ, Υἱὸς οὐκ ἔστιν. Τί οὖν ὀνομασθήσεται; Ὅπερ γὰρ ἂν τῇ οὐρανίᾳ ἐκείνῃ τῇ μυθοποιηθείσῃ παρὰ τοῦ λογογράφου ἐπινοήσωσιν ὄνομα, τοῦτο ἡμεῖς τῇ ἐξ ἀνθρώπων ἀναληφθείσῃ σαρκὶ κατὰ τὸ ἀκόλουθον ἐπιθήσομεν καί, ὅπερ ἂν τὸ ἡμέτερον ὀνομάσωσιν, τῷ αὐτῷ ὀνόματι κἀκεῖνο κληθήσεται. **201** Οὐκ ἔστιν Υἱὸς τὸ γήινον, οὐδὲ ἐκεῖνο πάντως. Θετὸς υἱὸς τὸ γήινον, οὐκοῦν κἀκεῖνο. Υἱῶν δυὰς ἐνταῦθα, κἀκεῖ πάντως. Εἷς Υἱὸς ἐν ἐκείνῳ ἡ σὰρξ καὶ ἡ θεότης, τοῦτο καὶ ὧδε. ᾿Επειδὴ γὰρ ὁμοίως ἀφέστηκε τῆς θείας οὐσίας ἡ κτίσις πᾶσα, τὸ μὲν ἔξω εἶναι τῆς τοῦ Πατρὸς φύσεως τό τε γήινον καὶ οὐράνιον ἐπίσης συνωμολόγηται. Λείπεται δέ, ὅπερ ἂν τῷ σκοπῷ τῆς φιλανθρωπίας συμβαίνῃ, τοῦτο εὐλογώτερον περὶ τὸν Θεὸν οἴεσθαι, ὄνομα δὲ αὐτῷ ἴδιον ἐφευρίσκειν μηδέν, ἀλλὰ τῷ πλεονάζοντι καὶ ἐπικρατοῦντι συνονομάζεσθαι, καθάπερ ἐπὶ τοῦ πελάγους γίνεται· εἰ γάρ τις σταγόνα ὄξους ἐπιβάλοι θαλάττῃ καὶ ἡ σταγὼν θάλασσα **[1224]** γίνεται συμμεταποιηθεῖσα τῇ θαλασσίᾳ ποιότητι, οὕτως ὁ ἀληθινὸς Υἱὸς καὶ μονογενὴς Θεός, τὸ ἀπρόσιτον φῶς καὶ ἡ αὐτοζωὴ σοφία τε καὶ ἁγιασμὸς καὶ δύναμις καὶ πᾶν ὑψηλὸν ὄνομά τε καὶ νόημα —ταῦτα ὁ διὰ σαρκὸς φανερωθεὶς τοῖς ἀνθρώποις ἐστί· τῆς δὲ σαρκὸς τῇ ἰδίᾳ φύσει σαρκὸς οὔσης, μεταποιηθείσης δὲ πρὸς τὸ τῆς ἀθανασίας πέλαγος, καθὼς φησιν ὁ ᾿Απόστολος ὅτι κατεπόθη τὸ θνητὸν ὑπὸ τῆς ζωῆς[2], συμμετεβλήθη καὶ πάντα τὰ κατὰ τὴν σάρκα τότε φαινόμενα πρὸς τὴν θείαν τε καὶ ἀκήρατον φύσιν· οὐ βάρος, οὐκ εἶδος, οὐ χρῶμα, οὐκ ἀντιτυπία, οὐ μαλακότης,

1. Πρβλ. ᾿Ιω. 3,6. 1. Πρβλ. Β΄ Κορ. 5,4.

οὐχ ἡ κατὰ τὸ ποσὸν περιγραφή, οὐκ ἄλλο τι τῶν τότε καθορωμένων οὐδὲν παραμένει, τῆς πρὸς τὸ Θεῖον ἀνακράσεως εἰς τὰ θεϊκὰ ἰδιώματα τὸ ταπεινὸν τῆς σαρκώδους φύσεως ἀναλαβούσης. Ὥστε κίνδυνός ἐστιν οὐδεὶς εἰς τετράδα ἡμῖν τὸν τῆς τριάδος λόγον πλατύνεσθαι, καθὼς ὁ Ἀπολινάριος λέγει, οὐδὲ τοὺς ἀγγέλους τῷ ἀνθρώπῳ δουλαγωγοῦμεν, ὡς ὁ ἐκείνου μῦθος καθ' ἡμῶν λέγει. Οὐ γὰρ ἀνθρώπῳ δουλεύουσιν οἱ τῷ Δεσπότῃ ἑαυτοὺς ὑποκύπτοντες οὐδὲ ἐπαισχύνονται προσκυνοῦντες τῷ διὰ σαρκὸς τῇ οἰκουμένῃ ἐπιδημήσαντι. «Ὅταν γὰρ εἰσαγάγῃ τὸν πρωτότοκον», φησίν, «εἰς τὴν **202** οἰκουμένην, λέγει· καὶ προσκυνησάτωσαν αὐτῷ πάντες οἱ ἄγγελοι αὐτοῦ»[1]. Μία δὲ εἴσοδος ἐπὶ τὴν οἰκουμένην ἡ διὰ τοῦ τόκου ἐστὶ καὶ οὐκ ἔστιν ἑτέρως ἐντὸς τοῦ βίου τῶν ἀνθρώπων γενέσθαι μὴ ταύτῃ τῇ εἰσόδῳ χρησάμενον. Οὐκοῦν τὴν διὰ σαρκὸς αὐτοῦ γένεσιν εἴσοδον εἰς τὴν οἰκουμένην ὀνομάζει ὁ λόγος. Εἰ οὖν εἰσελθόντι αὐτῷ εἰς τὴν οἰκουμένην πάντες προσκυνοῦσιν οἱ ἄγγελοι, ἡ δὲ εἴσοδος διὰ σαρκός ἐστι γένεσις, οὐχ ἡμεῖς δουλαγωγοῦμεν τῷ Δεσπότῃ τὸ ἴδιον κτῆμα, ἀλλ' αὐτὴ τῶν ἀγγέλων ἡ φύσις οὐκ ἀγνοεῖ τὴν ὑπερκειμένην ἑαυτῆς δεσποτείαν, ὥστε σιγάτω προστιθεὶς ἐκεῖνα τῷ λόγῳ τὰ μάταια ⟨ὅτι⟩ τὰ ἄνω ποιοῦμεν κάτω, θεοφόρους ἀγγέλους θεοφόρῳ ἀνθρώπῳ καταδουλοῦντες.

Ἔτι πρὸς τούτοις φησίν· εἰ ὁ Θεὸν δεξάμενος Θεός ἐστιν ἀληθινός, πολλοὶ ἂν εἶεν θεοί, ἐπειδὴ πολλοὶ δέχονται τὸν Θεόν. Τί οὖν καὶ πρὸς τοῦτο ἡμεῖς; ὅτι μὲν «ὁ Θεὸς ἦν ἐν Χριστῷ, κόσμον **[1225]** ἑαυτῷ καταλλάσσων»[2], ἱκανὸς εἰς μαρτυρίαν ὁ μέγας Παῦλος. Εἰ δὲ διὰ τοῦτο οἴεται ὁ λογογράφος πλῆθος θεῶν παρ' ἡμῶν ἐπεισάγεσθαι τῷ κηρύγματι, ὅτι ὁμολογοῦμεν ἐν Χριστῷ τὸν Θεὸν ἑαυτῷ καταλλάσσειν τὸν κόσμον, ὡς καὶ ἐν ἀνθρώποις τοῦ Θεοῦ γινομένου, ταῦτα ἀποκρινούμεθα· εἰ πολλαὶ μητέρες παρθένοι καὶ πρὸς πολλὰς ἡ μυσταγωγία τοῦ Γαβριὴλ καὶ πρὸς ἑκάστην ἡ τοῦ Ἁγίου Πνεύματος ἐπέλευσις καὶ ἡ τῆς τοῦ Ὑψίστου δυνάμεως παρουσία· καὶ εἰ περὶ πολλῶν οἱ προφῆται τὴν χάριν κηρύσσουσιν ὥστε πληθυντικῶς λέγειν· παιδία ἐγεννήθησαν ἡμῖν καὶ υἱοὶ ἐδόθησαν ἡμῖν[3] καὶ αἱ παρθένοι ἐν γαστρὶ λήψονται[4] καὶ τὰ ὀνόματα τῶν τεχθέντων πάντων Ἐμαννουήλ[5] ἐστιν, εἰ πάντες πεζῇ τῶν κυμάτων ἐπιβατεύουσι[6] καὶ τῇ ἀφράστῳ δυνάμει τὰς τοσαύτας χιλιάδας **203** ἐπ' ἐρημίας τρέφουσιν αὔξοντες τῷ κόρῳ τὸν ἄρτον τὸν ἐν ταῖς χερσὶ τῶν μαθητῶν γεωργούμενον[7], εἰ πάντες νεκροὺς τετραημέρους ἐκ τῶν χωμάτων ἐγείρουσιν[8], εἰ πάντες ἀμνοὶ τοῦ Θεοῦ γί-

1. Ἑβρ. 1,6. 2. Β' Κορ. 5,19. 3. Πρβλ. Ἡσ. 9,5. 4. Πρβλ. Ἡσ. 7,14. 5. Ἔνθ' ἀν. 6. Πρβλ. Ματθ. 14,28-29. 7. Πρβλ. Ματθ. 14,19. Μάρκ. 6,41. Λουκ. 9,16. Ἰω. 6,11. 8. Πρβλ. Ἰω. 11,17 ἑξ.

νονται καὶ ὑπὲρ ἡμῶν Πάσχα θύονται[1] καὶ τῷ σταυρῷ προσηλοῦσι τὴν ἁμαρτίαν[2] καὶ καταλύουσι τοῦ θανάτου τὸ κράτος[3] καὶ εἰς ὀφθαλμοὺς τῶν μαθητῶν εἰς οὐρανοὺς ἀνατρέχουσι καὶ ἐν δεξιᾷ τοῦ Πατρὸς καθέζονται[4], εἰ πάντες ἐλεύσονται κρῖναι τὴν οἰκουμένην ἐν δικαιοσύνῃ[5] καὶ ἐν ὀνόματι πάντων ἡ τῶν ἐπουρανίων τε καὶ ἐπιγείων καὶ καταχθονίων γλῶσσα ἐξομολογεῖται[6], δώσομεν τὸ πολλοὺς εἶναι θεούς, εἴπερ ἐν τούτοις εἶεν οἱ πολλοὶ τοῖς γνωρίσμασιν. Εἰ δὲ εἷς Κύριος Ἰησοῦς, δι' οὗ τὰ πάντα, καὶ «ἐξ αὐτοῦ καὶ δι' αὐτοῦ καὶ εἰς αὐτὸν τὰ πάντα»[7], καὶ περὶ μόνον αὐτὸν ἡ τοιαύτη τῶν θεοπρεπῶν ὀνομάτων ἀπαρίθμησις, τίς κίνδυνος πολλοὺς ἀναπλασθῆναι θεούς, ὅταν λέγωμεν Θεὸν διὰ σαρκὸς ἐμψύχου πεφανερῶσθαι; Ὅτι γὰρ ἄνθρωπος τὸ φαινόμενον ἦν, τίς οὕτω τῶν εὐαγγελικῶν διδαγμάτων ἀνήκοος, ὡς ἀγνοεῖν τὸ παρ' αὐτοῦ τοῦ σωτῆρος πρὸς τοὺς Ἰουδαίους λεγόμενον· «νυνὶ δὲ ζητεῖτέ με ἀποκτεῖναι, ἄνθρωπον ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα;»[8]· ὁρᾷς ἐν τοῖς λεγομένοις, τί τὸ ἀποκτεινόμενον ὁ λόγος ὑπέδειξεν εἰπών· ζητεῖτέ με ἀποκτεῖναι; Οὐ τὴν ἀλήθειαν, ἀλλὰ τὸν ἄνθρωπον δι' οὗ ἐφθέγγετο ἡ ἀλήθεια. Οὐ γὰρ ἄνθρωπος ἦν ὁ λαλῶν τὴν ἀλήθειαν· ἀλλὰ δηλονότι ὁ μὲν λαλῶν Θεὸς ἦν, ὁ δὲ ἄνθρωπος ἐμεσίτευε πρὸς τοὺς ἀνθρώπους τῇ ἰδίᾳ φωνῇ τὸ λεγόμενον. Δι' ὃ καὶ μεσίτης λέγεται Θεοῦ καὶ ἀνθρώπων[9] ὡς οὐ δυναμένης τῆς ἀνθρωπίνης φύσεως ἀκράτῳ προσμῖξαι τῇ τοῦ Θεοῦ συνουσίᾳ καὶ διὰ τοῦτο δεομένης τῆς συγγενοῦς αὐτῇ καὶ κατὰ φύσιν φωνῆς, δι' ἧς εἰκὸς χωρεῖσθαι τὴν ἄνωθεν δύναμιν. Καταλειπτέον καὶ τοῦτο, πρὸς δὲ τὸ ἐφεξῆς τρεπτέον τὸν λόγον. **204** Οὐδέν, φη**[1228]**σίν, οὕτως ἥνωται πρὸς Θεὸν ὡς ἡ σὰρξ ἡ προσληφθεῖσα. Ὢ τῆς περιεσκεμμένης αὐτοῦ ἀποφάσεως! Οὐδὲν οὕτως ἥνωται πρὸς Θεὸν ὡς ἡ σάρξ, οὐδὲ ἡ ἀγαθότης οὐδὲ ἡ ἀϊδιότης οὐδὲ ἡ ἀφθαρσία οὐδὲ τὸ ἐπὶ πάντων κράτος οὐδὲ ἄλλο τι τῶν θεοπρεπῶν νοημάτων, ἀλλὰ πάντα ταῦτα τῆς σαρκός ἐστι δεύτερα συγκρίσει τῇ πρὸς τὸν Θεὸν καὶ τῇ πρὸς ταύτην τῆς τοῦ Θεοῦ ἑνώσεως καὶ σαρκὸς τῆς ἐπικτηθείσης. Ὁμολογεῖ αὐτὸ τοῦτο ὁ λογογράφος· ὁ γὰρ προσειλῆφθαι αὐτὴν εἰπὼν τὸ ἐπιγεννηματικὸν αὐτῆς ἐνεδείξατο.

Καὶ τοῦτο παραδραμούμεθα τὰ ἐφεξῆς ὡς αὐτόθεν ἔχοντα τὸν ἔλεγχον τῆς ἀσυστάτου μυθοποιίας καὶ ἀβλαβῆ ὄντα τοῖς ἐντυγχάνουσι σιωπήσαντες· προθεὶς γὰρ τὸ μηδὲν ἄλλο τῶν ἐπὶ Θεοῦ γενομένων οὕτως ἡνῶσθαι τῷ Κυρίῳ, ὡς ἥνωται πρὸς αὐτὸν ἡ προσληφθεῖσα σάρξ, ⟨ἐπεὶ⟩ ἐπήγαγεν ἐν τῷ συμπεράσματι, ὅτι τὰ μὴ οὕτως ἡνωμένα οὐδ' οὕτω προσκυνητά, ἑτέραν ἐπιτίθησι κορωνίδα· οὐδὲν δὲ οὕτως προσκυνητὸν ὡς ἡ σὰρξ τοῦ Χριστοῦ. Ταῦτα ὡς καὶ παιδίοις γνώριμον ἔχοντα τὴν ἀτοπίαν μετὰ τῆς ἀνοίας

1. Πρβλ. Α' Κορ. 5,7. 2. Πρβλ. Κολ. 2,14. 3. Πρβλ. Ἑβρ. 2,14. 4. Πρβλ. Ματθ. 20,21. 5. Πρβλ. Ψαλ. 9,9. 6. Πρβλ. Ρωμ. 14,11. 7. Ρωμ. 11,36. 8. Ἰω. 8,40. 9. Πρβλ. Α' Τιμ. 2,5.

σιωπησόμεθα. Εἴποι γὰρ ἂν καὶ τὰ ταῖς ἀγοραῖς ἐγκαθήμενα παιδία καὶ παίζοντα[1] ὅτι, εἰ μηδὲν οὕτως ἐστὶ προσκυνητὸν ὥσπερ ἡ σάρξ, ἄρα σεβασμιωτέρα ἐστὶν ἡ τοῦ Χριστοῦ σὰρξ καὶ αὐτῆς τῆς τοῦ Πατρὸς μεγαλειότητος καὶ τῆς παντοδυνάμου ἐξουσίας καὶ τῆς πάντων ἀρχῆς καὶ εἴ τι ἄλλο χωρεῖ ἡ φύσις ἡμῶν περὶ τῆς θείας δυνάμεως φθέγγεσθαι, ὥστε καταλιπόντας τὸ προσκυνεῖν τὸν Πατέρα καὶ τὸν Υἱὸν καὶ τὸ Πνεῦμα τὸ Ἅγιον μόνην σέβεσθαι καὶ προσκυνεῖν τὴν παρὰ τούτου προτετιμημένην σάρκα καὶ ἐν ἐκείνῃ τὸ κατὰ πάντων τίθεσθαι κράτος. Ὅμοιον δὲ τοῖς προαποδεδομένοις καὶ τὸ ἐφεξῆς ἐπιχείρημα· ἡ σὰρξ τοῦ Κυρίου, φησί, προσκυνεῖται, καθὸ ἕν ἐστι πρόσωπον καὶ **205** ἓν ζῷον μετ' αὐτοῦ. Δύο μνημονεύσας πραγμάτων, Κυρίου καὶ σαρκὸς Κυρίου, ἓν ζῷον τὰ δύο ἐποίησεν. Νῦν ἀποκαλύπτει σαφῶς τὸ ἐν τῇ ἐπιγραφῇ τοῦ λόγου δηλούμενον, ἐν ᾗ διδάσκειν κατεπαγγέλλεται περὶ τῆς θείας σαρκώσεως τῆς καθ' ὁμοίωσιν ἀνθρώπου· ἐπειδὴ γὰρ ψυχῆς σώματι συνδραμούσης ἐκ τῆς τῶν ἑτερογενῶν τούτων μίξεώς τε καὶ κοινωνίας συνίσταται ἡ ἀνθρωπίνη ζωὴ καὶ οὐκ ἄν τις ἄλλο τι τὴν σύστασιν ἡμῶν ὁρίσαιτο πλὴν σώματος καὶ ψυχῆς κοινωνίαν, τοῦτο αὐτὸ καὶ περὶ τὴν θείαν φύσιν φαντασθεὶς ὁ λογογράφος **[1229]** εὐθὺς ἔν τε τῇ ἐπιγραφῇ τοῦ λόγου διδάσκειν κατεπαγγέλλεται, ὅτι καθ' ὁμοίωσιν ἀνθρώπου καὶ τὸ Θεῖον ἐν σαρκὶ θεωρεῖται, καὶ νῦν ἐν τῷ μέρει τούτῳ τοῦ λόγου σαφῶς κατασκευάζει ἕν, ὅτι ἕν ἐστι πρόσωπον καὶ ζῷον ἥ τε σὰρξ καὶ ὁ Κύριος, ὡσανεὶ λέγοι Παῦλον τὸν αὐτὸν εἶναι τῷ κρυπτῷ τὸν φαινόμενον διὰ τὴν τοῦ σώματος πρὸς τὴν ψυχὴν συμφυΐαν. Τί οὖν ἄρα ἐπεξιέναι προσήκει τοῖς εἰρημένοις καὶ ἀντιμάχεσθαι; καὶ πῶς οὐκ ἄν τις ἡμᾶς ἀφραίνειν κατητιάσατο τοῖς παρεξευρημένοις τῶν νοημάτων ἐνισταμένους; Οὐκοῦν τὸ μετὰ τοῦτο κατανοήσωμεν. Εἰ μηδέν, φησί, ποίημα προσκυνητὸν μετὰ τοῦ Κυρίου ὡς ἡ σὰρξ αὐτοῦ. Τίς ἀγωνοθετήσει περὶ τῶν ἐν ἀσεβείᾳ πρωτείων ἀγωνιζομένῳ τῷ Ἀπολιναρίῳ πρὸς τὸν Εὐνόμιον; τίς ἄρα τῶν ἀριστείων ἐν τοῖς κατὰ τῆς ἀληθείας ἱδρῶσιν ἀξιωθήσεται; τάχα ἄκριτος ἐπ' ἀμφοτέρων ἡ νίκη τῷ ἀμφηρίστῳ καὶ ἰσοπαλεῖ τῆς ἀσεβείας καταλειφθήσεται. Ὁ μὲν γὰρ ποίημα τὸν μονογενῆ Θεὸν λέγων νοερόν τε αὐτὸν καὶ ἔξω τῆς ἀντιτύπου φύσεως εἶναι οὐκ ἀπομάχεται· οὗτος δὲ σύνθετον ἐξ ἀρχῆς αὐτὸν ἐξ ἑτεροφυῶν ἀναπλάσας, ἐκ σαρκός τε καὶ θεότητος συγκεκροτημένον, ἓν εἶναι ζῷον κατασκευάζει καθ' ὁμοίωσιν τῆς ἀνθρωπίνης φύσεως. **206** Ἡ μὲν γὰρ τοῦ ποιήματος προσκύνησις ἐπ' ἀμφοῖν ἴση· ἀλλ' ἐκεῖνος μὲν τὴν νοεράν τε καὶ ἀσώματον φύσιν πεποιῆσθαί φησιν· οὗτος δὲ προστίθησι καὶ τὸ σαρκώδη φύσιν εἶναι περὶ τὸ ποίημα καὶ ταύτην προσκυνεῖσθαι πλέον τῶν λοιπῶν ποιημάτων ὡς καὶ ἄλλοις ποιήμασι προσαγο-

1. Πρβλ. Ματθ. 11,16.

μένης τῆς προσκυνήσεως, ὃ καὶ τοῖς τὰ Εὐνομίου πρεσβεύουσιν ἀσεβὲς εἶναι ὁμολογεῖται. Οὐκοῦν ἐχέτω κατὰ τοῦ Εὐνομίου τὰ νικητήρια καὶ ἐπαγαλλέσθω τοῖς τῆς ἀσεβείας στεφάνοις καλλωπιζόμενος· ὅσῳ γὰρ ἐν τῇ ἀνθρωπίνῃ φύσει τῆς ψυχῆς τὸ σῶμα καταδεέστερον, τοσοῦτον ἐν τοῖς τὰ ποιήματα προσκυνοῦσιν ὁ τὴν σάρκα προσκυνεῖν νομοθετῶν τῶν τὸ νοερὸν ποίημα σεβομένων ἐν τῷ λόγῳ τῆς ἀσεβείας ἐστὶν ἀτοπώτερος, καὶ μάλιστα, εἰ καὶ ἄλλα προσκυνεῖσθαι ποιήματα λέγοι, ὧν τὸ πλέον ἡ σὰρξ διὰ συγκρίσεως κατὰ τὴν προσκύνησιν ἔχει· οὐδὲν γάρ, φησί, ποίημα προσκυνητὸν ὡς ἡ σὰρξ τοῦ Κυρίου. Πάντα μὲν γὰρ ἐπίσης κάτω τῆς θείας ἐστὶ δυνάμεως, ὅσαπερ ἐν τῇ κτίσει καταλαμβάνεται, κἂν ἀσώματον ᾖ κἂν μετὰ σώματος. Ἀλλ' ἔχει πρὸς ἑαυτὴν ἡ κτίσις διὰ συγκρίσεως ὑπερβολὴν καὶ ἐλάττωσιν, τῆς τῶν ἀσωμάτων φύσεως προτερευούσης παρὰ τὴν αἰσθητήν τε καὶ σωματώδη κατάστασιν. Ὥστε καθὸ μὲν τῷ ποιήματι λατρεύειν οἴονται δεῖν Εὐνόμιός τε καὶ Ἀπολινάριος, ἰσοπαλεῖς ἐν τῷ λόγῳ τῆς ἀσεβείας εἰσὶ καὶ ἀμφήριστοι· ὁ δὲ τῇ σαρκὶ παρὰ τὴν νοερὰν φύσιν τὰ πρωτεῖα νέμων τὸ πλέον εἰς ἀσέβειαν ἔχει. Ἀκουσάτωσαν οἱ μαθηταὶ τῆς ἀπάτης πρὸς τίνα τῷ διδασκάλῳ αὐτῶν καὶ περὶ τίνων ἡ ἅμιλλα.

[1232] Ἴδωμεν δὲ καὶ τὴν ἐφεξῆς ἀλυκτοπέδην, κατ' αὐτὸν εἰπεῖν τὸν Ἀπολιναρίου διδάσκαλον, ἣν ταῖς ἀλύτοις σειραῖς τῶν συλλογισμῶν διασφίγξας προτείνεται. Εἰ ἄνθρωπον, φησίν, οἴεταί τις ἑνοῦσθαι Θεῷ παρὰ πάντας ἀνθρώπους καὶ ἀγγέλους. Ἄρα χρὴ καὶ τὴν ἐν τούτοις
207 διεξετάζειν διάνοιαν. Ἀλλ' ὅμοιον ἂν εἴη ψυχὴν ἐν λίθῳ ζητεῖν καὶ ἐν ξύλῳ φρόνησιν καὶ ἐν τοῖς ἐκτεθεῖσι ῥήμασιν ἔμφασίν τινος ἐνθυμήσεως, οὐ λέγω τῆς κρείττονος, ἀλλὰ τῆς γοῦν εἰς τὸ ἀσεβὲς συντελούσης· μᾶλλον δ' ἂν ἐκ τῆς συμφράσεως μαρτυρηθείη τὸ τῶν λεγομένων ἀδιανόητον. Ποιήσει μὴ αὐτεξουσίους τοὺς ἀγγέλους καὶ τοὺς ἀνθρώπους ὡς οὐδὲ ἡ σὰρξ αὐτεξούσιος. Φθορὰ δὲ τοῦ αὐτεξουσίου ζῴου τὸ μὴ εἶναι αὐτεξούσιον· οὐ φθείρεται δὲ ἡ φύσις ὑπὸ τοῦ ποιήσαντος αὐτήν· οὐκ ἄρα ἑνοῦται ὁ ἄνθρωπος Θεῷ. Βαβαὶ τῆς ἀνάγκης! Ὡς ἄλυτοι τῶν συλλογισμῶν αἱ πλεκτάναι! Ἀφαιρεῖται τῶν ἀνθρώπων καὶ τῶν ἀγγέλων τὸ αὐτεξούσιον ἡ πρὸς τὸ Θεῖον ἕνωσις καὶ φθορὰ τοῦ αὐτεξουσίου ζῴου τὸ μὴ εἶναι αὐτεξούσιον γίνεται, καὶ εἰ ταῦτα τεθείη, ἀποδείκνυται τὸ μὴ ἑνοῦσθαι ἄνθρωπον Θεῷ. Τί τοιοῦτον οἱ ἐγγαστρίμυθοι[α], τί δὲ οἱ ἐκ γῆς φωνοῦντες καὶ ἐγκαρδίους μαντείας πεπαι-

α. Πρβλ. Ἰουστίνου, Ἀποκρίσεις πρὸς τοὺς ὀρθοδόξους, περί τινων ἀναγκαίων θεμάτων, ΒΕΠ 4,109,1. PG 6,1324A. Κλήμεντος Ἀλεξανδρέως, Λόγος προτρεπτικὸς πρὸς Ἕλληνας, ΒΕΠ 7,23,26. PG 8,69A. Παιδαγωγὸς Β,Ι, ΒΕΠ 7,137,16. PG 8,404A. Γρηγορίου Θεολόγου, Λόγος Δ', ΒΕΠ 58,345,13.

δευμένοι παραπλήσιον τούτοις ἀποφοιβάζουσιν; Ἀφαιρεῖται τῶν ἀνθρώπων καὶ τῶν ἀγγέλων ἡ αὐτεξουσιότης, ἐὰν ἑνωθῇ τῷ Θεῷ τὸ ἀνθρώπινον. Μὴ οὐκ ἦν ἄνθρωπος ὁ εἰπὼν «νῦν δὲ ζητεῖτέ με ἀποκτεῖναι, ἄνθρωπον ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα;»[1] μὴ οὐκ ἀνεκράθη τῇ θείᾳ φύσει ὁ πᾶσαν τὴν θεϊκὴν δύναμιν ἐν ἑαυτῷ δεικνὺς κατ' ἐξουσίαν ἐνεργῶν ὅπερ ἐβούλετο; εἰ μὲν οὖν οὐκ ἐγένετο τοῦτο ἐν ἐκείνῳ καὶ ἐν τούτῳ ἐκεῖνο, παραγραφέσθω τὴν εὐαγγελικὴν μαρτυρίαν, ψεύδους πάντως καὶ ὁ Παῦλος ἁλώσεται καὶ οἱ προφῆται καὶ πάντες οἱ τὰ θαύματα περὶ τοῦ Κυρίου προκαταγγέλλοντες καὶ οἱ τὰ μετὰ ταῦτα γεγονότα διηγησάμενοι. Εἰ δὲ ἀληθῶς γέγονε τοῦτο καὶ Θεὸς ἐφανερώθη ἐν σαρκὶ[2] καὶ ἡ σὰρξ ἡ ἀνακραθεῖσα τῇ θείᾳ φύσει ἓν πρὸς ἐκείνην ἐγένετο, ἄρα κατὰ τὸν ποιητικὸν μῦθον ἀπόλωλε τῇ ἀνθρωπίνῃ φύσει τὸ αὐτεξούσιον καὶ κατεδουλώθησαν **208** ⟨οἱ⟩ ἄγγελοι, ἐπειδὴ τοῦτο ἐγένετο, ζημιωθέντες τοῦ αὐτεξουσίου τὴν χάριν. Ὢ τῆς παραλόγου καινοφωνίας! Οἷα δὲ καὶ ἡ ἐπαγωγὴ τὸ λέγειν· φθορὰ δὲ τοῦ αὐτεξουσίου ζῴου ἐστὶ τὸ μὴ εἶναι αὐτεξούσιον. **[1233]** Ἄρα οὐκ ἀριθμεῖ τὸ οἰκετικὸν ἐν τοῖς ζῴοις, ὅτι μὴ αὐτεξουσίως οἰκονομεῖται παρὰ τὸν βίον τῇ ἐπικρατούσῃ δυναστείᾳ δεδουλωμένον; Ἐν γὰρ τῷ αὐτεξουσίῳ τὸ ζῷον εἶναί τινα ὁ λογογράφος ὁρίζεται· ᾧ δὲ μὴ πάρεστιν ἡ αὐτοκρατὴς τοῦ θελήματος κίνησις, μηδὲ ζῷον οἴεσθαι τοῦτον εἶναι νομοθετεῖ. Οὐκοῦν νεκρὸς ἦν ἐκεῖνος ὁ Χαναάν, ὅτε τοῖς ἀδελφοῖς διὰ τὴν ἀταξίαν κατεδουλώθη[3], νεκρὸς ὁ οἰκέτης τοῦ Ἀβραάμ[4], νεκρὸς Γιεζὶ τὸ τοῦ Ἐλισσαίου παιδάριον[5], καὶ ἐν τοῖς μετὰ ταῦτα χρόνοις νεκρὸς ὁ Ὀνήσιμος, νεκροὶ πάντες οἱ ἑκατοντάρχαι δουλεύοντες. Καὶ τί ταῦτα λέγω; Τεθνᾶσι πάντες οἱ ὑπεζευγμένοι ταῖς τῶν κρατούντων ἀρχαῖς, ἐν οἷς κωλύεται τὸ αὐτεξούσιον βούλημα. Ἀλλὰ καὶ οἷς ὁ Παῦλος νομοθετεῖ ταῖς ὑπερεχούσαις ἐξουσίαις ὑποτάσσεσθαι[6], νεκροὶ πάντως εἰσί, κἂν ψυχαὶ ὦσι, τῇ ἀπουσίᾳ τοῦ αὐτεξουσίου φθαρέντες καὶ μηκέτι ζῷα εἶναι δυνάμενοι. Τοῦτο γὰρ κελεύει τοῦ Ἀπολιναρίου ὁ μῦθος, ἵνα τὴν ἄψυχον ἐκείνην σάρκα συζεύξῃ τῷ ἐπὶ πάντων Θεῷ, εἴτ' οὖν ἄψυχον εἴτ' οὖν ἀνόητον· πρὸς ἀμφότερα γὰρ ἐπίσης ὁ μῦθος βλέπει. Ἀλλὰ τὸ μὲν ἄψυχον νεκρός ἐστι· τὸ δὲ δίχα διανοίας ἔμψυχον κτῆνός ἐστιν, ὅπερ οὐδὲ αὐτὸς οὗτος ἀποφεύγει ὡς ἄτοπον, ἀφαιρούμενος τῆς σαρκὸς ἐκείνης τὸ αὐτεξούσιον· τῶν γὰρ ἀλόγων ἴδιον τὸ μὴ ἐφ' ἑαυτῶν εἶναι, ἀλλ' ὑποτετάχθαι τῇ τοῦ ἀνθρώπου ἀρχῇ.

Ἀλλ' ἐάσθω καὶ ταῦτα, πρὸς δὲ τὰ ἐφεξῆς τοῦ λόγου μετέλθωμεν· λέξω δὲ τῇ ἐμαυτοῦ φωνῇ τὴν τοῦ ἐναντίου **209** διάνοιαν συντομίας χάριν. Ἐκ τριῶν εἶναι τὸν ἄνθρωπόν, φησι, πνεύματος καὶ ψυχῆς καὶ σώματος, ὡς καὶ τοῦ

---

1. Ἰω. 8,40. 2. Πρβλ. Α' Τιμ. 3,16. 3. Πρβλ. Γεν. 9,25. 4. Πρβλ. Γεν. 24,2. 5. Πρβλ. Δ' Βασ. 4,25. 6. Πρβλ. Ρωμ. 13,1.

Ἀποστόλου τοῦτο διὰ τῆς πρὸς Θεσσαλονικεῖς ἐπιστολῆς δογματίζοντος, καὶ ἐπάγει τῆς ὑμνῳδίας τῶν τριῶν παίδων τοῦτο τὸ μέρος τὸ «εὐλογεῖτε, πνεύματα καὶ ψυχαὶ δικαίων»[1]· εἶτα καὶ τὸ ἐν πνεύματι φησὶ λατρεύειν τῷ Κυρίῳ[2]· καὶ τὴν τοῦ Εὐαγγελίου φωνὴν παρατίθεται, δι' ἧς διδασκόμεθα τοὺς προσκυνοῦντας Θεῷ ἐν πνεύματι δεῖν προσκυνεῖν[3]. Ταῦτα διεξελθὼν προστίθησιν εἶναί τι παρὰ τοῦτο, τὴν σάρκα τὴν ἀντιστρατευομένην τῷ πνεύματι· ταύτην δὲ οὐκ ἄψυχον λέγει, ὡς διὰ τούτου δείκνυσθαι τρίτον εἶναι τὸ πνεῦμα παρὰ τὴν ψυχὴν καὶ τὸ σῶμα. Εἰ οὖν ἐκ τριῶν, φησίν, ὁ ἄνθρωπος, ἄνθρωπος δὲ καὶ ὁ Κύριος, ἐκ τριῶν πάντως ἐστὶ καὶ ὁ Κύριος, πνεύματος καὶ ψυχῆς καὶ σώματος. Ἵνα τοίνυν τὸ διημαρτημένον αὐτοῦ τῆς περὶ τῶν θείων Γραφῶν ὑπολήψεως γένηται δῆλον, ἐν ὀλίγῳ τὰ καθ' ἕκαστον τῶν εἰρημένων διαληψόμεθα. Καὶ πρῶτόν γε τὸ ἀποστολικὸν ἐξετάσωμεν. Οὐ γὰρ **[1236]** τὸν ἄνθρωπον τρισὶ[α] τμήμασι καταμερίζων ὁ Παῦλος κατά γε τὸν ἡμέτερον λόγον τοῖς Θεσσαλονικεῦσιν ἐκεῖνα γράφει, ὁλοτελῶς αὐτοὺς ἁγιασθῆναι εὐχόμενος τῷ Κυρίῳ, ἐν σώματι καὶ ψυχῇ καὶ πνεύματι[4]· ἀλλά τίς ἐστι φιλοσοφία περὶ τῆς κατὰ τοῦτον τὸν βίον προαιρέσεως διαφόρως ὑψηλοτέρα, οὐκ ἐνταῦθα μόνον, ἀλλὰ καὶ ἐν οἷς πρὸς τοὺς Κορινθίους ποιεῖται τὸν λόγον. Οἶδε γὰρ ἐκεῖ τινα σάρκινον ἄνθρωπον καὶ πνευματικὸν πάλιν ἕτερον καὶ διὰ μέσου τῶν δύο τὸν ψυχικόν[5]· τὸν μὲν ἐμπαθῆ καὶ ὑλώδη σάρκινον προσαγορεύων, τὸν δὲ μὴ βαρούμενον τῷ ἐφολκίῳ τοῦ σώματος ἀλλ' ἐν τοῖς ὑψηλοῖς τὴν διάνοιαν ἔχοντα πνευματικὸν ὀνομάζων, τὸν δὲ μηθέτερον ἀκριβῶς ὄντα καὶ **210** πρὸς ἑκάτερον ἔχοντα τὴν κοινωνίαν ψυχικὸν ἀποκαλῶν. Ταῦτα δὲ λέγων οὔτε τὸν σάρκινον τῆς κατὰ τὸν νοῦν ἢ τὴν ψυχὴν ἐνεργείας ἐστερῆσθαι λέγει οὔτε τὸν πνευματικὸν τῆς πρὸς τὸ σῶμα καὶ τὴν ψυχὴν συμπλοκῆς ἀλλότριον δείκνυσιν οὐδὲ τὸν ψυχικὸν ἢ ἄνουν ἢ ἄσαρκον ὑποτίθεται, ἀλλ' ἐκ τοῦ πλεονάζοντος τὰς ἐπωνυμίας ταῖς προαιρέσεσι τίθεται. Ὅ τε γὰρ ἀνακρίνων τὰ πάντα καὶ ὑπ' οὐδενὸς ἀνακρινόμενος[6] καὶ ἔνσαρκός ἐστι καὶ ἔμψυχος καὶ πνευματικὸς ὀνομάζεται· καὶ ὁ κατὰ τῆς εὐνῆς τῆς πατρῴας τῷ τῆς σαρκὸς πάθει λυσσήσας[7] οὔτε ἄψυχος ἦν οὔτε διανοίας κεχώριστο· ὡσαύτως δὲ καὶ ὁ μέσως ἔχων τοῦ τε ἐπαινετοῦ καὶ τοῦ κατεγνωσμένου ἐν ἑκατέροις ἐστὶ καὶ νοῦν ἔχων ἐν ἑαυτῷ καὶ τὴν φύσιν τῆς σαρκὸς περικείμενος. Ἀλλά, καθὼς εἴρηται, πρὸς τὰ φαινόμενα τοῦ βίου γνωρίσματα τῆς προσηγορίας κυρίως ἐφαρμοζούσης οἱ μὲν ἀπολαυστικοὶ

---

1. Δαν. 3,86. 2. Πρβλ. Ρωμ. 1,9. 3. Πρβλ. Ἰω. 4,23. 4. Πρβλ. Α' Θεσ. 5,23. 5. Πρβλ. Α' Κορ. 3,1. 15,44. 6. Πρβλ. Α' Κορ. 2,15. 7. Πρβλ. Α' Κορ. 5,1.

α. Πρβλ. Εἰρηναίου, Ἔλεγχος καὶ ἀνατροπὴ τῆς ψευδωνύμου γνώσεως Α,VII, ΒΕΠ 5,108,13 ἑξ. PG 7,517Α. Ἱππολύτου, Κατὰ πασῶν τῶν αἱρέσεων Ἔλεγχος, ΒΕΠ 5,364,9 ἑξ. PG 16,3419Α-Β.

τε καὶ φιλήδονοι καὶ πρὸς τὰς ἐριστικὰς φιλονεικίας ἐκθύμως ἔχοντες σάρκινοι λέγονται· οἱ δὲ τὰ πάντα μὲν ἀνακρίνοντες[1], αὐτοὶ μηδεμίαν παρέχοντες τοῖς βουλομένοις ἀνακρίσεως λαβὴν διὰ τὸ ὑψηλὸν τῆς πολιτείας πνευματικοὶ ὀνομάζονται· ψυχικὸν δὲ τὸν μεταξὺ τούτων ἑστῶτά φησιν, ὃς τοσοῦτον ὑποβέβηκε τοῦτον, ὅσον ἐκείνου ὑπερανέστηκεν. Ἐπειδὴ τοίνυν βούλεται τὸν δι᾿ ἀρετῆς τελειούμενον μὴ μόνον ἐν τῷ ὑψηλῷ μαρτυρεῖσθαι βίῳ, ἀλλὰ κἄν τι τῶν σωματικῶν ἐνεργῇ πρὸς Θεὸν βλέπειν, κἄν τι τῶν μέσων, μηδὲ οὕτως τοῦ Θεοῦ ἀπολείπεσθαι. («Εἴτε» γὰρ «ἐσθίετε», φησίν, «εἴτε πίνετε εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε»[2], ὡς καὶ ⟨διὰ⟩ τῶν σωματικῶν ἀσχολημάτων τοῦ σκοποῦ τῆς θείας δόξης μὴ ἀποπίπτειν). Διὰ τοῦτο τοῖς Θεσσαλονικεῦσιν ἤδη διὰ πάντων πρὸς τὸ κρεῖττον ὑπειλημμένοις ὁλοτελῆ τὸν ἁγιασμὸν διὰ τῆς εὐλογίας χαρίζεται εἰπών· ὁ δὲ Θεὸς ἁγιάσει ὑμᾶς ὁλοτελεῖς καὶ ὁλόκληρον ὑμῶν τὸ σῶμα καὶ ἡ ψυχὴ καὶ τὸ πνεῦμα[3], **211** τουτέστι πᾶν τὸ σωματικὸν καὶ ψυχικὸν καὶ πνευματικὸν ἐπιτήδευμα, πρὸς ἁγιασμὸν βλέποι. Οὗτος ὁ ἡμέτερος λόγος. Εἰ δέ φησιν ὁ Ἀπο**[1237]**λινάριος διὰ τούτου ἰδίως τὸν νοῦν εὐλογεῖσθαι καὶ τὸ σῶμα πάλιν καὶ τὴν ψυχὴν ἰδιαζόντως διαστεῖλαι τῆς ἐφ᾿ ἑκάστου τούτων εὐλογίας τὴν δύναμιν, πῶς ὁλόκληρον τὸ σῶμα φυλάσσεται τὸ πάντη καὶ πάντως ἐν τῷ θανάτῳ διαπεσούμενον; πῶς ὁλόκληρον τὸ δι᾿ ἐγκρατείας ὑποπιεζόμενόν τε καὶ ῥικνούμενον καὶ διὰ τῆς σκληροτέρας δουλαγωγίας σαθροποιούμενον; πῶς ἂν τις εἴποι τὸν πτωχὸν ἐκεῖνον Λάζαρον μὴ διημαρτηκέναι τῆς εὐλογίας τοῖς τοιούτοις ἕλκεσι βρύοντα[4] καὶ διὰ τῶν ἰχώρων ἐκδαπανώμενον; Ἀλλά, κἂν παράδοξον εἰπεῖν, ἐν ἐκείνῳ τῷ σώματι τῷ διερρυηκότι τοῖς ἕλκεσιν ἐντελὴς ἦν ἡ εὐλογία τοῦ Παύλου· ὁλόκληρον γὰρ αὐτοῦ τὸ σῶμα τῇ ψυχῇ διὰ τῆς πνευματικῆς πολιτείας συνδιεσώθη[5], ὅτι οὐ κατεσπάσθη ταῖς τῆς σαρκὸς ἀνάγκαις ἀπὸ τῆς ὑψηλοτέρας ἐλπίδος εἴς τι τῶν ἀπρεπῶν νοημάτων· οὐ γὰρ παρέσχεν ἡ σὰρξ τῇ ψυχῇ περισπασμὸν οὐδὲ ἐπεθορυβεῖτο τοῖς πάθεσι τοῖς σωματικοῖς ἡ διάνοια.

Ἥ τε τῶν τριῶν ὑμνῳδία παίδων πνεύματα καὶ ψυχὰς δικαίων πρὸς κοινωνίαν τῆς δοξολογίας[6] παραλαμβάνουσα οὐκ ἰδίᾳ τὰς ψυχὰς αἰνεῖν διακελεύεται καὶ ἰδίᾳ τῶν ψυχῶν τὰ πνεύματα, καθὼς ὁ Ἀπολινάριος οἴεται. Τίς γὰρ ἂν γένοιτο τῆς ψυχῆς ἰδιάζων αἶνος μὴ διὰ τῆς διανοίας πληρούμενος; Ψυχὴ γὰρ διανοίας κεχωρισμένη, καθὼς ἤδη πολλάκις εἴρηται, κτῆνός ἐστι τῆς λογικῆς τε καὶ διανοητικῆς ἐνεργείας ἀμέτοχον. Τί οὖν ἄρα τὸν νοῦν, καθὼς οὗτός φησιν, ἀποχωρίζει τῆς ψυχῆς ἡμῶν; Δεδόσθω δυνατὸν εἶναι παρὰ τῶν πνευμάτων πληροῦσθαι τὸν αἶνον τῷ Θεῷ, διότι νοῦν εἶναι λέγει τὰ πνεύματα. Εἰ

1. Πρβλ. Α' Κορ. 2,15. 2. Α' Κορ. 10,31. 3. Πρβλ. Α' Θεσ. 5,23. 4. Πρβλ. Λουκ. 16,20. 5. Πρβλ. Α' Θεσ. 5,23. 6. Πρβλ. Δαν. 3,86.

δὲ τὴν ψυχὴν ἄλλο τι παρὰ τὸν νοῦν οἴεται, πῶς αἰνέσει τὸν Θεὸν ὁ ἀνόητος; τίς ἐξ ἀνοίας ἀρέσει τῷ Θεῷ ὑμνῳδία; τίς δ' ἂν ἔτι χρεία γένοιτο τοῦ νοῦ τῇ ψυχῇ, **212** εἴπερ ἐπὶ τῆς θείας δοξολογίας αὐτάρκης εἴη καθ' ἑαυτὴν ὑμνῳδοῦσα καὶ μηδὲν τῆς τοῦ νοῦ συνεργίας προσδεομένη; Ἀλλ' οὐ ταῦτα παρὰ τῶν ἐξηγησαμένων ἡμῖν μεμαθήκαμεν. Ἀλλ' ἐπειδὴ ἰσάγγελοί εἰσιν αἱ ψυχαί[1] τῶν σωματικῶν λυθεῖσαι δεσμῶν, καθὼς ὁ Κύριος λέγει, διὰ τοῦτο τῇ μετὰ τῶν πνευμάτων συζυγίᾳ τὴν πρὸς τοὺς ἀγγέλους τῶν ψυχῶν ὁμοτιμίαν ὁ λόγος ἐνδείκνυται· πνεύματα γὰρ οἱ ἄγγελοι κατὰ τὸν εἰπόντα προφήτην· «ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα»[2], μεθ' ὧν ὑμνῳδεῖν οἱ τρεῖς παῖδες καὶ τὰς τῶν δικαίων ἀξιοῦσι ψυχάς. Ὁ δὲ Σωτὴρ λέγων ἐν πνεύματι δεῖν προσκυνεῖν τὸν Θεὸν[3] οὐ τὸν νοῦν δηλοῖ τῇ προσηγορίᾳ τοῦ πνεύματος, ἀλλὰ τὸ μὴ δεῖν σωματικάς τι**[1240]**νας περὶ τὸ Θεῖον τὰς ὑπολήψεις ἔχειν. Ἐπειδὴ γὰρ ἡ Σαμαρεῖτίς φησι πρὸς τὸν Κύριον ἐν τῷ ὄρει δεῖν προσκυνεῖν τὸν Θεὸν[4] ὡς ἐν περιγεγραμμένῳ τῷ τόπῳ, ὅπερ οὐκ ἔξω τῆς σωματικῆς ὑπονοίας ἐστί, διὰ τοῦτό φησι πρὸς τὴν πεπλανημένην ἐκ τῆς ἀληθείας ὁ Λόγος, ὅτι πνεῦμα ὁ Θεός, τουτέστιν ἀσώματος, καὶ τοὺς προσκυνοῦντας αὐτὸν μὴ σωματικῶς δύνασθαι προσεγγίζειν τῷ ἀσωμάτῳ, ἀλλ' ἐν πνεύματι καὶ ἀληθείᾳ πληροῦν τὴν προσκύνησιν[5]. Ἀντιδιαστέλλει γὰρ τὰς διορθωτικὰς φωνὰς ταῖς διπλαῖς ἀγνοίαις, τὴν μὲν ἀλήθειαν τῷ τόπῳ, τὸ δὲ πνεῦμα ἀντιδιαιρῶν ταῖς σωματικαῖς ὑπολήψεσιν. Τούτου χάριν καὶ ὁ Παῦλος οὔτε ἐν τόπῳ οὔτε ἐν σώματι, ἀλλ' ἐν πνεύματι λατρεύειν φησὶ τῷ Κυρίῳ[6] τῇ ἀληθείᾳ ἑπόμενος. Τὸ δὲ λέγειν ὅτι ἡ σὰρξ τῷ νόμῳ τοῦ Θεοῦ οὐχ ὑποτάσσεται, αὐτόθεν ἔχει τῆς τοῦ δόγματος αὐτῶν ἀπάτης τὸν ἔλεγχον· τὸ γὰρ ἀντιστρατεύεσθαι[7] καὶ αἰχμαλωτίζειν[8] καὶ μὴ ὑποτάσσεσθαι[9] καὶ πάντα τὰ τοιαῦτα προαιρέσεώς ἐστιν ἐνεργήματα. **213** Νοῦ δὲ μὴ ὄντος οὐδ' ἂν ἡ προαίρεσις εἴη. Οὐκοῦν, ἥν φησιν Ἀπολινάριος σάρκα ἔμψυχόν τε καὶ ἐμπροαίρετον, ταύτην οὐδὲ τοῦ νοῦ κεχωρίσθαι ὁμολογεῖ. Ἀλλὰ κἂν σὰρξ λέγηται μόνον, τὸν τέλειον τῆς ἀνθρωπότητος λόγον ἐν ἑαυτῇ περιέχει, ὡς μὴ δύνασθαί τινος τῶν συμπληρωτικῶν τῆς φύσεως λείποντος ἔτι τὸ λειπόμενον ἄνθρωπον λέγεσθαι.

Ἀλλ' ἐκ τριῶν, φησίν, *ὁ ἄνθρωπος*. Δεδόσθω τοῦτο, κἂν μὴ κατ' ἀνάγκην ἡμᾶς ὁ λόγος τῇ συγκαταθέσει προσάγηται. *Ἀλλὰ καὶ ὁ Κύριος ἄνθρωπος*, φησί, *λεγόμενος ἐκ τριῶν κἀκεῖνος, πνεύματος καὶ ψυχῆς καὶ σώματος*. Οὐδὲ τούτῳ τέως ἀντιμαχόμεθα· πάντα γάρ, ὅσα τὴν ἡμετέραν συμπληροῖ φύσιν, καὶ περὶ ἐκεῖνον τὸν ἄνθρωπον εἶναί τις λέγων οὐχ ἁμαρτήσεται. *Ἀλλὰ καὶ ἐπουράνιος ἄνθρω-*

---

1. Πρβλ. Λουκ. 20,36. 2. Ψαλ. 103,4. 3. Πρβλ. Ἰω. 4,23. 4. Πρβλ. Ἰω. 4,20. 5. Πρβλ. Ἰω. 4,24. 6. Πρβλ. Ρωμ. 1,9. 7. Πρβλ. Ρωμ. 7,23. 8. Ἔνθ' ἀν. 9. Πρβλ. Ρωμ. 10,3.

πος, περὶ τοῦ Κυρίου τοῦτο λέγει, καὶ πνεῦμα ζωοποιοῦν. Καὶ ταῦτα δεχόμεθα· ἡμετέρα γάρ, εἰ πρὸς τὸ δέον ἐκληφθείη αὐτῶν ἡ διάνοια. Ὁ γὰρ ἀνακραθεὶς τῷ ἐπουρανίῳ καὶ μεταποιήσας διὰ τῆς πρὸς τὸ κρεῖττον ἐπιμιξίας τὸ γήινον οὐκέτ' ἂν χοϊκός, ἀλλ' ἐπουράνιος[α] λέγοιτο· καὶ ὁ τῷ ζωοποιῷ Πνεύματι [ὁ δὲ] ποιῶν ἐφ' ἡμῶν τὴν ἐνέργειαν καὶ πνεῦμά ἐστι ζωοποιοῦν. Ἀλλ' ἴδωμεν πρὸς τί χρῆται τοῖς εἰρημένοις ὁ λογογράφος. Εἰ ἐκ πάντων, φησί, τῶν ἴσων ἡμῖν ἐστι τοῖς χοϊκοῖς ὁ ἐπουράνιος ἄνθρωπος, ὥστε καὶ τὸ πνεῦμα ἴσον ἔχειν τοῖς χοϊκοῖς, οὐκ ἐπουράνιος ἀλλ' ἐπουρανίου Θεοῦ δο**[1241]**χεῖον. Πολὺ μὲν ἐν τοῖς εἰρημένοις ἐστὶ τὸ ἀσαφὲς καὶ δυσφώρατον διὰ τὴν ἑρμηνευτικὴν ἀτονίαν· πλὴν ἀλλὰ ῥᾴδιον ἀνακαλύψαι τὸ βούλημα. Φησὶ γάρ, εἰ μὲν ἐλλιπὴς
214 εἴη τῷ νῷ ἐκεῖνος ὁ ἄνθρωπος, ἐπουράνιον αὐτὸν εἶναι· εἰ δὲ ἄρτιος εἴη, μηκέτι ἐπουράνιον, ἀλλὰ δοχεῖον γενέσθαι τοῦ ἐπουρανίου Θεοῦ. Ἐν τούτοις δὲ τί ἄν τις τῶν εἰρημένων πρὸ τοῦ ἑτέρου βδελύξαιτο; Τὸ ἐμποδίζεσθαι τῇ ἀρτιότητι τὸ Θεῖον οἴεσθαι, ὡς οἰκειοτέρας παρὰ τὸν νοῦν τῆς σαρκὸς οὔσης πρὸς τὴν τῆς θεότητος ἕνωσιν· ἢ τὸ τὸν Θεὸν μὲν ἐπουράνιον πιστεύειν εἶναι, τὸν δὲ δεξάμενον ἐν ἑαυτῷ τὸν Θεὸν τὸν οὐράνιον μὴ ἐκεῖ εἶναι, ὅπου ὁ Θεὸς εἶναι πιστεύεται, ἀλλ' ἑτέρωθι παρὰ τὸν οὐράνιον εἶναι καὶ ἄλλο τι παρὰ τοῦτο κατονομάζεσθαι; Εἰ γάρ, φησὶν ὁ Ἀπολινάριος, οὐρανίου Θεοῦ δοχεῖόν ἐστιν, ὁ δὲ Θεὸς ἐν τῷ οὐρανῷ ἄνω,[1] καθὼς ὁ Ἐκκλησιαστὴς λέγει. Ἄρα ὁ χωρήσας ἐν ἑαυτῷ τὸν Θεὸν μετὰ τοῦ χωρηθέντος ἐστὶν ἐπουράνιος ἀντὶ χοϊκοῦ κυρίως λεγόμενος· ὡς καὶ δι' ὧν φησιν ὁ λογογράφος, εἴπερ τὸ ἀκόλουθον τοῖς ἰδίοις λόγοις ἠπίστατο, σαφῶς τὸ δόγμα τῆς ἀληθείας κατασκευάζεται, τῇ σοφίᾳ τῶν ἐχθρῶν κρατυνόμενον.

Ἀλλὰ τὸ ἐφεξῆς ἐξετάσωμεν. Εἰ δὲ ἡμεῖς μέν, φησίν, ἐκ τριῶν, αὐτὸς δὲ ἐκ τεσσάρων, οὐκ ἄνθρωπος, ἀλλὰ ἀνθρωπόθεος. Μὴ γελάτω πρὸς τὸ μωροφανὲς τοῦ ῥήματος καὶ ἀνόητον ὁ ἐντυγχάνων τῷ λόγῳ, στεναζέτω δὲ μᾶλλον πρὸς τὴν ἑκούσιον πήρωσιν τῶν τῇ ἀλογίᾳ ταύτῃ δεδουλωμένων. Ἐὰν πᾶσα ἡ ἀνθρωπίνη φύσις τῇ ἐπισκηνώσει τῆς θείας δυνάμεως σῴζηται, ἀνθρωπόθεος ὁ Θεὸς Λόγος ὀνομασθήσεται· καὶ καθάπερ οἱ μῦθοι ἐκ διαφόρων συμπλέκοντες φύσεων τερατεύονται ζῷον καὶ σχήματα καὶ ὀνόματα ἱππελάφους καὶ τραγελάφους καὶ τὰ τοιαῦτα πλάσσοντές τε καὶ ὀνομάζοντες, οὕτως καὶ ὁ νέος μυθοποιὸς κατὰ τοὺς διδασκάλους αὐτοῦ τῆς ποιήσεως καταχλευάζει τὸ θεῖον **215** μυστή-

1. Πρβλ. Ἐκκλ. 5,1.

α. Πρβλ. Μ. Βασιλείου, Ἐπιστολαί, 260, ΒΕΠ 55,324,12-13.

ριον. Καὶ τοῦ Ἀποστόλου διαρρήδην βοῶντος ὅτι «δι' ἀνθρώπου ἀνάστασις» ἐκ «νεκρῶν»[1], οὐχ ἡμίσεος ἀνθρώπου οὐδὲ μικρόν τι ὑπὲρ τὸ ἥμισυ ἔχοντος, ἀλλὰ τῷ ἀπολύτῳ τῆς φωνῆς ἀμείωτον ἐνδειξαμένου τὴν φύσιν τὴν σημαινομένην ἐν τῷ ὀνόματι, οὗτος Μινώταυρον ἡμῖν διὰ τῆς αἰσχρᾶς ταύτης ὀνοματοποιίας τερατεύεται τὸ μυστήριον, πολλὰς παρέχων τοῖς ἀλλοτρίοις τῆς πίστεως ἀφορμάς, δι' ὧν εἴρηκεν, εἰς τὸ χλευάζειν τὸν λόγον τῆς πίστεως. Οὐ γὰρ ἔστι τὸν διασύρειν ἐπὶ γέλωτι τὰ δόγματα θέλοντα τῆς ἀτόπου ταύτης συνθέσεως τῶν λόγων ἀποτραπῆναι, **[1244]** κἂν τὸ τοῦ λογογράφου κἂν τὸ ἡμέτερον ἐπικρατέστερον εἶναι δόξῃ· ὅ,τι γὰρ ἂν ἐξ ἀμφοτέρων εἴπῃς, τὴν ἐκ τῶν δύο φύσεων σύνθεσιν οὐκ ἀφαιρήσεις τοῦ λόγου. Οὐ γὰρ ὁ ἄνωθεν φήσας εἶναι τὴν σάρκα τὸ μηδὲ σάρκα αὐτὴν εἶναι κατασκευάζει· ἡ δὲ σὰρξ ἐμψύχῳ τινὶ φύσει διοικουμένη καὶ ζωτικὴν ἐν ἑαυτῇ δύναμιν ἔχουσα, καθὼς καὶ ὁ Ἀπολινάριος βούλεται, τὴν τοῦ ἀνθρώπου προσηγορίαν κυρίως ἔχει· ὁ δὲ προσλαβόμενος αὐτὴν καὶ ἑαυτὸν δι' ἐκείνης φανερώσας ἕτερος τῇ φύσει πάντως παρ' ἐκείνην ἐστίν· αὐτὸ γὰρ τὸ τῆς προσλήψεως ὄνομα τὴν κατὰ φύσιν ἑτερότητα τοῦ προσλαβομένου παρὰ τὸ προσειλημμένον ἐνδείκνυται. Τί οὖν τὸ κωλῦον ἔσται, κἂν ταῦτα κρατῇ, τὸν ἐν σαρκὶ φανερωθέντα Θεὸν διὰ τῆς ἀτόπου ἐκείνης ὀνοματοποιίας ὑβρίζεσθαι, ὥστε καὶ τὸν οὕτω συνεστηκότα κατὰ τὴν τολμηρὰν τοῦ Ἀπολιναρίου φωνὴν ἀνθρωπόθεον λέγεσθαι; Οὐδὲ γὰρ τὸν τραγέλαφον, ἐπειδὴ ὅλῳ τῷ ἐλάφῳ ἐξ ἡμίσεος προσεφύη τὸ τράγειον ἢ τὸ ἔμπαλιν περὶ τὴν τῶν ζῴων ἐγένετο μίξιν, ὥστε ἀκεραίῳ τράγῳ προσφυῆναι τὸ ἐλάφιον μέρος, διὰ τοῦτο κατὰ τὸν εἰρημένον τρόπον ὁ μῦθος ὠνόμασεν, ἀλλὰ τὸ ὁπωσοῦν μετασχεῖν ἑκατέρας τῆς φύσεως ἡ τῶν ὀνομάτων σύνθεσις **216** διερμηνεύει. Ὥστε κατὰ τὸν λογογράφον, εἰ ἔστιν ὁ αὐτὸς ἄνθρωπος καὶ Θεὸς ὁπωσοῦν τὴν συνάφειαν ἔχων, εἴτε πάσης συνδραμούσης τῆς φύσεως εἴτε καὶ ἐλλιπῶς ἐχούσης, τὴν ἄτοπον ἐκείνην τοῦ ὀνόματος συνθήκην οὐ διαφεύξεται. Καὶ εἰ ταῦτα παρ' αὐτοῦ μαθόντες οἱ Ἕλληνες κωμῳδοῖεν ἡμῶν τὸ μυστήριον, πάντως ὁ τὴν ἀφορμὴν παρασχὼν τῆς βλασφημίας ἐν τῇ προφητικῇ κατάρᾳ γενήσεται, ἥ φησιν οὐαὶ δι' οὗ τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσιν![2]

Οἷα δὲ τοῖς εἰρημένοις προστίθησι πάλιν, κατανοήσωμεν. Ε ἰ ἐ κ δ ύ ο, φησί, τ ε λ ε ί ω ν, ο ὔ τ ε ἐ ν ᾧ Θ ε ό ς ἐ σ τ ι ν, ἐ ν τ ο ύ τ ῳ ἄ ν θ ρ ω π ό ς ἐ σ τ ι ν, ο ὔ τ ε ἐ ν ᾧ ἄ ν θ ρ ω π ο ς, ἐ ν τ ο ύ τ ῳ Θ ε ό ς. Εἰ δὲ ἐξ ἀπολείποντος καὶ τελείου κατὰ τὸν ἐκείνου λόγον εἶναι δοθείη τὸ σύγκριμα, ἆρ' οὐχὶ τὸ ἴσον παρὰ τῶν τὰ τοιαῦτα τολμώντων ῥηθήσεται, ὅτι ἐν ᾧ Θεός ἐστιν ἄνθρωπος οὐκ ἔστι, καὶ ἐν ᾧ ἄνθρωπός ἐστι Θεὸς οὐκ ἔστιν; Ἕτερος γὰρ παντὶ

1. Α' Κορ. 15,21. 2. Πρβλ. Ἠσ. 52,5. Ρωμ. 2,24.

τρόπῳ ὅ τε τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος λόγος καὶ οὐκ ἄν τις τὴν ἐλάττωσιν τῆς ἀνθρωπότητος ὅρον εἶναι τῆς θείας ὑπονοήσειε φύσεως· οὐ γὰρ ἐν τῷ τοῦτο μὴ εἶναι ἢ ἀτελῶς εἶναι ἐκεῖνό ἐστιν, ἀλλ' ἑκάτερον ἐφ' ἑαυτοῦ νοούμενον ἐν ἰδίοις θεωρεῖται ὀνόμασιν. Ὅ τε γὰρ Θεὸν ἀκούσας, ὅσα περὶ Θεοῦ πρέπει νοεῖν, διὰ τῆς προσηγορίας ταύτης συμπαρεδέξατο καὶ ὁ τὴν τοῦ ἀνθρώπου προσηγορίαν παραδεξάμενος πᾶσαν τὴν **[1245]** φύσιν διὰ τῆς φωνῆς ταύτης ἀνετυπώσατο καὶ οὐδεμίαν ὀνόμασιν ἡ διάνοια τῶν λεγομένων πάσχει, ὥστε ἐν θατέρῳ τῶν ὀνομάτων ἐννοῆσαι τὸ ἕτερον. Οὔτε γὰρ ἐν τούτῳ ἐκεῖνο οὔτε ἐν ἐκείνῳ τοῦτο σημαίνεται, ἀλλ' ἕκαστα τῶν ὀνομάτων τῇ κατὰ φύσιν παραμένει διανοίᾳ καὶ κατ' οὐδένα τρόπον αἱ ἐμφάσεις αὐτῶν πρὸς ἀλλήλας ὑπαλλαγήσονται. Τὸ δὲ ἀτελὲς καὶ τὸ τέλειον ἑτέρων νοημάτων ὑπόθεσις τῷ ἀκούοντι γίνεται. Τέλειον μὲν γάρ φαμεν τὸ συμπεπληρω**217**μένον τῷ ἰδίῳ λόγῳ τῆς φύσεως· ἀτελὲς δὲ τὸ ἐναντίον. Οὐθέτερον δὲ τούτων ἐφ' ἑαυτοῦ λεγόμενον οὔτε ἄνθρωπον οὔτε Θεὸν ἑρμηνεύει, ἀλλ' ᾧπερ ἂν συνονομασθῇ πράγματι ἢ ὀνόματι, ἢ πλῆρες ἢ ἐλλιπὲς τὸ δηλούμενον ἐννοεῖν ὑποτίθεται. Πῶς οὖν, εἰ ἀτελὴς εἴη ὁ ἄνθρωπος, Θεὸς εἶναι τὸ ἀτελὲς παρὰ τοῦ Ἀπολιναρίου κατασκευάζεται ὡς συμβαινούσης τῷ λόγῳ τῆς θεότητος τῆς κατὰ τὴν φύσιν ἡμῶν κολοβώσεως;

Πάλιν δὲ πρὸς τὸ ἐφεξῆς προάγων τὸν λόγον φησίν· οὐ δύναται σῴζειν τὸν κόσμον ὁ ἄνθρωπος ἄνθρωπος μένων καὶ τῇ κοινῇ τῶν ἀνθρώπων φθορᾷ ὑποκείμενος. Φημὶ τοῦτο κἀγώ· εἰ γὰρ αὐτάρκης ἦν ἡ ἀνθρωπίνη φύσις πρὸς τὸ ἑαυτῇ τὸ ἀγαθὸν κατακτήσασθαι, περιττὸν τὸ μυστήριον. Ἐπειδὴ δὲ ἀμήχανον ἦν ἔξω θανάτου γενέσθαι μὴ Θεοῦ τὴν σωτηρίαν πορίσαντος, διὰ τοῦτο τὸ φῶς ἐν τῇ σκοτίᾳ λάμπει[1] διὰ σαρκός, ἵν' ἐξορίσῃ τῆς σαρκὸς τὴν ἐκ τοῦ σκότους ἀπώλειαν. Ἀλλ' οὐδὲ ὑπὸ Θεοῦ, φησί, μὴ ἐπιμιχθέντος ἡμῖν σῳζόμεθα. Σωφρονεῖν ἔοικεν ἐν τοῖς λεγομένοις ὁ λογογράφος καὶ πρὸς τοὺς ἔμφρονας λογισμοὺς τὴν ψυχὴν ἐπανάγει· ὁ γὰρ μίξιν εἰπὼν τῶν κατὰ φύσιν διεστώτων σημαίνει τὴν ἕνωσιν. Μίγνυται δέ, φησί, σὰρξ γενόμενος, τουτέστιν ἄνθρωπος, καθὼς τὸ Εὐαγγέλιον λέγει, ὅτε σὰρξ ἐγένετο, τότε αὐτὸν ἐν ἡμῖν ἐσκηνωκέναι. Οὐδὲ ταῦτα τοῦ ὑγιαίνοντος ἀπᾴδει λόγου, εἰ μή τι παρασπαρείη αὐτῷ μετὰ ταῦτα τῆς ζιζανιώδους σπορᾶς. Οὗτος γὰρ ἡμέτερος, μᾶλλον δὲ τῆς ἀληθείας ὁ λόγος, ὅτι τότε ἐσκήνωσεν ἐν ἡμῖν, ὅτε σὰρξ ἐγένετο[2], καὶ τὸ ἔμπαλιν, τότε σὰρξ ἐγένετο, ὅτε ἐσκήνωσεν ἐν ἡμῖν. Εἰ οὖν ἐξ ἐκείνου ἡ σάρξ, ἀφ' οὗ ἡ ἐν ἡμῖν κατασκήνωσις, ἄρα πρὶν εὐαγγελισθῆναι ὑπὸ τοῦ Γαβριὴλ τὴν Παρ**218**θένον σὰρξ οὐδέπω ὁ Λόγος ἦν· καὶ ψευδὴς

1. Πρβλ. Ἰω. 1,5. 2. Πρβλ. Ἰω. 1,14.

ὁ λέγων ἐκ τῶν ἄνωθεν καταβεβηκέναι πρὸς ἡμᾶς τὸ ἀνθρώπινον καὶ πρὸ τῆς ἀνθρωπίνης φύσεως ἐκεῖνον εἶναι τὸν ἄνθρωπον, δι' οὗ τὸ Θεῖον τῇ ἀνθρωπίνῃ κατεμίχθη ζωῇ. Ἀλλ' οὐδὲ λύει, φησί, τὴν τῶν ἀνθρώπων ἁμαρτίαν μὴ γενόμενος ἄνθρωπος ἀναμάρτητος οὐδὲ [1248] τὴν κατὰ πάντων ἀνθρώπων τοῦ θανάτου βασιλείαν καταλύει, εἰ μὴ ὡς ἄνθρωπος ἀπέθανε καὶ ἀνέστη. Εἴθε μέχρι τέλους ἦν εὐγνώμων τὰ ἐκ τῆς Ἐκκλησίας φθεγγόμενος! Πάλιν δὲ πρὸς ἑαυτὸν ἐπανέρχεται καί φησι τὸν ἐκκλησιαστικὸν αἰτιώμενος λόγον, ὅτι περὶ τὸν ἄνθρωπον θεωροῦμεν τὸ πάθος, καὶ ἐπάγει τὸν ἴδιον λόγον εἰς ἔλεγχον τῆς ὑπολήψεως ἡμῶν ἔχοντα οὕτως· ἀνθρώπου δέ, φησί, θάνατος οὐ καταργεῖ τὸν θάνατον. Τί κατασκευάζων ταῦτά φησιν; Ὅτι αὐτὴ τοῦ Μονογενοῦς ἡ θεότης, αὐτὴ ἡ δύναμις, αὐτὴ ἡ ἀλήθεια, αὐτὴ ἡ ζωὴ ἐν τῷ κατὰ τὸν σταυρὸν πάθει ἀπενεκρώθη, ὥστε κατὰ τὴν τριήμερον ἐκείνην τοῦ χρόνου περιγραφὴν μὴ ζωὴν εἶναι, μὴ δύναμιν, μὴ δικαιοσύνην, μὴ φῶς, μὴ ἀλήθειαν, μὴ αὐτὴν τὴν θεότητα. Οὐ γὰρ μιᾶς ἀποθανούσης θεότητος ἑτέραν ὑπολελεῖφθαι λέγει, διότι πολλαχοῦ δείκνυται Ἀρείῳ περὶ τούτου μαχόμενος καὶ μίαν εἶναι κατασκευάζων τῆς Τριάδος θεότητα, ἧς ἐν τούτῳ νεκρωθείσης, καθὼς συγκατασκευάζει τῷ λόγῳ, πάντως ἑτέρα οὐκ ἦν. Καὶ πῶς ἄν τις ὑπονοήσειεν αὐτὸν μὴ θνητὴν ποιεῖν τὴν θεότητα, συνιδεῖν οὐκ ἔχω. Οὐδὲν γὰρ ἕτερόν ἐστιν ἐπ' ἀνθρώπου θάνατος, εἰ μὴ τοῦ συνθέτου διάλυσις· οὐδὲ γὰρ ἐν ἡμῖν τοῦ σώματος εἰς τὰ ἐξ ὧν σύγκειται λυομένου καὶ ἡ ψυχὴ συνδιαπίπτει τῇ διαλύσει τοῦ σώματος, ἀλλὰ τὸ μὲν σύνθετον διαλύεται, τὸ δὲ ἀσύνθετον ἀδιάλυτον μένει[α]. Εἰ οὖν ψυχῆς οὐχ ἅπτεται θάνατος, πῶς ἡ θεότης ἀπονεκροῦται, λεγέτωσαν οἱ μὴ εἰδότες ἃ λέγουσιν.

Τὰ δὲ ἐχόμενα τούτων, ὅσα τῆς αὐτῆς ἐστι κατασκευῆς, ὑπερβήσομαι· φησὶ γὰρ ἐν τοῖς ἐφεξῆς, κατασκευάζων **219** τὸ αὐτὴν τεθνάναι τοῦ Μονογενοῦς τὴν θεότητα, ὅτι ἀνθρώπου θάνατος οὐ καταργεῖ τὸν θάνατον οὐδὲ ἀνίσταται ὁ μὴ ἀποθανών· ἐξ ὧν, φησίν, ἁπάντων δῆλον, ὅτι αὐτὸς ὁ Θεὸς ἀπέθανε, καθό, φησίν, οὐκ ἦν δυνατὸν κρατεῖσθαι τὸν Χριστὸν ὑπὸ τοῦ θανάτου[1]. Ἅπερ ὡς πρόδηλον ἔχοντα τὴν ἀτοπίαν παραδραμεῖν οἶμαι δεῖν ἀνεξέταστα παντὸς τοῦ γε νοῦν ἔχοντος καθ' ἑαυτὸν συνιδεῖν δυναμένου τὸ ἀσεβές τε καὶ ἄτοπον τοῦ διαρρήδην ἀποφαινομένου αὐτὸν τὸν Θεὸν τεθνάναι, τῇ ἰδίᾳ ἑαυτοῦ φύσει ὑποστάντα τὸν θάνατον. Πλὴν τοσοῦτον εὔλογον ἴσως ἐστὶ παρασημήνασθαι, ὅτι οὐδὲ ὅσα ἐκ τοῦ ἡμετέρου

---

1. Πρβλ. Πράξ. 2,24.

α. Πρβλ. Γρηγορίου Νύσσης, ἀνωτέρω σ. 228,6-8.

προσώπου λέγει, καθαρεύει τοῦ ψεύδους, ἀλλ' ἔστιν ἐν αὐτοῖς, ἃ συκοφαντικῶς ἐπὶ διαβολῇ συμπέπλασται τοῦ ἡμετέρου λόγου. Λέγει γὰρ μὴ ἐξ ἀρχῆς εἶναι τὸν Χριστὸν παρ' ἡμῶν λέγεσθαι, ὥστε τὸν Λόγον εἶναι Θεόν. Ἡμεῖς δὲ τὸ ἐπ' ἐσχάτων ἡμερῶν διὰ σαρκὸς πεφανερῶσθαι τὴν δύναμιν τοῦ Θεοῦ καὶ τὴν σοφίαν καὶ τὸ φῶς καὶ τὴν ζωήν, ἅπερ πάντα ὁ Χριστός ἐστιν, οὐκ ἀρνούμεθα· τὸ δὲ λέγειν μὴ εἶναί ποτε ταῦτα τὸν **[1249]** διὰ τούτων δηλούμενόν τε καὶ ὀνομαζόμενον Κύριον καὶ Χριστόν, οὐδὲν ἀνεκτότερον εἰς ἀσέβειαν τῆς παντελοῦς ἀρνήσεως τοῦ ὀνόματος κρίνομεν. Ὁ γὰρ μὴ ἐξ ἀρχῆς λέγων εἶναι Χριστὸν («Χριστὸς δὲ Θεοῦ δύναμις καὶ Θεοῦ σοφία»[1] καὶ πᾶν ὑψηλόν τε καὶ θεοπρεπές ἐστιν ὄνομα) οὐδ' ἂν ἄλλο τι λέγοι εἶναι, ὃ διὰ τοῦ μεγάλου τούτου νοεῖται ὀνόματος. Ὥσπερ γὰρ ἐν τῇ τοῦ ἀνθρώπου προσηγορίᾳ τὸ λογικόν ἐστι καὶ τὸ ἐπιστήμης δεκτικὸν καὶ εἴ τι ἄλλο γνωριστικὸν τῆς φύσεως ἰδίωμα λέγεται, εἰ δέ τις μὴ εἶναι λέγοι τὸν ἄνθρωπον, συνανήρηται πάντως τῇ τοῦ ὀνόματος ἀθετήσει καὶ τὰ λοιπὰ τῆς φύσεως ἰδιώματα, κατὰ τὸν αὐτὸν τρόπον εἰ Χριστός ἐστιν ἡ δύναμις, ἡ σοφία, ὁ χαρακτήρ, τὸ ἀπαύγασ**220**μα[2], ὁ ἐκεῖνον ἐξ ἀρχῆς μὴ εἶναι λέγων ἀθετήσει πάντως καὶ τὰ μετ' ἐκείνου νοούμενα. Διό φαμεν διὰ τῶν ἁγίων Γραφῶν ὁδηγούμενοι ἀεὶ τὸν Χριστὸν εἶναι τῇ τοῦ Πατρὸς ἀϊδιότητι συνθεωρούμενον. Ὡς γὰρ πάντοτε Θεὸς ὁ μονογενὴς Θεὸς καὶ οὐκ ἐκ μετουσίας γίνεται οὐδὲ διά τινος προκοπῆς ἀπὸ ταπεινοτέρας καταστάσεως ἐπὶ τὴν θεότητα μέτεισιν, οὕτω καὶ ἡ δύναμις καὶ ἡ σοφία καὶ πᾶν θεοπρεπὲς ὄνομα συναΐδιόν ἐστι τῇ θεότητι, ὡς μηδὲν ἐπιγίνεσθαι κατὰ προσθήκην εἰς δόξαν τῆς φύσεως, ὃ μὴ ἐξ ἀρχῆς ἦν. Τὸ δὲ τοῦ Χριστοῦ ὄνομα διαφερόντως φαμὲν ἐξ ἀϊδίου περὶ τὸν μονογενῆ θεωρεῖσθαι, ὑπ' αὐτῆς τῆς τοῦ ὀνόματος ἐμφάσεως πρὸς τὴν ὑπόληψιν ταύτην χειραγωγούμενοι. Τῆς γὰρ Ἁγίας Τριάδος διδασκαλίαν περιέχει ἡ τοῦ ὀνόματος τούτου ὁμολογία, ἑκάστου τῶν πεπιστευμένων προσώπων ἐμφαινομένου τῇ προσηγορίᾳ ταύτῃ κατὰ τὸ πρόσφορον. Καὶ ὡς ἂν μὴ παρ' ἑαυτῶν λέγειν τι δοκοίημεν, τὰ τῆς προφητείας παραθησόμεθα ῥήματα. «Ὁ θρόνος σου», φησίν, «ὁ Θεός, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου. Ἠγάπησας δικαιοσύνην καὶ ἐμίσησας ἀνομίαν· διὰ τοῦτο ἔχρισέ σε ὁ Θεός, ὁ Θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου»[3]. Ἐν τούτοις γὰρ διὰ μὲν τοῦ θρόνου τὴν ἐπὶ πάντων ἀρχὴν διασημαίνει ὁ λόγος· ἡ δὲ ῥάβδος τῆς εὐθύτητος τὸ ἀδέκαστον ἑρμηνεύει τῆς κρίσεως· τὸ δὲ τῆς ἀγαλλιάσεως ἔλαιον τὴν τοῦ Ἁγίου Πνεύματος παρίστησι δύναμιν, ᾧ χρίεται παρὰ τοῦ Θεοῦ ὁ Θεός, τουτέστι παρὰ τοῦ Πατρὸς ὁ Μονογενής, ἐπειδὴ ἠγάπησε δικαιοσύνην καὶ ἐμίσησεν ἀδικίαν. Εἰ μὲν οὖν ἦν ποτε, ὅτε οὐκ ἦν φίλος τῆς

---

1. Α' Κορ. 1,24. 2. Πρβλ. Ἑβρ. 1,3. 3. Ψαλ. 44,7-8.

δικαιοσύνης, ἐχθρὸς δὲ τῆς ἀδικίας, ἀκόλουθον ἦν τὸ μηδὲ κεχρῖσθαί ποτε λέγειν τὸν διὰ τοῦτο κεχρῖσθαι λεγόμενον, ὅτι ἠγάπησε δικαιοσύνην καὶ ἐμίσησεν ἀδικίαν. Εἰ δὲ πάντοτε φίλος δικαιοσύνης (οὐ γὰρ ἄν ποτε ἑαυτὸν μισήσειεν, αὐτὸς δικαιοσύνη ὤν), πάντοτε δηλονότι καὶ ἐν τῷ χρίσματι θεωρεῖται. Ὥσπερ οὖν **221** ὁ δίκαιος οὐκ ἄδικος, οὕτως οὐδὲ ἄχριστος ἂν εἴη ποτὲ ὁ Χριστός· ὁ δὲ μηδέποτε ἄχριστος, ἀεὶ πάντως Χριστός· ὅτι τοίνυν ὁ **[1252]** χρίων ἐστὶν ὁ Πατήρ, τὸ δὲ χρῖσμα τὸ Ἅγιον Πνεῦμά ἐστι, πᾶς τις ἂν σύνθοιτο ὅ γε μὴ κεκαλυμμένος τὴν καρδίαν τῷ ἰουδαϊκῷ προκαλύμματι.

Πῶς οὖν ἡμᾶς φησι *λέγειν μὴ ἐξ ἀρχῆς εἶναι τὸν Χριστόν*; οὐ μήν, ἐπειδὴ Χριστὸν ἀϊδίως εἶναι ὁμολογοῦμεν, ἤδη καὶ τὴν παρ' αὐτοῦ πλασθεῖσαν σάρκα πάντοτε περὶ αὐτὸν ἐννοοῦμεν· ἀλλ' οἴδαμεν τὸν αὐτὸν καὶ προαιώνιον [τε] καὶ Κύριον καὶ μετὰ τὸ πάθος πάλιν τὸν αὐτὸν τοῦτον ὁμολογοῦμεν, καθώς φησι πρὸς τοὺς Ἰουδαίους ὁ Πέτρος ὅτι «Κύριον καὶ Χριστὸν αὐτὸν ἐποίησεν ὁ Θεός, τοῦτον τὸν Ἰησοῦν ὃν ὑμεῖς ἐσταυρώσατε»[1]. Τοῦτο δέ φαμεν οὐχ ὡς δυάδα Χριστῶν καὶ Κυρίων περὶ τὸν ἕνα βλέποντες, ἀλλ' ἐπειδὴ τῇ φύσει Θεὸς ὢν ὁ μονογενὴς Θεὸς καὶ τοῦ παντὸς Κύριος καὶ βασιλεὺς πάσης κτίσεως καὶ ποιητὴς τῶν ὄντων καὶ διορθωτὴς τῶν διαπεπτωκότων, ἤνεγκεν ἐν πολλῇ μακροθυμίᾳ τὸ καὶ τὴν ἡμετέραν φύσιν ἐξ ἁμαρτίας διαπεσοῦσαν μὴ ἀπώσασθαι τῆς πρὸς αὐτὸν κοινωνίας, ἀλλὰ πάλιν εἰς τὴν ζωὴν παραδέξασθαι. Αὐτὸς δέ ἐστιν ἡ ζωή· διὰ τοῦτο ἐπὶ τέλει τοῦ ἀνθρωπίνου βίου ἤδη τῆς κακίας ἡμῶν πρὸς τὸ ἀκρότατον αὐξηθείσης, ὡς ἂν μηδὲν ἀθεράπευτον τῆς πονηρίας ὑπολειφθείη, τότε δέχεται τὴν πρὸς τὸ ταπεινὸν ἡμῶν τῆς φύσεως ἐπιμιξίαν καὶ τὸν ἄνθρωπον ἐν ἑαυτῷ λαβὼν καὶ αὐτὸς ἐν τῷ ἀνθρώπῳ γενόμενος, καθώς φησι πρὸς τοὺς μαθητὰς ὅτι ἐγὼ ἐν ὑμῖν καὶ ὑμεῖς ἐν ἐμοί[2], ὅπερ αὐτὸς ἦν, τοῦτο καὶ τὸν ἀνακραθέντα ἐποίησεν· αὐτὸς δὲ ἦν ἀεὶ ὑπερύψιστος· διὰ τοῦτο καὶ τὸ ταπεινὸν ὑπερύψωσεν· οὐ γὰρ δὴ ὁ ὑπὲρ πᾶν ὕψιστος ἔτι τοῦ ὑψωθῆναι **222** ἐδέετο. Χριστὸς δὲ καὶ Κύριος ὁ Λόγος ἦν, τοῦτο καὶ ὁ ἐμμιχθείς τε καὶ ἀναληφθεὶς ἐν τῇ θεότητι γίνεται· οὐ γὰρ ὁ ὢν Κύριος ἀναχειροτονεῖται πάλιν εἰς κυριότητα, ἀλλ' ἡ τοῦ δούλου μορφὴ Κύριος γίνεται· διὸ καὶ «εἷς Κύριος Ἰησοῦς Χριστός, δι' οὗ τὰ πάντα»[3], λέγεται Χριστὸς ὡσαύτως ὁ πρὸ τῶν αἰώνων τὴν δόξαν τοῦ πνεύματος περικείμενος (τοῦτο γὰρ σημαίνει διὰ συμβόλων ἡ χρῖσις) καὶ μετὰ τὸ πάθος τὸν ἑνωθέντα αὐτῷ ἄνθρωπον τῷ αὐτῷ χρίσματι καλλωπίσας Χριστὸν ποιεῖ· δόξασόν με γάρ, φησίν, ὡσανεὶ χρῖσον ἔλεγε, τῇ δόξῃ, ᾗ εἶχον παρὰ σοὶ πρὸ τοῦ τὸν κόσμον εἶναι[4]. Ἡ δὲ προκόσμιος καὶ πρὸ πάσης κτίσεως καὶ πρὸ πάντων αἰώνων θεωρουμένη δόξα, ᾗ ὁ

---

1. Πράξ. 2,36. 2. Πρβλ. Ἰω. 14,20. 3. Α' Κορ. 8,6. 4. Πρβλ. Ἰω. 17,5.

μονογενὴς Θεὸς ἐνδοξάζεται, οὐκ ἂν ἄλλη τις εἴη κατὰ τὸν ἡμέτερον λόγον παρὰ τὴν δόξαν τοῦ πνεύματος· μόνην γὰρ προ**[1253]**αιώνιον τὴν Ἁγίαν Τριάδα ὁ τῆς εὐσεβείας παραδίδωσι λόγος. «Ὁ ὑπάρχων πρὸ τῶν αἰώνων»[1], φησὶ περὶ τοῦ Πατρὸς ἡ προφητεία· περὶ δὲ τοῦ Μονογενοῦς ὁ Ἀπόστολος ὅτι δι' αὐτοῦ οἱ αἰῶνες ἐγένοντο[2]· καὶ δόξα πρὸ τῶν αἰώνων περὶ τὸν μονογενῆ Θεὸν θεωρουμένη τὸ Πνεῦμά ἐστι τὸ Ἅγιον. Ὅπερ οὖν ἦν τῷ Χριστῷ τῷ παρὰ τῷ Πατρὶ ὄντι πρὸ τοῦ τὸν κόσμον εἶναι, τοῦτο καὶ τῷ ἑνωθέντι πρὸς τὸν Χριστὸν ἐπὶ τέλει τῶν αἰώνων γίνεται. Ἰησοῦν γάρ, φησί, τὸν ἀπὸ Ναζαρέθ, ὃν ἔχρισεν ὁ Θεὸς τῷ Πνεύματι τῷ Ἁγίῳ[3]. Ὥστε μὴ συκοφαντείτω τὸν ἡμέτερον λόγον, ὡς ἡμῶν μὴ ἀεὶ Χριστὸν τὸν μονογενῆ Θεὸν εἶναι λεγόντων· ἀλλὰ πάντοτε μὲν ὁ Χριστὸς καὶ πρὸ τῆς οἰκονομίας καὶ μετὰ τοῦτο· ἄνθρωπος δὲ οὔτε πρὸ τούτου οὔτε μετὰ ταῦτα, ἀλλ' ἐν μόνῳ τῷ τῆς οἰκονομίας καιρῷ. Οὔτε γὰρ πρὸ τῆς Παρθένου ὁ ἄνθρωπος οὔτε μετὰ τὴν εἰς οὐρανοὺς ἄνοδον ἔτι ἡ σὰρξ ἐν τοῖς ἑαυτῆς ἰδιώμασιν. «Εἰ γὰρ καὶ ἐγνώκαμέν» ποτε, φησί, «κατὰ σάρκα Χριστόν, ἀλλὰ νῦν οὐκ **223** ἔτι γινώσκομεν»[4]· οὐδὲ γὰρ ἐπειδὴ ὁ Θεὸς ἐν σαρκὶ ἐφανερώθη[5], σὰρξ διέμεινεν· ἀλλ' ἐπειδὴ τρεπτὸν μὲν τὸ ἀνθρώπινον, ἄτρεπτον δὲ τὸ θεῖον, ἡ μὲν θεότης πρὸς τροπήν ἐστιν ἀκίνητος, οὔτε πρὸς τὸ κρεῖττον ἀλλοιουμένη οὔτε πρὸς τὸ χεῖρον (τὸ μὲν γὰρ χεῖρον οὐ παραδέχεται, τὸ δὲ κρεῖττον οὐκ ἔχει)· ἡ δὲ ἀνθρωπίνη φύσις ἐν Χριστῷ πρὸς τὸ κρεῖττον κέχρηται τῇ τροπῇ, ἀπὸ τοῦ φθαρτοῦ πρὸς τὸ ἄφθαρτον ἀλλοιωθεῖσα, ἀπὸ τοῦ ἐπικήρου πρὸς τὸ ἀκήρατον, ἀπὸ τοῦ ὀλιγοχρονίου πρὸς τὸ ἀΐδιον, ἀπὸ τοῦ σωματικοῦ καὶ κατεσχηματισμένου πρὸς τὸ ἀσώματόν τε καὶ ἀσχημάτιστον.

Ἐπειδὴ δέ φασιν ἡμᾶς λέγειν πεπονθέναι τὸν ἄνθρωπον, οὐ τὸν Θεόν, ταῦτα παρ' ἡμῶν ἀκουσάτωσαν, ὅτι τὴν θεότητα ἐν τῷ πάσχοντι εἶναι ὁμολογοῦμεν, οὐ μὴν τὴν ἀπαθῆ φύσιν ἐμπαθῆ γενέσθαι. Ὡς δ' ἂν σαφέστερον γένοιτο τὸ λεγόμενον, ταύτην ἔχο**[1256]**μεν τὴν διάνοιαν, ὅτι ἡ ἀνθρωπίνη φύσις ἐκ νοερᾶς ψυχῆς σώματι συνδραμούσης τὴν ὑπόστασιν ἔχει· φύεται δὲ τὸ συναμφότερον ἀφορμῆς τινος ὑλικῆς προκαταβαλλομένης αὐτοῦ τῆς συστάσεως. Ἡ δὲ ὕλη ἐκείνη θείᾳ δυνάμει ζωοπλαστηθεῖσα ἄνθρωπος γίνεται, ὡς εἴ γε δοίη τις καθ' ὑπόθεσιν μὴ συμπαρεῖναι τὴν δημιουργικὴν τοῦ Θεοῦ δύναμιν πρὸς τὴν τοῦ πλασσομένου σύστασιν, ἀργὴ πάντως μένει καὶ ἀκίνητος μὴ ζωογονουμένη διὰ τῆς ποιητικῆς ἐνεργείας ἡ ὕλη. Ὥσπερ οὖν ἐφ' ἡμῶν ζωοποιός τις δύναμις ἐνθεωρεῖται τῇ ὕλῃ, ἀφ' ἧς ὁ ἐκ ψυχῆς τε καὶ σώματος συνεστὼς ἄνθρωπος διαπλάσσεται, οὕτως ἐπὶ τῆς παρθενίας ἡ τοῦ ὑψίστου δύναμις, διὰ τοῦ ζωοποιοῦντος πνεύματος ἀΰλως τῷ ἀμιάντῳ σώματι ἐμφυεῖσα

1. Ψαλ. 54,20. 2. Πρβλ. Ἑβρ. 1,2. 3. Πρβλ. Πράξ. 10,38.
4. Β' Κορ. 5,16. 5. Πρβλ. Α' Τιμ. 3,16.

καὶ ὕλην τῆς σαρκὸς τὴν ἀφθορίαν τῆς Παρθένου ποιησαμένη, τὴν ἐκ τοῦ παρθενικοῦ σώματος πρὸς τὸ πλασσόμενον συνεισφορὰν παρεδέξατο καὶ οὕτως ἐκτίσθη ὁ καινὸς ὡς ἀληθῶς ἄνθρωπος, ὁ πρῶτος καὶ μόνος τὸν τοιοῦτον τρόπον τῆς ὑποστάσεως **224** ἐφ' ἑαυτοῦ καταδείξας, ὁ κατὰ Θεὸν κτισθείς[1], οὐ κατὰ ἄνθρωπον, τῆς θείας δυνάμεως κατὰ τὸ ἴσον διὰ πάσης τῆς τοῦ συγκρίματος φύσεως διηκούσης, ὡς μηθέτερον ἀμοιρεῖν τῆς θεότητος, ἀλλ' ἐν ἀμφοτέροις, ἐν ψυχῇ λέγω καὶ σώματι, καθὼς εἰκός, ἑκατέρῳ προσφυῶς τε καὶ καταλλήλως εἶναι. Ὥσπερ οὖν τοῦ ἀνθρώπου τικτομένου ἡ θεότης τοῦ γεννηθῆναι οὐκ ἐδέετο πρὸ πάντων αἰώνων οὖσα καὶ εἰς ἀεὶ διαμένουσα, ἀλλ' ἅπαξ ἐγγενομένη κατὰ τὴν σύστασιν τοῦ ἀνθρώπου καὶ κατὰ τὴν γέννησιν ἐκείνῳ συναναφαίνεται, οὕτως οὐδὲ τοῦ ἀναστῆναι χρῄζει ἡ ἀεὶ ζῶσα, ἀλλ' ἐν τῷ διὰ τῆς θείας δυνάμεως εἰς τὴν ζωὴν ἐπαναγομένῳ ἀνίσταται, οὐκ αὐτὴ ἐγειρομένη (οὐδὲ γὰρ πέπτωκεν), ἀλλ' ἐν ἑαυτῇ τὸν πεπτωκότα ἐγείρουσα. Εἰ οὖν τὸ θεῖον οὔτε γεννήσεως οὔτε ἀναστάσεως δέεται, δηλονότι καὶ τὸ πάθος οὐχ ὡς τῆς θεότητος πασχούσης ἐπιτελεῖται, ἀλλ' ὡς ἐν τῷ πάσχοντι οὔσης καὶ διὰ τῆς πρὸς τὸν πεπονθότα ἑνώσεως τὸ ἐκείνου πάθος οἰκειουμένης. Ἡ γὰρ θεία φύσις, καθὼς εἴρηται, τῇ τε ψυχῇ καὶ τῷ σώματι καταλλήλως ἐμφυεῖσα καὶ ἓν πρὸς ἑκάτερον γενομένη διὰ τῆς ἀνακράσεως, ἐπειδὴ ἀμεταμέλητα, φησί, τοῦ Θεοῦ τὰ χαρίσματα[2], οὐδετέρου τούτων ἀποχωρεῖ, ἀλλὰ εἰς τὸ διηνεκὲς παραμένει. Οὐδὲ γὰρ ἔστι τὸ χωρίζον τινὰ τῆς πρὸς τὸν Θεὸν συναφείας πλὴν ἁμαρτίας· οὗ δὲ ἡ ζωὴ ἀναμάρτητος, τούτου πάντως ἀχώριστος ἡ πρὸς τὸν Θεὸν ἕνωσις.

Ἐπεὶ οὖν δι' ἀμφοτέρων τὸ ἀναμάρτητον, διὰ ψυχῆς λέγω καὶ σώματος, ἐν ἑκατέρῳ κατὰ τὸ εἰκὸς ἦν **[1257]** τῆς θείας φύσεως ἡ παρουσία. Τοῦ δὲ θανάτου τὸν μερισμὸν τῆς ψυχῆς ἀπὸ τοῦ σώματος ἐργασαμένου τὸ μὲν σύνθετον **225** διετέμνετο, τὸ δὲ ἀσύνθετον οὐ διίστατο, ἀλλ' ἀδιασπάστως ἐν ἑκατέρῳ ἦν. Τεκμήριον δὲ τοῦ μὲν ἐν σώματι τὸν Θεὸν εἶναι τὸ ἐν ἀφθαρσίᾳ φυλαχθῆναι τὴν σάρκα μετὰ τὸν θάνατον· Θεὸς δὲ πάντως ἐστὶν ἡ ἀφθαρσία· τοῦ δὲ τῆς ψυχῆς μὴ ἀποχωρῆσαι τὸ δι' ἐκείνης ὁδοποιηθῆναι τῷ λῃστῇ τὴν εἰς τὸν παράδεισον εἴσοδον. Ἐπειδὴ τοίνυν ἐπληρώθη τὸ μυστήριον τῆς θείας δυνάμεως τῷ διπλῷ τῆς ἀνθρωπίνης φύσεως ἐγγενομένης καὶ δι' ἑκατέρου τῷ συγγενεῖ μέρει τὴν ζωοποιὸν ἐναποθεμένης ἐνέργειαν, διὰ μὲν τῆς σαρκὸς τῷ σώματι, διὰ δὲ τῆς ψυχῆς τῇ ψυχῇ (τῆς νοερᾶς λέγω καὶ οὐ τῆς ἀλόγου· κτηνῶδες γὰρ καὶ οὐκ ἀνθρώπινόν ἐστι τὸ ἀνόητον), τότε ἡ ἐξ ἀρχῆς ἐγκραθεῖσα τῷ σώματι καὶ τῇ ψυχῇ θεότης καὶ μέχρι παντὸς παραμείνασα ἐν τῇ ἀναστάσει τοῦ κειμένου ἐγείρεται καὶ οὕτω Χριστὸς ἐκ νεκρῶν ἐγηγέρθαι λέγεται[3], ὁ αὐτὸς καὶ ὢν Χριστὸς καὶ γενόμενος· ὢν μὲν κατὰ τὴν προαιώνιον βασι-

1. Πρβλ. Ἐφ. 4,24. 2. Πρβλ. Ρωμ. 11,29. 3. Πρβλ. Ρωμ. 6,4.

λείαν, γενόμενος δὲ ὅτε εὐηγγελίζοντο τοῖς ποιμέσιν οἱ ἄγγελοι τὴν μεγάλην χαρὰν τὴν ἐσομένην παντὶ τῷ λαῷ ἐπὶ τῇ γενέσει τοῦ σωτῆρος, ὅς ἐστι, φησί, Χριστὸς Κύριος[1] προσφόρως ὀνομαζόμενος κατὰ τὸν λόγον τοῦ Γαβριὴλ τοῦ εἰπόντος Πνεῦμα Ἅγιον ἐπελεύσεσθαι τῇ Παρθένῳ καὶ δύναμιν ὑψίστου ἐπισκιάσειν[2]. Ὁ τοίνυν οὕτω τεχθεὶς εἰκότως καὶ Χριστὸς καὶ Κύριος λέγεται· Κύριος μὲν διὰ τὴν δύναμιν τοῦ Ὑψίστου, Χριστὸς δὲ διὰ τὸ πνεῦμα τῆς χρίσεως. Οὐ γὰρ ὁ προαιώνιος τότε χρίεται, ἀλλὰ περὶ οὗ φησιν ὅτι «Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε»[3]. Τὸ γὰρ *σήμερον* τῶν δύο τοῦ χρόνου τμημάτων, τοῦ παρῳχηκότος τε καὶ τοῦ μέλλοντος, τὸ μέσον ἐστίν. Ὁ δὲ τῶν αἰώνων ποιητὴς πῶς ἐν μέρει τοῦ χρόνου καὶ γεννᾶται καὶ χρίεται; ὥστε ἡ θεότης καὶ οὐ τέθνηκε καὶ ἐγήγερται· οὐ τέθνηκε γάρ, ὅτι τὸ μὴ συντεθὲν οὐ διαλύεται, ἐγήγερται δέ, ὅτι ἐν τῷ λυθέντι **226** οὖσα ἑαυτῇ συνεπαρθῆναι τὸν κατὰ τὸν νόμον τῆς ἀνθρωπίνης πεσόντα φύσεως παρεσκεύασεν, ὡς ἂν ἑκατέρῳ μέρει τὸ οἰκεῖον προφερομένῳ παροῦσα τὴν τῶν σωμάτων φύσιν διὰ τοῦ σώματος τὴν δὲ τῶν ψυχῶν διὰ τῆς ψυχῆς ἐξιάσαιτο· πάλιν δὲ δι' ἑαυτῆς τὸ διακεκριμένον ἑνώσασα ἐν τῷ ἐπαιρομένῳ ἀνίσταται. Καὶ ὥσπερ (κωλύει γὰρ οὐδὲν σωματικῶς τὸ μυστήριον τῆς κατὰ τὴν ἀνάστασιν οἰκονομίας ἐνδείξασθαι) [καθάπερ] εἰ διχῇ κάλαμος διασχισθείη καί τις κατὰ τὸ ἓν πέρας τὰ ἄκρα τῶν τοῦ καλάμου τμημάτων ἑνώσειεν, ὅλον ἐξ ἀνάγκης τὸ τμῆμα τοῦ καλάμου πρὸς τὸ ὅλον συναρμοσθήσεται διὰ τῆς ἐν τῷ ἑνὶ πέρατι συμβολῆς τε καὶ σφίγξεως πρὸς τὸ ἕτερον πέρας συναρμοζόμενον, οὕτως ἡ ἐν ἐκείνῳ τῆς ψυχῆς πρὸς τὸ σῶμα γενο**[1260]**μένη διὰ τῆς ἀναστάσεως ἕνωσις πᾶσαν κατὰ τὸ συνεχὲς τὴν ἀνθρωπίνην φύσιν διὰ τοῦ θανάτου ψυχῇ τε καὶ σώματι μεμερισμένην πρὸς συμφυΐαν ἄγει τῇ ἐλπίδι τῆς ἀναστάσεως, τὴν συνδρομὴν τῶν διεστηκότων ἁρμόσασα· καὶ τοῦτό ἐστι τὸ παρὰ τοῦ Παύλου λεγόμενον ὅτι «Χριστὸς ἐγήγερται ἐκ νεκρῶν, ἀπαρχὴ τῶν κεκοιμημένων»[4], καὶ ὥσπερ ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκομεν, οὕτως ἐν τῷ Χριστῷ πάντες ζωοποιηθησόμεθα[5]. Κατὰ γὰρ τὸ τοῦ καλάμου ὑπόδειγμα ἀπὸ μὲν τοῦ κατὰ τὸν Ἀδὰμ πέρατος ἡ φύσις ἡμῶν διὰ τῆς ἁμαρτίας ἐσχίσθη, τῷ θανάτῳ τῆς ψυχῆς ἀπὸ τοῦ σώματος διαιρεθείσης, ἀπὸ δὲ τοῦ κατὰ τὸν Χριστὸν μέρους πάλιν ἡ φύσις ἑαυτὴν ἀναλαμβάνει, πάντῃ τῆς διαιρέσεως πρὸς ἑαυτὴν ἐν τῇ ἀναστάσει τοῦ κατὰ τὸν Χριστὸν ἀνθρώπου συμφυομένης. Διὰ τοῦτο τοίνυν συναποθνήσκομεν[α] τῷ ὑπὲρ ἡμῶν ἀποθανόντι, οὐ τοῦτον λέγω τὸν ἀναγκαῖόν τε καὶ κοινὸν τῆς φύσεως ἡμῶν θάνατον· τοῦτο γὰρ καὶ μὴ βουλομένων γενήσεται· ἀλλ' ἐπειδὴ τῷ ἑκουσίως ἀποθανόντι

1. Πρβλ. Λουκ. 2,11. 2. Πρβλ. Λουκ. 1,35. 3. Ψαλ. 2,7. 4. Α' Κορ. 15,20. 5. Πρβλ. Α' Κορ. 15,22.

α. Πρβλ. Γρηγορίου Νύσσης, Πρὸς τὰ Ἀπολιναρίου Ἀντιρρητικός, ἀνωτ. σ. 244,31.

συναποθνήσκειν χρὴ θέλοντας, προσήκει τὸν ἐκ προαιρέσεως αὐτοῖς ἐπινοῆσαι θάνατον· οὐ γάρ ἐστι διὰ τοῦ **227** κατηναγκασμένου ἡ πρὸς τὸ ἑκούσιον μίμησις. Ἐπειδὴ τοίνυν ὁ ἐκ φύσεως ἐπικείμενος ἑκάστῳ θάνατος πάντη καὶ πάντως γίνεται καὶ βουλομένων καὶ μή, οὐκ ἂν δέ τις τὸ πάντως γινόμενον τῷ ἑκουσίῳ λογίσαιτο, διὰ τοῦτο ἕτερον τρόπον τῷ ἑκουσίως ἀποθανόντι συναποθνήσκομεν, τῷ μυστικῷ ὕδατι διὰ τοῦ βαπτίσματος ἐνθαπτόμενοι· συνετάφημεν γὰρ αὐτῷ, φησί, διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον, ἵνα τῇ μιμήσει τοῦ θανάτου ἀκολουθήσῃ καὶ ἡ τῆς ἀναστάσεως μίμησις[1].

Πρὸς δὲ τὸ ἐφεξῆς τοῦ λόγου μετέλθωμεν· π ῶ ς, φησί, Θ ε ὸ ς ἄ ν θ ρ ω π ο ς γ ί ν ε τ α ι μ ὴ μ ε τ α β λ η θ ε ὶ ς ἀ π ὸ τ ο ῦ ε ἶ ν α ι Θ ε ό ς, ε ἰ μ ὴ ν ο ῦ ς ἐ ν ἀ ν θ ρ ώ π ῳ κ α τ έ σ τ η; ἆρα συνῆκεν ἅπερ ἐφθέγξατο; Ἀμετάβλητον λέγει τὸ θεῖον καὶ καλῶς τοῦτο λέγει· τὸ γὰρ ἀεὶ ὡσαύτως ἔχον ἕτερόν τι παρ᾽ ὅ ἐστι γίνεσθαι φύσιν οὐκ ἔχει· ἀλλ᾽ ἐν ἑτέρῳ μὲν γίνεται, ἕτερον δὲ οὐ γίνεται. Τί οὖν ὁ νοῦς ἐκεῖνος, καθὼς ὁ Ἀπολινάριος λέγει, ὁ ἐν ἀνθρώπῳ γενόμενος; ἆρα ἐν τῷ μεγαλείῳ τῆς ἀμεταβλήτου διέμεινε φύσεως ἢ πρὸς τὸ ταπεινὸν πεποίηται τὴν μετάστασιν τῇ τοῦ ἀνθρωπίνου βραχύτητι ἑαυτὸν ἐμπεριγράψας καί, ὅσος οὗτός ἐστι, τοσοῦτος κἀκεῖνος γενόμενος; Οὐκοῦν ἴσος **[1261]** ὁ ἀνθρώπινος νοῦς ἐστι τῇ θεότητι, εἴπερ, καθώς φησιν ὁ Ἀπολινάριος, ν ο ῦ ς ἀ ν θ ρ ώ π ο υ ἡ θ ε ί α φ ύ σ ι ς ἐ γ έ ν ε τ ο. Εἰ γὰρ ὁμοίως ἡ ἀνθρωπίνη δέχεται φύσις ἢ τὸν νοῦν τὸν ἡμέτερον ἢ ἀντὶ τοῦ νοῦ τὸν Θεόν, ἰσομεγέθη ταῦτα ἂν εἴη ἀλλήλοις καὶ ἰσοστάσια, εἴπερ ἐν ᾧ χωρεῖται ὁ νοῦς, ἐν τούτῳ καὶ ἡ θεότης περιλαμβάνοιτο· ὡς εἴ τις ἀγγείῳ τινὶ κενῷ σῖτον ἢ ἕτερόν τι τῶν σπερμάτων ἀπομετροίη, οὐκ ἄν τις εἴποι τὸ τῷ αὐτῷ μέτρῳ ἰσούμενον κατὰ τὸ ποσὸν διαφέρειν τοῦ ἄλλου· ἴσος γάρ ἐστι πυρὸς ταῖς ὀλύραις, ὅταν ἀποκενωθέντων τοῦ μεδίμνου τῶν σπερμάτων ἐκείνων ἀντιπληρώσῃ τὸ ἕτερον ἔργον. Οὐκοῦν εἰ **228** ἀντὶ τοῦ νοῦ ἡ θεότης γίνεται, οὐκ ἄν τις ὑπερβάλλειν εἴποι παρὰ τὸν νοῦν τὴν θεότητα, εἴπερ ὁμοίως ἐκείνῳ χωρεῖται καὶ αὐτὴ ὑπὸ τῆς φύσεως. Ἢ οὖν ἴσος ἐστὶν ὁ νοῦς τῇ θεότητι, καθὼς ὁ Ἀπολινάριος βούλεται, καὶ ἀπὸ τούτου πρὸς ἐκεῖνο μεταστὰς οὐκ ἠλλοιώθη· ἢ εἰ καταδεέστερον ὁ νοῦς παρὰ τὸ θεῖον ὁ τοῦτο ἐξ ἐκείνου γενόμενος πρὸς τὸ εὐτελέστερον ἠλλοιώθη. Ἀλλὰ τίς οὐκ οἶδεν, ὅτι κατὰ τὸ ἴσον ὑποβέβηκε τῇ ἀπροσίτῳ τε καὶ ἀπροσπελάστῳ φύσει πᾶν τὸ ἐν τῇ κτίσει νοούμενον, ὡς ἴσην εἶναι τὴν τροπήν, κἂν εἰς κτίσμα κἂν εἰς νοῦν τις λέγοι μεταβεβλῆσθαι τὸ θεῖον; Ὥστε εἰ τὸ ἐν νῷ γενέσθαι τροπὴν ὁ Ἀπολινάριος ⟨οὐκ⟩ οἴεται, οὐδὲ τὸ δίχα διανοίας καταμιχθῆναι τῷ ἀνθρώπῳ προσμαρτυρεῖ τῷ ἀνακραθέντι τὸ ἀναλλοίωτον. Ἀλλ᾽ εἴπερ οὐκ ἠλλοιώθη σὰρξ γενόμενος, πολὺ μᾶλλον ἐν τῷ ἀτρέπτῳ διέμεινε

1. Πρβλ. Ρωμ. 6,4-5.

καὶ πρὸς τὸν νοῦν ποιησάμενος τὴν ἀνάκρασιν· εἰ δὲ τῷ ἐν νῷ γενέσθαι κατηγορεῖ τὴν τροπήν, καὶ ἡ πρὸς τὴν σάρκα οἰκείωσις οὐκ ἐκφεύγει πάντως τὴν κατηγορίαν τῆς ἀλλοιώσεως.

Ἔτι φησὶ (τὰ γὰρ ἐν τῷ μέσῳ παρίημι)· εἰ μετὰ τὴν ἀνάστασιν Θεὸς γέγονε καὶ οὐκέτι ἐστὶν ἄνθρωπος, πῶς ὁ Υἱὸς τοῦ ἀνθρώπου ἀποστελεῖ τοὺς ἀγγέλους αὐτοῦ[1]; καὶ πῶς ὀψόμεθα τὸν Υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐπὶ τῶν νεφελῶν;[2] πῶς δὲ καὶ πρὶν ἑνωθῆναι καὶ ἀποθεωθῆναι λέγει· «Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν»;[3] Ταῦτα διέξεισιν ἐκεῖνος διὰ τῶν εἰρημένων κατασκευάζων, ὅτι οὐδὲν πρὸς τὸ θειότερον ἡ τοῦ σώματος φύσις μετεποιήθη, ἀλλ' ἔτι περὶ αὐτὸν αἱ τρίχες, οἱ ὄνυχες, ἡ μορφή, τὸ σχῆμα, ἡ τοῦ ὄγκου περιγραφὴ καὶ **[1264]** τὰ λοιπά, δηλονότι ὅσα τε φαινόμενα καὶ ὅσα [τε] κρύφια τῶν μερῶν τῶν τοῦ σώματος. Ἐγὼ δὲ τὸ μὲν μὴ **229** δεῖν οὕτω χαμαιριφῆ[α] καὶ χαμαίζηλα[β] περὶ τὸν Θεὸν ἐννοεῖν περιττὸν ἡγοῦμαι λόγῳ κατασκευάζεσθαι, αὐτοῦ τοῦ τῶν ἐναντίων λόγου καὶ δι' ἑαυτοῦ τὴν ἀτοπίαν κηρύσσοντος. Ὡς δ' ἂν μὴ τὰ θεῖα λόγια συνεργεῖν αὐτῷ πρὸς τὴν μυθοποιίαν λογίζοιτο, διὰ βραχέων ἕκαστον τῶν εἰρημένων ἐπιδραμοῦμαι. Ἐπειδή, φησίν, ἐν τῇ συντελείᾳ τοῦ παντὸς ὁ τοὺς ἀγγέλους ἀποστέλλων Υἱὸς ἀνθρώπου λέγεται, διὰ τοῦτο μέχρι παντὸς οἴεται δεῖν ἐν τοῖς ἀνθρωπίνοις αὐτὸν ἰδιώμασι πιστεύειν εἶναι· καὶ οὐ μέμνηται τῆς τοῦ Εὐαγγελίου φωνῆς, ὅπου πολλαχοῦ διὰ τῶν ἰδίων λόγων ὁ Κύριος ἄνθρωπον τὸν ἐπὶ πάντων Θεὸν κατωνόμασεν[4]. Ἄνθρωπος ἦν οἰκοδεσπότης, ὁ τοῖς γεωργοῖς τὸν ἀμπελῶνα ἐκδόμενος, ὁ μετὰ τὴν τῶν οἰκετῶν ἀναίρεσιν καὶ τὸν μονογενῆ αὐτοῦ Υἱὸν ἀποστείλας, ὃν ἐκβαλόντες οἱ γεωργοὶ ἔξω τοῦ ἀμπελῶνος φονεύουσι[5]. Τίς δὲ ὑπῆρχεν ἐκεῖνος ὁ ἄνθρωπος ὁ τὸν Μονογενῆ πέμψας; τίς δὲ ὁ ἔξω τοῦ ἀμπελῶνος φονευθεὶς υἱός; ὁ δὲ τοῦ υἱοῦ τοὺς γάμους ἐπιτελῶν[6] οὐκ αὐτὸς ἀνθρωπικῶς ὑπὸ τοῦ λόγου διεσκευάσθη; εἰ δὲ χρὴ καὶ τοῦτο εἰπεῖν, ὅτι βοηθῶν τῇ ἀσθενείᾳ τῶν καταφρονούντων τῆς ὁμοιοειδοῦς αὐτοῖς φύσεως καὶ διὰ τοῦτο πιστεῦσαι αὐτοῦ τῇ θεότητι μὴ δυναμένων, ὡς ἂν μάλιστα τὸ χαῦνον τῆς διανοίας αὐτῶν τῷ φόβῳ συστείλας εἰς πίστιν τονώσειε, φησὶ τὸ παρὰ τοῦ Υἱοῦ τοῦ ἀνθρώπου τοὺς ἀγγέλους ἐν τῇ κρίσει πέμπεσθαι[7], ἵν' ἡ

1. Πρβλ. Ματθ. 13,41. 2. Πρβλ. Ματθ. 24,30. 3. Ἰω. 10,30. 4. Πρβλ. Ρωμ. 9,5. 5. Πρβλ. Ματθ. 21,33 ἑξ. 6. Πρβλ. Ματθ. 22,2. 7. Πρβλ. Ματθ. 13,41.

α. Πρβλ. Γρηγορίου Θεολόγου, Ἔπη θεολογικά, ἠθικά, ΒΕΠ 61,214,28. Γρηγορίου Νύσσης, Κατὰ Εὐνομίου Α', ΒΕΠ 67,142,15.

β. Πρβλ. Κλήμεντος Ἀλεξανδρέως, Λόγος προτρεπτικὸς πρὸς Ἕλληνας, ΒΕΠ 7,64,37. PG 8,205C. Μ. Ἀθανασίου, Ὅτι ἡ ἐν Νικαίᾳ Σύνοδος..., ΒΕΠ 31, 159,36. PG 25,448C. Μ. Βασιλείου, Ὁμιλίαι εἰς τοὺς Ψαλμούς, ΒΕΠ 52,14, 38. Γρηγορίου Νύσσης, Ἐπιστολὴ Γ' W. Jaeger VIII, II, 20,15, PG 46,1016C.

τῶν φοβερῶν προσδοκία τὴν πρὸς τὸ φαινόμενον αὐτῶν ἀπιστίαν θεραπεύσειεν. Ἀλλὰ καὶ ὄψεσθε, φησί, τὸν Υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ μετὰ δόξης καὶ δυνάμεως πολλῆς[1]. Καὶ τοῦτο συνᾴδει τοῖς προαποδεδομένοις, εἴτε ἐκείνου τοῦ ἀνθρώπου τοῦ τὸν ἀμπελῶνα φυτεύσαντος καὶ τὸν γάμον τῷ υἱῷ ἐπιτελέσαντος εἴτε κατὰ τὴν προαποδοθεῖσαν διάνοιαν. Καὶ ὅτι πάντη τῆς **230** ταπεινῆς τοῦ Ἀπολιναρίου ὑπολήψεως ὁ λόγος ἀπήλλακται καὶ οὐδὲν σωματικὸν περὶ αὐτὸν ἐννοεῖν ὁ τοιοῦτος ὑποτίθεται λόγος σαφὴς ἡ ἀπόδειξις ἐκ τοῦ προσκεῖσθαι τῷ λόγῳ τῷ τὴν ἐμφάνειαν αὐτοῦ τὴν ἐπὶ τέλει τῶν αἰώνων μηνύοντι, ὅτι ἐν τῇ δόξῃ τοῦ Πατρὸς αὐτοῦ ὀφθήσεται τῇ κτίσει ὁ Κύριος, ὡς ἀνάγκην εἶναι διὰ τῶν εἰρημένων ἢ καὶ τὸν Πατέρα νομίζειν ἀνθρωπικῶς διεσκευάσθαι, ἵνα ὁ κατὰ τὸ ἀνθρώπινον σχῆμα φαινόμενος Υἱὸς ἐν τῇ τοῦ Πατρὸς φαίνηται δόξῃ[2]· ἢ εἴπερ καθαρεύει πάσης μορφῆς ἐν εἴδει θεωρουμένης ἡ τῆς πατρικῆς δόξης μεγαλοπρέπεια, μηδὲ αὐτὸν ἀνθρωπικῶς σχηματίζεσθαι τὸν ἐν τῇ τοῦ Πατρὸς ὀφθήσεσθαι δόξῃ ἐπαγγελλόμενον. Ἄλλη γὰρ δόξα ἀνθρώπου καὶ ἄλλη δόξα τοῦ ἐπὶ πάντων Θεοῦ. Ἀλλά, φησί, διὰ **[1265]** σαρκὸς διαλεγόμενος τοῖς ἀνθρώποις ὅτι «ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν»[3]. Ὢ τῆς ἀνοίας τὸ ἀπόδειξιν οἴεσθαι ⟨τοῦ⟩ ἀνθρωπικὴν αὐτοῦ μετὰ ταῦτα γενήσεσθαι τὴν ἐμφάνειαν τὸ εἰπεῖν διὰ σαρκὸς φθεγγόμενον τὸν Κύριον ἓν εἶναι πρὸς τὸν Πατέρα! οὐκοῦν διὰ τούτων πάντως κατασκευάζει τῷ λόγῳ τὸ ἀκριβῶς ἐν σαρκὶ καὶ τὸν Πατέρα ζῆν; εἰ γὰρ ὁ εἰπὼν ἓν εἶναι ἑαυτὸν πρὸς τὸν Πατέρα οὐ κατὰ τὸ πνευματικὸν ἀλλὰ κατὰ τὸ ἀνθρώπινον, καθὼς ὁ Ἀπολινάριος οἴεται, νοεῖν ὑποτίθεται τὴν ἑνότητα, ἄρα τοῦτό ἐστιν ὁ Πατήρ, ὅπερ τότε κατὰ ἄνθρωπον ὁ Υἱὸς ἑωρᾶτο. Ἀλλὰ μὴν ἔξω πάσης σωματικῆς ἐννοίας τὸ θεῖον. Ἄρα οὐ κατὰ τὸ ἀνθρώπινον σχῆμα ἡ τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα ἕνωσις ἦν, ἀλλὰ κατὰ τὴν κοινωνίαν τῆς θείας φύσεώς τε καὶ δυνάμεως. Καὶ ὅτι ταῦτα τοῦτον ἔχει τὸν τρόπον, ἐκ τούτων ἂν γένοιτο μάλιστα δῆλον, ἐν οἷς φησι πρὸς τὸν Φίλιππον· «ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα»[4]. Ἡ γὰρ ἀκριβὴς τῆς τοῦ Υἱοῦ μεγαλειότητος κατανόησις καθάπερ ἐν εἰκόνι τὸ ἀρχέτυπον βλέπειν παρασκευάζει.

Τῶν δὲ ἐφεξῆς τὸ ἀσυνάρτητον καὶ ἀδιανόητον, ὡς ἂν **231** μὴ μάτην ἐμφιλοχωροίην τοῖς ματαίοις, ὑπερβήσομαι, δι᾽ ὧν οὐδὲ ὅ τι βούλεται λέγειν φανερὸν ποιεῖ τοῖς ἐπιστατικῶς ἀκολουθοῦσι τῇ συγγραφῇ. Τί γὰρ αὐτῷ συντελεῖ πρὸς τὸν λόγον τὸ μηδένα ἁρπάζειν ἐκ τῆς χειρὸς αὐτοῦ[5] τὰ δοθέντα αὐτῷ παρὰ τοῦ Πατρὸς πρόβατα, συνιδεῖν οὐκ ἔχω· καὶ ὅτι πατρικῇ θεότητι ἕλκει πρὸς ἑαυτὸν τὰ πρόβατα· καὶ εἰ πρὸς τὸν Πατέρα, φησίν, ἥνωται Χριστὸς

1. Πρβλ. Ματθ. 24,30. 2. Πρβλ. Ματθ. 16,27. 3. Ἰω. 10,30. 4. Ἰω. 14,9. 5. Πρβλ. Ἰω. 10,28.

πρὸ ἀναστάσεως, πῶς πρὸς τὸν ἐν αὐτῷ Θεὸν οὐχ ἥνωται; Τοῦτο γὰρ ὥσπερ ἐξεπίτηδες αὐτὸς ἑαυτοῦ τὴν μυθοποιίαν ἐλέγχων παρεντίθησι ταῖς ἰδίαις κατασκευαῖς, δι' ὧν ἀποδείκνυται ἡ τοῦ ἀνθρώπου πρὸς τὸ θεῖον διαίρεσίς τε καὶ ἕνωσις. Ὁ γὰρ εἰπὼν ὅτι *εἰ πρὸς τὸν Πατέρα ἥνωται Χριστός, πῶς πρὸς τὸν ἐν αὐτῷ Θεὸν οὐχ ἥνωται;* οὕτω καὶ ὁ κατὰ Χριστὸν ἄνθρωπος ἕτερος ὢν τῷ ἐν αὐτῷ ἥνωται Θεῷ. Ταῦτα τοίνυν ὡς αὐτόθεν διὰ τῆς ἀναγνώσεως ἐλέγχοντα τὸ πεπλανημένον τοῦ δόγματος αὐτοῦ καὶ ἀσύστατον παραδραμοῦμαι τῷ λόγῳ· ἐκείνου δὲ μόνου ἐπιμνησθήσομαι· ὁ σωτήρ, φησί, πέπονθε πεῖναν καὶ δίψαν καὶ κάματον καὶ ἀγωνίαν καὶ λύπην. Τίς ὢν ὁ σωτήρ; Θεός, φησὶν ἐν τοῖς πρὸ τούτου, οὐ δύο πρόσωπα ὡς ἑτέρου μὲν ὄντος Θεοῦ, ἑτέρου δὲ τοῦ ἀνθρώπου. Οὐκοῦν ὁ Θεὸς πέπονθεν, ἅπερ παθεῖν αὐτὸν εἴρηκε, καὶ πάσχει τὸ ἀπαράδεκτον πάθους οὐκ ἀνάγκῃ φύσεως ἀβουλήτου, καθάπερ ἄνθρωπος, ἀλλ' ἀκολουθίᾳ φύσεως. Ἆρα τίς ἐπαρκέσει διελέγχων τὰ μάταια; ἐν τίνι διαφέρειν βλέπει τὴν ἀνάγκην τῆς φύσεως καὶ τὴν ἀκολουθίαν τῆς φύσεως; Ἡ γὰρ ἀλήθεια ταὐτὸν ἐν ἑκατέρῳ βλέπει τὸ σημαινόμενον, οἷόν τι λέγω, **[1268]** ἀκόλουθόν ἐστι τὸν μὴ ὑγιαίνοντα τὰς ὄψεις ἀσθενῶς ἔχειν περὶ τὴν ὅρασιν καὶ πάλιν τὸ αὐτὸ τοῦτό φημι, ὅτι ἀναγκαῖόν ἐστιν, εἰ μή τις ὑγιῶς ἔχοι τῶν ὄψεων, ἀσθενεῖν τοῦτον περὶ τὴν ὅρασιν. Ἆρ' οὐ ταὐτὸν ἐν ἑκατέροις ἐστίν; ὅ τε γὰρ τὴν **232** ἀνάγκην εἰπὼν τὸ ἐξ ἀκολούθου συμβαῖνον ἐνέδειξεν· ὅ τε τοῦ ἀκολούθου μνησθεὶς τὸ ἀναγκαῖον ἐσήμανεν. Τί οὖν βούλεται ἡ σοφία τοῦ λογογράφου μὴ *ἀνάγκῃ φύσεως*, ἀλλ' *ἀκολουθίᾳ φύσεως* τῷ σωτῆρι προσάπτειν τὰ πάθη τῆς φύσεως; Ἔδει, φησί, καθ' ὁμοιότητα τῶν ἀνθρώπων τὰ πάθη κινηθῆναι. Ὁ τὸ «ἔδει» εἰπὼν οὐ φανερῶς τὴν ἀνάγκην ἐβόησεν; οὐχ αὕτη τῆς Γραφῆς ἡ χρῆσίς ἐστιν; καὶ ἐξ αὐτῶν δὲ τῶν Εὐαγγελίων πάρεστι τὰς ἀποδείξεις τοῦ λόγου λαβεῖν. Ἀνάγκη ἐλθεῖν τὰ σκάνδαλα· καὶ γὰρ δεῖ γενέσθαι ταῦτα. Οὐχὶ μία ἑκατέρας ἐστὶ τῆς φωνῆς ἡ διάνοια; ὁ γὰρ εἰπὼν ἀνάγκην εἶναι ἐλθεῖν τὰ σκάνδαλα τὸ δεῖν ἐλθεῖν τὰ σκάνδαλα[1] διὰ τῆς φωνῆς ἐνεδείξατο. Καὶ ὁ εἰπὼν δεῖ γενέσθαι ταῦτα τὸ ἀναγκαίως ὀφεῖλον εἰς ἔργον ἐλθεῖν προεμήνυσεν.

Ἀλλὰ πάλιν καὶ τὸν ἐφεξῆς ὑπερβήσομαι ὕθλον χύδην καὶ ὡς ἔτυχεν ἐκ ματαίων λογισμῶν συμπεφορημένον. Φησὶ δὲ πρὸς τῷ τέλει τοῦ λόγου ὅτι καὶ ἐν οὐρανῷ ὄντος τοῦ σώματος μεθ' ἡμῶν ἐστι μέχρι τῆς συντελείας τοῦ αἰῶνος. Τίς ὁ μεθ' ἡμῶν ὤν; Σαφῶς ὁ λογογράφος μερίζων τὸ ἀμέριστον οὐ συνίησιν. Εἰ γὰρ τὸ μὲν σῶμα τῷ οὐρανίῳ ἀποτίθεται,

1. Πρβλ. Ματθ. 18,7.

μεθ' ἡμῶν δὲ εἶναί φησι τὸν Κύριον, φανερῶς διάζευξίν τινα καὶ μερισμὸν τῇ τοιαύτῃ τοῦ λόγου διαστολῇ κατεργάζεται. Οὐ γὰρ εἶπεν, ὅτι τὸ σῶμα αὐτοῦ καὶ ἐν οὐρανῷ μένει καὶ μεθ' ἡμῶν ἐστιν, ἀλλὰ τοῦ σώματος ἐν οὐρανῷ ὄντος, ἡμῶν δὲ οὐκ ἐν οὐρανῷ ὄντων. Ἄρα ἕτερόν τινα παρὰ τὸ ἐν οὐρανοῖς ὂν σῶμα μεθ' ἡμῶν τῶν ἐπὶ γῆς ὄντων πεπίστευκεν. Ταῦτα τὰ ὑψηλὰ τοῦ Ἀπολιναρίου διδάγματα. Ἡμεῖς δέ φαμεν, ὅτι ταῦτα εἰπὼν ἀνελήφθη[1] καὶ ὁ ἀναληφθεὶς μεθ' ἡμῶν ἐστι καὶ μερισμὸς ἐν ἐκείνῳ οὐδείς· ἀλλ' ὥσπερ ἐν ἡμῖν ἐστιν ἑκάστῳ παρὼν καὶ **233** ἐν μέσῳ γινόμενος, οὕτω καὶ ἐπὶ πάντα διήκει τὰ τῆς κτίσεως πέρατα, ὁμοτίμως πᾶσι τοῖς τοῦ κόσμου μέρεσιν ἐμφαινόμενος. Εἰ ἡμῖν τοῖς σωματικοῖς ἀσωμάτως, οὐδὲ τοῖς ὑπερκοσμίοις ἐν σώματι. Νυνὶ δέ φησιν οὕτως μερισθέντα τὸν Κύριον ἀκαταλλήλως ἐν τοῖς ὑποχειρίοις διὰ τῶν ἐναντίων γίνεσθαι, τοῖς μὲν σαρκίνοις ἀσώματον, τοῖς δὲ ἀσωμάτοις ἐν σώματι. Ἐν γὰρ τῷ οὐρανῷ καθιδρύσας τὴν σάρκα πνευματικῶς **[1269]** τοῖς ἀνθρώποις ἑαυτὸν καταμίγνυσιν. Ὅσα δὲ ψυχορραγῶν πρὸς τῷ τέλει τοῦ λόγου ὥσπερ τισὶν ἄσθμασι τοῖς ἀνυποστάτοις νοήμασιν ἐνσυνέχεται, παραδραμεῖν οἶμαι δεῖν ἀνεξέταστα, ἐν οἷς στενοχωρούμενος τοὺς Ἕλληνας πρὸς συνηγορίαν τῶν ἰδίων μύθων καλεῖ καὶ ὅσα ἄλλα τούτοις ἐστὶ παραπλήσια. Ὅτῳ φίλον τὴν διὰ πάντων τῆς αἱρέσεως ἀτονίαν κατανοῆσαι, αὐτοῖς ἐπεξίτω τοῖς γεγραμμένοις· ἡμῖν δὲ οὐ τοσαύτη σχολὴ ὥστε τοῖς τοιούτοις λόγοις ἐμβαθύνειν, ἃ πρόδηλον ἀφ' ἑαυτῶν καὶ πρὸ τῆς ἐξετάσεως ἔχει τῆς ἀτοπίας τὸν ἔλεγχον.

1. Πρβλ. Μάρκ. 16,19. Πράξ. 1,9.

ΚΑΤΑ ΕΙΜΑΡΜΕΝΗΣ *

31 **[145]** Μέμνησαι πάντως ὅ τί μοι γέγονεν, ὅτε πρώην διὰ πολλοῦ παρ' ὑμᾶς τὸ μέγα τῆς ἀπιστίας ὄρος[α], εὐαγγελικῶς εἰπεῖν, εἰς πίστιν μετεκινήθη[1] τοῦ σοφωτάτου Εὐσεβίου τῆς πολιᾶς ἀξίως ἐν γήρᾳ βουλευσαμένου, εἴπερ ἀνθρώπου βουλὴν εἶναι χρὴ ταύ-**[148]**την λογίσασθαι καὶ μὴ θείαν τινὰ συμμαχίαν τοῦ διοικοῦντος ἐπ' ἀγαθῷ τὸ ἀνθρώπινον. Τότε δή μοι πρὸς τὸ παράδοξον ἐκπεπληγμένῳ τοῦ θαύματος, πῶς ὁ τοσοῦτος ἐν ἀπιστίᾳ τὸ πρότερον πολλαπλασίονι τῷ μεγέθει τῆς πίστεως ὑπερέβαλε τῆς ἀπιστίας τὸ μέτρον, ἐπειδή τις προϊούσης ἡμῖν τῆς συνουσίας τῶν κατὰ τὴν εἱμαρμένην ζητουμένων λόγος **32** ἐνέπεσεν, ἐπέταξας, ὦ τιμία μοι καὶ ἱερὰ κεφαλή, τὴν γενομένην μοι πρός τινα τῶν φιλοσόφων διάλεξιν ἐν τῇ μεγάλῃ τοῦ Κωνσταντίνου πόλει περὶ τῆς ὑποθέσεως ταύτης ἐγγράφως σοι δι' ἐπιστολῆς διηγήσασθαι. Μικρᾶς τοίνυν ἐπιτυχὼν σχολῆς, δι' ὀλίγων, ὡς οἷόν τε, συντεμὼν τὸν λόγον ἐκτίθεμαί σοι ἐν ἁπλῷ καὶ ἀκατασκεύῳ τῷ διηγήματι φυλασσόμενος ὅτι μάλιστα τοῦ μὴ πόρρω τῶν ἐπιστολιμαίων μέτρων ἐκπεσεῖν τὸν λόγον εἰς λογογραφικὸν μῆκος ἀποτεινόμενον.

Προσῆγον ἐγώ τινας περὶ τῆς καθ' ἡμᾶς εὐσεβείας λόγους ἀνδρί τινι πεπαιδευμένῳ τὴν ἔξω φιλοσοφίαν, ὡς ἐνῆν ἐκ τῶν λεγομένων στοχάσασθαι, καὶ πείθειν ἐπεχείρουν ἐκ τοῦ Ἑλληνισμοῦ πρὸς τὴν συγκατάθεσιν τοῦ καθ' ὑμᾶς δόγματος μετατάξασθαι. Ἐπειδὴ δὲ πολὺς ἦν κατασκευάζων μὴ κατ' ἐξουσίαν προκεῖσθαι τοῖς βουλομένοις τῶν κατὰ γνώμην τὴν αἵρεσιν, ἀλλὰ διά τινος ἐξάπτων ἀνάγκης τὴν τῶν ἀνθρώπων ζωήν, ἧς ἄνευ μὴ ἄν τι γενέσθαι τῶν ἐν ἡμῖν γινομένων[β], καὶ τούτῳ τῷ λόγῳ τὸν ἐμὸν παρεκρούετο λόγον, ὡς εἰ μὲν εἵμαρται αὐτῷ γενέσθαι Χριστιανῷ, γενήσεται πάντως, κἂν ἡμεῖς μὴ βουλώμεθα, εἰ δὲ κωλύοιτο τῇ τῆς εἱμαρμένης ἀνάγκῃ, μὴ ἂν γενέσθαι δυνατὸν ἐξευρεῖν τινα μηχανὴν ἢ τὴν εἱμαρμένην βιάσεται· ταῦτα λέγοντος ἐγὼ μέν, ὅπερ εἰκὸς ἦν, φεύγειν ᾤμην αὐτὸν τὸ μαθεῖν τι περὶ τῆς πίστεως τῷ **33** Ἑλληνισμῷ διὰ βάθους ἐγκείμενον καὶ τούτῳ τῷ τρόπῳ τὴν ἀκολουθίαν τοῦ ἡμετέρου παρακρούεσθαι

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ J. Mc D o n o u g h, S. J. Gregorii Nysseni, Contra Fatum (Greg. N. op. W. Jaeger) vol. III, II. σσ. 31-63, Leiden E. J. Brill 1987. (J.-P. Migne PG τ. 45, σ. 145-172).

1. Πρβλ. Ματθ. 17,20.

α. Πρβλ. Ἀριστ., Περὶ κόσμου 7. 401b9.

β. [στ. 26 ἑξ.] Πρβλ. Γρηγορίου Νύσσης, Κατὰ εἱμαρμένης, κατωτ. σ. 283,27-31.

λόγου. Ἐπεὶ δὲ οὐκ ἀνίει τοῖς αὐτοῖς ἐπιμένων, πάντα λέγων ὑπεζεῦχθαι τῇ τῆς εἱμαρμένης ἀνάγκῃ κἀκείνην ἐπιστατεῖν τῶν ὄντων καὶ τῇ ῥοπῇ ταύτης πάντα ὑποκύπτειν τὰ ὄντα[α], ζωῆς τε μέτρα καὶ ἠθῶν διαφορὰς καὶ βίων αἱρέσεις καὶ σωμάτων κατασκευὰς καὶ τὰς τῶν ἀξιωμάτων ἀνωμαλίας, ὡς ἄρχειν τε πάντως τὸν καθ' εἱμαρμένην ἐπὶ τὴν ἀρχὴν παριόντα, δουλεύειν τε κατὰ τὴν αὐτὴν αἰτίαν καὶ πλουτεῖν ὡσαύτως καὶ πένεσθαι, ἐρρῶσθαί τε πάλιν τῷ σώματι καὶ ἀσθενῶς ἔχειν, τό τε ὠκύμορον καὶ τὸ μακρόβιον τὴν αὐτὴν ἔχειν αἰτίαν (ὅ τε γὰρ ἐν ὀλίγῳ μετασχὼν τῆς ζωῆς καὶ ὁ ἐν μακρῷ τῷ χρόνῳ παρατείνας τὸν βίον οὐ κατ' οἰκείαν ὁρμὴν ἀλλ' ἐκ τῆς ἀνάγκης ἐκείνης ἐν ἑκατέρῳ ἑκάτερος γίνεται), τόν τε αὐτόματον καὶ τὸν ἠναγκασμένον θάνατον μὴ ἄλλως ἢ παρ' ἐκείνης ἀποκληροῦσθαι τοῦ τε βιαίου θανάτου τὰς πολυτρόπους διαφορὰς ἐν συμπτώμασιν ἢ ἀγχόναις ἢ ψήφῳ δικαστικῇ ἢ καὶ κατ' ἐπιβουλὴν ἐπαγομένας, καὶ τὰ ἔτι τούτων καθολικώτερα καὶ περιληπτικώτερα πάθη, σεισμοὺς καὶ ναυάγια καὶ ἐπικλύσεις ὑδάτων καὶ τὰς ἐκ πυρὸς συμφορὰς καὶ ὅσα τοιαῦτα εἴδη κακῶν, πάντα τῆς αἰτίας ἐκείνης ἐξάπτων προσετίθει καὶ τῶν κατὰ τὸν βίον ἐπιτηδευμάτων μηδαμοῦ τὸν λογισμὸν τοῦ αἱρουμένου κύριον εἶναι, πάντας δὲ τῷ κράτει τῆς εἱμαρμένης **[149]** ὑπηρετοῦντας ἢ φιλοσοφεῖν ἢ ῥητορεύειν ἢ γεωργεῖν ἢ ναυτίλλεσθαι ἢ ἐν γάμῳ ζῆν ἢ τὸν ἄγαμον αἱρεῖσθαι βίον, ἀρετῆς τε καὶ κακίας τὴν αὐτὴν ἀνάγκην εἶναι διισχυρίζετο· ὥστε κατὰ τὴν ἀπαράβατον **34** ταύτην ἀποκλήρωσιν τὸν μὲν τῇ ὑψηλοτέρᾳ προσανέχειν ζωῇ ἐν ἀκτήμονι καὶ ἐλευθεριάζοντι βίῳ, ἕτερον δὲ τυμβωρυχεῖν ἢ πειρατεύειν ἢ ἀσωτεύεσθαι ἢ τῷ ἑταιρικῷ βίῳ ἀποθηλύνεσθαι. Καὶ πάντα τὰ τοιαῦτα διεξιὼν ἰσχυρὰν ᾤετο τοῦ μὴ παραδέξασθαι τὸν λόγον ἡμῶν αἰτίαν ἐπιδεδεῖχθαι τὸ μὴ ἐφ' ἡμῖν εἶναι ὅπερ ἂν θέλωμεν κατ' ἐξουσίαν αἱρεῖσθαι, ἀλλὰ δεῖν ἀναμεῖναι τὴν ἀνάγκην ἐκείνην, ἧς τὸ ἐνδόσιμον πρὸς τὴν τοιαύτην ὁρμὴν παρασχούσης ἐπάναγκες εἶναι προσθέσθαι τῷ λόγῳ καὶ μὴ βουλόμενον, ἄνευ δὲ ἐκείνης καὶ σφόδρα προαιρουμένου μὴ δυνατὸν εἶναι γενέσθαι[β].

Ἐγὼ δὲ ταῦτα αὐτοῦ καὶ τὰ τοιαῦτα διεξιόντος ἠρόμην αὐτὸν εἰ θεόν τινα οἴηται εἶναι τὸν τὸ κατὰ πάντων ἔχοντα κράτος, τὸν τῷ ὀνόματι τῆς εἱμαρμένης ἀποκαλούμενον[γ], οὗ τῷ βουλήματι τὰ καθ' ἕκαστον οἰκονομεῖσθαι πεπίστευκεν. Ὁ δὲ πολλήν μου καταγνοὺς ἀβελτηρίαν ἐν τῷ ἐρωτήματι οὔ μοι δοκεῖς κατανενοηκέναι, φησί, τῶν οὐρανίων οὐδέν. Ἦ γὰρ ἂν ἔγνως τῆς εἱμαρμένης τὴν δύναμιν, ὅθεν καὶ ὅπως κατελήφθη τῶν καθ' εἱρμὸν ἀπαραβάτως γινομένων ἡ δύναμις. Ἐμοῦ δὲ καὶ πρὸς τοῦτον ξενοφωνουμένου τὸν λόγον καί τι

α. Πρβλ. Ἀριστ., Περὶ κόσμου 7. 401b9.

β. [στ. 25-31]. Πρβλ. Γρηγορίου Νύσσης, Κατὰ εἱμαρμένης, ἀνωτ. σ. 282,24 ἑξ.

γ. [στ. 34 ἑξ.]. Senecae, Dialogi VII,15. Epistola 107,10.

σαφέστερον ἀξιοῦντος μαθεῖν, πότερον δύναμίν τινα προαιρετικὴν αὐτοκρατῆ τε καὶ ἀδέσποτον ἐν ὑπερκειμένῃ τινὶ ἐξουσίᾳ θεωρουμένην τὴν εἱμαρμένην εἶναι φαντάζεται ἢ ἄλλο τι παρὰ τοῦτο ὑπείληφε, πάλιν τὸν αὐτὸν ἐπαναλαβὼν λόγον ὁ τῶν οὐρανίων, φησίν, ἐπεσκεμμένος τὴν κίνησιν[α], τόν τε ζῳδιοφόρον κύκλον καὶ τὰ ἐν αὐτῷ δυοκαίδεκα τμήματα τῇ **35** περιγραφῇ τῶν ἐνθεωρουμένων ζῳδίων δι' ἴσου ἀπ' ἀλλήλων διεστηκότα, ἑκάστου τε τῶν ἄστρων[β] τὴν δύναμιν κατανοήσας, τίνα μὲν ἐφ' ἑαυτοῦ ἕκαστον ἐκ φύσεως ἰσχὺν ἔχει, τί δὲ ἡ σύνοδος[γ] αὐτῶν ἐκ τῆς ποιᾶς πρὸς ἄλληλα κράσεως ἀπεργάζεται τῆς κατὰ τὴν δύναμιν ἑκάστου αὐτῶν ἰδιότητος μιχθείσης τε τῷ προσεγγισμῷ πρὸς τὴν ἑτέραν καὶ ἀποκριθείσης διὰ τῆς ἀποστάσεως, τί[δ] τε πάλιν ἡ τοῦ κατωτέρου ὑπόβασις ἐργάζεται καὶ τί ἡ τοῦ ὑπερκειμένου κατὰ τὴν πάροδον ἔκλειψις καὶ πάλιν ἀποκατάστασις ὅ τε ποικίλος τῶν συνιόντων τε καὶ ἀφισταμένων σχηματισμὸς ἐν τριγώνοις ἢ σκαληνοῖς καταγραφόμενος σχήμασιν ἢ καὶ ἄλλο τι τῶν κατὰ γεωμετρίαν θεωρουμένων σχημάτων ἀποτελῶν· ὁ ταῦτα, φησί, καὶ τοιαῦτα κατανοήσας εἴσεται τῆς εἱμαρμένης τὸ σημαινόμενον, ὅτι τὸ εἱρμῷ τινι ἀπαραβάτῳ κατὰ τὴν ποιὰν συμπλοκὴν τῶν ἀστέρων ἀναγκαίως ἀποτελούμενον τῷ ὀνόματι τῆς εἱμαρμένης διερμηνεύεται. Ἐπεὶ δέ με καὶ τοῦτο πάλιν ἐξένιζεν (οὐ γὰρ συνίειν τῶν λεγομένων οὐδὲν ἅτε μὴ πεπαιδευμένος ταύτην τὴν παίδευσιν), ἠξίουν δι' ὧν ἦν μοι δυνατὸν γνῶναι τὴν τῆς εἱμαρμένης διάνοιαν, διὰ τούτων μοι φανερὸν ποιεῖν τὸ λεγόμενον· τοὺς γὰρ ἀστρῴους κύκλους[ε] ἄλλον ἄλλῳ ἐγκεῖσθαι καὶ τὴν ἐναντίαν κίνησιν τῇ ἀπλανεῖ περιφορᾷ κατὰ τὸ ἐντὸς ἀνελίσσεσθαι καὶ πάντας τούτους τῷ ζῳδιακῷ ἐνδινεῖσθαι κύκλῳ, **[152]** ταῦτα καὶ παρ' ἑτέρων εἶπον ἀκηκοέναι **36** καὶ ἐκ τοῦ ἀκολούθου μὴ ἀμφιβάλλειν τὰς τῶν φωστήρων[στ] αὐγὰς κατὰ τὴν ἰδιάζουσαν ἑκάστῳ τῶν πόλων κυκλοφορίαν προσεγγίζειν τε καὶ ἀφίστασθαι, καὶ ὑποβαίνειν τὸν κατώτερον καὶ κρύπτεσθαι τὸν ὑπερκείμενον ἀπὸ τῶν ἡμετέρων ὄψεων, εἰ κατὰ νώτου γένοιτο τοῦ ὑποβαίνοντος, καὶ πάντα ὅσα εἰκὸς ἐκ τοῦ ἀκολούθου λογίσασθαι· εἴτε τι σχῆμα διὰ τούτων ἀποτελεῖται, ὅταν ὁ κύκλος περιάγῃ διὰ τῆς ἰδίας κινήσεως τὸ ἐφ' ἑαυτοῦ κείμενον ἄστρον, ὥστε ἢ κατ' εὐθεῖαν τοῦ

α. [στ. 5-10]. Πρβλ. Κλεομήδους, Κυκλικῆς θεωρίας μετεώρων, Περὶ κόσμου, Ι 3,18.

β. Πρβλ. Πτολεμαίου, Μαθηματικῆς τετραβίβλου συντάξεως Ι 4-10.

γ. [στ. 8-10]. Πρβλ. Γρηγορίου Νύσσης, Κατὰ Εὐνομίου Β' (ΙΒ'$_2$ Migne), ΒΕΠ 67,158,19 ἑξ.

δ. [στ. 12-16]. Πρβλ. Πτολεμαίου, Τετράβιβλος, ἔνθ' ἀν. Ι 13.

ε. [στ. 21-24]. Πρβλ. Γρηγορίου Νύσσης, Κατὰ εἱμαρμένης, κατωτ. σ. 303,20 ἑξ. Κατὰ Εὐνομίου Β' (ΙΒ'$_2$ Migne) ΒΕΠ 67,158,19 ἑξ. Πλάτ., Τίμαιος 36c-d. Κλεομήδους, Περὶ τοῦ κόσμου Ι 3,16-18.

στ. [στ. 26-30]. Πρβλ. Γρηγορίου Νύσσης, Κατὰ εἱμαρμένης, ἀνωτ. σ. 35, 8-12. Κατὰ Εὐνομίου Β' (ΙΒ'$_2$ Migne), ΒΕΠ 67,158,19 ἑξ.

ὑπερκειμένου γενέσθαι ἢ πλαγιάσαι κατὰ τὴν πάροδον, εἴτε δι' ὀλίγου τοῦ χρονικοῦ διαστήματος εἴτε διὰ πλείονος ἑκάστου τούτων ἡ περίοδος γίνεται κατὰ τὸ μέγεθος τῆς καθ' ἕκαστον τῶν κύκλων ἀναλογίας ἀναγκαίως ἢ θᾶττον ἢ βράδιον τῆς ἀναστροφῆς γινομένης.

Ταῦτα πάντα καὶ τὰ τοιαῦτα σιγᾶν ἠξίουν, μόνον δέ μοι σαφῶς ἐκκαλύπτειν τῆς εἱμαρμένης τὴν δύναμιν, εἰ θεός τίς ἐστιν ὁ τῷ ὀνόματι τῆς εἱμαρμένης νοούμενος καὶ ὁ τοῦ παντὸς ἐξημμένος τὸ κράτος καὶ πάντα κατ' ἐξουσίαν τῷ ὑπερέχοντι τῆς δυνάμεως πρὸς τὸ δοκοῦν διοικούμενος, ἢ ἄλλης τινὸς ὑπερκειμένης ἐνεργείας ὑπουργὸν εἶναι τὴν τῆς εἱμαρμένης ὑποτίθεται δύναμιν, ὥστε καὶ αὐτὴν τρόπον τινὰ ὑπὸ ἑτέραν εἱμαρμένην κεῖσθαι τῇ ὑπερεχούσῃ συνδιατιθεμένην αἰτίᾳ. Εἰ μὲν γὰρ αὕτη τὸ κατὰ πάντων κράτος ἔχειν πεπίστευται, τὸ μηδὲν ὑπερκεῖσθαι ταύτης ἡ ἀκολουθία τοῦ λόγου δίδωσιν οἴεσθαι· εἰ δὲ τῇ κινήσει τῶν ἄστρων ἀκολουθοῦσαν[α] τὴν εἱμαρμένην κρατεῖν αὐτὴν βιαίᾳ τινὶ ἀνάγκῃ τῶν πάντων διισχυρίζεται, ἀσφαλέστερον ἦν τῷ **37** προηγουμένῳ μᾶλλον ἢ τῷ ἑπομένῳ τὴν παντοδύναμον ταύτην προσμαρτυρεῖν ἐξουσίαν καὶ τὰ ἄστρα τούτων αἴτια λέγειν ἢ τὴν ἀπλανῆ περιφορὰν ἢ τοὺς ἐντὸς ταύτης ἐνθεωρουμένους κύκλους ἢ τὸν λοξῶς ἐγκεχαραγμένον τῷ πόλῳ κύκλον[β]. Εἰ γάρ τις δοίη καθ' ὑπόθεσιν μὴ κινεῖσθαι ταῦτα μηδὲ διὰ τῆς ἀϊδίου κυκλοφορίας ἢ ἐν ἀλλήλοις ἢ ἀπ' ἀλλήλων γίνεσθαι, ἀλλ' ἐπὶ τοῦ αὐτοῦ σχήματος ὡσαύτως ἔχειν ἀεί, οὐκ ἂν ἡ εἱμαρμένη συσταίη. Εἰ οὖν ἡ κίνησις τῶν ἄστρων τίκτει τὴν εἱμαρμένην, ἄρα μάτην ἐπικρατεῖν αὕτη τῶν ἄλλων νομίζεται ἡ τῇ ὑπερκειμένῃ αἰτίᾳ δουλεύουσα, καὶ μὴ ἂν οὖσα, εἰ μὴ ἡ κίνησις εἴη.

Ἀλλ' οὐ τοῦτο, φησὶν ὁ φιλόσοφος ἐκεῖνος, οὐχ οὕτως ὁ ἡμέτερος νομίζει λόγος, τὸ εἶναι αὐτὴν ἐφ' ἑαυτῆς τὴν εἱμαρμένην ἐν ὑποστάσει τινὶ θεωρουμένην· ἀλλ' ἐπειδὴ[γ] μία τίς ἐστιν ἐν τοῖς οὖσι συμπάθεια καὶ συνεχές ἐστι τὸ πᾶν ἑαυτῷ καὶ τὰ καθ' ἕκαστον ἐν τῷ παντὶ θεωρούμενα οἷον ἐπὶ σώματος ἑνὸς ἐν μιᾷ συμπνοίᾳ καταλαμβάνεται πάντων πρὸς ἄλληλα τῶν μερῶν συννευόντων, τούτου χάριν ἀρχηγικωτέρας οὔσης τῆς ἄνω λήξεως τὰ περίγεια πάντα τῷ προηγουμένῳ συνδιατίθεται καὶ πρὸς ἐκεῖνο νεύει, κατὰ τὴν ἄνω κίνησιν καὶ τῶν τῇδε πραγμάτων ἐξ ἀνάγκης συγκινουμένων, ἐν διαφόρῳ δέ, καθὼς εἴρηται, τῇ δυνάμει **38** ἑκάστου τῶν ἄστρων θεωρουμένου. Ὥσπερ ἐπὶ τῆς ἰατρικῆς φαρμακείας αἱ τῶν εἰδῶν ποιότητες λόγῳ τινὶ τεχνικῷ συμμιχθεῖσαι ἄλλο τι τὸ ἐκ τοῦ κοινοῦ συγκραθὲν ἀπειρ-

---

α. Πρβλ. Κλήμεντος Ἀλεξανδρέως, Ἐκ τῶν Προφητικῶν ἐκλογαί, ΒΕΠ 8,348,5 ἑξ. PG 9,724B. Μεθοδίου, Συμπόσιον, ΒΕΠ 18,67,23 ἑξ. 70,15 ἑξ. 71, 41 ἑξ. PG 18,161A. 168D, 172C.

β. Πρβλ. Γρηγορίου Νύσσης, Κατὰ Εὐνομίου Β' (ΙΒ'₂ Migne), ΒΕΠ 67, 158,19 ἑξ.

γ. [στ. 28-σ. 286,6]. Πρβλ. Ciceronis, De divinatione II 34,88-97. 124, 142. De natura deorum III 28.

γάσαντο καὶ οὐχ ὅπερ ἑκάστου ἦν πρὸ τῆς πρὸς ἄλληλα μίξεως[α], οὕτω καὶ τῶν ἀστρῴων δυνάμεων ἐν διαφόροις ἰδιότησι θεωρουμένων, ἡ ποικίλη κατὰ τοὺς προσεγγισμοὺς αὐτῶν καὶ τὰς ἀποστάσεις γινομένη τῶν διαφόρων ἰδιωμάτων συμπλοκὴ τὰς ποικίλας **[153]** τῶν κατὰ τὸν βίον ἀποτελουμένων διαφορὰς ἐξεργάζεται, οἷόν τινος ἀπορροῆς ἀδιασπάστως ἐκεῖθεν ἐφ' ἡμᾶς διηκούσης. Διά τοι τοῦτο καὶ παρὰ τῶν ἐπιμελέστερον τὰ τοιαῦτα φιλοσοφούντων αἱ προρρήσεις τῶν ἐσομένων οὐχ ἁμαρτάνονται. Ὡς γὰρ ὁ τῆς ἰατρικῆς ἐπιστήμων, εἰ τὸ θερμὸν ἢ ναρκῶδες φάρμακον ἀνακραθείη τῷ ἁλμῶντι ἢ παραστύφοντι, προλέγει τὴν συστησομένην ἐκ τῆς τῶν ἑτεροφυῶν μίξεως ἰδιότητα καὶ τί κατεργάζεται καὶ μέχρι τίνος τὴν ἰσχὺν ἔχει καὶ τίνι μὲν ὀλέθριον τίνι δὲ ἀλεξητήριον γίνεται, οὕτως καὶ ὁ τοῖς ἄνω δι' ἐπιμελείας προσεσχηκὼς καὶ τὴν ἑκάστου τῶν ὄντων φύσιν κατανοήσας εἴσεται τὴν ἐκ τῆς ποιᾶς αὐτῶν συμπλοκῆς δύναμιν τί ἀποτελέσει. Αὕτη δὲ ἡ ἀπορροὴ οὐδὲ ἐν ὀλίγῳ πρὸς ἑαυτὴν ὁμοίως ἔχει, ἀλλὰ διὰ τὸ ἀστατεῖν ἀεὶ τῶν ἐπιπλεκομένων ἀλλήλοις ἄστρων τὴν κίνησιν ἀναγκαίως κἀκείνη τῇ συνεχείᾳ τῆς κατὰ τὴν κίνησιν ἑτερότητος συναλλοιοῦται ἀεὶ συμμετακιρναμένη τῇ ποικιλίᾳ τῆς κινήσεως καὶ τὰς ἐνεργείας ἑαυτῆς τῇ κινήσει τῶν ἄστρων συνεξαλλάσσουσα· ἧς τῶν ἐπὶ τὸν βίον παραγομένων ἕκαστος **39** κατὰ τὴν ἐν τῷ ἀκαρεῖ τοῦ διαστήματος ἐπιτυχοῦσαν αὐτῷ μοῖραν σπάσας ἐκεῖνο γίνεται ὅπερ ἡ ἰδιότης τοῦ μέρους ἐκείνου προεμήνυσέ τε καὶ ἀπετέλεσεν· ἀνάγκη γὰρ πᾶσα[β], καθάπερ ἐν ἐκμαγείῳ σφραγῖδος τῷ ἐντεθέντι κηρῷ[γ] τὸ κατὰ τὴν γλυφὴν εἶδος περιτυποῦται, οὕτως καὶ τοῦ ἀνθρώπου τὸν βίον, ᾧ ἂν συνενεχθῇ μορίῳ τῆς ἀπορρεούσης δυνάμεως ἐκ τῆς τῶν ἄστρων κινήσεως[δ], κατὰ τὴν ἐκείνου τοῦ μέρους ἰδιότητα τυποῦσθαι κἀκεῖνο γίνεσθαι ὅπερ εἶχεν ἐν ἑαυτῇ τῆς ἀπορροίας ἡ μοῖρα ἣν ἔσπασεν εὐθὺς τοῦ βίου ἀρχόμενος· ἣ ἅπαξ ἐνσφραγισθεὶς κατὰ τὴν ἐκεῖθεν ὁρισθεῖσαν δύναμιν ἀναγκαίως ἐν τῇ κατὰ τὸν βίον ἰδιότητι συμμορφοῦται ταῦτα ποιῶν ἢ πάσχων, ὧν τὰς ἀρχὰς ἢ τὰς αἰτίας ἡ πρώτη ἔντευξις τῆς ἀστρῴας ἐκείνης ἀπορροῆς κατεβάλετο[ε].

Ἐγὼ δὲ τούτων λεγομένων οὐ παύσῃ, πρὸς αὐτὸν εἶπον, φληνάφους ἐμοὶ λόγους καὶ λήρους διεξιών, τὸ ἀμερὲς ἐκεῖνο μέρος τῆς ἐν ἀκαρεῖ μετουσίας τῶν ἄνωθεν ἡμῖν, ὡς φής, ἐπιρρεόντων πάντων αἴτιον τῶν ἐν ἡμῖν κατασκευάζων[στ], οὔτε εἰ ἔμψυχον τοῦτο καὶ προαιρε-

α. Πρβλ. Πλωτ., ΙΙ 3,1,24-26.

β. [στ. 22-32]. Πρβλ. Πτολεμαίου, Τετράβιβλος, ΙΙΙ, 2.

γ. Πρβλ. Γρηγορίου Νύσσης, Περὶ κατασκευῆς τοῦ ἀνθρώπου, PG 44, 228B.

δ. Πρβλ. Γρηγορίου Νύσσης, Κατὰ εἱμαρμένης, ἀνωτ. σ. 284,23-26.

ε. Πρβλ. Ἀριστ., Περὶ μαντικῆς τῆς ἐν ὕπνοις 2,464α6. Πλάτ., Μένων, 76c.

στ. [στ. 36 ἑξ.] Πρβλ. Πλωτ., ΙΙ 3,2,2-16.

τικόν ἐστι λέγων οὔτε ὅπως κατακρατεῖ τῶν ἐμψύχων τὸ ἄψυχόν τε τε καὶ ἀνυπόστατον καὶ μηδεμίαν ἐκ φύσεως ἰδίαν ἔχον ὁρμὴν δεῖξαι δυνάμενος, ἀλλὰ πάσης βουλῆς καὶ τῆς ἐκ τῶν λογισμῶν προμηθείας παιδεύσεώς τε καὶ ἐπιμελείας καὶ τῶν κατ' ἀρετὴν ἐπιτηδευμάτων καθάπερ τινὰ τύραννον ἢ δεσπότην τὸ ἄψυχόν **40** τε καὶ ἀπροαίρετον, ἄστατόν τε καὶ παροδικὸν καὶ ἀμερὲς καὶ ἀνυπόστατον ἐπιστήσας τῷ λόγῳ; τῆς ἐκείνου δυνάμεως ἐξάπτεις τὴν τῶν ὄντων σύστασίν τε καὶ διοίκησιν καὶ οὐχ ὁρᾷς εἰς οἵας ὁ λόγος ἀτοπίας ἐκφέρεται; Εἰ γὰρ τοσαύτην ἔχει δύναμιν ἐκείνη τῆς ἀπορροῆς[α] ἡ μοῖρα, ὡς κατ' αὐτὴν τοὺς παρὰ τὴν πρώτην πάροδον γεγονότας ἀποτελεῖν, πάντως ὅτι οὐκ ἐπακολουθητικῶς ἀλλὰ προηγουμένως τῆς τῶν ὄντων συστάσεως ἐξηγήσεται. Οὐκοῦν ἐκείνη προάξει κατὰ τὴν ἰδίαν δύναμιν τὸν τικτόμενον καὶ οὐχὶ τῇ τοῦ ἀποκυηθέντος συντυχίᾳ ὑπηρετήσει. Ἄδηλον γὰρ ἐνταῦθα ποῖον τίνος ἀρχηγικώτερον ἀμφοτέρων ἐν τῷ ἀκαρεῖ κατὰ τὸ ἴσον ἀλλήλοις συμφερομένων. Ὅ τε γὰρ ἄνθρωπος καὶ πρὸ τῆς ἐξόδου τῶν σπλάγ**[156]**χνων ἐν κινήσει πώς ἐστι διὰ μειώσεώς τε καὶ αὐξήσεως [ἐν] τῇ φύσει κινούμενος (ἐπεὶ καὶ τοῦτο κινήσεως εἶδός ἐστι)[β], τό τε ἄστρον καὶ πρὸ τοῦ τὸν ἄνθρωπον τοῦ ἀέρος σπάσαι φέρεται καὶ οὐχ ἵσταται· ἥ τε συντυχία κατὰ τὸ ἴσον τῶν διὰ κινήσεως ἀλλήλοις συντυγχανόντων ἄπορον ποιεῖ τοῦ προηγουμένου τὴν κρίσιν. Καὶ γὰρ κἀκεῖνα κινεῖται διὰ τῶν κύκλων καὶ τοῦτο διὰ τῆς φύσεως ὁδεῦον φέρεται. Εἰ δὲ ἑνὶ μέρει τοῦ χρόνου ἀμφοτέροις ἡ πρὸς ἀλλήλους σύνοδος γίνεται, τίς ἡ πρὸς ἄλληλα τούτων διαφορά, ὥστε τοῦ ἑτέρου τὸ ἕτερον αἰτιώτερον οἴεσθαι; εἰ γὰρ διὰ τὰ ἄστρα ὁ ἄνθρωπος, πάντοτε ἂν ἔρρει ἡ φύσις διὰ γεννήσεως οὐδὲ ἐν ἀκαρεῖ τι διάλειμμα τῆς ἀνθρωπίνης παρόδου ἐπιδεικνύουσα. Εἰ δὲ πολλαὶ τῶν γινομένων αἱ μεταξὺ διαστάσεις, σαφῶς **41** ἀποδείκνυται τὸ μὴ τῇ κινήσει τῶν ἄστρων τὴν ἀνθρωπίνην ἕπεσθαι γένεσιν, ἡ μὲν γὰρ ἀεὶ κινεῖται ἡ δὲ οὐκ ἀεὶ γεννᾶται[γ], ἀλλ' ἰδίῳ τοῦτο εἱρμῷ κἀκεῖνο πάλιν ἰδιαζόντως ἐφ' ἑαυτοῦ φέρεται οὐδεμιᾶς ἀνάγκης συναπτούσης πρὸς ἄλληλα τὰ διεστῶτα τῇ φύσει. Εἰ δὲ τοῦτο ὁ ὑμέτερος κατασκευάζει λόγος τὸ ἐπ' ἐκείνῃ τῇ μοίρᾳ τοῦ χρόνου τὴν αἰτίαν[δ] τῶν κατὰ τὸν βίον ἁπάντων κεῖσθαι, σκόπησον ὅσας μυριάδας δεσποτῶν καὶ τυράννων ἡμέρα πᾶσα καὶ νὺξ ὡσαύτως κατὰ τὰς λεπτὰς ἐκείνας καὶ ἀκαρεῖς τοῦ χρόνου τομὰς ἀπεργάζεται εἰς τέσσαρας καὶ εἴκοσιν

α. Πρβλ. Πλωτ., II 3,1. Ὠριγένους, Κατὰ Κέλσου, ΒΕΠ 9,103,39. PG 11,749D. Περὶ εὐχῆς, ΒΕΠ 10,247,39 ἑξ. PG 11,444C. Εὐσεβίου Καισαρείας, Ἐκκλησιαστικὴ ἱστορία I, ΒΕΠ 20,83,11. PG 20, 845A. Μ. Ἀθανασίου, Περὶ τῆς ἐν Νικαίᾳ Συνόδου, ΒΕΠ 31,153,22. PG 25,436A. Πλάτ., Νόμοι, 904c.

β. Πρβλ. Ἀριστ., Κατηγορίαι 15a14. Περὶ ψυχῆς 406a12.

γ. Πρβλ. Γρηγορίου Νύσσης, Κατὰ εἱμαρμένης, ἀνωτ. σ. 285 σημ. α.

δ. [στ. 32 ἑξ.]. Πρβλ. Μ. Βασιλείου, Εἰς τὴν Ἑξαήμερον, ΒΕΠ, 51,237,24 ἑξ. PG 29,128B.

ὥρας νυκτὸς καὶ ἡμέρας, ὥς φατε, διῃρημένων, ἑκάστης δὲ ὥρας ἑξήκοντα τμήμασι μεριζομένης, πάλιν δὲ τῶν τμημάτων τούτων ἑκάστου κατὰ τὸ ἰσάριθμον κερματιζομένου· ὡς δέ φασιν ὑμῶν οἱ εἰς τὴν λεπτοτέραν τῶν τοιούτων παρατήρησιν τῷ λόγῳ διαδυόμενοι, ὅτι καὶ τούτων ἕκαστον πάλιν τῶν λεπτῶν λεγομένων τμημάτων ἰσαρίθμῳ διαιρέσει ἐπιλεπτύνεται. Τὸ τοίνυν ἐκ τούτων ἀθροιζόμενον πλῆθος τῶν ἀκαριαίων ἐκείνων θεῶν ἢ δεσποτῶν ἢ τυράννων ἢ οὐκ οἶδ' ὅπως χρὴ λέγειν, μιᾶς πλέον καὶ εἴκοσι μυριάδων ἐστίν. Εἰ δὲ μία ὥρα τοσαύτας ἡμῖν μυριάδας ποιεῖ, αἱ τέσσαρες καὶ εἴκοσι κατὰ λόγον τῆς μιᾶς πάντως πολλαπλασιασθεῖσαι τὰς ἀπείρους τῶν μοιρῶν μυριάδας ἀπογεννῶσιν. Ἀλλὰ μὴν τούτων ἑκάστην ἀπαράβατον δύναμιν ἔχειν ὁ ὑμέτερος δισχυρίζεται λόγος. Οὐκοῦν ἀκόλουθον μηδεμίαν αὐτῶν ἄπρακτον εἶναι. Οὐ γὰρ ἂν τῆς δυνάμεως ἴδιον τὴν ἀπραξίαν εἴποις, ἀλλ' ἐν τῇ ἐνεργείᾳ πάντως καθορᾶται ἡ δύναμις. Οὐκοῦν ἴσα καὶ τὰ τῆς δυνάμεώς ἐστιν **42** ἀποτελέσματα· ὥστε ὅσα τμήματα, τοσαῦται καὶ τῶν ἀνθρώπων γενέσεις ἐξ ἀνάγκης καθ' ἑκάστην ὥραν συστήσονται. Καὶ εἴπερ ἑκάστῃ μοίρᾳ τὸ δυνατὸν ὁμοίως προσμαρτυρεῖσθαι προσήκει, πάντας ἐπίσης βασιλέας, μακροβίους, δυνατούς, εὐκλήρους, εὐδαίμονας καὶ ὅσα τῆς προτιμοτέρας λήξεως εἶναι νομίζεται τὸ τῆς δυνάμεως ὁμότιμον ἀπεργάζεται· ἡ γὰρ ἔλλειψις τούτων τινὸς τοῦ κατὰ τὴν δύναμιν ἀτελοῦς κατηγορία γίνεται. Οὐ γὰρ ἄν τις ἴσην προσμαρτυρήσειε δύναμιν τῷ τε μεγάλα καὶ μικρὰ ἐνεργήσαντι. Οἷον ὁ μὲν ὑπερβέβηκεν ἑκατὸν ἔτη ἐν γήρᾳ[α] λιπαρῷ καὶ εὐδαίμονι, παισὶν εὐθηνούμενος, ἐκγόνοις δορυφορούμενος καὶ τῷ μετὰ τούτους ἐπαγαλλόμενος γένει, ἄνοσος, ἀπή**[157]**μων, ἐπίτιμος, ἄλυπος, πλούτου δαψιλῶς ἔχων, καὶ εἴ τι ἄλλο τῶν κατὰ τὸν βίον τοῦτον ἐν τιμίοις νενόμισται, διὰ πάντων μακαριζόμενος· ἕτερος ὁμοῦ τῷ παραχθῆναι εἰς φῶς κατεπνίγη, οἷα δὴ πολλὰ τῶν γεννωμένων ἐστὶν ἑταιρικὰ ἢ μοιχίδια βρέφη[β] ἅπερ τῶν μητέρων αἱ παρανόμως κυήσασαι ταῖς ἑαυτῶν χερσὶ διαχειριζόμεναι θανάτῳ τὸν ἔλεγχον κλέπτουσι. Ποῦ ἡ δύναμις ἐπὶ τούτων τῆς μοίρας; πῶς εἰς τὸ αὐτὸ τῆς ζωῆς μέτρον ἡ τῆς εἱμαρμένης ἰσχὺς οὐκ ἐξήρκεσεν; Εἰ γὰρ τὸ δυνατὸν αὐτῇ προσμαρτυρεῖν ὁ ὑμέτερος λόγος οἴεται δεῖν, ἐπίσης πᾶσι τοῖς οὖσιν ἡ ἰσχὺς αὐτῆς φανήσεται. Οὐ γὰρ τὸ μὲν ἰσχύσει, τὸ δὲ οὐ δυνήσεται, εἴπερ ἀληθῶς ἐν δυνάμει καταλαμβάνεται· ἡ δὲ δύναμις διὰ τῶν ἀποτελεσμάτων γνωρίζεται. Οὐκοῦν οὐδεμίαν ἀνωμαλίαν ὁ βίος ἕξει, πάντων **43** ὁμοίως τὸ ἀκρότατον τῆς εὐδαιμονίας μέτρον ἐν ἑαυτοῖς

α. [στ. 23 ἑξ.]. Πρβλ. Γρηγορίου Νύσσης, Περὶ νηπίων, κατωτ. σ. 304,5 ἑξ.

β. Πρβλ. Κλήμεντος Ἀλεξανδρέως, Λόγος προτρεπτικὸς πρὸς Ἕλληνας, II, ΒΕΠ 7,36,14. PG 8,120A. Παιδαγωγὸς Γ, II, ΒΕΠ 7,195,17 ἑξ. PG 8, 573B. Εὐσεβίου Καισαρείας, Εἰς Κωνσταντῖνον τριακονταετηρικὸς VII, ΒΕΠ 24,247,7 ἑξ. PG 20,1353B. Γρηγορίου Νύσσης, Εἰς τὸ Ἆσμα τῶν Ἀσμάτων, ΒΕΠ 66,142,30 ἑξ.

δεικνύντων διὰ τὸ πάντας μὲν κατὰ τὸν λόγον ὑμῶν ὑπὸ τὴν εἱμαρμένην κεῖσθαι, πάντα δὲ ταύτην ἀεὶ δύνασθαι λέγειν ὑμᾶς. Εἰ οὖν καὶ πάντα καὶ ἀεὶ δύναται ἡ εἱμαρμένη αὕτη, πάντα ἐπὶ πάντων δυνήσεται. Ἀλλὰ μὴν πολλαὶ καὶ ποικίλαι τοῖς ἀνθρώποις τοῦ βίου διαφοραὶ κατά τε τὰς ἀξίας καὶ τὰς περιουσίας καὶ τὰ τῶν χρόνων μέτρα καὶ τὰς τῶν σωμάτων κράσεις καὶ πάντα ὅσα δι' ὧν ἢ μακαριστός τις ἢ ἄθλιος ὀνομάζεται. Ἄρα τὸ μὴ πάντα δύνασθαι τὴν ἀναπλασθεῖσαν ἐκείνην τῷ λόγῳ μοῖραν ἢ εἱμαρμένην ἡ τῶν ἀποτελεσμάτων ἀνισότης σαφῶς ἐπιδείκνυσιν. Εἰ γὰρ τὸ μακρόβιον δυνάμεως ἔργον νομίζομεν, ἀσθενείας πάντως ἐστὶ τὸ ὠκύμορον. Οὐκοῦν τὴν μὲν ἀσθενεῖν τῶν εἱμαρμένων, τὴν δὲ δύνασθαι δογματίζειν προσήκει. Ἐπειδὴ γὰρ ἐναντίον τῷ πολυχρονίῳ τὸ ὀλιγόβιον, διὰ τῶν ἐναντίων ὑφίσταται πάντως τούτων ἑκάτερον. Οὐ γὰρ ἄν τις τῆς αὐτῆς αἰτίας ἐξάψειε μακαρισμόν τε καὶ ἀθλιότητα, ἀλλ' εἴπερ τοῦτο κατορθωθείη διὰ τοῦ δύνασθαι, τὸ ἕτερον οὐ συνέστη πάντως παρὰ τὴν τῆς δυνάμεως ἔλλειψιν. Οὐδενὶ γὰρ ἄλλῳ ἡ ἀθλιότης καταλαμβάνεται ἢ ἐν τῷ μὴ δυνηθῆναι γενέσθαι μακάριον. Ἀλλὰ μὴν πλείους παρὰ τὸν βίον οἱ ἄθλιοι. Οὐκοῦν πλείων ἡ ἀσθένεια τῆς εἱμαρμένης παρὰ τὴν δύναμιν ἐπιδείκνυται. Ποῦ οὖν ἡ ἄμαχος ἐκείνη καὶ παντοδύναμος καὶ ἀπαράβατος ἀνάγκη, ὥστε ἐπ' ἐκείνῃ τίθεσθαι πάντων τῶν κατὰ τὸν βίον οἰκονομουμένων τὴν ἐξουσίαν, ἥτις ἀπηλέγχθη διὰ τῆς ἀκολουθίας τοῦ λόγου ἀσθενὴς ἐν τοῖς πλείοσιν;

Ἀλλ' ἐρεῖς ὅτι τούτῳ μὲν τοῦτο βούλεται, τῷ δὲ ἑτέρῳ τὸ ἴσον οὐ βούλεται, δύναται δὲ ἐπ' ἀμφοῖν ὅπερ βούλεται. **44** Πάντως οὖν καὶ τὴν αἰτίαν προσθήσεις τῆς τῶν προαιρέσεων τούτων διαφορᾶς. Ἄνθρωπος οὗτος καὶ οὗτος, οὐδεμίαν κατὰ τὴν φύσιν παραλλαγὴν ἐπ' ἀμφοτέρων βλέπεις, οὔτε τούτῳ τὸ καλὸν ἢ φαῦλον ἐκ προαιρέσεως οὔτε τῷ ἄλλῳ, ἀλλ' οὗτος μικρόν τι τοῦ χρόνου προλαβὼν τῆς μητρῴας νηδύος ἐξέθορεν οὕτω κατὰ τὸ συμβὰν αὐτὸν ἀποσκευασαμένης τῆς φύσεως, ἐκεῖνος δὲ μετὰ τοῦτον ἢ εὐθὺς ἢ μετ' ὀλίγον. Καὶ διὰ τοῦτο οὐχ ὁ αὐτὸς ἀμφοτέροις βίος ἀποκληροῦται, ἀλλ' ὁ μὲν εὐδαίμων ἢ βασιλεύς, ἂν οὕτω τύχῃ, χρυσῷ καὶ πορφυρίδι παρὰ τὴν πρώτην γένεσιν ἐνειλούμενος, ὁ δέ τινος τῶν πενιχρῶν ἢ δούλων οὐδὲ ῥακίοις παρὰ τῶν γεννησαμένων αὐτὸν σπαργανούμενος. Τί οὖν ἠδίκησεν ἢ προλαβὼν ἢ ἐφυστερίσας τῷ χρόνῳ μικρόν, οὐ κατ' οἰκείαν πρόθεσιν ἀλλὰ κατὰ τὴν τῆς φύσεως κίνησιν, ὡς αὐτῷ τούτου ἕνεκεν ἀποκληρωθῆναι τοῦ βίου τὴν ἀτιμίαν;[α] ποίαν τῆς δεσποίνης **[160]** ὑμῶν ἐκείνης ἐπὶ τοῖς τοιούτοις ἀπολογίαν εὑρήσετε; ποῦ τὸ δίκαιον; ποῦ τὸ εὐσεβές; ποῦ τὸ ὅσιον; ἢ τούτων οὐδενὸς μέλειν φὴς τῇ εἱμαρμένῃ οὐδὲ πρὸς ἀρετὴν βλέπειν οὐδέ τινος τῶν ἀγαθῶν ἐπιμέλειαν ἔχειν; Οὐκοῦν

α. Πρβλ. Πτολεμαίου, Τετράβιβλος I 3,6. Γρηγορίου Νύσσης, Κατὰ Εὐνομίου Α', ΒΕΠ 67,76,39 ἑξ.

εἰ μὴ ταῦτα διὰ σπουδῆς ἐστιν αὐτῇ, περὶ τὸ ἐναντίον πάντως ἀσχοληθήσεται· ἡ γὰρ τοῦ ἀγαθοῦ ἀλλοτρίωσις τὴν πρὸς τὸ κακὸν οἰκειότητα σαφῶς ἐπιδείκνυσιν. Ἀλλ' οὔτε τοῦτο τυχὸν οὔτε ἐκεῖνο διὰ φροντίδος εἶναι λέγεις αὐτῇ; οὐκοῦν ἄψυχον αὐτὸ φῂς εἶναι καὶ ἀπροαίρετον καὶ καλοῦ καὶ χείρονος ἀνεπαίσθητον, εἴ γε μήτε ψυχὴν μήτε προαίρεσιν ἔχει μήτε κατ' ἰδίαν θεωρεῖται **45** ὑπόστασιν. Τοῦτο τοσαύτην μαρτυρεῖται παρ' ὑμῖν ἔχειν τὴν δύναμιν, ὥστε τῶν προαιρετικῶν ζῴων ἐπιστατεῖν καὶ κρατεῖν τῶν ὑφεστώτων τὸ ἀνυπόστατον, τῶν μετεχόντων ζωῆς τὸ ἀμέτοχον, τῶν ἐμψύχων τὸ ἄψυχον, τῶν προαιρέσει συζώντων τὸ ἀπροαίρετον, τῶν ἀρετὴν μετιόντων τὸ ἀρετῆς ἀπαράδεκτον, καθόλου τῶν ὄντων τὸ μὴ ὄν; ἐν τίνι γὰρ καταλαμβάνεται τοῦ θρυλουμένου τούτου ὀνόματος ἡ ὑπόστασις; Ζῷον οὐκ ἔστιν, ἐν περιγραφῇ οὐχ ὁρᾶται, θεὸς οὐ νομίζεται. Πῶς γὰρ Θεὸς ὁ μὴ πρὸς ἀρετὴν καὶ τὸ δίκαιον βλέπων; ὃ δὲ μηδέν ἐστι τούτων, τί ἐστιν;[α] ἀλλ' ἔοικε παρ' ὑμῶν τὸ ἀεὶ ἐνεστὼς τοῦ χρόνου εἱμαρμένη λέγεσθαι· πάσῃ γὰρ κινήσει εἴτε ποταμῶν εἴτε ἀστέρων εἴτε ἀνθρώπων ὁ χρόνος συμπαρεκτείνεται. Διαφέρει δὲ οὐδὲν ἢ ὕδατι προσκαθήμενον τῇ κινήσει τοῦ ῥεύματος ἀποσημειοῦσθαι τὰ ἀκαριαῖα τοῦ ἀεὶ ἐνεστῶτος χρόνου τμήματα ἢ νεὼς δι' ἀνέμου κομιζομένης ἢ ἀνθρώπων ὁδοιπορούντων ἢ κινουμένων ἄστρων. Εἷς γὰρ ἐπὶ πάντων τῶν μεταβατικῶς κινουμένων ὅρος κινήσεως, ἡ ἀπὸ τοῦ ἐν ᾧ ἐστιν ἐπὶ τὸ ἐν ᾧ οὐκ ἔστι μετάστασις[β]. Εἰ δὲ οὔτε ἡ τῶν ῥείθρων φορὰ οὔτε ἡ τῶν πλοίων κίνησις οὔτε ἡ τῶν ἀνθρώπων πορεία σημειουμένη τοῦ χρόνου τὰ διαστήματα εἱμαρμένας ποιεῖ, πῶς τὰ χρονικὰ σημεῖα τῆς τῶν ἀστέρων κινήσεως εἰς εἱμαρμένης γένεσιν πλάσσετε καί φατε τήνδε τὴν ὥραν ἢ τῆς **46** ὥρας τὸ ποστημόριον[γ], ὅπερ τῷδε τῷ σημείῳ τῆς τῶν ἄστρων κινήσεως ἐσημειώθη, εἱμαρμένην γίνεσθαι; τί οὖν οὐχὶ πάντως παντὶ σημείῳ καὶ γενέσεις τῶν ἀνθρώπων συμφέρονται; Πάλιν γὰρ τὸν αὐτὸν ἐπαναλήψομαι λόγον. Παρ' ὧν γὰρ ἡ αἰτία τοῦ εὖ ἢ κακῶς εἶναι τὸν ἄνθρωπον, παρὰ τῶν αὐτῶν καὶ ἡ τοῦ εἶναι πάντως αἰτία ἐστίν. Εἰ οὖν τὸ μετὰ τὴν γένεσιν παρ' ἐκείνων, πάντως παρὰ τῶν αὐτῶν καὶ ἡ γένεσις· εἰ δὲ τοῦτο οὐκ ἐν ἐκείνοις, οὐδὲ τὸ μετὰ τοῦτο πάντως. Ἀλλὰ μὴν τὸ μὴ ἐν ἐκείνοις εἶναι τὴν γένεσιν ἐκ τούτου δῆλόν ἐστιν· ἐκ τοῦ μὴ ἀδιαλείπτως ποταμοῦ δίκην τῷ συνεχεῖ τῆς παροδικῆς τοῦ χρόνου ῥοῆς καὶ τὰς ἀνθρωπίνας συρρέειν τῶν τικτομένων γενέσεις, ἀλλ' ἐν διαλείμμασι μὲν εἶναι τοὺς τόκους· τῆς δὲ τῶν μοιρῶν ἐκείνων γενέσεως ἃς ὁ χρόνος

α. Πρβλ. Πλωτ., II 3,2,16-19.

β. Πρβλ. Ἀριστ., Φυσικῆς ἀκροάσεως ΕΙ 224b1,6. Περὶ οὐρανοῦ Δ3, 310α25.

γ. Πρβλ. Γρηγορίου Νύσσης, Κατὰ εἱμαρμένης, ἀνωτ. σ. 287,8 ἑξ. Ὠριγένους, Εἰς τὴν Γένεσιν PG 12,77B.

ρέων τῷ ἀεικινήτῳ τῆς τῶν ἄστρων φορᾶς[α] ἐξεργάζεται οὐδ' ὁτιοῦν ἔστι διάλειμμα οὔτε κατ' αἴσθησιν οὔτε τῇ διανοίᾳ λαβεῖν. Τίς οὖν ἐκείνη ἡ εἱμαρμένη, εἴτ' οὖν μία γενικωτέρα εἴτ' οὖν πολλαὶ αἱ ἐπὶ τοῖς τοῦ χρόνου τμήμασι συλλεπτυνόμεναι, οὔπω καταλα**[161]**βεῖν δι' ἀκολούθου τινὸς ὁ λόγος δεδύνηται. Κινεῖσθαι τὰ ἄστρα φατέ; Καὶ γὰρ καὶ ἡμεῖς τὴν τῶν ποταμῶν ἀντιπροφέρομεν κίνησιν. Ἀλλὰ διὰ παντὸς ἐκεῖνα. Καὶ ταῦτα ὡσαύτως δι' ὅλου. Ἀλλ' ἐκεῖνα ἐν χρόνῳ. Οὐδὲ ταῦτα ἔξω τοῦ χρόνου. Ἀλλα χρονικὴν οὐκ ἔστιν ἐπ' ἐκείνων ἀρχὴν ἐξευρεῖν τῆς κινήσεως. Ποίαν δὲ τούτοις ἐπινοήσεις τὴν ἀπὸ χρόνων ἀρχήν; Ἀλλ' ἐκεῖνα κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἀεὶ κινεῖται. Οὐδὲ τούτοις ἄν τις τὴν ἐναντίαν προσμαρτυρήσειε κίνησιν φυσικῶς ἀεὶ τοῦ ὕδατος **47** ἀπὸ τοῦ ὑπερκειμένου πρὸς τὸ πρανὲς καταρρέοντος. Ὥστε ἢ καὶ τὴν κίνησιν τῶν ποταμῶν εἱμαρμένας τινὰς ἀπογεννᾶν συγχωρήσατε ἢ οὐδὲ ἡμεῖς τῇ τῶν ἄστρων κινήσει[β] τῆς δυνάμεως ταύτης παραχωρήσομεν.

Ἀλλὰ τῆσδε, φησί, τῆς δυνάμεως ὁ Κριὸς ἢ ὁ Ταῦρος καὶ τῆσδε τῶν πλανητῶν ἕκαστος. Ὅταν οὖν ἐν ἑνὶ τούτων γένηται ἢ κατὰ μόνας ἢ μεθ' ἑτέρων περιοδικῶς τις τῶν πλανηθέντων ὑπὸ τοῦ κύκλου περιαγόμενος, ἡ τῶν δυνάμεων σύνοδος τόνδε τὸν βίον τῷ συνενεχθέντι τῇ ὥρᾳ ταύτῃ κατὰ τὴν γένεσιν ἀπειργάσατο. Ὦ τῆς ματαιολογίας! Δούλειον, ἂν οὕτω τύχῃ, τὸν Ταῦρον λέγετε διὰ τὸ ὑπὸ ζυγῷ τὸ ζῷον τοῦτο δαμάζεσθαι καὶ εὐεργετικὸν τὸν Κριὸν διὰ τὴν τῶν ἐρίων φοράν· ἐν ἑνὶ δὲ τούτων γενόμενον [ἢ] τόνδε τὸν κατὰ τὸ ἐναντίον ἀνειλούμενον κατὰ τὴν φυσικῶς ἐνυπάρχουσαν αὐτῷ δύναμιν διὰ τῆς τῶν ἰδιωμάτων ἐπιμιξίας τοιάνδε τῶν τικτομένων μοῖραν κατασκευάζειν. Τί οὖν; εἰπέ μοι, ἑκὼν ὁ ταῦρός ἐστιν ὑποζύγιος; καὶ καταθύμιον τῷ κριῷ τὸ κείρεσθαι λέγεις; τό τε βλαπτικὸν καὶ ναρκῶδες τῷ τὸν ἀνωτάτω περιοδεύοντι πόλον ἢ τὸ θερμὸν τῷ πυρόεντι ἢ ἄλλῳ τινὶ τῶν θεωρουμένων ἡ ἐνυπάρχουσα δύναμις[γ] ἑκουσίως ἢ κατὰ τὸ **48** ἀκούσιον πρόσεστιν; Εἰ μὲν ἑκόντες ἐν κακοῖς εἰσι καὶ βλαπτικοὶ ἐκ προαιρέσεως γίνονται, δυστυχίαν ἄντικρυς αὐτῶν ὁ ταῦτα λέγων καταψηφίζεται τῷ κατ' ἐξουσίαν αὐτοῖς προκειμένης τῆς κρείττονος λήξεως ἐν ἡδονῇ τὸ ἀτιμότερον τίθεσθαι· εἰ δὲ οὐκ ἐκ προαιρέσεως τούτων ἕκαστόν ἐστιν ὅπερ νομίζεται, ἀλλ' ἔκ τινος ἀνάγκης ἐγένετο, ἄρα τις καὶ τούτοις ὑπερκειμένη πάλιν αὐτῶν εἱμαρμένη ἑτέρα τὰς τῶν φύσεών τε καὶ δυνάμεων ἐπέκλωσεν ἰδιότητας· ὥστε ζητεῖν ἐπάναγκες ἄλλα ἄστρα τούτων ὑπέρτερα καὶ κίνησιν ἐφ' ἑαυτῶν ἰδιάζουσαν, ὧν ἡ ποιὰ συμπλοκὴ κατά τινα εἱμαρμένης ἀνάγκην ἢ

α. Πρβλ. Γρηγορίου Νύσσης, Κατὰ εἱμαρμένης, ἀνωτ. σ. 286,26.
β. [στ. 14 ἑξ.]. Πρβλ. Πτολεμαίου, Τετράβιβλος I 4-10. Μ. Βασιλείου, εἰς τὴν Ἑξαήμερον, ΒΕΠ 51,238,20 ἑξ. PG 29,129C ἑξ.
γ. Πρβλ. Πτολεμαίου, Τετράβιβλος II 8.

δούλειον εἶναι τὸν Ταῦρον ἢ ἐπιζήμιον τὸν Κριὸν ἀπειργάσατο ἢ τὸν Καρκῖνον ἀκέφαλον ἢ εἴ τι ἄλλο περὶ ἑκάστου τούτων οἱ λῆροι τῶν σοφῶν διέρχονται. Καὶ εἰ ταῦτα τὰ φαινόμενα ἡμῖν κατ' ἀνάγκην τινὸς εἱμαρμένης ἐστὶ τοιαῦτα, πάντως καὶ τῆς ὑπερκειμένης ἐκείνης ἀνάγκης ἑτέραν αἰτίαν ἀναγκαστικὴν τῆς τοιαύτης καταστάσεως προσεπινοήσει ὁ λόγος κἀκείνης ἄλλην καὶ πάλιν ἄλλην τῆς ἄλλης, καὶ οὕτως εἰς ἄπειρον προϊὼν ὁ λόγος οὐδαμοῦ στήσεται εἱμαρμένην εἱμαρμένης καὶ μοίρας μοῖραν καὶ ἀνάγκης ἀνάγκην προσαναπλάσσων.

Ταῦτα δέ μου διεξιόντος καὶ διὰ τῶν τοιούτων νοημάτων πρὸς τὸ ἄτοπον τὸν λόγον ἐκβάλλοντος ἐπικόψας μεταξὺ διὰ καταφορᾶς προϊόντα τὸν λόγον ὁ προσδιαλεγόμενός μοι φιλόσοφος, Τί μάχῃ, φησί, τῇ ἐναργείᾳ[α], τί δὲ οὐχ ἕπῃ τοῖς διὰ τῶν ἀριθμῶν παρατετηρηκόσι τὴν τῶν ὄντων ἀλήθειαν, οἷς εἰ πρὸς ἀκρίβειαν ἡ ὥρα ληφθείη τῆς τοῦ ἀποκυηθέντος γεννήσεως, πᾶσαν δι' ἀκολούθου τὴν ζωὴν τοῦ τεχθέντος προ**49**αγορεύουσι· τὸν χρόνον, τὸν τρόπον, τὰ τῶν ἠθῶν ἰδιώματα, τὰς κινδυνώδεις περιστάσεις, γάμους καὶ παιδοποιίας καὶ ἀξιωμάτων ἐπιτυχίας, ἢ καὶ τὸ ἔμπαλιν, ἀπαιδίας καὶ νόσους καὶ ἀτιμίας καὶ βραχύτητα βίου καὶ τὰ ἐκ πενίας κακά; τούτων οὖν δι' ἀκριβείας προσημανθέντων καὶ τῇ ἐκβάσει τῆς ἀληθείας μαρτυρηθείσης, τίς ἔτι σοι λόγος ἐστὶν ἀπι**[164]**στοῦντι τῇ τῆς εἱμαρμένης ἀνάγκῃ; Ἐγὼ δὲ τῶν τοιούτων προρρήσεων τὰς αἰτίας μικρὸν ὕστερον εἰπὼν ζητήσειν ἠρόμην· πότερον ἄλογός ἐστι καὶ συντυχικὴ τῶν τοιούτων ἐκβάσεων ἡ αἰτία, ἤ τινα καὶ λόγον τῇ παρατηρήσει ταύτῃ συνεφευρίσκουσιν, ὡς μὴ ἔξω τοῦ εἰκότος γενέσθαι τὸ γινόμενον· Καὶ μάλα μέν τοι, φησί, καὶ λόγος ἔπεστι τοῖς γινομένοις[β]. Ὅταν γὰρ ἐκ τῆς ποιᾶς τῶν κατὰ τὰ ἄστρα ποιοτήτων συμπτώσεως τοιάδε σώματος κρᾶσις τῷ τικτομένῳ συστῇ, ὁ κατειληφὼς δι' ἀκριβείας τῶν οὐρανίων τὴν θεωρίαν καὶ τὸ συστήσεσθαι τήνδε τὴν κρᾶσιν περὶ τὸν τεχθέντα προκατενόησε καὶ τὸ δύνασθαι μέχρι τοῦδε τοῦ μέτρου τὴν ζωὴν ἐξαρκέσαι, πλείονος μὲν ἐπὶ τῆς ἐρρωμενεστέρας, ἐλάττονος δὲ πάλιν ἐπὶ τῆς νοσωδεστέρας τοῦ σώματος κράσεως. Ἐγὼ δὲ τοῖς ῥηθεῖσιν ἐπιγελάσας, Ἐλελήθεις ἡμᾶς, πρὸς αὐτὸν εἶπον, Γαληνοῦ καὶ Ἱπποκράτους καὶ τῶν τοιούτων ἐγγόνους εἶναι τὰς εἱμαρμένας δοξάζων, ἐπεὶ κἀκεῖνοι χαίρειν τὴν τῶν ἄστρων ἀφέντες κίνησιν ἐκ τοῦ ὑποκειμένου στοχαστικῶς τὸ μέλλον προαγορεύουσιν. Ὅταν ὀφθαλμοὶ κοῖλοι καὶ κρόταφοι συμπεπτωκότες καὶ τὰ μέτωπα περιεσκληκότα τῷ δέρματι, τὸν θάνατον προμηνύουσι. Πολλοῖς δέ, εἶπον, νοσωδέστερον διακειμένοις τὰ σώματα καὶ ὅσον οὐδέπω προσδοκωμένοις **50** τεθνήξεσθαι πρὸς τὸ ἔμπαλιν ἐξ ἰατρικῆς ἀνεκλώσθη τῆς τοιαύτης εἱμαρμένης τὰ νήματα· οἷον δὴ καὶ τὸν παιδοτρίβην Ἡρό-

---

α. [στ. 11 ἑξ.]. Πρβλ. Πτολεμαίου, Τετράβιβλος I 3,2.
β. [στ. 26 ἑξ.]. Πρβλ. Πτολεμαίου, Τετράβιβλος, I 3,12.

δικον ὁ Πλάτωνος ἱστόρησε λόγος, ὅτι διὰ γυμναστικῆς ἐμπειρίας εἰς παντελῆ μὲν ὑγιείαν ἐπιθανατίου τοῦ νοσήματος ὄντος ἐπαναγαγεῖν τὸ σῶμα οὐχ οἷός τε ἦν, ἀεὶ δὲ παρόντα τὸν θάνατον δι' ἐπινοίας ὑπερτιθέμενος, οὐχὶ ζωῆς ἀσφάλειαν, ἀλλὰ θανάτου παράτασιν ἑαυτῷ παρεσκεύαζεν[α]. Ὅθεν καὶ εἰς γῆρας διήρκεσε μακρῷ θανάτῳ τὸ μὴ ἀποθανεῖν σοφισάμενος. Οὐκοῦν οὐδὲ κατὰ τοῦτον τὸν λόγον ἀρραγὴς ὑμῖν ἡ εἱμαρμένη καταλαμβάνεται, εἴπερ εὑρίσκεταί τις τέχνη τὴν ἀνάγκην ἐκλύουσα.

Ἀλλ' οὐδέν, φησίν, ὁ τοιοῦτος λόγος τὴν ἐκ τῶν προρρήσεων περὶ τῆς εἱμαρμένης ἀπόδειξιν ἀναλύει. Δυνατὸν γὰρ ἂν γένοιτο καὶ τοῦτο προμηνυθῆναι παρὰ τοῦ δι' ἀκριβείας ἐπεσκεμμένου τῶν οὐρανίων τὴν κίνησιν, ὥστε τῷ μὲν ἀραρότα τῷ δὲ ἀμφίβολον προμηνυθῆναι τὸν θάνατον. Ἐγὼ δέ, Οὐχ οὕτως, εἶπον, ὁ τῆς ἀνάγκης διισχυρίζεται λόγος· ἄλλος γὰρ τοῦ ἐνδεχομένου ὁπότερον ἂν τύχῃ γενέσθαι καὶ ἄλλος τοῦ ἀμεταθέτου ὁ λόγος, ὃν οὐκ ἔστιν ἐπὶ τῶν ἐνδεχομένων λαβεῖν· ἀλλ' ἢ τοῦτο πάντως ἢ τὸ ἕτερον· τὸ δὲ πρὸς ἀμφοτέρας τὰς ἐκβάσεις ταῖς ἐλπίσιν ἐπικραδαίνεσθαι πόρρω τῶν τῆς ἀνάγκης λόγων ἐστίν.

Πλὴν τοῦτο, φημὶ πρὸς αὐτόν, πόθεν οἴεται τὸ πιστὸν ἔχειν τῶν ἀποβησομένων τὴν πρόρρησιν; ὁ δέ, Πολλάκις, φησί, διεξιόντος ἀκούσας ἔτι καὶ νῦν περὶ τῶν αὐτῶν ἐρωτᾷς; Ὅτι τινές εἰσιν ἰδιάζουσαι δυνάμεις τῶν ἄστρων· τὸ δὲ ἀεικίνητον τῆς φορᾶς μυρίας ἐκ τῆς ποιᾶς αὐτῶν συμπλοκῆς τὰς τῶν δυνάμεων διαφορὰς ἐξεργάζεται. Ὁ τοίνυν παραχθεὶς ἐπὶ τὸν **51** βίον διὰ γενέσεως κατὰ τὴν συμπεσοῦσαν αὐτῷ τοῦ χρόνου μοῖραν τὴν ὑπὸ τῶν ἄστρων τοιῶσδε σχηματισθεῖσαν ἐντυπωθείς, ἅπερ ἂν ἡ δύναμις τῆς ὥρας ἐκείνης ἔχουσα κατα**[165]**ληφθῇ, ταῦτα καὶ περὶ τὸν βίον κατ' ἀνάγκην ἕξει καὶ ἄλλως οὐκ ἔχει. Τί οὖν, εἶπον[β], αἱ κατὰ πόλεμον συμφοραὶ καὶ οἱ σεισμοὶ καὶ τῶν πόλεων αἱ καταπτώσεις καὶ τὰ αὔτανδρα τῶν μυριοφόρων ὁλκάδων ναυάγια, ἐπικλύσεις καὶ ἐκπυρώσεις καὶ χάσματα καὶ ὅσα τοιαῦτα πανωλεθρίας εἴδη, πῶς ταῦτα διασώσει τὸν τῆς προρρήσεως λόγον; πόσα ἐν τοῖς προτέροις, πόσα δὲ καὶ ἐν τοῖς καθ' ἡμᾶς χρόνοις ὁ βίος ἔδειξε πάθη· τὸν ἐπὶ Νῶε κατακλυσμὸν[1] καὶ τὴν Σοδόμων ἐκπύρωσιν[2] ἢ τὸν Αἰγύπτιον στρατὸν ὑποβρύχιον ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ γενόμενον[3] ἢ τὰς μετὰ ταῦτα τῶν ἀλλοφύλων σφαγάς[4], τὰς μυρίας ἐκείνας ἀνδροκτασίας[5] ἢ τὸν αὐτόματον ἐν ὀλίγῳ τῷ χρόνῳ θάνατον τοῦ Ἰσραηλίτου λαοῦ ἐν πολλαῖς μυριάσι θραυσθέντος[6] ἢ

---

1. Πρβλ. Γεν. κεφ. 7. 2. Πρβλ. Γεν. κεφ. 19. 3. Πρβλ. Ἐξ. κεφ. 14. 4. Πρβλ. Ἐξ. 17,13. 5. Πρβλ. Ἐξ. 32,28. 6. Πρβλ. Ἀριθ. 17,14.

α. [στ. 1-5]. Πρβλ. Πλάτ., Πολιτεία 406a-b.

β. [στ. 28 ἑξ.]. Ciceronis, De divinatione II 97. Σέξτου Ἐμπειρικοῦ, Πρὸς ἀστρολόγους V 91-93. Φίλωνος, Περὶ προνοίας (De providentia) 87.

τὰς ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδας τῶν Ἀσσυρίων μιᾷ χρόνου ῥοπῇ νεκρωθείσας[1], τῶν τε ἐφεξῆς κακῶν τὰς ἱστορίας ἐν μηδικαῖς τε καὶ ἑλληνικαῖς συμφοραῖς συμπεσούσας ἐν ναυμαχίαις τε καὶ πεζομαχίαις μεγάλαις[α], καὶ πάντα ὅσα τοιαῦτα ὧν ἡ μνήμη τοῖς ἐφεξῆς διδάσκαλος γίνεται. Κἂν ταῦτα παρέλθωμεν πάντα, ἱκανὰ ἂν γένοιτο πρὸς τὴν τῶν λεγομένων μαρτυρίαν καὶ ὅσα ὁ καθ' **52** ἡμᾶς ἱστόρησε βίος. Τίς γὰρ οὐκ οἶδε τὴν μεγάλην Βιθυνίας μητρόπολιν ταῖς ἐξεχούσαις τῶν πόλεων ἐναρίθμιον; τίς ἀγνοεῖ τὴν πλατεῖαν καὶ εὐρύχωρον Θρᾴκην; πῶς τὴν μὲν ὁ πόλεμος, τὴν δὲ ὁ σεισμὸς μετὰ τοῦ πυρὸς ἐν ἀκαρεῖ τοῦ χρόνου ἄρδην ἐξέτριψεν. Πόσοι παῖδες ἐκεῖ, πόσα νήπια, οἱ μέσως ἔχοντες, οἱ παρήλικες, ἐλεύθεροί τε καὶ δοῦλοι, κρατοῦντες καὶ ὑποχείριοι, πλούσιοι, πένητες, ἐρρωμένοι, νοσηλευόμενοι, πάντες ἐν μιᾷ καιροῦ ῥοπῇ κατεφθάρησαν[β]. Πάντας ἐπίσης τὸ πῦρ ἐπενεμήθη· πᾶσιν οἱ οἶκοι τάφοι ἐγένοντο. Ποῦ αἱ τῶν ἄστρων ἐκείνων διαπλοκαὶ αἱ τὰς διαφορὰς τῶν βίων τοῖς ἀνθρώποις ὁρίζουσαι; ἆρα πᾶσιν ἐκείνοις μία τῶν ἄστρων σύνοδος τὰς ὠδῖνας τῶν γενέσεων ἔλυσε καὶ πᾶσιν ὁ Καρκίνος ὡροσκοπῶν τὴν μοῖραν ἐπέβαλε; Καὶ μὴν αἱ μυρίαι τῶν ἡλικιῶν τε καὶ ἀξιωμάτων διαφοραὶ τὸ μὴ πάντας ἀλλήλοις κατὰ ταὐτὸν τῇ γενέσει συνενεχθῆναι διαμαρτύρονται. Εἰ οὖν ὁ μὲν τῆς γενέσεως χρόνος ἑκάστῳ διάφορος, ἡ δὲ τῶν συμφορῶν ταυτότης οὐδεμίαν παραλλαγὴν ἐκ τῆς κατὰ τὴν γένεσιν αἰτίας ἐδέξατο, ἄρα καὶ διὰ τούτων τὸ περὶ τὴν πρόρρησιν ἀπαγὲς καὶ ἀσύστατον διελέγχεται.

Ἀλλ' ἔστι, φησί, καὶ νεὼς καὶ πόλεως καὶ ἔθνους παντὸς εἱμαρμένη κατὰ τὴν πρώτην θέσιν τὸ ἐφεξῆς ἐπικλώθουσα, καὶ τῷ περιέχοντι τὰ ἐμπεριειλημμένα κατ' ἀνάγκην συνδιατίθεται[γ]. Τίς οὖν ἡ τῆς ναυπηγίας Εἰλείθυια; τίς δὲ ὁ τῆς **53** πόλεως τόκος; ἐκ ποίας δὲ ἀρχῆς τοῦ ἔθνους καθορῶμεν τὴν γένεσιν; Τέμνει ὁ δρυοτόμος τὴν ὕλην, ἐμπορεύεται ταύτην ὁ τὸ ξύλον ἐμπορευόμενος, χρημάτων ὁ ναυπηγὸς τὴν ὕλην ὠνεῖται, μερίζει τῇ ἐργασίᾳ τὴν τέχνην. Ὁ μὲν γάρ τις διαιρεῖ τὸ ξύλον εἰς σανίδας τῷ πρίονι· ὁ δὲ τὴν τρόπιν τεκταίνεται· ἕτερος περὶ τὰ ὑποζώματα τὴν σπουδὴν τῆς κατασκευῆς ἔχει· ἄλλος τὴν πρῴραν καὶ ἄλλος τὴν πρύμναν ἐκορυφώσατο· τούτῳ τοῦ ἱστοῦ μέλει καὶ τῆς κεραίας τῷ ἑτέρῳ· οἱ δὲ τὸ λίνον εἰς κάλους πλέκουσιν· οἱ δὲ αὐχένες τῷ κυβερνήτῃ διὰ φροντίδος γίνονται· ἄλλοι τὰ καταστρώματα καὶ τὴν ὀθόνην ἐνεργοῦσιν· ἄλλοι καὶ τὸν ἐκ τῆς ζωγραφίας καλλωπισμὸν ἐπάγουσιν, ἕτεροί τε αὖ διαχρίοντες τῇ πίσσῃ

---

1. Πρβλ. Δ' Βασ. 19,35.

α. Πρβλ. Ciceronis De divinatione II 97. Ἱππολύτου, Ἔλεγχος κατὰ πασῶν τῶν αἱρέσεων Δ, 5, ΒΕΠ 5,219, 1 ἑξ.

β. [στ. 7-13]. Πρβλ. Ammiani Marcellini, XXVI,10,15-19.

γ. Πρβλ. Πτολεμαίου, Τετράβιβλος II 2-3.

τὰς ἁρμονίας καὶ τὸν ἄντλον ἐν τῷ μέσῳ κατασκευάζοντες. Πάντως οὐ κατὰ ταὐτὸν ἕκαστος τὸ καθ' ἑαυτὸν ἐνεργοῦσιν, ἀλλ' ὁ μὲν νῦν, ὁ δὲ μετ' ὀλίγον· καὶ τῷδε ἤδη πέρας **[168]** τὸ σπουδαζόμενον ἔσχεν, ὁ δὲ ἐν τῷ ἐνεργεῖν καθορᾶται. Πότε τοίνυν τῇ νηὶ τὴν εἱμαρμένην οἱ σοφοὶ ἐπιστήσουσιν; ὅτε ὠνεῖται τὸ ξύλον ἢ ὅτε τέμνεται ἢ ὅτε μεταχειρίζεται ἢ ὅτε ἐπάγει τὸν σίδηρον ἢ ὅτε συναρμόζει τοῖς γόμφοις; Πολλῶν γὰρ καὶ διαφόρων ὄντων τῶν κατὰ τὴν ναυπηγίαν σπουδαζομένων καὶ οὐ κατὰ τὸν αὐτὸν ἀλλήλοις χρόνον συνισταμένων ποῖον ἀναθήσῃ χρόνον τῇ εἱμαρμένῃ, ἵνα τὴν ἀνάγκην τῆς καταδύσεως δεξαμένη συνδιαφθείρῃ μεθ' ἑαυτῆς τοὺς ἐμπλέοντας; τί δ' ἂν εἴποις περὶ τῶν πόλεων;[α] πότε αὐτῆς κρατεῖν τὴν εἱμαρμένην οἴονται; ὅτε **54** βουλή τις τοῦ οἰκισμοῦ τοῖς σπουδάζουσι γίνεται ἢ ὅτε τοῦ τόπου τὴν εὐφυΐαν ἐπιλογίζονται ἢ ὅτε τὸ σχῆμα καταχαράσσουσιν ἢ ὅτε ἐπάγουσιν ἤδη τῇ ἐργασίᾳ τὸν σίδηρον ἢ τοὺς λίθους ἐναποτίθενται ἢ συμφοροῦσι τὰς ὕλας; τί τούτων ἐστὶν ἀρχὴ τῆς συστάσεως; τί δ' ἂν εἴποις περὶ τοῦ ἔθνους ὃ ταῖς κατὰ πόλεμον συμφοραῖς ἐξετρίβη; τίς ἢ πόθεν κατ' αὐτῶν τὴν ἀρχὴν λαβοῦσα ἡ μοῖρα τοὺς μὲν κατεφόνευσε, τοὺς δὲ δι' αἰχμαλωσίας κατεδουλώσατο; πῶς Ἀννίβας ἢ Καῖσαρ ἢ καὶ ὁ ἐκ Μακεδονίας Ἀλέξανδρος παρ' οἷς ἂν ἐγένοντο στρατευόμενοι πᾶσιν ὁμοτιμίαν εἱμαρμένης εἰργάσαντο τοσοῦτον τῆς ἀνάγκης ἐκείνης ὑπερισχύοντες ὡς τοῖς αὐτοῖς τοῦ κακοῦ μέτροις πάντας συνάγεσθαι; Ἀλλὰ μὴν τὸ οἴεσθαι τὰς τῶν πόλεων εἱμαρμένας ἐν τοῖς τῶν σεισμῶν καταπτώμασι τὰς συναστρίας ποιεῖν, ὡς ἔξω τοῦ εἰκότος ὁ λόγος ἐστίν, ἐντεῦθεν ἄν τις κατίδοι· τίς οὐκ οἶδεν ὅτι τὰ τοιαῦτα πάθη τῆς γῆς οὐ μόνον ἐν τοῖς οἰκουμένοις τόποις, ἀλλὰ καὶ ἐν τοῖς ἀοικήτοις συνίσταται; Εἴ τις τὸ τῶν Γασάγων[β] ὄρος τὸ πρὸς τοῖς ὁρίοις τῶν Βιθυνῶν κείμενον ἢ τῇ καθ' ἑαυτὸν ἔγνω πείρᾳ ἢ ἐκ διηγήματος ἤκουσεν, εὑρήσει τὴν τοῦ λόγου ἀλήθειαν, ὅτι κατ' αὐτὰς τῆς ὁδοῦ τὰς ὑπερβολὰς πᾶσα ἡ ἀκρώρεια ὑπονοστήσασα φοβερὸν θέαμα τοῖς διοδεύουσι γίνεται. Τοιαῦτα καὶ τῆς χώρας τῶν Παφλαγόνων τὰ πάθη· **55** ἔστι δὲ ὅπου καὶ οἰκήσεις ἀνθρώπων τοῖς χάσμασι τούτοις συγκατεσπάσθησαν· πολλαχῇ δὲ τῶν οἰκητόρων γυμνὸς ὁ χῶρος ἐν τῷ τοιούτῳ δείκνυται πάθει. Καὶ τί χρὴ καθ' ἕκαστον λέγειν Κυπρίους καὶ Πισίδας καὶ Ἀχαιούς, ἐν οἷς πολλὰ τῶν λεγομένων ἐστὶ τεκμήρια; Ἀλλ' οὗ χάριν τῶν εἰρημένων ἐμνήσθημεν, ὅτι πάντα τὰ τοιαῦτα γῆς ἐστι πάθη. Εἰ μὲν οὖν συνενεχθείη καὶ οἴκησιν ἀνθρώπων ἐφευρεθῆναι τῷ τόπῳ, κατὰ πᾶσαν ἀνάγκην κἀκεῖνοι τοῦ κατὰ τὸν τόπον δυστυχήματος παραπέλαυσαν· εἰ δὲ ἐλεύθερος εἴη τῶν οἰκητόρων, οὐδεμίαν ἀνθρώποις ἤνεγκε βλάβην τὸ περὶ τὸν τόπον δυστύχημα. Τίς οὖν ἡ τῆς εἱμαρμένης ἀνάγκη ἐπίσης τῶν τε οἰκουμένων

α. [στ. 10-16]. Πρβλ. Ciceronis, De divinatione II, 99.
β. [στ. 26 ἑξ.]. Πρβλ. Ammiani Marcellini XXVI, 10,15-19.

καὶ τῶν ἀοικήτων τὸ τοιοῦτον πάθος ὑπομενόντων; Εἰ μὲν γὰρ εἶχον ἀποδεικνύειν κατὰ μέρη τινὰ καὶ μὴ κατὰ τὸ ἀθρόον πᾶσαν κατεσκευάσθαι τὴν γῆν, εἶχεν ἂν αὐτοῖς ἴσως καιρὸν ἡ ματαιολογία τῷδε τῷ μέρει τῆς γῆς κτιζομένης τῆσδε τῶν ἄστρων συμπλοκῆς ἐφαρμοσθείσης ἢ τοῦτο ἢ ἐκεῖνο κατ' ἀνάγκην γενέσθαι. Ἐπεὶ δὲ πάντα μετ' ἀλλήλων καταλαμβάνεται, οὐρανός, γῆ, θάλασσα, κατὰ δὲ τὸν Μωυσέως λόγον καὶ προτερεύει ἡ γῆ τῆς τῶν ἄστρων κατασκευῆς καὶ κινήσεως[1], πῶς **[169]** τῶν μερικῶν κατὰ τὴν γῆν συμπτωμάτων τὴν αἰτίαν εἰς τὴν τῶν ἄστρων ἀναθήσονται κίνησιν; Εἰ τοίνυν ὁμόχρονος τοῖς ἄστροις ἡ γῆ καὶ οὐδεμίαν ἐκεῖθεν οὔτε συμπτώσεως οὔτε διαμονῆς αἰτίαν ἐπάγεται, ἐν μερικαῖς δέ τισι τόπων περιγραφαῖς τὰ τοιαῦτα ὑφίσταται πάθη, ἄρα οὐχ εἱμαρμένης ἀνάγκῃ ἀλλὰ κατά τινα ἑτέραν **56** ἰδιάζουσαν αἰτίαν ἐν τοῖς τοιούτοις συμπτώμασι γενέσθαι τὰ τοιαῦτα συμβαίνει. Ὅταν οὖν πάθῃ τι τοιοῦτον ἡ γῆ καί τινας τοιαύτας συμφορὰς κατεργάσηται τῶν οἰκητόρων συγκατασεισθέντων τῷ καταπτώματι, τί ἐροῦσιν οἱ προσκυνοῦντες τὴν εἱμαρμένην καὶ τὴν τῶν ἄστρων κίνησιν ἐπιστατεῖν τῶν ὄντων διοριζόμενοι; πῶς ἐκεῖ τὸ νήπιον, τὸ βρέφος, τὸ μειράκιον, ὁ ἀνήρ, ὁ πατήρ, ὁ πρεσβύτης, ὁ εὐγενής, ὁ εὐπατρίδης, ὁ μισθωτός, ὁ δεσμώτης οὔτε τῷ χρόνῳ τῆς γενέσεως οὔτε διαφορᾷ τινι τῆς ἀξίας εἰς τὴν τῶν κακῶν ὁμοτιμίαν κωλύονται; ἔτι πρὸς τούτοις· τίς οὐκ οἶδεν[α] ὅτι παντὸς ἄγους ἔσχατόν ἐστιν ἡ θυγατρομιξία καὶ ἀδελφογαμία καὶ ἡ εἰς μητέρας παρανομία; Τοῦτο τοίνυν εἰ κατά τινα μοίρας ἀνάγκην ἐγίνετο, πάντως ἂν καὶ ἐν τοῖς καθ' ἡμᾶς ἐτολμήθη τόποις· ἐπεὶ δὲ μόνῳ τῷ ἔθνει Περσῶν καὶ τοῖς τὰ ἐκείνων νόμιμα δεδιδαγμένοις τὸ τοιοῦτον ἄγος τολμᾶται, δῆλον ἐκ τοῦ ἀκολούθου ὅτι μοῖρα καὶ εἱμαρμένη ἡ ἑκάστου προαίρεσις γίνεται τὸ δοκοῦν κατ' ἐξουσίαν προαιρουμένη[β].

Ἔτι πρὸς τούτοις· ὡς ἂν μηδὲ τὸ τοιοῦτον ἔχοιεν λέγειν[γ], ὅτι κατὰ τὰς ποιὰς περικλείσεις τῶν τόπων ἰδιάζουσαί τινες ἄστρων κινήσεις καταλαμβάνονται, καὶ διὰ τοῦτο οἱ μὲν **57** μητρογαμοῦσιν, οἱ δὲ ξενοκτονοῦσι καὶ ἀνθρωποβοροῦσι τῆσδε τῶν ἄστρων τῆς θέσεως ἐκείνοις ἰδιαζόντως ἐπιπτούσης· εἰ καὶ παντάπασι τῶν ἀπαιδεύτων καὶ τῆς τῶν ὄντων θεωρίας ἀνεπισκέπτων ὁ τοιοῦτος λόγος ἐστί, τῶν οἰομένων ὅτι κατὰ τὰς ποιὰς τῆς γῆς περιγραφὰς καὶ ἡ ἄνωθεν αὐτοῖς λῆξις ἐπιτυποῦται (οὕτω γὰρ ἂν εὑρεθείη τὰ γήινα τῶν οὐρανίων ἀρχηγικώτερα, εἰ κατὰ ταῦτα νομίζοιτο κἀκεῖνα ἔχειν), ὅμως καὶ τοῦτο

1. Πρβλ. Γεν. 1,9,14.

α. [στ. 21-27]. Πρβλ. Ciceronis, De divinatione II, 88-97. Φίλωνος, Περὶ Προνοίας, (De providentia) 84-86. Εὐσεβίου Καισαρείας, Εὐαγγελικὴ προπαρασκευή, ΒΕΠ 25,221,38 ἑξ. 235,15-29. PG 21,468A-B. 500D-501A.

β. Πρβλ. Γρηγορίου Νύσσης, Εἰς τὸ Ἆσμα τῶν Ἀσμάτων, ΒΕΠ 66, 154,36.

γ. [στ. 28-33]. Πρβλ. Πτολεμαίου, Τετράβιβλος II, 2-3.

προσθήσομεν πρὸς ἔλεγχον τῆς ἠπατημένης αὐτῶν ὑπολήψεως· πάντα σχεδὸν τὰ μέρη τῆς γῆς τὸ τῶν Ἰουδαίων ἐπενεμήθη γένος, ἀνατολικοί, νότιοι, μεσογεῶται, δυτικοί, προσάρκτιοι, πάντα σχεδὸν τὰ ἔθνη μέμικται πρὸς τὴν τῶν Ἰουδαίων συνοίκησιν. Πῶς τοίνυν οὐδεμία τῶν ἄστρων ἀνάγκη ἐπ᾽ οὐδενὸς αὐτῶν ἴσχυσέ τινι τῶν ἐκ τοῦ ἔθνους χαρίσασθαι τὸ ἀλώβητον, ἀλλ᾽ ἐν ταῖς μυριοτρόποις τῶν ἄστρων ἐπιπλοκαῖς, ᾧπερ ἂν συνενεχθῇ τὸ τικτόμενον, ἐν τῷ ὁμοίῳ πάντως ἐστί, κατὰ τὴν τεταγμένην τῶν ἡμερῶν περίοδον ὑπομενούσης τὴν λώβην τῆς φύσεως[α].

Ὁ δέ, Ταῦτα μὲν οὔπω[β], φησίν, ἐξήτασται παρ᾽ ἡμῖν, τίνι λόγῳ διαφεύγει τὴν ἐκ τῶν ἄστρων ἀνάγκην τὰ νόμοις τισὶ κεκρατημένα παρὰ πολλοῖς τῶν ἐθνῶν· ἡ μέντοι πρόρρησις τῶν ἀποβησομένων οὐκ ἂν μικρὸν εἰς ἀπόδειξιν νομισθείη τοῦ ἀπαραβάτως ἔχειν τὰ μεμοιραμένα ἑκάστῳ. Πῶς γὰρ ὁ δεῖνα τόνδε τὸν ἀριθμὸν τῶν ἐτῶν βιοτεύσειν καὶ τοιαῖσδε συντυχίαις κατὰ τὸν βίον συνενεχθήσεσθαι προμαθὼν οὐ **58** διεψεύσθη, εἰ μή τις ἀνάγκη κατὰ τὸ ἀπαράβατον ἐκείνῳ τε ταῦτα γενέσθαι πάντως ἐπέκλωσε, τῷ τε προαγορεύοντι διὰ τῆς ποιᾶς τῶν κατὰ τὸν ἀριθμὸν σεσημειωμένων παρατηρήσεως δῆλον ἐποίησεν;

Ἐγὼ δὲ κρεῖττον μὲν ἔφην ἐν τοῖς τοιούτοις δοκεῖν ἀγνοεῖν ἢ γέλωτος ἀφορμὴν παρέχειν τοῖς ἀμαθεστέροις τῶν ἡμετέρων δογμάτων· πλὴν ἀλλὰ μικρὰ φροντί**[172]**σας τῶν ἐν γέλωτι τὰ καθ᾽ ἡμᾶς τιθεμένων, δι᾽ ὀλίγων, ὡς ἂν οἷός τε ὦ, πᾶσαν τὴν περὶ τούτου αἰτίαν ἐκθήσομαι. Ἔστι τῷ γένει τῶν ἀνθρώπων κατὰ φύσιν πολέμιος δύναμίς[γ] τις ἐκ τῶν ἐναντίων τῇ ἀγαθῇ φύσει γινωσκομένη[δ]. Τούτου δὲ μυρίας μὲν ἔστι τὰς ἀποδείξεις ἐξ ἐναργῶν παραστῆσαι πραγμάτων. Οὐ μὴν ἀναγκαῖον ἡγοῦμαι τῷ παρόντι καιρῷ πάντα κατὰ τὸ ἀκόλουθον διεξιέναι δι᾽ ὧν ταῦτα οὕτως ἔχειν πεπίστευται. Τῆς τοίνυν θείας φύσεως ἐν παντὶ ἀγαθῷ νοήματί τε καὶ ὀνόματι θεωρουμένης, παρ᾽ ἧς ἡ ζωή, τὸ φῶς, ἡ ἀλήθεια, τὸ δίκαιόν τε καὶ σοφὸν καὶ τὸ ἄφθαρτον καὶ πᾶν ὅ τί περ ἔστι κατ᾽ ἔννοιαν λαβεῖν ἀγαθόν, τοῦτο οὔσης καὶ τοῦτο χαριζομένης, ἡ ἐκ τῶν ἐναντίων γνωριζομένη δύναμις ἐκ πάντων τῶν κατὰ τὸ ἀντικείμενον ἑκάστῳ τῶν ἀγαθῶν θεωρουμένων καταλαμβάνεται, ὥστε ἀντὶ μὲν ζωῆς θάνατον, ἀντὶ δὲ ἀληθείας ἀπάτην, καὶ ἀνθ᾽ ἑκάστου τῶν βελτιόνων τὴν ἀντιδιαστελλομένην

α. [στ. 1-9]. Πρβλ. Εὐσεβίου Καισαρείας, Εὐαγγελικὴ προπαρασκευή, ΒΕΠ 25,224,10-34. 235,15-24. PG 21,473B-476A. 500D-501A. Ὠριγένους, Φιλοκαλία PG 14,1315B.

β. [στ. 10 ἑξ.]. Πρβλ. Ciceronis, De divinatione I, 35,36,49. II 88-89.

γ. Πρβλ. Τατιανοῦ, Πρὸς Ἕλληνας, ΒΕΠ 4,246,27 ἑξ. PG 6,821A-B. Κλήμεντος Ἀλεξανδρέως, Ἐκ τῶν Προφητικῶν ἐκλογαί, ΒΕΠ 8,347,28 ἑξ. PG 9,721C-D. Εὐσεβίου Καισαρείας, Εὐαγγελικὴ προπαρασκευή, ΒΕΠ 25,197, 24-30. PG 21,413A.

δ. Πρβλ. Γρηγορίου Νύσσης, Περὶ πυθονίσσης, W. Jaeger, III, II, σ. 103,15 ἑξ. PG 45,109B.

κακίαν παρ' αὐτῆς τοῖς ἀνθρώποις **59** ἐπάγεσθαι· εἶναι γὰρ αὐτῇ τοῦτο φίλον ὅπερ ἂν τῇ φύσει τοῖς ἀνθρώποις ἐπ' ὀλέθρῳ γίνηται. Ὥσπερ δὲ οἱ διὰ τῶν δηλητηρίων κακοποιοῦντες πολλάκις καὶ μέλιτι τὸ φθεῖρον ἐφηδύνουσι φάρμακον οὐκ εὐφρᾶναι τῇ γεύσει τὸν βλαπτόμενον σπουδὴν ποιούμενοι, ἀλλ' ἐκκλέψαι τὴν τοῦ φθείροντος αἴσθησιν, οὕτω καὶ ἡ φθοροποιὸς[α] αὕτη φύσις σκοπὸν ἔχουσα τῆς ἀγαθῆς φύσεως ἀποστῆσαι τὸν ἄνθρωπον ἀγαθῶν τινων πραγμάτων μορφὰς ὑποδύεται προρρήσεσί τισι καὶ ἰατρείαις τὸν ἐγκεκρυμμένον τῆς ἀπάτης λόχον ἐπικαλύπτουσα, ὡς ἂν τούτῳ προσέχοντες τὸ δείλαιον τῶν ἀνθρώπων γένος τοῦτό τε νομίζοντες ἀγαθὸν εἶναι τοῦ ὄντος κατὰ φύσιν ἀγαθοῦ μηδεμίαν ἔχοιεν ἐπιθυμίαν. Διά τοι τοῦτο, καθ' ὅπερ ἄν τις προγνώσεως εἶδος διά τινος ἀπάτης προειλημμένος τύχῃ, κατ' ἐκεῖνο καὶ ἡ ἀπατηλὴ τῶν δαιμόνων ὑπήκουσε δύναμις, ἐν ἡπατοσκοπίαις[β] καὶ οἰωνισμοῖς[γ], ἐν κληδόσιν[δ], ἐν νεκυίαις[ε], ἐν γενεθλιαλογίαις[στ], ἑκάστου τούτων οὐ κατὰ τὸν αὐτὸν τρόπον, ἀλλὰ διαφόρως τὸ ἐφεξῆς προμηνύοντος. Ὥσπερ τοίνυν ὁ τῷ ἥπατι τὸ μέλλον διασημαίνων ἢ ὁ διά τινος κληδόνος προεικάσας τὸ ἐσόμενον ἢ ὁ πρὸς τὴν πτῆσιν τοῦ οἰωνοῦ βλέπων οὐ τῇ τῆς εἱμαρμένης ἀνάγκῃ τὰ τοιαῦτα προαγορεύειν κατεπαγγέλλεται, κατὰ τὸν αὐτὸν τρόπον μιᾶς οὔσης αἰτίας, καθὼς εἴρηται, τῆς τὸ τοιοῦτο τῆς προρρήσεως εἶδος μετιούσης (λέγω δὲ κατὰ τὴν ἀπατηλὴν τῶν δαιμόνων ἐνέργειαν), οὐκ ἐπειδή ποτέ τι κατὰ τὸ συμβὰν ἐπετεύχθη **60** τῶν εἰρημένων, εἴπερ δὴ καὶ ὅλως ἐπετεύχθη, διὰ τούτου ἡ τῆς εἱμαρμένης ἀποδείκνυται δύναμις, ἐπεὶ πᾶν προρρήσεως εἶδος εἰκότως ἂν ἐξ εἱμαρμένης τὴν ἰσχὺν ἔχειν κατασκευάζοιτο[ζ]· ὥστε ἡμῖν μίαν μὲν εἱμαρμένην εἶναι τὸν ὄνειρον, ἑτέραν δὲ τὴν ἐκ παλμῶν παρατήρησιν, ἄλλην δὲ ἐξ οἰωνισμῶν ἢ κληδόνων ἤ τινων συμβόλων συνισταμένην. Εἰ δὲ οὐδὲν ἐπ' ἐκείνων κωλύει καὶ πρόρρησιν εἶναι καὶ εἱμαρμένην μὴ εἶναι, οὐδὲ εἴ τις ἐξ ἀριθμοῦ τοῖς γενεθλιαλογοῦσιν[η] ἐπετεύχθη πρόρρησις, ἀρκοῦσα γένοιτο ἂν πίστις

α. [στ. 6-18]. Πρβλ. Γρηγορίου Νύσσης, Περὶ πυθονίσσης, W. Jaeger III, II, σ. 103,15-104,12. PG 45,109B ἑξ.

β. Πρβλ. Εὐσεβίου Καισαρείας, Εὐαγγελικὴ ἀπόδειξις, ΒΕΠ 27,188,26. PG 22,345C.

γ. Πρβλ. Διαταγαὶ Ἀποστόλων, ΒΕΠ 2,57,32 ἑξ. PG 1,752B.

δ. Πρβλ. Διαταγαὶ Ἀποστόλων, ΒΕΠ 2,57,33. PG 1,752B.

ε. Πρβλ. Ἰουστίνου Μάρτυρος, Ἀπολογία Α', ΒΕΠ 3,171,11. PG 6, 356A. Κλήμεντος Ἀλεξανδρέως, Προτρεπτικὸς πρὸς Ἕλληνας, ΒΕΠ 7,23,27. PG 8,69A. Εὐσταθίου Ἀντιοχείας, Κατὰ Ὠριγένους εἰς τὸ τῆς ἐγγαστριμύθου θεώρημα διαγνωστικός, ΒΕΠ 18,284,12-21. PG 18,617C.

στ. Πρβλ. Μ. Ἀθανασίου, Ἀμφιβαλλόμενα. Σύνοψις τῆς θείας Γραφῆς, ΒΕΠ 33,296,16. PG 28,348C. Μ. Βασιλείου, Εἰς τὴν Ἑξαήμερον, ΒΕΠ 51, 237,8. PG 29,128A.

ζ. Πρβλ. Γρηγορίου Νύσσης, Κατὰ εἱμαρμένης, ἀνωτ. σ. 297,20 ἑξ.

η. Πρβλ. Ὠριγένους, Κατὰ Κέλσου, ΒΕΠ 9,95,30. PG 11,729A. Πτολεμαίου, Τετράβιβλος I,2,12. III, 2,5.

εἰς τὸ μὴ ῥᾳδίως τὰ τοιαῦτα ἐπιτυγχάνεσθαι. Καίτοι γε οὐδὲ ἀκριβεῖς τε καὶ ἀναμφίβολοι παρὰ τῶν τὰ τοιαῦτα ἐπαγγελλομένων αἱ προμηνύσεις γί**[173]**νονται, ἀλλὰ πολλὰς ἑαυτοῖς ἀναχωρήσεις παρασκευάζουσιν ἐπὶ τῇ ἐκβάσει, εἰ πρὸς τοὐναντίον ὁ λόγος ἐλέγχοιτο, καί τινα προτεχνολογοῦσιν[α] ἑαυτοῖς οἷς τούτων μέλει, ὥστε μὴ τῆς ἐπιστήμης τῷ ἐσφαλμένῳ τῆς κατὰ τὴν ὥραν σημειώσεως τὴν ἀποτυχίαν λογίζεσθαι, καὶ λοξαὶ ὡς **61** ἐπίπαν καὶ πρὸς τὸ διπλοῦν τῶν ἐκβάσεων ἐπαμφοτερίζουσαι γίνονται παρ' αὐτῶν αἱ προρρήσεις, ἵν' ὅπερ ἂν ἐκβῇ, τοῦτο προμεμηνῦσθαι δόξῃ. Πολλάκις γὰρ τὸ περιφανές τε καὶ τὸ ὑπὲρ τοὺς ἄλλους ὁ τὴν ὥραν τῆς γενέσεως κατανοήσας ἐμήνυσεν. Εἶτα ἐν ἐξαισίοις τισὶ συμφοραῖς τούτου μεγονότος οὐδὲν διεσφάλθαι ὁ προσαγορεύσας διισχυρίσατο· ἔσχε γὰρ ὑπὲρ τοὺς ἄλλους τὸ πλέον εἰς τὴν τῶν κακῶν μετουσίαν. Καὶ τούτων ἡ καθ' ἡμᾶς ἱστορία μάρτυς ἐστίν. Οὐάλεντος γὰρ τοῦ βασιλέως ἐπὶ τῆς Ῥωμαίων ὄντος ἀρχῆς ἀπάτη τις τοιαύτη πρὸς τὴν ἀνταρσίαν τῆς ἀρχῆς παρεκίνησε. Καὶ ὁ μὲν ὥρμησεν ἐφόδιον πρὸς τὴν τόλμαν τὴν τῶν γενεθλιαλογούντων προαγόρευσιν ἔχων· τὸ δὲ πέρας τῆς ἐγχειρήσεως τοιοῦτον ἐγένετο, ὥστε αὐτὸν τῶν ἐπὶ ταῖς μεγίσταις ἀρχαῖς γνωρισθέντων ἐν τῷ μεγέθει τῆς συμφορᾶς γενέσθαι διασημότερον[β]· καὶ τοῦτο συνηγορία τῆς γενεθλιαλογίας τοῖς πολλοῖς ἐνομίσθη, ὅτι τὸ κατὰ συμφορὰν μέγεθος ἀντὶ τοῦ μεγέθους τῶν ἀγαθῶν τῷ ἀνδρὶ συνηνέχθη.

Ἐγὼ δὲ τὸ μὲν πεπλανημένας τὰς περὶ τούτων γενέσθαι προαγορεύσεις οὔπω μέγα ποιοῦμαι τεκμήριον τοῦ μὴ ἑστάναι τῆς εἱμαρμένης τὸν λόγον, ἀλλ' ἐπειδὴ πολλαῖς καὶ ἄλλαις ἐπινοίαις ἡ ἀπατηλὴ τῶν δαιμόνων δύναμις τὰς προρρήσεις σοφίζεται. Καὶ γὰρ καὶ ὕδωρ τι μαντικὸν παραφορᾶς καὶ **62** μανίας τοῖς γευσαμένοις ἐνεργαζόμενον καὶ πνεῦμα κάτωθεν διά τινος στομίου διεξερχόμενον· ὅπερ εἰ ἐν γυναικείοις γένοιτο σπλάγχνοις, ἐξοιδεῖν τε τὴν γαστέρα ποιεῖ καὶ τῆς διανοίας ἔκστασιν καὶ παραφορὰν τοῦ καθεστηκότος ἐργάζεται. Ἅπερ πάντα θεῖά τε καὶ μαντικὰ τοῖς ἀπατωμένοις ἐδόκει· τῶν τε ἐξ ἥπατος ἢ πυρὸς σημείοις τισὶ τὸ μέλλον προεικαζόντων ἢ τῶν πρὸς τὰς πτήσεις τῶν ὀρνέων οὐδεὶς ἀνέθηκε τῇ εἱμαρμένῃ τὴν τῆς προρρήσεως δύναμιν[γ], ἀλλά τινι δαιμονίᾳ κατοκωχῇ τὸ τοιοῦτον λογίζονται. Οὕτω φημὶ ἢ μὴ εἶναι καθόλου προαγόρευσιν διὰ τὸ πολλοῖς ἐναντιώμασι τὰς προρρήσεις ἐλέγχεσθαι ἢ εἴπερ ἀποδεικνύει τις αὐτὴν ὡς προλέγουσάν τι τῶν ἐκβησομένων, ὅπερ ἐπὶ τῶν ἄλλων ἑκάστου τῶν κατὰ πρόρρησιν ἐπιτυγχανομένων καταλαμβάνομεν, τοῦτο καὶ ἐπὶ τοῦ τοιούτου τῆς προρρήσεως εἴδους οἰόμεθα χρῆναι νομίζειν. Ἴσον γὰρ ἐπὶ πάντων τούτων ἐστὶ τὸ ἐν τοῖς πλείοσι διαμαρτάνειν

α. [στ. 13-19]. Πρβλ. Ammiani Marcellini, XXVI, 6-9.
β. Πρβλ. Εὐριπίδου, Βάκχαι, 298-301. Πλάτ., Φαῖδρος 244α-c.
γ. Πρβλ. Πλωτ. III 1,5.

τό τε ἔν τισι δοκεῖν μὴ ἔξω τῆς τῶν ἐκβησομένων ἀληθείας ἄγειν τὴν πρόρρησιν, καὶ τῇ ἀπατηλῇ τῶν δαιμόνων φύσει ὁμοίως καὶ διὰ ταύτης καὶ πάσης ἐπινοίας ὁ σκοπὸς κατορθοῦται[α]. Τὸ γὰρ ἀποστῆσαι τὸν ἄνθρωπον τοῦ πρὸς τὸν Θεὸν βλέπειν κἀκεῖθεν ἑαυτῷ τὴν τῶν **63** ἀγαθῶν μοῖραν παρασκευάζειν, ἀντὶ παντὸς τοῖς δαίμοσι σπουδάζεται. Τὸ τοίνυν πεπεῖσθαι τοὺς εὐεξαπατήτους μὴ ἐπὶ τῷ θείῳ βουλήματι τὰ κατὰ τὸν βίον κεῖσθαι, ἀλλ' ἐπὶ τῇ τοιᾷδε τῶν ἄστρων διαπλοκῇ καὶ τῇ ἐκεῖθεν ἀπορρεούσῃ δυνάμει, πάντων μάλιστα πρὸς τὸν σκοπὸν τῆς βλαπτικῆς τῶν δαιμόνων φύσεως βλέπει. Εἰ οὖν κεχαρισμένον ἐστὶ τοῖς δαίμοσι τοῦ Θεοῦ ἀποστῆσαι τὸν ἄνθρωπον, ἀφίστησι δὲ ἡ περὶ ταῦτα πλάνη, ἀποδείκνυται σαφῶς δαιμονία τις οὖσα ἐνέργεια δι' ἀπάτης παρακρουομένη τοὺς πᾶσαν μὲν ἐν τούτοις τὴν δύναμιν εἶναι νομίζοντας, πρὸς δὲ τὴν παντοδύναμον τοῦ Θεοῦ ἐξουσίαν μὴ ἀποβλέποντας.

α. Πρβλ. Φίλωνος, Περὶ προνοίας (De providentia) 77,36.

ΠΡΟΣ ΙΕΡΙΟΝ
ΠΕΡΙ ΤΩΝ ΠΡΟ ΩΡΑΣ ΑΝΑΡΠΑΖΟΜΕΝΩΝ ΝΗΠΙΩΝ*

67 **[161]** Σοὶ μέν, ὦ ἄριστε, πάντες σοφισταί τε καὶ λογογράφοι τὴν τοῦ λέγειν πάντως ἐπιδείξονται δύναμιν, οἷόν τινι σταδίῳ τῷ πλάτει τῶν σῶν θαυμάτων ἐνδιαθέοντες· καὶ γάρ πως οἶδεν μεγαλοφωνότερον ποιεῖν τὸν λόγον γενναία τις καὶ ἀμφιλαφὴς προτεθεῖσα τοῖς δυναμένοις ὑπόθεσις, περὶ ἣν ὑψοῦται ὁ λόγος τῷ μεγέθει τῶν πραγμάτων συνεπαιρόμενος· ἡμεῖς δὲ κατὰ τοὺς γηραιοὺς τῶν ἵππων ἔξω τοῦ σταδίου τῆς ὑποθέσεως μένοντες τὸ οὖς μόνον ταῖς ἐπὶ σοὶ τῶν λόγων ἁμίλλαις διαναστήσομεν, εἴ πού τις καὶ μέχρις ἡμῶν φθάσειεν ἦχος σφοδρῷ τε καὶ συντεταμένῳ τῷ ἅλματι διὰ τῶν σῶν θαυμάτων τὸν λόγον ἐλαύνων. Ἐπεὶ δὲ συμβαίνει, κἂν ὑπὸ γήρως ἔξω μένῃ τῶν ἀγώνων ὁ ἵππος, πολλάκις αὐτὸν τῷ κτύπῳ τῶν κατακροαινόντων εἰς προθυμίαν διεγειρόμενον τήν τε κεφαλὴν ἀνέχειν καὶ ὁρᾶν ἐναγώνιον πνέειν τε θυμῶδες καὶ ὑποκινεῖν τοὺς πόδας κοινῇ, πυκνῶς τῷ ἐδάφει τὰς ὁπλὰς ἐπαράσσοντα, ᾧ προθυμία μόνη πρὸς τοὺς ἀγῶνάς ἐστιν, ἡ δὲ **68** τοῦ τρέχειν δύναμις προανηλώθη τῷ χρόνῳ· τὸν αὐτὸν τρόπον καὶ ὁ ἡμέτερος λόγος ἐξαγώνιος μένων διὰ τὸ γῆρας καὶ παραχωρῶν τοῦ σταδίου τοῖς ἀκμαίοις κατὰ τὴν παίδευσιν μόνην σοι δείκνυσι τὴν προθυμίαν τοῦ ἐθέλειν ἂν καὶ ἐπὶ σοῦ ἀγωνίσασθαι, εἴπερ ἡβῴη κατὰ τοὺς νῦν τοῖς λόγοις ἀκμάζοντας. Ὅση δέ μοι τῆς προθυμίας ἐστὶν ἡ ἐπίδειξις, οὐκ ἐν τῷ διηγήσασθαί τι τῶν σῶν. Τούτου γὰρ μόγις ἂν καὶ ὁ σφριγῶν τε καὶ συντεταμένος τύχοι λόγος, ὡς μὴ πολὺ κατόπιν τῆς ἀξίας ἀπολειφθῆναι, ὁ τὴν ἀμήχανον ταύτην ἁρμονίαν τοῦ ἤθους διερμηνεύων ἐκ τῶν ἐναντίων συγκεκραμένην πως[α]. Καθάπερ γὰρ ταῖς τῶν βλεφάρων προβολαῖς τὸ τῶν ἀκτίνων ἄκρατον ἡ φύσις ὑποσκιάζουσα κεκραμένον προσάγει τὸ φέγγος τοῖς ὄμμασιν, ὡς ἂν προσηνὴς ὁ ἥλιος γένοιτο πρὸς τὴν ἐκ τῶν βλεφαρίδων σκιὰν συμμέτρως τῇ χρείᾳ κατακιρνάμενος· οὕτως τὸ σεμνόν τε καὶ μεγαλοφυὲς τοῦ ἤθους τῇ ἐμμέτρῳ ταπεινοφροσύνῃ καταμιγνύμενον οὐκ ἀποστρέφει τὰς **[164]** ὄψεις τῶν προσορώντων, ἀλλὰ δι' ἡδονῆς βλέπειν παρασκευάζει, ὡς μήτε τῆς σεμνότητος τὴν μαρμαρυγὴν ἀμαυροῦσθαι

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ J. Mc D o n o u g h, S. J. Gregorii Nysseni, Contra Fatum (Greg. N. op. W. Jaeger) vol. III, II, σσ. 67-97, Leiden, E. J. Brill 1987. (J.-P. Migne PG τ. 45,161-192).

α. [στ. 20-23. 30-σ. 392,3]. Πρβλ. Γρηγορίου Νύσσης, Ἐπιτάφιος εἰς Πλακίλλαν βασίλισσαν, ΒΕΠ 69,21,12 ἑξ. Ἰσοκράτους, Πρὸς Νικοκλέα, 34.

μήτε διὰ ταπεινότητος καταφρονεῖσθαι τὸ ἐνδιάθετον, ἀλλὰ κατὰ τὸ ἴσον ἐν ἑκατέρῳ θεωρεῖσθαι τὸ ἕτερον, ἔν τε τῷ ὑψηλῷ τὴν κοινότητα καὶ ἐν τῷ ταπεινῷ τὸ ἔμπαλιν τὴν σεμνότητα. Ἄλλος ταῦτα διεξερχέσθω καὶ τὸ πολυόμματον[α] τῆς ψυχῆς ἀνυμνείτω, ὡς ἐσάριθμοι ταῖς θριξὶ τάχα τῆς κεφαλῆς οἱ τῆς ψυχῆς ὀφθαλμοί, πανταχόθεν ἐπ' ἴσης ὀξύ τε καὶ ἀπλανὲς δεδορκότες, ὥστε πόρρωθέν τε προϊδεῖν καὶ μὴ ἀγνοεῖν ἐκ τοῦ **69** σύνεγγυς μηδὲ τὴν πεῖραν ἀναμένειν τοῦ λυσιτελοῦντος διδάσκαλον, ἀλλὰ τὸ μὲν τοῖς τῶν ἐλπίδων ὀφθαλμοῖς προορᾶν, τὸ δὲ θεωρεῖν διὰ τῆς μνήμης, ἄλλο δὲ κατὰ τὸ ἐνεστὼς ἐν κύκλῳ περιαθρεῖν, πάντα δὲ κατὰ ταὐτὸν ἐνεργεῖν ἀσυγχύτως πάσαις ταῖς τοιαύταις ἐνεργείαις τὸν νοῦν καταλλήλως ἐπιμερίζοντα. Τόν τε σεμνὸν τῆς πενίας πλοῦτον θαυμαζέτω πάλιν ἐκεῖνος, εἴ τις ἔστιν ἐν τῷ καθ' ἡμᾶς βίῳ εἰδὼς τὸ τοιοῦτον ἐν ἐπαίνῳ ποιεῖσθαι καὶ θαύματι. Τάχα δὲ εἰ καὶ μὴ πρότερον ἦν, ἀλλὰ νῦν διὰ σὲ καὶ πενίας ἀνθήσει πόθος καὶ πρὸ τῶν πολυταλάντων τοῦ Κροίσου πλίνθων ἡ σὴ λιτότης μακαρισθήσεται. Τίνα γὰρ μακαριστὸν οὕτως ἀπέδειξε γῆ τε καὶ θάλασσα, ταῖς ἰδίαις ἑκατέρα προσόδοις δεξιουμένη, ὡς τὸν σὸν βίον ἡ πρὸς τὴν ὑλικὴν περιουσίαν ἀποδιάθεσις; Ὡς γὰρ οἱ τοῦ σιδήρου τὸν ἰὸν ἀποξέοντες στιλπνὸν αὐτὸν καὶ ἀργυροειδῆ κατεργάζονται, οὕτως σοὶ φανοτέρα γέγονεν ἡ τοῦ βίου ἀκτὶς ἀεὶ δι' ἐπιμελείας τοῦ ἰοῦ τῶν χρημάτων καθαιρομένη[β]. Καὶ ταῦτα παρείσθω τοῖς εἰπεῖν δυναμένοις καὶ ὅτι καλῶς ἐπίστασαι, ἐν τίσιν ἐστὶ τὸ λαβεῖν τοῦ καθαρεῦσαι λήμματος ἐνδοξότερον· δὸς γάρ μοι μετὰ παρρησίας εἰπεῖν, ὅτι οὐ πάντων ὑπεροράς τῶν λημμάτων, ἀλλ' ὧν οὔπω τις ἅψασθαι τῶν προλαβόντων δεδύνηται, μόνος περιεδράξω διπλῇ τῇ χειρί· ἀντὶ γὰρ ἐσθῆτός τινος ἢ χρημάτων ἢ ἀνδραπόδων αὐτὰς τῶν ἀνθρώπων τὰς ψυχὰς λαβὼν ἔχεις τῷ θησαυρῷ τῆς ἀγάπης ἐναποθέμενος.

70 Ταῦτα λογογράφοι καὶ σοφισταὶ διεξίτωσαν, οἷς κόσμος καλῶς τὰ τοιαῦτα γράφειν, ὁ δὲ γηραιὸς ἡμῶν λόγος τοσοῦτον ἑαυτὸν ὑποκινείτω, ὅσον βάδην ἐπεξελθεῖν τῷ προτεθέντι ἡμῖν παρὰ τῆς σῆς σοφίας προβλήματι, τί χρὴ γινώσκειν περὶ τῶν πρὸ ὥρας ἀναρπαζομένων, ἐφ' ὧν μικροῦ δεῖν ἡ γένεσις τῷ θανάτῳ συνάπτεται· ἃ καὶ ὁ σοφὸς ἐν τοῖς ἔξω Πλάτων πολλὰ ἐκ προσώπου τοῦ ἀναβεβιωκότος περὶ τῶν ἐκεῖθεν δικαστηρίων φιλοσοφήσας ἀφῆκεν ἀπόρρητα, ὡς κρείττονα ὄντα δηλαδὴ ἢ ὥστε ὑπὸ λογισμὸν ἀνθρώπων ἐλθεῖν[γ]. Εἰ μὲν οὖν τι τοιοῦτον ἐν τοῖς ἐξητασμένοις ἐστίν, ὡς λύειν τὰς τοῦ προβλήματος ἀμφιβολίας, δέξῃ δηλαδὴ τὸν εὑρεθέντα λόγον, εἰ δὲ μή, συγγνώσῃ πάντως τῷ γήρᾳ, μόνην τὴν προθυμίαν ἡμῶν εἰς τὸ παρασχεῖν τί σοι τῶν κεχαρισμένων **[165]** ἀποδεξάμενος. Καὶ γὰρ τὸν

α. Πρβλ. Γρηγορίου Νύσσης, Εἰς τὸ Ἆσμα τῶν Ἀσμάτων, ΒΕΠ 66,227,11.
β. Πρβλ. Γρηγορίου Νύσσης, Εἰς τοὺς Μακαρισμούς, ΒΕΠ 66,410,13 ἑξ.
γ. Πρβλ. Πλάτ., Πολιτεία 611b ἑξ.

Ξέρξην, ἐκεῖνον τὸν πᾶσαν τὴν ὑφ' ἡλίῳ μικροῦ δεῖν ἓν στρατόπεδον ποιησάμενον καὶ πᾶσαν ἑαυτῷ συγκινοῦντα τὴν οἰκουμένην, ὅτε κατὰ τῶν Ἑλλήνων ἐστράτευσε, μεθ' ἡδονῆς δέξασθαί φησιν ὁ λόγος πένητός τινος δῶρον[α]. Ὕδωρ δὲ τὸ ξένιον ἦν καὶ τοῦτο οὐκ ἐν κεράμῳ φερόμενον, ἀλλ' ἐν τῷ κοίλῳ τῆς τῶν χειρῶν παλάμης περιεχόμενον. Οὕτως οὖν καὶ σὺ κατὰ τὴν προσοῦσάν σοι μεγαλοφυΐαν μιμήσῃ πάντως ἐκεῖνον, ᾧ δῶρον ἐγένετο ἡ προαίρεσις, εἴπερ ἡμῶν βραχύ τε καὶ ὑδατῶδες εὑρεθείη τὸ δῶρον.

71 Ὥσπερ ἐπὶ τῶν οὐρανίων θαυμάτων ὁρᾷ[β] μὲν ἐπ' ἴσης τὰ φαινόμενα κάλλη κἂν πεπαιδευμένος κἂν ἰδιώτης τύχῃ τις ὢν ὁ πρὸς τὸν οὐρανὸν ἀναβλέπων, διανοεῖται δὲ τὰ περὶ αὐτῶν οὐχ ὁμοίως ὅ τε ἀπὸ φιλοσοφίας ὁρμώμενος καὶ ὁ μόναις ταῖς αἰσθήσεσι τὸ φαινόμενον ἐπιτρέπων (οὗτος μὲν γὰρ ἢ ταῖς ἀκτῖσιν ἥδεται τοῦ ἡλίου ἢ τὸ κάλλος τῶν ἄστρων θαύματος ἄξιον κρίνει ἢ τὸν ἀριθμὸν τοῦ σεληναίου δρόμου ἐπὶ τοῦ μηνὸς παρετήρησεν, ὁ δὲ διορατικὸς τὴν ψυχὴν καὶ διὰ παιδεύσεως πρὸς τὴν κατανόησιν τῶν οὐρανίων κεκαθαρμένος, καταλιπὼν ταῦτα δι' ὧν εὐφραίνεται τῶν ἀλογωτέρων ἡ αἴσθησις, πρὸς τὴν τοῦ παντὸς ἁρμονίαν βλέπει καὶ ἐκ τῆς ἐγκυκλίου κινήσεως τὴν ἐκ τῶν ἐναντίων εὐαρμοστίαν ἐπισκοπεῖ· πῶς τῇ ἀπλανεῖ περιφορᾷ οἱ ἐντὸς κύκλοι πρὸς τὸ ἔμπαλιν ἀνελίσσονται, πῶς τὰ ἐν αὐτοῖς θεωρούμενα τῶν ἄστρων πολυειδῶς σχηματίζεται, ἐν προσεγγισμοῖς τε καὶ ἀποστάσεσι καὶ ὑποδρομαῖς τε καὶ ἐκλείψεσι καὶ ταῖς ἐπὶ τὰ πλάγια παραδρομαῖς τὴν ἀδιάλειπτον ἐκείνην ἁρμονίαν ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἐξεργαζόμενα[γ]· οἷς οὐδὲ τοῦ βραχυτάτου τῶν ἄστρων ἡ θέσις ἀθεώρητος περιορᾶται, ἀλλὰ πάντα τὴν ἴσην παρέχει φροντίδα τοῖς διὰ τῆς σοφίας ἐπὶ τὰ ἄνω τὸν νοῦν μετοικίσασι)· τὸν αὐτὸν τρόπον καὶ σύ, ὦ τιμία μοι κεφαλή, τὴν ἐν τοῖς οὖσι τοῦ Θεοῦ οἰκονομίαν βλέπων, ἀφεὶς ἐκεῖνα περὶ ἃ τῶν πολλῶν ἄσχολός ἐστιν ἡ διάνοια (πλοῦτον λέγω καὶ τῦφον καὶ δόξης ἐπιθυμίαν κενῆς[δ], ἅπερ ἄντικρυς ἀκτίνων δίκην περιαστράπτοντα τοὺς ἀλογωτέρους ἐκπλήττειν εἴωθεν), οὐδὲ τὰ δοκοῦντα **72** μικρότερα τῶν ἐν τοῖς οὖσι θεωρουμένων ἀνεξέταστα καταλείπεις ἀνερευνῶν τε καὶ διασκοπούμενος τὴν ἀνωμαλίαν τῆς ἀνθρωπίνης ζωῆς, οὐ μόνον τὴν κατὰ πλοῦτον καὶ πενίαν θεωρουμένην ἢ τὰς κατὰ τὰ ἀξιώματα καὶ τὰ γένη διαφορὰς (οἶδας γὰρ ἀντ' οὐδενὸς εἶναι ταῦτα οἷς τὸ εἶναι οὐ καθ' ὑπόστασιν οἰκείαν ἐστίν, ἀλλ' ἐν τῇ ματαίᾳ ὑπολήψει τῶν τοῖς μὴ οὖσιν ὡς ὑφεστῶσι προσκεχηνότων· εἰ γοῦν τις ἀφέλοιτο τοῦ λαμπρυνομένου τῇ

α. Πρβλ. Πλουτάρχου, Ἀποφθέγματα βασιλέων καὶ στρατηγῶν, 172Β.
β. Πρβλ. Γρηγορίου Νύσσης, Περὶ παρθενίας, ΒΕΠ 69,38,24 ἑξ.
γ. Πρβλ. Γρηγορίου Νύσσης, Κατὰ εἱμαρμένης, ἀνωτ. σ. 284,23 ἑξ.
δ. Πρβλ. Εὐσεβίου Καισαρείας, Εὐαγγελικὴ προπαρασκευή, ΒΕΠ 25,307, 6 ἑξ. PG 21,656Β.

δόξῃ τῶν εἰς αὐτὸν βλεπόντων τὴν οἴησιν, οὐδὲν ὑπολειφθήσεται τῷ μεγαλοφρονοῦντι ἐπὶ τῷ διακένῳ φυσήματι, κἂν πᾶσα τῶν χρημάτων ἡ ὕλη παρ' αὐτῷ κατορωρυγμένη τύχῃ), ἀλλά σοι διὰ φροντίδος[α] ἐστὶ γνῶναι τά τε ἄλλα τῆς θείας οἰκονομίας, πρὸς ὅ τι τῶν γινομένων ἕκαστον βλέπει, καὶ τίνος χάριν τῷ **[168]** μὲν εἰς γῆρας[β] μακρὸν παρατείνεται ἡ ζωή, ὁ δὲ τοσοῦτον μετέχει τοῦ ζῆν, ὅσον δι' ἀναπνοῆς τὸν ἀέρα σπάσαι καὶ εὐθὺς καταλῆξαι τοῦ βίου. Εἰ γὰρ οὐδὲν ἀθεεὶ τῶν ἐν τῷ κόσμῳ γινομένων ἐστί, πάντα δὲ τῆς θείας ἐξῆπται βουλήσεως, σοφὸν δὲ καὶ προνοητικὸν τὸ θεῖον, πάντως τις ἔπεστι καὶ τούτοις λόγος, τῆς σοφίας ἅμα τοῦ Θεοῦ καὶ τῆς προνοητικῆς ἐπιμελείας τὰ γνωρίσματα φέρων· τὸ γὰρ εἰκῇ τι καὶ ἀλόγως γινόμενον οὐκ ἂν ἔργον εἴη Θεοῦ· Θεοῦ γὰρ ἴδιον, καθώς φησιν ἡ Γραφή, τὸ πάντα ἐν σοφίᾳ ποιεῖν[1]. Τί οὖν τὸ σοφὸν ἐν ἐκείνῳ; Παρῆλθε διὰ **73** γεννήσεως εἰς τὸν βίον ὁ ἄνθρωπος, ἔσπασε τὸν ἀέρα, ἀπὸ οἰμωγῆς τοῦ ζῆν ἤρξατο[2], ἐλειτούργησε τῇ φύσει τὸ δάκρυον, ἀπήρξατο τῷ βίῳ τῶν θρήνων, πρίν τινος μετασχεῖν τῶν κατὰ τὸν βίον ἡδέων· πρὶν τονωθῆναι τὴν αἴσθησιν, ἔτι λελυμένος τὰς τῶν μελῶν ἁρμονίας, ἁπαλός τε καὶ διακεχυμένος καὶ ἀδιάρθρωτος, καὶ τὸ ὅλον εἰπεῖν πρὶν γενέσθαι ἄνθρωπος[γ] (εἴπερ ἀνθρώπου ἴδιον ἡ λογικὴ χάρις ἐστίν, ὁ δὲ οὔπω ἐν ἑαυτῷ τὸν λόγον ἐχώρησεν), οὗτος ὁ μηδὲν πλέον ἔχων τοῦ ἔτι ἐν τῇ μητρῴᾳ νηδύι συνεχομένου πλὴν τὸν ἐν ἀέρι γενέσθαι ἐν τούτῳ τῆς ἡλικίας ὢν διὰ θανάτου λύεται[δ] ἢ ἐκτεθεὶς ἢ καταπνιγεὶς ἢ κατὰ τὸ αὐτόματον δι' ἀρρωστίας τοῦ ζῆν παυσάμενος· τί χρὴ περὶ αὐτοῦ ἐννοεῖν; πῶς περὶ τῶν οὕτω τετελευτηκότων ἔχειν; ὄψεται ἄρα κἀκείνη ἡ ψυχή[ε] τὸν κριτήν; παραστήσεται μετὰ τῶν ἄλλων τῷ βήματι[3], ὑφέξει τῶν βεβιωμένων τὴν κρίσιν; λήψεται τὴν κατ' ἀξίαν ἀντίδοσιν ἢ πυρὶ καθαιρομένη κατὰ τὰς τοῦ Εὐαγγελίου φωνὰς ἢ τῇ δρόσῳ τῆς εὐλογίας ἐναναψύχουσα;[4].

74 Ἀλλ' οὐκ οἶδα, ὅπως χρὴ ταῦτα περὶ τῆς τοιαύτης ἐννοῆσαι ψυχῆς· τὸ γὰρ τῆς ἀντιδόσεως ὄνομα τὸ χρῆναί τι πάντως προπαρασχεθῆναι σημαίνει, τοῦ δὲ μὴ βεβιωκότος ὅλως ἡ ὕλη τοῦ τι παρα-

1. Πρβλ. Ψαλ. 103,24. 2. Πρβλ. Σ. Σολ. 7,3. 3. Πρβλ. Ρωμ. 14,10. Β' Κορ. 5,10. 4. Πρβλ. Λουκ. 16,24. Δαν. 3,50.

α. [στ. 3-11]. Πρβλ. Πλουτάρχου, Παραμυθητικὸς πρὸς Ἀπολλώνιον 111E, 119F.

β. Πρβλ. Γρηγορίου Νύσσης, Κατὰ εἱμαρμένης, ἀνωτ., σ. 283,3 ἑξ. 288, 23-30.

γ. [στ. 18-20. σ. 86,21 ἑξ.]. Πρβλ. Γρηγορίου Νύσσης, Περὶ ψυχῆς καὶ ἀναστάσεως, κατωτ. σ. 363,6 ἑξ. Περὶ κατασκευῆς τοῦ ἀνθρώπου, PG 44, 253B,D-256B.

δ. Πρβλ. Γρηγορίου Νύσσης, Περὶ ψυχῆς καὶ ἀναστάσεως, κατωτ. σ. 368,6.

ε. [στ. 23-27]. Πρβλ. Ἀθηναγόρου, Περὶ ἀναστάσεως τῶν νεκρῶν, ΒΕΠ 4,322,21 ἑξ. PG 6,1001C-D. Γρηγορίου Νύσσης, Περὶ ψυχῆς καὶ ἀναστάσεως, κατωτ. 372,13 ἑξ.

σχεῖν προαφήρηται· ἐφ' ὧν δὲ δόσις οὐκ ἔστιν, οὐδὲ ἀντίδοσις κυρίως **[169]** ὀνομασθήσεται. Μὴ οὔσης δὲ τῆς ἀντιδόσεως, οὔτε ἀγαθόν ἐστιν οὔτε κακὸν τὸ κατ' ἐλπίδα προκείμενον[α]· τὸ γὰρ ὄνομα τοῦτο τῶν καθ' ἑκάτερον νοουμένων τὴν ἀμοιβὴν ἐπαγγέλλεται· τὸ δὲ μήτε ἐν ἀγαθῷ μήτε ἐν κακῷ εὑρισκόμενον ἐν οὐδενὶ πάντως ἐστίν· ἄμεσος γὰρ ἡ τῆς τοιαύτης ἀντιθέσεως ἐναντιότης, ἡ τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ λέγω, ὧν οὐθέτερον ἔσται τῷ μὴ θατέρου κατάρξαντι. Τὸ οὖν ἐν μηδενὶ ὂν οὐδ' ἂν εἶναί τις εἴποι ὅλως. Εἰ δέ τις τὸ τοιοῦτον καὶ εἶναι λέγοι καὶ ἐν ἀγαθοῖς εἶναι, διδόντος, οὐκ ἀποδιδόντος τοῦ Θεοῦ τὰ ἀγαθὰ τοῖς τοιούτοις, ποίαν λέγει τῆς ἀποκληρώσεως ταύτης αἰτίαν; ποῦ τὸ δίκαιον συναποδείξει τῷ λόγῳ; πῶς δὲ ταῖς εὐαγγελικαῖς φωναῖς σύμφωνον δείξει τὸ νόημα; Ἐκεῖ συναλλαγματικήν τινα τῆς βασιλείας τὴν ἐμπορίαν τοῖς ἀξιουμένοις προσγίνεσθαι λέγει· ἐπειδὴ γὰρ τὸ καὶ τό, φησί, πεποιήκατε, τὴν βασιλείαν ἀντιλαβεῖν[1] ἔστε δίκαιοι. Ἐνταῦθα δὲ μηδεμιᾶς μήτε πράξεως μήτε προαιρέσεως ὑπούσης, τίνα καιρὸν ἔχει καὶ τούτοις παρὰ τοῦ Θεοῦ γίνεσθαι λέγειν τὸ ἐξ ἀμοιβῆς ἐλπιζόμενον; Εἰ δέ τις ἀβασανίστως τὸν τοιοῦτον δέξεται λόγον[β], ὡς πάντως ἐν **75** ἀγαθοῖς ἐσομένου τοῦ παρελθόντος οὕτως ἐπὶ τὸν βίον, ἐκ τούτου μακαριστότερον ἀναφανήσεται τῆς ζωῆς τὸ μὴ μετέχειν ζωῆς[γ], εἴπερ ἐκείνῳ μὲν ἀναμφίβολος ἡ τῶν ἀγαθῶν μετουσία, κἂν βαρβάρων τύχῃ γονέων καὶ μὴ νενομισμένῳ κυηθῇ γάμῳ, τῷ δὲ βεβιωκότι τὸν χωρητόν τε καὶ νόμιμον τῇ φύσει χρόνον πάντως ἢ πλέον ἢ ἔλαττον ὁ τῆς κακίας μολυσμὸς τῇ ζωῇ καταμίγνυται, ἤ, εἰ μέλλοι παντελῶς τῆς πρὸς τὸ κακὸν κοινωνίας ἐκτὸς εἶναι, πολλῶν αὐτῷ δεῖ ἱδρώτων πρὸς αὐτὸ τοῦτο καὶ πόνων· οὐ γὰρ ἀκμητὶ κατορθοῦται τοῖς μετιοῦσιν ἡ ἀρετὴ οὐδὲ ἄπονός ἐστι τοῖς ἀνθρώποις ἡ τῶν καθ' ἡδονὴν ἀλλοτρίωσις· ὥστε ἑνὶ τῶν ἀνιαρῶν ἐξ ἀμφοτέρων συνενεχθῆναι δεῖν πάντως τὸν μετασχόντα τοῦ χρονιωτέρου βίου, ἢ νῦν τῷ ἐπιπόνῳ τῆς ἀρετῆς ἐναθλοῦντα ἢ τότε διὰ τὴν ἐν κακίᾳ ζωὴν τῇ ἀντιδόσει τῶν ἀλγεινῶν ὀδυνώμενον· ἐπὶ δὲ τῶν ἀώρων τοιοῦτόν ἐστιν οὐδέν, ἀλλ' εὐθὺς ἡ ἀγαθὴ λῆξις τοὺς ἐν ἀωρίᾳ μεταστάντας ἐκδέχεται, εἴπερ ἀληθεύει τῶν οὕτως ὑπειληφότων ὁ λόγος. Οὐκοῦν ἐκ τοῦ ἀκολούθου καὶ τοῦ λόγου προτιμοτέρα δειχθήσεται ἡ ἀλογία καὶ ἡ ἀρετὴ οὐδενὸς ἀξία διὰ τούτων ἀναφανήσεται· εἰ γὰρ μηδεμία γέγονε ζημία πρὸς τὴν τῶν ἀγαθῶν μετουσίαν τῷ μὴ μετασχόντι τῆς ἀρετῆς, μάταιον ἂν εἴη τὸ περὶ ταύτην πονεῖν καὶ ἀνόνητον, τῆς ἀλόγου καταστάσεως ἐν τῇ τοῦ Θεοῦ κρίσει προτερευούσης.

Ταῦτα σὺ πάντα καὶ τὰ τοιαῦτα διανοούμενος ἐξετάσαι τὸν περὶ

---

1. Πρβλ. Ματθ. 5,3.

α. Πρβλ. Γρηγορίου Θεολόγου, Εἰς τὸ ἅγιον Βάπτισμα, ΒΕΠ 60,95,35 ἑξ.

β. [στ. 17-31]. Πρβλ. Πλουτάρχου, Παραμυθητικὸς πρὸς Ἀπολλώνιον, 107A-C. 113B-D.

γ. Πρβλ. Ἀριστ., Διάλογοι fr. 44.

τούτου λόγον διεκελεύσω, ὡς ἂν ἡμῖν διὰ τῆς ἀκολούθου **76** ζητήσεως ἐπί τινος βεβαίου νοήματος ἡ περὶ αὐτοῦ ἱδρυθείη διάνοια. Ἐγὼ δὲ πρὸς τὸ δυσθεώρητον τοῦ προτεθέντος ἡμῖν σκέμματος βλέπων ἁρμόζειν μὲν οἶμαι καὶ τὴν τοῦ Ἀπο**[172]**στόλου φωνὴν τῷ παρόντι λόγῳ, ἣν ἐπὶ τῶν ἀνεφίκτων ἐκεῖνος πεποίηται λέγων· «ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ! ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ!»[1]. «Τίς γὰρ ἔγνω νοῦν Κυρίου;»[2]. Ἐπεὶ δὲ πάλιν ὁ Ἀπόστολος ἴδιον τοῦ πνευματικοῦ φησι τὸ ἀνακρίνειν τὰ πάντα[3] καὶ ἀποδέχεται τοὺς παρὰ τῆς θείας χάριτος πλουτισθέντας «ἐν παντὶ λόγῳ καὶ πάσῃ γνώσει»[4], καλῶς ἔχειν φημὶ μὴ κατολιγωρῆσαι τῆς δυνατῆς ἐξετάσεως μηδὲ περιιδεῖν τὸ ζητούμενον ἐν τούτοις ἀνερεύνητόν τε καὶ ἀθεώρητον, ὡς ἂν μὴ καθ' ὁμοιότητα τῆς τοῦ προβλήματος ὑποθέσεως καὶ ὁ περὶ αὐτοῦ λόγος ἀτελὴς ἀφανισθείη καὶ ἄωρος, καθάπερ τι νήπιον τῶν ἀρτιτόκων πρὶν εἰς φῶς προελθεῖν καὶ ἁδρυνθῆναι, οἷόν τινι θανάτῳ τῇ ῥαθυμίᾳ τῶν πρὸς τὴν ζήτησιν τῆς ἀληθείας ἀτονούντων διαφθειρόμενος.

Φημὶ τοίνυν καλῶς ἔχειν μὴ ῥητορικῶς τε καὶ ἀγωνιστικῶς εὐθὺς κατὰ στόμα πρὸς τὰς ἀντιθέσεις συμπλέκεσθαι, ἀλλά τινα τάξιν ἐπιθέντας[α] τῷ λόγῳ δι' ἀκολούθου προάγειν τὴν περὶ τοῦ προβλήματος θεωρίαν. Τίς οὖν ἡ τάξις; Τὸ γνῶναι πρῶτον ὅθεν ἡ ἀνθρωπίνη φύσις καὶ ὅτου χάριν ἦλθεν εἰς γένεσιν· εἰ γὰρ τούτων μὴ διαμάρτοιμεν, οὐδὲ τῆς προκειμένης ἡμῖν θεωρίας ἡμαρτηκότες ἐσόμεθα. Τὸ μὲν οὖν ἐκ Θεοῦ πᾶν, ὅ τί πέρ ἐστι μετ' αὐτὸν ἐν τοῖς οὖσιν **77** νοούμενόν τε καὶ ὁρώμενον, τὸ εἶναι ἔχειν περιττὸν ἂν εἴη λόγῳ κατασκευάζεσθαι, οὐδενός, οἶμαι, τῶν ὁπωσοῦν ἐπεσκεμμένων τὴν τῶν ὄντων ἀλήθειαν πρὸς τὴν τοιαύτην ὑπόληψιν ἐνισταμένου· ὁμολογεῖται γὰρ παρὰ πάντων μιᾶς αἰτίας ἐξῆφθαι τὸ πᾶν καὶ οὐδὲν τῶν ὄντων αὐτὸ ἐξ ἑαυτοῦ τὸ εἶναι ἔχειν οὐδὲ ἑαυτοῦ εἶναι ἀρχὴν καὶ αἰτίαν, ἀλλὰ μίαν μὲν φύσιν εἶναι ἄκτιστον καὶ ἀΐδιον, ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχουσαν, παντὸς διαστηματικοῦ νοήματος ὑπερκειμένην, ἀναυξῆ τινα καὶ ἀμείωτον καὶ παντὸς ὅρου ἐπέκεινα θεωρουμένην, ἧς ἔργον καὶ χρόνος καὶ τόπος καὶ τὰ ἐν τούτοις πάντα καὶ εἴ τι πρὸ τούτων καταλαμβάνει ἡ ἔννοια νοητόν τε καὶ ὑπερκόσμιον. Ἓν δὲ τῶν γεγονότων καὶ τὴν ἀνθρωπίνην φύσιν εἶναί φαμεν, λόγῳ τινὶ τῆς θεοπνεύστου διδασκαλίας ὁδηγῷ πρὸς τοῦτο συγχρώμενοι, ὅς φησι πάντων[β] παρὰ τοῦ Θεοῦ παραχθέντων εἰς γένεσιν καὶ τὸν ἄνθρωπον ἐπὶ τῆς γῆς ἀναδειχθῆναι ἐξ ἑτερογενῶν συγκεκραμένον τὴν φύσιν, τῆς θείας τε καὶ νοερᾶς οὐσίας πρὸς τὴν ἀφ' ἑκάστου τῶν στοιχείων αὐτῷ συνερανισθεῖσαν

1. Ρωμ. 11,33. 2. Ρωμ. 11,34. Α' Κορ. 2,16. 3. Πρβλ. Α' Κορ. 2,15. 4. Α' Κορ. 1,5.

α. Πρβλ. Φίλωνος, Περὶ τῆς κατὰ Μωυσέα κοσμοποιίας, § 77.

β. Πρβλ. Φίλωνος, ἔνθ' ἀν. § 146. Περὶ τῶν μετονομαζομένων καὶ ὧν ἕνεκα μετονομάζονται, § 184.

μοῖραν καταμιχθείσης[α], γενέσθαι δὲ τοῦτον παρὰ τοῦ πεποιηκότος, ἐφ' ᾧτε εἶναι τῆς θείας τε καὶ ὑπερκειμένης δυνάμεως ἔμψυχόν τι ὁμοίωμα. Βέλτιον δ' ἂν εἴη καὶ αὐτὴν παραθέσθαι τὴν λέξιν ἔχουσαν οὕτως· « καὶ ἐποίησε», φησίν, «ὁ Θεὸς τὸν ἄνθρωπον· κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν»[1]. Τὴν δὲ αἰτίαν τῆς τοῦ ζῴου τούτου[β] **78** κατασκευῆς τῶν πρὸ ἡμῶν τινες ταύτην ἀποδεδώκασιν, ὅτι διχῇ διῃρημένης τῆς κτίσεως πάσης[γ], καθώς φησιν ὁ Ἀπόστολος, εἰς τὸ ὁρατόν τε καὶ ἀόρατον[2] (σημαίνεται δὲ διὰ μὲν τοῦ ἀοράτου τὸ νοητὸν καὶ ἀσώμα-**[173]**τον, διὰ δὲ τοῦ ὁρατοῦ τὸ αἰσθητόν τε καὶ σωματῶδες)· εἰς δύο τοίνυν ταῦτα διῃρημένων πάντων τῶν ὄντων (εἴς τε τὸ αἰσθητόν, λέγω, καὶ εἰς τὸ κατ' ἔννοιαν θεωρούμενον) καὶ τῆς μὲν ἀγγελικῆς τε καὶ ἀσωμάτου φύσεως, ἥτις τῶν ἀοράτων ἐστίν, ἐν τοῖς ὑπερκοσμίοις τε καὶ ὑπερουρανίοις διαιτωμένης διὰ τὸ κατάλληλον εἶναι τῇ φύσει τὸ ἐνδιαίτημα (ἥ τε γὰρ νοερὰ φύσις λεπτή τις καὶ καθαρὰ καὶ ἀβαρὴς καὶ εὐκίνητος τό τε οὐράνιον σῶμα λεπτόν τε καὶ κοῦφον καὶ ἀεικίνητον), τῆς δὲ γῆς ὃ δὴ τῶν αἰσθητῶν ἐστιν ἔσχατον, οἰκείως τε καὶ καταλλήλως πρὸς τὴν τῶν νοητῶν ἐν αὐτῇ διαγωγὴν οὐκ ἐχούσης (τίς γὰρ ἂν γένοιτο τοῦ ἀνωφεροῦς τε καὶ κούφου πρὸς τὸ βαρύ τε καὶ ἐμβριθὲς κοινωνία;), ὡς ἂν μὴ τελείως[δ] ἄμοιρός τε καὶ ἀπόκληρος ἡ γῆ τῆς νοερᾶς τε καὶ ἀσωμάτου διαγωγῆς εἴη, τούτου χάριν προμηθείᾳ κρείττονι τὴν ἀνθρωπίνην συστῆναι γένεσιν, τῇ νοερᾷ τε καὶ θείᾳ τῆς ψυχῆς οὐσίᾳ τῆς γηίνης μοίρας περιπλασθείσης[ε], ὡς ἂν τῇ πρὸς τὸ ἐμβριθές[στ] τε καὶ σωματῶδες συμφυΐᾳ καταλλήλως ἡ ψυχὴ τῷ στοιχείῳ τῆς γῆς ἐμβιοτεύοι ἐχούσης τι πρὸς τὴν τῆς σαρκὸς οὐσίαν συγγενὲς καὶ ὁμόφυλον. Σκοπὸς δὲ τῶν γινομένων ἐστὶ τὸ ἐν πάσῃ τῇ κτίσει διὰ τῆς νοερᾶς φύσεως τὴν τοῦ παντὸς ὑπερκειμένην δοξάζεσθαι δύναμιν[3·ζ], τῶν τε ἐπουρανίων καὶ τῶν ἐπιχθονίων διὰ τῆς αὐτῆς ἐνεργείας (λέγω δὲ διὰ τοῦ πρὸς τὸν **79** Θεὸν βλέπειν) ἀλλήλοις πρὸς τὸν αὐτὸν σκοπὸν συναπτομένων. Ἡ δὲ τοῦ βλέπειν πρὸς τὸν Θεὸν ἐνέργεια[η] οὐδὲν ἄλλο ἐστὶν ἢ ζωὴ τῇ νοερᾷ φύσει ἐοικυῖά τε καὶ κατάλληλος. Ὥσπερ γὰρ τὰ σώματα γήινα ὄντα ταῖς γηίναις διακρατεῖται τροφαῖς καί τι σωματῶδες ζωῆς εἶδος ἐν τούτοις καταλαμβάνομεν,

1. Γεν. 1,27. 2. Πρβλ. Κολ. 1,16. 3. Πρβλ. Μαλ. 1,6.

α. Πρβλ. Πλάτ., Τίμαιος 32d-43α. 82a.

β. Πρβλ. Γρηγορίου Νύσσης, Περὶ ψυχῆς καὶ ἀναστάσεως, κατωτ. σ. 323,28 ἑξ.

γ. [στ. 7-25]. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν.

δ. [στ. 23-25]. Πρβλ. Φίλωνος, Περὶ τῆς κατὰ Μωυσέα κοσμοποιίας, § 135. Περὶ τοῦ τὸ χεῖρον τῷ κρείττονι φιλεῖν ἐπιτίθεσθαι, § 86.

ε. Πρβλ. Πλάτ., Τίμαιος, 69c.

στ. Πρβλ. Ciceronis, Catulus, 77.

ζ. Πρβλ. Μ. Ἀθανασίου, Περὶ ἐνανθρωπήσεως τοῦ Λόγου, ΒΕΠ 30,85,8 ἑξ. PG 25,117D ἑξ. Γρηγορίου Νύσσης, Εἰς τὸ ἅγιον Πάσχα, ΒΕΠ 69,224,28-32.

η. Πρβλ. Εἰρηναίου, Ἔλεγχος καὶ ἀνατροπὴ τῆς ψευδωνύμου γνώσεως, IV 20,5. Sources Chrétiennes Nο 100, τ. II, 637-643. PG 7,1034C-1036A.

ὁμοίως ἐν ἀλόγοις τε καὶ λογικοῖς ἐνεργούμενον· οὕτως εἶναί τινα χρὴ καὶ νοητὴν ζωὴν ὑποτίθεσθαι, δι' ἧς ἐν τῷ ὄντι συντηρεῖται[α] ἡ φύσις. Εἰ δὲ ἡ τῆς σαρκὸς τροφή, ἐπίρρυτός τις οὖσα καὶ ἀπορρέουσα, δι' αὐτῆς τῆς παρόδου δύναμίν τινα ζωτικὴν ἐναποτίθεται, οἷς ἂν ἐγγένηται, πόσῳ μᾶλλον ἡ μετουσία τοῦ ὄντως ὄντος, τοῦ ἀεὶ μένοντος καὶ πάντοτε ὡσαύτως ἔχοντος, ἐν τῷ εἶναι φυλάσσει τὸν μετασχόντα. Εἰ οὖν αὕτη ἐστὶν ἡ οἰκεία τε καὶ κατάλληλος τῇ νοερᾷ φύσει ζωή[β], τὸ τοῦ Θεοῦ μετέχειν, οὐκ ἂν διὰ τῶν ἐναντίων γένοιτο ἡ μετουσία, εἰ μὴ τρόπον τινὰ συγγενὲς εἴη τῷ ὀρεγομένῳ τὸ μετεχόμενον. Ὡς γὰρ ὀφθαλμῷ γίνεται τῆς αὐγῆς ἡ ἀπόλαυσις[γ] τῷ φυσικὴν αὐγὴν ἐν ἑαυτῷ πρὸς τὴν τοῦ ὁμογενοῦς ἀντίληψιν ἔχειν καὶ οὔτε δάκτυλος οὔτε ἄλλο τι τῶν μελῶν τοῦ σώματος ἐνεργεῖ τὴν ὅρασιν διὰ τὸ μηδεμίαν ἐκ φύσεως αὐγὴν ἐν ἄλλῳ τινὶ τῶν μελῶν κατεσκευάσθαι, οὕτως ἀνάγκη πᾶσα καὶ ἐπὶ τῆς τοῦ Θεοῦ μετουσίας εἶναί τι συγγενὲς πρὸς τὸ μετεχόμενον ἐν τῇ φύσει τοῦ **[176]** ἀπολαύοντος. Διὰ τοῦτό φησιν ἡ Γραφὴ κατ' εἰκόνα Θεοῦ γεγενῆσθαι τὸν ἄνθρωπον[1], ὡς ἄν, οἶμαι, τῷ ὁμοίῳ βλέποι τὸ ὅμοιον. Τὸ δὲ **80** βλέπειν τὸν Θεόν ἐστιν ἡ ζωὴ τῆς ψυχῆς, καθὼς ἐν τοῖς φθάσασιν εἴρηται. Ἐπεὶ δέ πως ἡ τοῦ ἀληθῶς ἀγαθοῦ ἄγνοια[δ], καθάπερ τις ὁμίχλη, τῷ διορατικῷ τῆς ψυχῆς ἐπεσκότισεν, παχυνθεῖσα δὲ ἡ ὁμίχλη νέφος ἐγένετο, ὥστε διὰ τοῦ βάθους τῆς ἀγνοίας τὴν ἀκτῖνα τῆς ἀληθείας μὴ διαδύεσθαι, ἀναγκαίως τῷ χωρισμῷ τοῦ φωτὸς καὶ ἡ ζωὴ αὐτῆς συνεξέλιπεν· εἴρηται γὰρ τὴν ἀληθῆ ζωὴν τῆς ψυχῆς ἐν τῇ μετουσίᾳ τοῦ ἀγαθοῦ ἐνεργεῖσθαι, τῆς δὲ ἀγνοίας πρὸς τὴν θείαν κατανόησιν ἐμποδιζούσης ἐκπεσεῖν τῆς ζωῆς τὴν ψυχὴν τὴν τοῦ Θεοῦ μὴ μετέχουσαν.

Μηδεὶς δὲ γενεαλογεῖν ἡμᾶς ἀναγκαζέτω τὴν ἄγνοιαν, πόθεν αὕτη λέγων καὶ ἀπὸ τίνος, ἀλλ' ἐξ αὐτῆς νοείτω τῆς τοῦ ὀνόματος σημασίας, ὅτι ἡ γνῶσις καὶ ἡ ἄγνοια τὸ πρός τί πως ἔχειν τὴν ψυχὴν ἐνδείκνυται. Οὐδὲν δὲ τῶν πρός τι νοουμένων[ε] τε καὶ λεγομένων οὐσίαν παρίστησιν· ἄλλος γὰρ ὁ τοῦ πρός τι καὶ ἕτερος ὁ τῆς οὐσίας λόγος. Εἰ οὖν ἡ γνῶσις οὐσία οὐκ ἔστιν, ἀλλὰ περί τι τῆς διανοίας ἐνέργεια, πολὺ μᾶλλον ἡ ἄγνοια πόρρω τοῦ κατ' οὐσίαν εἶναι ὡμολόγηται. Τὸ δὲ μὴ κατ' οὐσίαν ὂν οὐδὲ ἔστιν ὅλως. Μάταιον τοίνυν ἂν εἴη περὶ τοῦ μὴ ὄντος τὸ ὅθεν ἐστὶ περιεργάζεσθαι.

---

1. Πρβλ. Γεν. 1,27.

α. Πρβλ. Ὠριγένους, Κατὰ Κέλσου, ΒΕΠ 10,93,11 ἑξ. PG 11,1365B ἑξ. Γρηγορίου Νύσσης, Εἰς τὸ Ἆσμα τῶν Ἀσμάτων, ΒΕΠ 66,188,27 ἑξ.

β. [στ. 6]. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος κατηχητικός, κατωτ. σ. 385,31 ἑξ.

γ. Πρβλ. Πλάτ., Τίμαιος, 45b-d. Πολιτεία, 508b. Πλωτ., Ι 6,9,29-32.

δ. Πρβλ. Γρηγορίου Νύσσης, Εἰς τὸν Ἐκκλησιαστήν, W. Jaeger τ. V, 420,3-9. PG 44,736C.

ε. [στ. 7]. Πρβλ. Ἀριστ., Κατηγορίαι 8b,20. Πλωτ., VI, 1,30,22-24. Σέξτου Ἐμπειρικοῦ, Πρὸς ἀστρολόγους, VIII.

Ἐπειδὴ τοίνυν ζωὴν μὲν ψυχῆς τὴν τοῦ Θεοῦ μετουσίαν ὁ λόγος εἶναί φησι, γνῶσις δὲ κατὰ τὸ ἐγχωροῦν ἐστιν ἡ μετουσία, ἡ δὲ ἄγνοια οὐχί τινός ἐστιν ὕπαρξις, ἀλλὰ τῆς κατὰ τὴν γνῶσιν ἐνεργείας ἀναίρεσις, τῷ δὲ μὴ ἐνεργεῖσθαι τοῦ Θεοῦ τὴν μετουσίαν ἡ τῆς ζωῆς ἀλλοτρίωσις ἀναγκαίως ἐπηκολούθησεν (τοῦτο δ' ἂν εἴη τῶν κακῶν τὸ ἔσχατον), **81** ἀκολούθως ὁ παντὸς ἀγαθοῦ ποιητὴς τὴν τοῦ κακοῦ θεραπείαν ἐν ἡμῖν κατεργάζεται· ἀγαθὸν γὰρ ἡ θεραπεία. Τὸν δὲ τρόπον τῆς θεραπείας ἀγνοεῖ πάντως ὁ μὴ πρὸς τὸ εὐαγγελικὸν βλέπων μυστήριον. Κακοῦ τοίνυν ἀποδειχθέντος τοῦ ἀλλοτριωθῆναι Θεοῦ, ὅστις ἐστὶν ἡ ζωή[1], ἡ θεραπεία τοῦ τοιούτου ἀρρωστήματος ἦν τὸ πάλιν οἰκειωθῆναι Θεῷ καὶ ἐν τῇ ζωῇ γενέσθαι. Ταύτης οὖν τῆς ζωῆς κατ' ἐλπίδα[α] προκειμένης τῇ ἀνθρωπίνῃ φύσει, οὐκ ἔστιν εἰπεῖν κυρίως ἀντίδοσιν τῶν εὖ βεβιωκότων γενέσθαι τὴν τῆς ζωῆς μετουσίαν καὶ τιμωρίαν τὸ ἔμπαλιν· ἀλλ' ὅμοιόν ἐστι τῷ κατὰ τοὺς ὀφθαλμοὺς ὑποδείγματι τὸ λεγόμενον· οὐδὲ γὰρ τῷ κεκαθαρμένῳ τὰς ὄψεις ἔπαθλόν τί φαμεν εἶναι καὶ πρεσβεῖον τὴν τῶν ὁρατῶν κατανόησιν ἢ τῷ νοσοῦντι τὸ ἔμπαλιν καταδίκην τινὰ καὶ τιμωρητικὴν ἀπόφασιν τὸ μὴ μετέχειν τῆς ὁρατικῆς ἐνεργείας. Ἀλλ' ὡς ἀναγκαίως ἕπεται τῷ κατὰ φύσιν διακειμένῳ τὸ βλέπειν τῷ τε ἀπὸ πάθους παρενεχθέντι τῆς φύσεως τὸ μὴ ἐνεργὸν ἔχειν τὴν ὅρασιν, τὸν αὐτὸν τρόπον καὶ ἡ μακαρία ζωὴ συμφυής ἐστι καὶ οἰκεία τοῖς κεκαθαρμένοις τὰ **[177]** τῆς ψυχῆς αἰσθητήρια, ἐφ' ὧν δὲ καθάπερ τις λήμη[β] τὸ κατὰ τὴν ἄγνοιαν πάθος ἐμπόδιον[γ] πρὸς τὴν μετουσίαν τοῦ ἀληθινοῦ φωτὸς γίνεται, ἀναγκαίως ἕπεται τὸ μὴ μετέχειν ἐκείνου, οὗ τὴν μετουσίαν ζωὴν εἶναί φαμεν τοῦ μετέχοντος.

Τούτων τοίνυν οὕτως ἡμῖν διῃρημένων καιρὸς ἂν εἴη διεξετάσαι τῷ λόγῳ τὸ προταθὲν ἡμῖν πρόβλημα. Τοιοῦτον δέ τι τὸ λεγόμενον ἦν· εἰ κατὰ τὸ δίκαιον γίνεται τῶν ἀγαθῶν ἡ ἀντίδοσις, ἐν τίσιν ἔσται ὁ ἐν νηπίῳ τελευτήσας τὸν βίον μήτε **82** ἀγαθόν τι μήτε κακὸν ἐν τῇ ζωῇ ταύτῃ καταβαλόμενος, ὥστε διὰ τούτων γενέσθαι αὐτῷ τὴν κατ' ἀξίαν ἀντίδοσιν; Ὦ πρὸς τὴν ἀκολουθίαν τῶν ἐξητασμένων ὁρῶντες ἀποκρινούμεθα, ὅτι τὸ προσδοκώμενον ἀγαθὸν οἰκεῖον μέν ἐστι κατὰ φύσιν τῷ ἀνθρωπίνῳ γένει, λέγεται δὲ κατά τινα διάνοιαν τὸ αὐτὸ καὶ ἀντίδοσις. Τῷ δὲ αὐτῷ ὑποδείγματι πάλιν τὸ νόημα τοῦτο σαφηνισθήσεται· δύο γάρ τινες ὑποκείσθωσαν τῷ λόγῳ ἀρρωστήματί τινι κατὰ τὰς ὄψεις συνενεχθέντες. Τούτων δὲ ὁ μὲν σπουδαιότερον ἑαυτὸν ἐπιδιδότω τῇ θεραπείᾳ, πάντα ὑπομένων τὰ παρὰ τῆς ἰατρικῆς προσαγόμενα, κἂν ἐπίπονα ᾖ· ὁ δὲ πρὸς λουτρά τε

---

1. Πρβλ. Ἰω. 11,25.

α. [στ. 11 ἑξ.]. Πρβλ. Ὠριγένους, Περὶ ἀρχῶν II,10 καὶ 11. PG 11,233B ἑξ. 240C ἑξ.

β. Πρβλ. Γρηγορίου Νύσσης, Περὶ παρθενίας, ΒΕΠ 69,37,6-9. 41,16 ἑξ.

γ. Πρβλ. Πλωτ., I 6,9,24-29. 18,13,1-5.

καὶ οἰνοφλυγίας ἀκρατέστερον διακείσθω, μηδεμίαν τοῦ ἰατρεύοντος συμβουλὴν πρὸς τὴν τῶν ὀφθαλμῶν ὑγίειαν παραδεξάμενος. Φαμὲν τοίνυν πρὸς τὸ πέρας ἑκατέρου βλέποντες ἀξίως ἀντιλαβεῖν ἑκάτερον τῆς προαιρέσεως αὐτοῦ τοὺς καρπούς, τὸν μὲν τὴν στέρησιν τοῦ φωτός, τὸν δὲ τὴν ἀπόλαυσιν. Τὸ γὰρ ἀναγκαίως ἑπόμενον ἀντίδοσιν ἐκ καταχρήσεως ὀνομάζομεν. Ταῦτα καὶ ἐπὶ τῶν κατὰ τὸ νήπιον ζητουμένων ἔστιν εἰπεῖν, ὅτι ἡ τῆς ζωῆς ἐκείνης ἀπόλαυσις[α] οἰκεία μέν ἐστι τῇ ἀνθρωπίνῃ φύσει, τῆς δὲ κατὰ τὴν ἄγνοιαν νόσου πάντων σχεδὸν τῶν ἐν τῇ σαρκὶ ζώντων ἐπικρατούσης, ὁ μὲν ταῖς καθηκούσαις θεραπείαις ἑαυτὸν ἐκκαθάρας καὶ οἷόν τινα λήμην τοῦ διορατικοῦ τῆς ψυχῆς ἀποκλύσας τὴν ἄγνοιαν ἄξιον τῆς σπουδῆς ἔχει τὸ κέρδος ἐν τῇ ζωῇ τῇ κατὰ φύσιν γενόμενος, ὁ δὲ τὰ διὰ τῆς ἀρετῆς φεύγων καθάρσια καὶ δυσίατον ἑαυτῷ διὰ τῶν ἀπατηλῶν ἡδονῶν κατασκευάζων τῆς ἀγνοίας τὴν νόσον, παρὰ φύσιν διατεθεὶς ἠλλοτρίωται τοῦ κατὰ φύσιν καὶ ἀμέτοχος γίνεται τῆς οἰκείας ἡμῖν καὶ καταλλήλου ζωῆς· τὸ δὲ ἀπειρόκακον νήπιον, μηδεμιᾶς νόσου **83** τῶν τῆς ψυχῆς ὀμμάτων πρὸς τὴν τοῦ φωτὸς μετουσίαν ἐπιπροσθούσης, ἐν τῷ κατὰ φύσιν γίνεται μὴ δεόμενον τῆς ἐκ τοῦ καθαρθῆναι ὑγιείας, ὅτι μηδὲ τὴν ἀρχὴν τὴν νόσον τῇ ψυχῇ παρεδέξατο. Καί μοι δοκεῖ[β] διά τινος ἀναλογίας οἰκείως ἔχειν ὁ παρὼν τοῦ βίου τρόπος τῇ προσδοκωμένῃ ζωῇ. Καθάπερ γὰρ θηλῇ καὶ γάλακτι ἡ πρώτη τῶν νηπίων **[180]** ἡλικία τιθηνουμένη ἐκτρέφεται, εἶτα διαδέχεται ταύτην κατάλληλος ἑτέρα τῷ ὑποκειμένῳ τροφή, οἰκείως τε καὶ ἐπιτηδείως πρὸς τὸ τρεφόμενον ἔχουσα, ἕως ἂν ἐπὶ τὸ τέλειον φθάσῃ· οὕτως οἶμαι καὶ τὴν ψυχὴν[γ] διὰ τῶν ἀεὶ καταλλήλων αὐτῇ τάξει τινὶ καὶ ἀκολουθίᾳ μετέχειν τῆς κατὰ φύσιν ζωῆς, ὡς χωρεῖ καὶ δύναται τῶν ἐν τῇ μακαριότητι προκειμένων μεταλαμβάνουσα, καθὼς καὶ παρὰ τοῦ Παύλου τὸ τοιοῦτον ἐμάθομεν, ἄλλως τρέφοντος τὸν ἤδη διὰ τῆς ἀρετῆς αὐξηθέντα καὶ ἑτέρως τὸν νήπιον καὶ ἀτελέστερον· πρὸς μὲν γὰρ τοὺς τοιούτους φησίν, ὅτι «γάλα ὑμᾶς ἐπότισα, οὐ βρῶμα· οὔπω γὰρ ἠδύνασθε»[1]· πρὸς δὲ τοὺς πεπληρωκότας τὸ μέτρον τῆς νοητῆς ἡλικίας «τελείων δέ ἐστι», φησίν, «ἡ στερεὰ τροφή, τῶν διὰ τὴν ἕξιν τὰ αἰσθητήρια γεγυμνασμένα ἐχόντων»[2]. Καθάπερ τοίνυν οὐκ ἔστιν ἐν τοῖς ὁμοίοις εἰπεῖν εἶναι τὸν

1. Α΄ Κορ. 3,2. 2. Ἑβρ. 5,14.

α. [στ. 7-15]. Πρβλ. Γρηγορίου Νύσσης, Περὶ ψυχῆς καὶ ἀναστάσεως, κατωτ. σ. 361,4 ἑξ.

β. [στ. 19-σ. 311,27]. Πρβλ. Μ. Βασιλείου, Ὁμιλίαι εἰς τοὺς Ψαλμοὺς (ΜΔ΄), ΒΕΠ 52,92,38 ἑξ. (ΛΒ΄), ΒΕΠ 52,67,29-35. Ὠριγένους, Περὶ ἀρχῶν ΙΙ, 11,7. PG 11,246C ἑξ. Γρηγορίου Νύσσης, Περὶ ψυχῆς καὶ ἀναστάσεως, κατωτ. σ. 354,35 ἑξ. Εἰς τὸ Ἆσμα τῶν Ἀσμάτων, ΒΕΠ 66,221,8-222,5. Εἰρηναίου, Ἔλεγχος καὶ ἀνατροπὴ τῆς ψευδωνύμου γνώσεως, IV 11,2. Sources Chrétiennes Nº 100, τ. II, 501-503. (ἔκδ. A. Rousseau), Paris 1965. PG 7,1002A-B.

γ. [στ. 24-26. σ. 311,15-20. σ. 312,21-22]. Πρβλ. Γρηγορίου Νύσσης, Περὶ ψυχῆς καὶ ἀναστάσεως, κατωτ. σ. 373,15 ἑξ. Ὠριγένους, Περὶ ἀρχῶν ΙΙ, 11,4 καὶ 6. PG 11,243A ἑξ. 245B ἑξ.

ἄνδρα τε καὶ τὸ νήπιον, κἂν μηδεμία νόσος ἑκατέρῳ τούτων προσάπτηται **84** (πῶς γὰρ ἂν ἐν τῷ ἴσῳ τῆς τρυφῆς γένοιντο οἱ τῶν αὐτῶν μὴ μετέχοντες;), ἀλλὰ τὸ μὲν μὴ κακοῦσθαι νόσῳ τινὶ καὶ ἐπὶ τούτου καὶ ἐπ' ἐκείνου λέγεται παραπλησίως, ἕως ἂν ἔξω πάθους ἑκάτερος ᾖ, τῶν δὲ κατὰ τρυφὴν ἡ ἀπόλαυσις οὐκέτι ὁμοίως παρὰ τῶν αὐτῶν ἐνεργεῖται[α] (τῷ μὲν γὰρ ὑπάρχει καὶ διὰ λόγων εὐφραίνεσθαι καὶ πραγμάτων ἐπιστατεῖν καὶ εὐδοκίμως ἀρχὰς μετιέναι καὶ ταῖς τῶν δεομένων εὐεργεσίαις λαμπρύνεσθαι γαμετῇ τε συνοικεῖν, ἂν οὕτω τύχῃ καταθυμία, καὶ οἴκου ἄρχειν καὶ ὅσα μετὰ τούτων ἐστὶν ἡδέα παρὰ τὸν βίον εὑρεῖν· ἀκροάματά τε καὶ θεάματα, θῆραι καὶ λουτρὰ καὶ γυμνάσια καὶ συμποτικαὶ θυμηδίαι καὶ εἴ τι τοιοῦτον ἕτερον· τῷ δὲ νηπίῳ ἡ τρυφὴ τὸ γάλα ἐστὶ καὶ ἡ τῆς τιθήνης ἀγκάλη καὶ ἠρεμαία κίνησις τὸν ὕπνον ἐφελκομένη τε καὶ ἡδύνουσα· τὴν γὰρ ὑπὲρ τοῦτο εὐφροσύνην τὸ ἀτελὲς τῆς ἡλικίας χωρῆσαι φύσιν οὐκ ἔχει)· τὸν αὐτὸν τρόπον οἱ διὰ τῆς ἀρετῆς ἐν τῷ τῇδε βίῳ τὰς ψυχὰς θρέψαντες καί, καθώς φησιν ὁ Ἀπόστολος, καταγυμνάσαντες ἑαυτῶν τὰ νοητὰ αἰσθητήρια[1·β], εἰ πρὸς τὴν ἀσώματον ἐκείνην μετοικισθεῖεν ζωήν, πρὸς λόγον τῆς ἐνυπαρχούσης αὐτοῖς ἕξεώς τε καὶ δυνάμεως τῆς θείας τρυφῆς μεταλήψονται, ἢ πλείονος ἢ ἐλάττονος κατὰ τὴν παροῦσαν ἑκάστου δύναμιν τῶν προκειμένων μετέχοντες· ἡ δὲ ἄγευστος τῆς ἀρετῆς ψυχὴ τῶν μὲν ἐκ πονηρίας κακῶν, ἅτε μηδὲ τὴν ἀρχὴν συνενεχθεῖσα τῇ τῆς κακίας νόσῳ, διαμένει **85** ἀμέτοχος, τῆς δὲ ζωῆς ἐκείνης, ἣν Θεοῦ γνῶσίν τε καὶ μετουσίαν ὁ πρὸ τούτων λόγος ὡρίσατο, τοσοῦτον μετέχει παρὰ τὴν πρώτην, ὅσον χωρεῖ τὸ τρεφόμενον, ἕως ἂν καθάπερ τινὶ τροφῇ καταλλήλῳ τῇ θεωρίᾳ τοῦ ὄντος ἐναδρυνθεῖσα χωρητικὴ τοῦ πλείονος γένηται, ἐν δαψιλείᾳ τοῦ ὄντος κατ' ἐξουσίαν μετέχουσα.

Πρὸς ταῦτα βλέποντες ἔξω μὲν τῶν ἐκ πονηρίας κακῶν ὁμοίως εἶναί φαμεν τὴν ψυχὴν τοῦ τε διὰ **[181]** πάσης ἀρετῆς ἥκοντος καὶ τοῦ μηδὲ ὅλως μετεσχηκότος τοῦ βίου· οὐ μὴν ἐν τῷ ὁμοίῳ τὴν ἑκατέρου τούτων διαγωγὴν ἐννοοῦμεν. Ὁ μὲν γὰρ ἤκουσε[γ], καθὼς ὁ προφήτης φησί, τῶν οὐρανίων διηγημάτων[2], δι' ὧν ἡ δόξα τοῦ Θεοῦ καταγγέλλεται, καὶ διὰ τῆς κτίσεως πρὸς τὴν κατανόησιν ὡδηγήθη τοῦ Δεσπότου τῆς κτίσεως καὶ Διδασκάλῳ τῆς ὄντως σοφίας ἐχρήσατο τῇ ἐν τοῖς οὖσι θεωρουμένῃ σοφίᾳ τό τε τοῦ φωτὸς τούτου κάλλος κατανοήσας ἀναλογικῶς τὸ τοῦ ἀληθινοῦ φωτὸς κάλλος ἐνόησε καὶ ἐν τῷ παγίῳ τῆς γῆς τὸ τοῦ πεποιηκότος αὐτὴν ἀμετά-

---

1. Πρβλ. Ἑβρ. 5,14. 2. Πρβλ. Ψαλ. 18,2.

α. Πρβλ. Πλουτάρχου, Παραμυθητικὸς πρὸς Ἀπολλώνιον, 113C.

β. [στ. 15-27]. Πρβλ. Μεθοδίου, Συμπόσιον, ΒΕΠ 18,25,26-σ. 27,6. PG 18,56C-57B. Vergilii, Aeneis IV, 386.

γ. [στ. 31-35]. Πρβλ. Γρηγορίου Νύσσης, Περὶ ψυχῆς καὶ ἀναστάσεως, κατωτ. σ. 323,17 ἑξ.

θετον ἐπαιδεύθη καὶ τὸ ἀμέτρητον τοῦ οὐρανίου μεγέθους κατανοήσας πρὸς τὸ ἄπειρόν τε καὶ ἀόριστον τῆς ἐμπεριεχούσης τὸ πᾶν δυνάμεως ὡδηγήθη τάς τε ἀκτῖνας ἰδὼν τοῦ ἡλίου ἐκ τῶν τοσούτων ὑψωμάτων μέχρις ἡμῶν διηκούσας τὸ μὴ ἀτονεῖν τὰς προνοητικὰς τοῦ Θεοῦ ἐνεργείας πρὸς ἕκαστον ἡμῶν ἀπὸ τοῦ τῆς θεότητος ὕψους κατιέναι διὰ τῶν φαινομένων ἐπίστευσεν. Εἰ γὰρ εἷς ὢν ὁ φωστὴρ κοινῇ τε τὸ ὑποκείμενον ἅπαν τῇ φωτιστικῇ δυνάμει καταλαμβάνει καὶ πᾶσι τοῖς μετέχουσιν ἑαυτὸν ἐπινέμων ὅλος ἑκάστῳ καὶ ἀδιαίρετος πάρεστι, πόσῳ μᾶλλον ὁ τοῦ φωστῆρος δημιουργὸς καὶ πάντα ἐν πᾶσι γίνεται[1], καθώς φησιν ὁ **86** Ἀπόστολος, καὶ ἑκάστῳ πάρεστι τοσοῦτον ἑαυτὸν διδούς, ὅσον τὸ ὑποκείμενον δέχεται. Ἀλλὰ καὶ στάχυν τις ἰδὼν ἐπὶ γῆς[α] καὶ τὴν ἐκ φυτοῦ βλάστην καὶ βότρυν ὥριμον καὶ τὸ τῆς ὀπώρας κάλλος ἢ ἐν καρποῖς ἢ ἐν ἄνθεσι καὶ τὴν αὐτόματον πόαν καὶ ὄρος ἐπὶ τὸ αἰθέριον ὕψος ἀπὸ τῆς ἄκρας ἀνατεινόμενον καὶ τὰς ἐν ὑπωρείαις πηγάς, μαζῶν δίκην ἐκ τῶν λαγόνων τοῦ ὄρους ἐπιρρεούσας, ποταμούς τε διὰ τῶν κοίλων ῥέοντας καὶ θάλασσαν ὑποδεχομένην τὰ πανταχόθεν ῥεύματα καὶ ἐν τῷ μέτρῳ μένουσαν κύματά τε τοῖς αἰγιαλοῖς ὁριζόμενα καὶ οὐκ ἐπεξιοῦσαν ὑπὲρ τοὺς τεταγμένους ὅρους κατὰ τῆς ἠπείρου τὴν θάλασσαν· ὁ ταῦτα καὶ τὰ τοιαῦτα βλέπων πῶς οὐκ ἂν τὰ πάντα διαλάβοι τῷ λόγῳ, δι' ὧν γίνεται τοῖς θεολογοῦσιν ἡ διδασκαλία τοῦ ὄντος, οὐ μικρὰν ἑαυτῷ δύναμιν πρὸς τὴν μετουσίαν τῆς τρυφῆς ἐκείνης παρασκευάσας τῷ εἶναι παρ' αὐτῷ τὰ νοήματα, δι' ὧν ὁδηγεῖται πρὸς ἀρετὴν ἡ διάνοια[β], γεωμετρίαν τε καὶ ἀστρονομίαν καὶ τὴν διὰ τοῦ ἀριθμοῦ κατανόησιν τῆς ἀληθείας πᾶσάν τε μέθοδον ἀποδεικτικὴν τῶν ἀγνοουμένων καὶ βεβαιωτικὴν τῶν κατειλημμένων καὶ πρό γε τούτων τὴν τῆς θεοπνεύστου Γραφῆς φιλοσοφίαν, τελείαν ἐπάγουσαν κάθαρσιν τοῖς δι' αὐτῆς τὰ θεῖα πεπαιδευμένοις μυστήρια; Ὁ δὲ μηδενὸς τούτων ἐν γνώσει γενόμενος μηδὲ χειραγωγηθεὶς διὰ τοῦ κόσμου πρὸς τὴν τῶν ὑπερκοσμίων ἀγαθῶν κατανόησιν, ἁπαλός τις καὶ ἀγύμναστος καὶ ἀτριβὴς **87** τὴν διάνοιαν παρελθὼν τὸν βίον, ἐκεῖνος οὐκ ἂν ἐν τοῖς αὐτοῖς εἴη, ἐν οἷς ὁ λόγος τὸν προλαβόντα ἀπέδειξεν, ὡς μηκέτι διὰ τοῦτο μακαρι**[184]**στότερον ἀποδείκνυσθαι κατὰ τὴν προενεχθεῖσαν ἡμῖν ἀντίθεσιν τὸν μὴ μετασχόντα τοῦ βίου τοῦ μετασχόντος καλῶς. Τοῦ μὲν γὰρ κακίᾳ συνεζηκότος οὐ μόνον ὁ ἀπειρόκακος ἂν εἴη μακαριστότερος, ἀλλὰ τάχα καὶ ὁ μηδὲ τὴν ἀρχὴν παρελθὼν εἰς τὸν βίον· τοιοῦτον γὰρ καὶ περὶ τοῦ Ἰούδα διὰ τῆς εὐαγγελικῆς φωνῆς ἐδιδάχθημεν, ὅτι ἐπὶ τῶν τοι-

---

1. Πρβλ. Α' Κορ. 15,28.

α. [στ. 11-19]. Πρβλ. Κλήμεντος Ρώμης, Πρὸς Κορινθίους Α', ΒΕΠ 1,21, 21 ἑξ. PG 1,218C ἑξ. Φίλωνος, Περὶ τῆς κατὰ Μωυσέα κοσμοποιίας, § 133. Γρηγορίου Νύσσης, Εἰς τὸ Ἆσμα τῶν Ἀσμάτων, ΒΕΠ 66,229,21 ἑξ.

β. [στ. 21-26]. Πρβλ. Φίλωνος, Περὶ τῆς πρὸς τὰ προπαιδεύματα συνόδου, § 79-80. 180.

οὕτων κρεῖττον τοῦ κατὰ κακίαν ὑφεστῶτός ἐστι τὸ παντελῶς ἀνυπόστατον[1]· τῷ μὲν γὰρ διὰ τὸ βάθος τῆς ἐμφυείσης κακίας[α] εἰς ἄπειρον παρατείνεται ἡ διὰ τῆς καθάρσεως κόλασις, τοῦ δὲ μὴ ὄντος πῶς ἂν ὀδύνη καθάψαιτο; Εἰ δέ τις πρὸς τὸν κατ' ἀρετὴν βίον κρίνοι τὸν νηπιώδη καὶ ἄωρον, ὄντως ἄωρος ὁ τοιοῦτός ἐστι τοιαύτῃ κρίσει περὶ τῶν ὄντων χρώμενος.

Ἐρωτᾷς οὖν, ὅτου χάριν ἐν τούτῳ τῆς ἡλικίας τις ὢν τῆς ζωῆς ὑπεξάγεται, τί διὰ τούτου τῆς θείας σοφίας προμηθουμένης. Ἀλλ' εἰ μὲν περὶ τούτων λέγοις, ὅσα τῆς παρανόμου κυήσεως ἔλεγχος γίνεται καὶ διὰ τοῦτο παρὰ τῶν γεννησαμένων ἐξαφανίζεται, οὐκ εἰκότως ἂν τῶν τῆς κακίας ἔργων τὸν Θεὸν ἀπαιτοίης τὸν λόγον, τὸν τὰ μὴ καλῶς ἐπὶ τούτῳ γεγενημένα εἰς κρίσιν ἄγοντα· εἰ δέ τις καὶ ἀνατρεφομένων τῶν γεννητόρων καὶ δι' ἐπιμελείας θεραπευόντων καὶ δι' εὐχῆς σπουδαζόντων ὅμως οὐ μετέχει τοῦ βίου, κατακρατοῦντος μέχρι θανάτου τοῦ ἀρρωστήματος (ὃ μόνον τῆς αἰτίας ἀναμφιβόλως ἐστίν), ταῦτα περὶ τῶν **88** τοιούτων εἰκάζομεν, ὅτι τελείας ἐστὶ προνοίας[β] οὐ μόνον γεγονότα θεραπεύειν τὰ πάθη, ἀλλ' ὅπως ἂν μηδὲ τὴν ἀρχήν τις τοῖς ἀπηγορευμένοις ἐγγένοιτο προνοεῖν. Τὸν γὰρ ἐγνωκότα ἐπ' ἴσης τῷ παρεληλυθότι τὸ μέλλον ἐπικωλύειν εἰκὸς τὴν ἐπὶ τὸ τέλειον τῆς ζωῆς τοῦ νηπίου πρόοδον, ὡς ἂν μὴ τῇ προγνωστικῇ δυνάμει τὸ κατανοηθὲν κακὸν ἐπὶ τοῦ μέλλοντος οὕτως βιώσεσθαι τελειωθείη καὶ γένηται τῷ τοιαύτῃ προαιρέσει συζήσεσθαι μέλλοντι ὕλη κακίας ὁ βίος. Ὑποδείγματι δέ τινι ῥᾴδιον ἂν εἴη παραστῆσαι τὸ νόημα· ἔστω γὰρ καθ' ὑπόθεσιν παντοδαπή τις εὐωχία προκειμένη τῷ συμποσίῳ, ἐπιστατείτω δέ τις τοιοῦτος τῶν δαιτυμόνων, οἷος ἀκριβῶς εἰδέναι τὰ τῆς ἑκάστου φύσεως ἰδιώματα καὶ τί μὲν κατάλληλον τῇ τοιαύτῃ κράσει, τί δὲ ἐπιβλαβὲς καὶ ἀνοίκειον· προσκείσθω δὲ τούτῳ καὶ αὐθεντική τις ἐξουσία τοῦ κατὰ τὸ ἴδιον βούλημα τὸν μέν τινα μετέχειν τῶν προκειμένων ἐᾶν, τὸν δὲ ἀποτρέπειν, καὶ πάντα ποιεῖν[γ], ὡς ἂν κατὰ τὴν ἑαυτοῦ κρᾶσιν ἕκαστος τῶν καταλλήλων προσάπτοιτο, ἵνα μήτε ὁ νοσώδης ἐπιτριβείη, προσθεὶς ὕλην διὰ τῶν ἐδωδίμων τῇ νόσῳ, μήτε ὁ εὐρωστότερος κάμοι, εἰς πληθωρικὴν ἀηδίαν ἐκπίπτων τῇ ἀκαταλλήλῳ τροφῇ. Ἐν τούτοις εἰ μεσοῦντος τοῦ συμποσίου τις τῶν τῇ οἰνοφλυγίᾳ προσκειμένων ἐξάγεται ἢ ἐν ἀρχῇ ὢν τῆς μέθης ἢ μέχρι τέλους παραμένει τῷ δείπνῳ, ταῦτα τοῦ ἐπιστάτου **89** οἰκονομοῦντος, ὡς ἂν εὐσχημονοίη διαρκῶς ἡ τράπεζα τῶν ἐκ πληθώρας καὶ μέθης

---

1. Πρβλ. Ματθ. 26,24. Μάρκ. 14,21.

α. Πρβλ. Γρηγορίου Νύσσης, Εἰς Πουλχερίαν παραμυθητικὸς λόγος, ΒΕΠ 69,384,14 ἑξ.

β. [στ. 16-22]. Γρηγορίου Νύσσης, Περὶ τῶν νηπίων, κατωτ. σ. 314,33 ἑξ. 318,14 ἑξ. Πλουτάρχου, Παραμυθητικὸς πρὸς Ἀπολλώνιον, 110E-F. 117D. 119F. Senecae, Consolatione ad Marciam, 22,2.

γ. [στ. 29-33]. Πρβλ. Λουκιανοῦ, Κυνικός, 7.

καὶ παραφορᾶς κακῶν καθαρεύουσα. Ὥσπερ οὖν ὁ τῆς τῶν ἡδυσμάτων κνίσης[α] ἀποσπώμενος οὐκ ἐν ἡδονῇ **[185]** ποιεῖται τῶν καταθυμίων τὴν στέρησιν, ἀλλ' ἀκρισίαν τινὰ τοῦ ἐπιστατοῦντος καταγινώσκει, ὡς φθόνῳ τινὶ καὶ οὐ προνοίᾳ τῶν προκειμένων ἀπείργοντος, εἰ δὲ πρὸς τοὺς ἔτι ἀσχημονοῦντας τῇ παρατάσει τῆς μέθης βλέποι ἐν ἐμέτοις καὶ καρηβαρίαις καὶ τῷ παραφθέγγεσθαί τι τῶν οὐ δεόντων, χάριν ὁμολογεῖ τῷ πρὸ τοῦ τοιούτου πάθους τῆς ἀμέτρου πλησμονῆς αὐτὸν ἀποστήσαντι· εἰ δὴ νενόηται ἡμῖν τὸ ὑπόδειγμα, ῥᾴδιον ἂν εἴη προσαγαγεῖν τὸ ἐν τούτῳ καταληφθὲν ἡμῖν θεώρημα τῷ προκειμένῳ νοήματι. Τί γὰρ τὸ προκείμενον ἦν; ὅτου χάριν ὁ Θεός, πολλῆς οὔσης τοῖς πατράσι σπουδῆς φυλαχθῆναι ἑαυτοῖς τὸν τοῦ βίου διάδοχον, ἄωρον πολλάκις ἐν τῷ ἀτελεῖ τῆς ἡλικίας ἐᾷ τὸ τεχθὲν ἀναρπάζεσθαι; Πρὸς οὓς ἐροῦμεν τὸ συμποτικὸν ἐκεῖνο ὑπόδειγμα, ὅτι τῆς τοῦ βίου τραπέζης πολλήν τε καὶ παντοδαπὴν τῶν ἐδωδίμων τὴν παρασκευὴν ἐχούσης (νόει δέ μοι κατὰ τὴν ὀψαρτυτικὴν ἐμπειρίαν μὴ πάντα τῷ τῆς ἡδονῆς μέλιτι τὰ τοῦ βίου καταγλυκαίνεσθαι, ἀλλ' ἔστιν ὅπου καὶ τοῖς αὐστηροτέροις τῶν συμπτωμάτων τὴν ζωὴν ἐπαρτύεσθαι, οἷα δὴ φιλοτεχνοῦσιν οἱ τῶν περὶ γαστέρα καὶ θοίνην ἡδονῶν τεχνῖται τοῖς δριμυτέροις ἢ ἁλμῶσιν ἢ παραστύφουσιν τὰς ὀρέξεις τῶν δαιτυμόνων ἀναρριπίζοντες)· ἐπεὶ οὖν οὐ διὰ πάντων ἐστὶ τῶν πραγμάτων μελιηδὴς ὁ βίος, ἀλλ' ἔστιν ἐν οἷς ἅλμη τὸ ὄψον ἐστὶν ἢ στῦψις [ἢ] ὀξώδης ἢ δηκτική τις καὶ **90** δριμεῖα ποιότης ἐντριβεῖσα τοῖς πράγμασι δύσληπτον ποιεῖ τὴν καρυκείαν τοῦ βίου, πλήρεις δὲ οἱ τῆς ἀπάτης κρατῆρες[β] παντοδαποῦ κράματος, ὧν οἱ μὲν τὸ φυσῶδες πάθος διὰ τοῦ τύφου τῆς ἀπάτης τοῖς ἐμπιοῦσιν ἐποίησαν, οἱ δὲ εἰς παραφορὰν τοὺς ἐμπιόντας ἐξεκαλέσαντο, ἄλλοις δὲ τῶν πονηρῶς κτηθέντων τὸν ἔμετον διὰ τῆς αἰσχρᾶς ἀποτίσεως ἀνεκίνησαν· ὡς ἂν οὖν μὴ ἐπιχρονίζοι τῇ τοιαύτῃ τῆς τραπέζης παρασκευῇ ὁ μὴ δεόντως τῷ συμποσίῳ χρησάμενος, θᾶττον ὑπεξάγεται τοῦ τῶν δαιτυμόνων πληρώματος, κερδαίνων τὸ μὴ ἐν ἐκείνοις γενέσθαι, ὧν ἡ ἀμετρία τῆς ἀπολαύσεως τοῖς λαιμαργοῦσι πρόξενος γίνεται. Τοῦτό ἐστιν ὅ φημι τελείας εἶναι προνοίας κατόρθωμα, τὸ μὴ μόνον συστάντα θεραπεύειν τὰ πάθη, ἀλλὰ καὶ κωλύειν πρὸ τῆς συστάσεως. Ὃ δὴ καὶ περὶ τοῦ θανάτου τῶν ἀρτιτόκων ὑπενοήσαμεν, ὅτι ὁ λόγῳ τὰ πάντα ποιῶν[1] ὑπὸ φιλανθρωπίας ἀφαιρεῖται τῆς κακίας τὴν ὕλην μὴ διδοὺς καιρὸν τῇ προαιρέσει τῇ διὰ τῆς προγνωστικῆς δυνάμεως γνωρισθείσῃ διὰ τῶν ἔργων ἐν κακίας ἐξοχῇ δειχθῆναι οἷα ἐστίν, ὅταν πρὸς τὸ κακὸν τὴν ὁρμὴν ἔχοι.

---

1. Πρβλ. Ἑβρ. 1,3. 11,3.

α. Πρβλ. Φίλωνος, Περὶ τῆς κατὰ Μωυσέα κοσμοποιίας, § 158.

β. Πρβλ. Γρηγορίου Νύσσης, Εἰς τὸν βίον Μωυσέως, W. Jaeger τ. VII, I, 142,12 PG. 44,428C.

Πολλάκις δὲ τὴν σεσοφισμένην τῆς φιλαργυρίας ἀνάγκην διὰ τῶν τοιούτων ἐλέγχει ὁ συνιστῶν τὸ τοῦ βίου συμπόσιον, ὡς ἄν, οἶμαι, γυμνὸν τῶν εὐπροσώπων προκαλυμμάτων τὸ τῆς φιλαργυρίας ἀρρώστημα φαίνοιτο μηδενὶ παραπετάσματι πεπλανημένῳ συσκιαζόμενον. Φασὶ γὰρ οἱ πολλοὶ διὰ τοῦτο **91** ταῖς τοῦ πλείονος ἐπιθυμίαις ἐπιπλατύνεσθαι, ὡς ἂν πλουσιωτέρους τοὺς ἐξ αὐτῶν γεγονότας ποιήσαιεν· ὧν ἐλέγχει τὴν νόσον ἰδίαν οὖσαν[α], οὐκ ἐξ ἀνάγκης ἐγγινομένην ἡ ἀπροφάσιστος τῶν ἀτέκνων πλεονεξία· πολλοὶ γὰρ οὔτε ἔχοντες διαδοχὴν ἐπὶ πολλοῖς οἷς ἐμόχθησαν οὔτε ἐν ἐλπίσι τοῦ σχεῖν ὄντες ἀντὶ μυρίων τέκνων πολλὰς ἐπιθυμίας ἐν ἑαυτοῖς παιδοτροφοῦσιν, οὐκ ἔχοντες ποῦ τὴν ἀνάγ**[188]**κην τῆς ἀρρωστίας ταύτης ἐπανενέγκωσιν.

Εἰ δέ τινες κακῶς ἐπιδημοῦντες τῷ βίῳ, τυραννικοί τε καὶ πικροὶ τὴν προαίρεσιν, πάσαις ἀκολασίαις δεδουλωμένοι, θυμῷ παραπλῆγες, φειδόμενοι τῶν ἀνηκέστων κακῶν οὐδενός, λησταὶ καὶ ἀνδροφόνοι καὶ πατρίδων προδόται ἢ εἴ τι τούτων ἐστὶν ἐναγέστερον, οἷον πατροφόνοι τε καὶ μητρολῷαι καὶ παιδοκτόνοι καὶ ταῖς παρανόμοις μίξεσιν ἐπιλυσσῶντες, εἰ τοιοῦτοί τινες ὄντες ἐν τῇ κακίᾳ ταύτῃ γηράσκουσιν, πῶς ἐρεῖ τις συμβαίνειν ταῦτα τοῖς προεξητασμένοις; εἰ γὰρ τὸ πρὸ ὥρας ἀνάρπαστον, ὡς ἂν μὴ εἰς τέλος κατὰ τὸ ὑπόδειγμα τοῦ συμποσίου τοῖς πάθεσι τῆς ζωῆς ταύτης ἐλλαιμαργήσειεν, προνοητικῶς ὑπεξάγεται τοῦ βιωτικοῦ συμποσίου, τίνος χάριν ὁ τοιοῦτος μέχρι γήρως ἐμπαροινεῖ τῷ συμποσίῳ, πονηρὰν ἑαυτῷ τε καὶ τοῖς συμπόταις τὴν τῶν κακῶν ἑωλοκρασίαν ἐπισκεδάζων; Πρὸς οὓς ἐροῦμεν μηδὲν ἔλαττον καὶ ἐπὶ τούτων τὴν προνοητικὴν τοῦ Θεοῦ οἰκονομίαν διαφαίνεσθαι· τὸ μὲν γὰρ δύνασθαι καὶ τὸν πρὸς τοῦτο τὸ μέτρον τῆς πονηρίας ἐλάσαντα χρόνων τισὶ μακρῶν περιόδοις[β] διὰ τῆς αἰωνίας **92** καθάρσεως πάλιν ἀποδοῦναι τῷ τῶν σῳζομένων πληρώματι παντὶ πρόδηλον πάντως τῷ πρὸς τὴν θείαν δύναμιν βλέποντι. Τίς γὰρ οὕτως τῆς θείας φύσεως ἀνεπίσκεπτος, ὡς τὰ ἄλλα τοῦ Θεοῦ βλέπων, ὅσα τῷ ὑπερέχοντι τῆς δυνάμεως ἐν μόνῃ τῇ τοῦ θελήματος ὁρμῇ κατειργάσατο, περὶ τοῦτο μόνον ἀτονεῖν αὐτὸν οἴεσθαι; Εἰ γάρ τις ἀνθρωπικῶς ἐξετάζειν ἐθέλοι, δυσκολώτερον εὑρεθήσεται τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ πάντα τὸν ἐν τούτοις κόσμον μὴ ὄντα παραγαγεῖν εἰς τὸ εἶναι ἢ διὰ κακίας πλανηθεῖσαν ψυχὴν πάλιν ἐπαναγαγεῖν [αὐτὴν] πρὸς τὴν κατὰ φύσιν ζωήν, ὥστε τὸ φιλάνθρωπον θέλημα οὐδὲ ἐπὶ τούτων ἀργὸν ἂν εἴη. Τὸ δὲ διαρκὲς τῆς ἐν κακίᾳ τούτῳ ζωῆς οὐ θεόθεν τὰς ἀφορμὰς ἔχει· τοῦ μὲν γὰρ ζῆν τὴν δύναμιν παρὰ τοῦ τὴν ζωὴν πεποιηκότος ἐδέξατο, τοῦ δὲ κακῶς ζῆν ἡ οἰκεία καθηγεῖται προαίρεσις, ἧς μὴ πρὸς τοῦτο, τὴν ῥοπὴν ἐχούσης οὐδ᾽ ἂν ἦν ὅλως ἐν κακίᾳ ὁ ἄνθρωπος. Κακὸν γὰρ κατ᾽ οἰκείαν ὑπόστασιν οὐδέν,

---

α. Πρβλ. Δημοκρίτου, B fr. 222 (Diels-Kranz).
β. Πρβλ. Πλάτ., *Φαίδων*, 107e.

μὴ ἐν τῇ προαιρέσει τοῦ κακῶς βιοῦντος δημιουργούμενον. Εἰ οὖν τῆς συνισταμένης ἔν τινι κακίας ὁ Θεὸς ἀναίτιος[α], οὐκέτι ἂν εὐλόγως εἰς ἐκεῖνον ἀναφέροιτο τῆς ἐν κακίᾳ τούτων ζωῆς ἡ αἰτία.

Ἀλλὰ διὰ τί, πάντως ἐρεῖς, τὸν μὲν προνοητικῶς ὑπεξάγει τοῦ βίου πρὶν τελειωθῆναι διὰ τοῦ κακοῦ τὴν προαίρεσιν, τὸν **93** δὲ καταλείπει γενέσθαι τοιοῦτον, ὡς ἄμεινον αὐτῷ εἶναι τὸ μὴ γενέσθαι ὅλως[1]; Πρὸς δὲ τοῦτο τοιοῦτόν τινα τοῖς εὐγνωμονεστέροις ἀποδώσομεν λόγον, ὅτι πολλάκις ἡ ζωὴ τῶν εὖ βεβιωκότων καὶ τοῖς ἐξ αὐτῶν αἰτία τοῦ βελτίονος γίνεται. Καὶ μυρίαι τούτων ἐκ τῆς θεοπνεύστου Γραφῆς αἱ μαρτυρίαι, δι' ὧν σαφῶς διδασκόμεθα τῆς παρὰ τοῦ Θεοῦ γενομένης τοῖς ἀξίοις κηδεμονίας καὶ τοὺς ἐξ αὐτῶν συμμετέχειν. Ἀγαθὸν δ' ἂν εἴη κεφάλαιον καὶ τὸ ἐμποδών τινι πρὸς κακίαν γενέσθαι τῷ μέλλοντι πάντως κατ' ἐκείνην βιώσεσθαι. Ἐπεὶ δὲ τῶν ἀδήλων ὁ λόγος ἐνταῦθα καταστοχάζεται, πάντως οὐδεὶς αἰτιάσεται πολλαχῇ τοῦ στοχασμοῦ τὴν διάνοιαν ἄγοντος. Οὐ μόνον γὰρ τοῖς καθηγουμένοις τοῦ γένους εἴποι τις ἂν τὸν Θεὸν χαριζόμενον ὑπεξάγειν τῆς κακῆς ζωῆς τὸν κατ' αὐτὴν βιωσόμενον, ἀλλ' εἰ καὶ μηδὲν εἴη τοιοῦτον ἐπὶ τῶν πρὸ ὥρας ἀναρπαζομένων, οὐδὲν ἀπεικὸς οἴεσθαι τὸ χαλεπώτερον ἂν ἐκείνους ἀντιλαμβάνεσθαι τοῦ κατὰ κακίαν βίου ἢ τούτων ἕκαστον τῶν ἐπὶ πονηρίᾳ γνωρισθέντων παρὰ τὸν βίον. Τὸ γὰρ μηδὲν ἀθεεὶ γίνεσθαι διὰ πολλῶν ἐπεγνώκαμεν, τὸ δ' αὖ πάλιν μὴ τυχαῖά τε καὶ ἄλογα εἶναι τὰ θεόθεν οἰκονομούμενα πᾶς ἂν ὁμολογήσειεν, εἰδὼς ὅτι ὁ Θεὸς Λόγος ἐστὶ καὶ σοφία[2] καὶ πᾶσα ἀρετὴ καὶ ἀλήθεια, οὐδὲν δὲ τοῦ λόγου ἄλογον οὐδὲ τοῦ σοφοῦ τι ἄσοφον, οὐδ' ἂν ἡ ἀρετή τε καὶ ἡ ἀλήθεια τὸ μὴ ἐνάρετόν τε καὶ ἔξω τοῦ ἀληθοῦς καταδέξαιτο.

Εἴτε οὖν κατὰ τὰς εἰρημένας αἰτίας ἄωροί τινες ἀναρπάζονται εἴτε τι καὶ ἕτερον παρὰ τὰ εἰρημένα ἐστί, τὸ πάντως ἐπὶ **94** σκοπῷ τῷ βελτίονι ταῦτα γίνεσθαι συνομολογεῖσθαι προσήκει. Οἶδα δέ τινα καὶ λόγον ἕτερον παρὰ τῆς τοῦ Ἀποστόλου σοφίας μαθών, δι' ὅν τινες τῶν κατὰ κακίαν ὑπερβαλ**[189]**λόντων κατὰ τὴν ἑαυτῶν προαίρεσιν ζῆσαι ἀφείθησαν· γυμνάσας γὰρ ἐπὶ πλέον τὴν τοιαύτην διάνοιαν ἐν τῷ πρὸς Ῥωμαίους λόγῳ καὶ ἀνθυπενεγκὼν ἑαυτῷ τὸ ἐκ τοῦ ἀκολούθου ἀντιτιθέμενον, τὸ μὴ ἂν εὐλόγως ἐν αἰτίᾳ τὸν κακὸν ἔτι γενέσθαι, εἴπερ θεόθεν ἔχει τὸ κακὸς εἶναι, μὴ ἂν γενόμενος πάντως, εἴπερ ἀβούλητον ἦν τῷ ἐπικρατοῦντι τῶν ὄντων[3], οὕτως ἀπαντᾷ τῷ λόγῳ διὰ βαθυτέρας τινὸς θεωρίας τὴν ἀνθυποφορὰν ὑπεκλύων· φησὶ γὰρ τὸν Θεὸν ἑκάστῳ τὸ κατ' ἀξίαν νέμοντα[4] ἔστιν ὅπου καὶ τῇ κακίᾳ διδόναι χώραν ἐπὶ σκοπῷ τῷ βελτίονι· τούτου γὰρ ἕνεκεν ἐᾶσαι γε-

---

1. Πρβλ. Ματθ. 26,24. 2. Πρβλ. Α' Κορ. 1,30. 3. Πρβλ. Ρωμ. 9,14,19. 4. Πρβλ. Ρωμ. 2,6.

α. Πρβλ. Πλάτ., Πολιτεία, 617e.

νέσθαι καὶ τοιοῦτον γενέσθαι τὸν Αἰγύπτιον τύραννον[α], ὡς ἂν τῇ ἐκείνου πληγῇ ὁ Ἰσραὴλ παιδευθείη[1], ὁ πολὺς ἐκεῖνος λαὸς καὶ πᾶσαν τὴν ἐξ ἀριθμοῦ περίληψιν διαβαίνων[2]. Ἴσως γὰρ τῆς θείας δυνάμεως διὰ πάντων γνωριζομένης καὶ πρὸς τὸ εὐεργετεῖν τοὺς ἀξίους ἱκανῶς ἐχούσης καὶ πρὸς τὴν κόλασιν τῆς κακίας οὐκ ἀτονούσης, ἐπεὶ δὲ πάντως ἐχρῆν ἀποικισθῆναι τῆς Αἰγύπτου τὸν λαὸν ἐκεῖνον, ὡς ἂν μή τις αὐτοῖς γένοιτο τῶν Αἰγυπτίων κακῶν κατὰ τὴν τοῦ βίου πλάνην κοινωνία, τούτου χάριν ὁ θεομάχος ἐκεῖνος, ὁ ἐπὶ παντὶ κακῷ **95** ὀνομαστὸς Φαραὼ τῇ ζωῇ τῶν εὐεργετουμένων συνανέσχεν τε καὶ συνήκμασεν, ὡς ἂν τῆς διπλῆς τοῦ Θεοῦ ἐνεργείας ἐφ' ἑκατέρων μεριζομένης ἀξίως τῶν δύο λάβῃ τὴν γνῶσιν ὁ Ἰσραήλ, τὸν μὲν κρεῖττον ἐφ' ἑαυτοῦ διδασκόμενος, τὸ δὲ σκυθρωπότερον ἐπὶ τῶν διὰ κακίαν μαστιγουμένων ὁρῶν, ὡς τῷ ὑπερβάλλοντι τῆς σοφίας εἰδότος τοῦ Θεοῦ καὶ τὸ κακὸν ἐπὶ τῇ τοῦ ἀγαθοῦ συνεργίᾳ μεταχειρίζεσθαι. Χρεία γὰρ τῷ τεχνίτῃ (εἰ χρὴ τὸν ἀποστολικὸν λόγον καὶ διὰ τῶν ἡμετέρων λόγων βεβαιωθῆναι), χρεία τοίνυν τῷ διὰ τῆς τέχνης πρός τι τῶν βιωφελῶν ἐργαλείων τυποῦντι τὸν σίδηρον οὐ μόνον τοῦ εὐκόλως τῇ τέχνῃ εἴκοντος ἔκ τινος φυσικῆς ἀπαλότητος, ἀλλὰ κἂν λίαν ἀντίτυπος ὁ σίδηρος ᾖ, κἂν μὴ ῥᾳδίως διὰ πυρὸς ἐκμαλάσσηται καὶ πρὸς τὸ σκεῦος τῶν ἀναγκαίων τοῦ βίου τυπωθῆναι τῷ ἀνυπείκτῳ τε καὶ στερρῷ μὴ οἷός τε ᾖ, καὶ τούτου ἡ τέχνη ἐπιζητεῖ τὴν συνεργίαν· ἄκμονι γὰρ χρήσεται τῷ τοιούτῳ, ὡς ταῖς ἐπὶ τούτου πληγαῖς τὸν εὐεργῆ τε καὶ ἁπαλὸν πρός τι τῶν χρησίμων ἀποτυποῦσθαι.

Ἀλλ' ἐρεῖ τις, ὅτι οὐ πάντες παρὰ τὸν βίον τοῦτον τῆς ἑαυτῶν μοχθηρίας ἀπέλαυσαν· οὐδὲ γὰρ οἱ κατ' ἀρετὴν βιοτεύοντες ἐν τῇ ζωῇ ταύτῃ τῶν τῆς ἀρετῆς ἱδρώτων ἀπώναντο· τί οὖν, φησί, τούτων εἶναι τὸ χρήσιμον ἐπὶ τῶν ἐν κακίᾳ ἀτιμωρήτως βεβιωκότων; Παραθήσομαί σοι καὶ πρὸς τοῦτο λόγον τῶν ἀνθρωπίνων λογισμῶν ὑψηλότερον· φησὶ γάρ που τῆς ἑαυτοῦ προφητείας ὁ μέγας Δαβὶδ μέρος τι τοῖς ἐναρέτοις εὐφροσύνης καὶ τὸ τοιοῦτον εἶναι, ὅταν ἀντιπαραθεωρῶσι τοῖς οἰκείοις ἀγαθοῖς τὴν τῶν κατακρίτων **96** ἀπώλειαν· «Εὐφρανθήσεται», γάρ φησι, «δίκαιος, ὅταν ἴδῃ ἐκδίκησιν ἀσεβοῦς· τὰς χεῖρας αὐτοῦ νίψεται ἐν **[192]** τῷ αἵματι τοῦ ἁμαρτωλοῦ»[3]· οὐχ ὡς ἐπιχαίρων ταῖς τῶν ἀνιωμένων ὀδύναις, ἀλλ' ὡς τότε μάλιστα γνωρίζων τὸ ἐξ ἀρετῆς τοῖς ἀξίοις παραγινόμενον. Σημαίνει γὰρ διὰ τῶν εἰρημένων, ὅτι προσθήκη τῆς εὐφροσύνης καὶ ἐπίτασις τοῖς ἐναρέτοις γίνεται ἡ τῶν ἐναντίων ἀντιπαράθεσις· τὸ γὰρ εἰπεῖν, ὅτι τὰς χεῖρας ἐν τῷ αἵματι τοῦ ἁμαρτωλοῦ νίπτεται, τοιαύτην παρίστησι τὴν διάνοιαν, ὅτι τὸ καθαιρόμενον αὐτοῦ τῆς κατὰ τὴν ζωὴν ἐνεργείας

1. Πρβλ. Ρωμ. 9,17 ἑξ. 2. Πρβλ. Ρωμ. 9,27. 3. Ψαλ. 57,11.

α. Πρβλ. Ὠριγένους, Περὶ ἀρχῶν III,1,7. PG 11,260. Εἰρηναίου, Ἔλεγχος καὶ ἀνατροπὴ τῆς ψευδωνύμου γνώσεως IV, 29. Sources Chrétiennes Nº 100, τ. II, 769,34-35. PG 7,1063B-1064B.

ἐν τῇ ἀπωλείᾳ τῶν ἁμαρτωλῶν διαδείκνυται· ἡ γὰρ τοῦ νίψασθαι λέξις καθαρότητος ἔμφασιν διερμηνεύει, ἐν αἵματι δὲ οὐχὶ νίπτεταί τις ἀλλὰ μολύνεται, ὥστε διὰ τούτου δῆλον γενέσθαι, ὅτι ἡ τῶν σκυθρωποτέρων ἀντιπαράθεσις τὴν τῆς ἀρετῆς μακαριότητα δείκνυσιν.

Συναπτέον τοίνυν ἐπὶ κεφαλαίῳ τὸν λόγον, ὡς ἂν εὐμνημόνευτα γένοιτο τὰ ἐξητασμένα νοήματα. Ἡ γὰρ ἄωρος τελευτὴ τῶν νηπίων οὔτε ἐν ἀλγεινοῖς εἶναι τὸν οὕτω τοῦ ζῆν παυσάμενον νοεῖν ὑποτίθεται οὔτε κατὰ τὸ ἴσον τοῖς διὰ πάσης ἀρετῆς κατὰ τὸν τῆδε βίον κεκαθαρμένοις γίνεται, προμηθείᾳ κρείττονι τοῦ Θεοῦ τὴν τῶν κακῶν ἀμετρίαν κωλύοντος ἐπὶ τῶν μελλόντων οὕτω βιώσεσθαι. Τὸ δὲ ἐπιβιῶναί τινας τῶν κακῶν οὐκ ἀνατρέπει τὴν ἀποδοθεῖσαν διάνοιαν· τῇ γὰρ πρὸς τοὺς γεννησαμένους χάριτι τὸ κακὸν ἐπ' ἐκείνων ἐνεποδίσθη· οἷς δὲ οὐκ ἦν τις ἐκ γονέων πρὸς τὸν Θεὸν παρρησία οὐδὲ τοῖς ἐξ ἐκείνων τὸ τοιοῦτον ἔτι τῆς εὐεργεσίας εἶδος συμπαρεπέμφθη· ἢ πολλῷ χαλεπώτερος τῶν ἐπὶ κακίᾳ γνωρίμων ὁ κωλυθεὶς διὰ τοῦ θανάτου γενέσθαι κακὸς ἐφάνη ἄν, εἴπερ ἀκώλυτον ἔσχε τὴν πονηρίαν, ἢ εἴ τινες καὶ εἰς τὸ ἀκρότατον **97** τῆς πονηρίας μέτρον προεληλύθασιν, ἡ ἀποστολικὴ θεωρία παραμυθεῖται τὸ ζήτημα, ὡς εἰδότος τοῦ πάντα ἐν σοφίᾳ ποιοῦντος[1] καὶ διὰ τοῦ κακοῦ τι τῶν ἀγαθῶν κατεργάσασθαι[2]. Εἰ δέ τις καὶ ἐν πονηρίᾳ τὸ ἄκρον ἔχει καὶ ἐπ' οὐδενὶ χρησίμῳ κατὰ τὸ ῥηθὲν ἡμῖν ὑπόδειγμα παρὰ τῆς τοῦ Θεοῦ τέχνης κατεχαλκεύθη, τοῦτο προσθήκη τῆς εὐφροσύνης τῶν εὖ βεβιωκότων γίνεται, καθὼς ἡ προφητεία νοεῖν ὑποτίθεται, ὅπερ οὐ μικρὸν ἐν ἀγαθοῖς ἄν τις λογίσαιτο οὐδὲ τῆς τοῦ Θεοῦ προμηθείας ἀνάξιον.

---

1. Πρβλ. Ψαλ. 103,24. 2. Πρβλ. Φιλιπ. 1,12-18.

ΠΕΡΙ ΨΥΧΗΣ ΚΑΙ ΑΝΑΣΤΑΣΕΩΣ ΜΕΤΑ ΤΗΣ ΙΔΙΑΣ ΑΔΕΛΦΗΣ ΜΑΚΡΙΝΗΣ ΔΙΑΛΟΓΟΣ *

2 [12] Ἐπειδὴ τοῦ ἀνθρωπίνου βίου πρὸς τὸν Θεὸν μετέστη ὁ πολὺς ἐν ἁγίοις Βασίλειος καὶ κοινὴ πένθους ἀφορμὴ ταῖς ἐκκλησίαις ἐγένετο, περιῆν δὲ ἔτι τῷ βίῳ ἡ ἀδελφὴ καὶ διδάσκαλος, ἐγὼ μὲν ᾔειν κατὰ σπουδὴν κοινωνήσων ἐκείνῃ τῆς ἐπὶ τῷ ἀδελφῷ συμφορᾶς· καί μοι περιώδυνος ἦν ἡ ψυχή, πρὸς τοσαύτην ζημίαν ὑπεραλγοῦσα, καί τινα τῶν δακρύων κοινωνὸν ἐπεζήτουν, τὸ ἴσον ἔχοντά μοι τῆς λύπης ἄχθος. Ὡς δὲ ἐν ὀφθαλμοῖς ἦμεν ἀλλήλων, ἐμοὶ μὲν ἀνεκίνει τὸ πάθος, προφανεῖσα τοῖς ὀφθαλμοῖς ἡ διδάσκαλος· καὶ γὰρ ἤδη καὶ αὐτὴ τῇ πρὸς θάνατον ἀρρωστίᾳ συνείχετο. Ἡ δὲ κατὰ τοὺς τῆς ἱππικῆς ἐπιστήμονας ἐνδοῦσά μοι πρὸς ὀλίγον παρενεχθῆναι τῇ ῥύμῃ τοῦ πάθους, ἀναστομοῦν ἐπεχείρει μετὰ ταῦτα τῷ λόγῳ, καθάπερ χαλινῷ τινι τῷ ἰδίῳ λογισμῷ τὸ ἄτακτοῦν τῆς ψυχῆς ἀπευθύνουσα, καὶ ἦν **[13]** αὐτῇ τὸ ἀποστολικὸν λόγιον προφερόμενον, τὸ μὴ δεῖν ἐπὶ τῶν κεκοιμημένων λυπεῖσθαι· μόνων γὰρ τοῦτο τῶν οὐκ ἐχόντων ἐλπίδα τὸ πάθος εἶναι[1]. Κἀγώ, περιζεούσης ἔτι μοι τῆς καρδίας τῇ λύπῃ,

Πῶς ἔστιν, εἶπον, ἐν ἀνθρώποις τοῦτο κατορθωθῆναι, οὕτως ἐν ἑκάστῳ φυσικῆς τινος πρὸς τὸν θάνατον διαβολῆς **4** ὑπαρχούσης, καὶ οὔτε τῶν ὁρώντων τοὺς ἀποθνήσκοντας εὐκόλως καταδεχομένων τὴν θέαν, οἷς τε ἂν προσίῃ ὁ θάνατος ἀποφευγόντων ἐφ' ὅσον οἷόν τε; ἀλλὰ καὶ τῶν ἐπικρατούντων νόμων ἔσχατον ἐν ἀδικίαις καὶ ἔσχατον ἐν τιμωρίαις τοῦτο κρινόντων, τίς μηχανὴ τὸ μηδὲν ἡγεῖσθαι τὴν τοῦ ζῆν ἀναχώρησιν καὶ ἐπὶ τῶν ἔξω τινός, μὴ ὅτι γε τῶν ἐπιτηδείων, ὅταν τοῦ βίου λήγωσιν; Ὁρῶμεν δέ, εἶπον, καὶ πᾶσαν τὴν ἀνθρωπίνην σπουδὴν πρὸς τοῦτο βλέπουσαν, ὅπως ἂν ἐν τῷ ζῆν διαμένοιμεν. Διὰ τοῦτο γὰρ καὶ οἶκοι πρὸς διαγωγὴν ἡμῖν ἐπινενόηνται, ὡς ἂν μὴ τῷ περιέχοντι διὰ ψύξεως ἢ θερμότητος καταπονοῖτο τὰ σώματα. Γεηπονία[α] δὲ τί ἄλλο καὶ οὐχὶ τοῦ ζῆν ἔστι παρασκευή; Ἡ δὲ τῆς ζωῆς φροντὶς πάντως διὰ τὸν τοῦ θανάτου γίνεται φόβον.

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ Franz Dehler, Gregor's Bisschof's von Nyssa, Gespräch mit seiner Schwester Macrina. Über Seele und Auferstehung. Leipzig 1858. [J-P Migne PG τ. 46, στ. 12-160].

1. Πρβλ. Α' Θεσ. 4,13.

α. Πρβλ. Μ. Βασιλείου, Ἐπιστολαὶ 260, ΒΕΠ 55,321,32.

Τί δὲ ἰατρική; πόθεν τιμία τοῖς ἀνθρώποις ἐστίν[1]; οὐκ ἐπειδὴ μάχεσθαί πως διὰ τῆς τέχνης δοκεῖ πρὸς τὸν θάνατον; θώρακες δὲ καὶ θυρεοὶ καὶ κνημῖδες καὶ κράνη καὶ τὰ ἀμυντήρια τῶν ὅπλων καὶ αἱ τῶν τειχῶν περιβολαὶ καὶ σιδηρόδετοι πύλαι καὶ ἡ τῶν τάφρων ἀσφάλεια καὶ τὰ τοιαῦτα, τί ἄλλο πλὴν διὰ τὸν τοῦ θανάτου γίνεται φόβον; οὕτως οὖν ὄντος φοβεροῦ φυσικῶς τοῦ θανάτου, πῶς ἔστι ῥᾳδίως πεισθῆναι τῷ κελεύοντι ἄλυπον διαμέ**[16]**νειν ἐπὶ τοῦ κατοιχομένου τὸν περιόντα;

Τί δέ, φησὶν ἡ διδάσκαλος, τί σοι μάλιστα λυπηρὸν αὐτὸ ἐφ' ἑαυτοῦ τὸ τοῦ θανάτου δοκεῖ; οὐ γὰρ ἱκανὸν εἰς διαβολὴν ἡ τῶν ἀλογωτέρων συνήθεια.

Τί μὲν οὖν, οὐκ ἔστι λύπης ἄξιον, πρὸς αὐτὴν εἶπον ἐγώ, ὅταν βλέπωμεν τὸν τέως ζῶντά τε καὶ φθεγγόμενον, ἄπνουν καὶ ἄναυδον καὶ ἀκίνητον ἀθρόως γενόμενον καὶ πάντα αὐτῷ σβεσθέντα τὰ φυσικὰ αἰσθητήρια, οὐκ ὄψεως, οὐκ ἀκοῆς ἐνεργούσης, οὐκ ἄλλου τινός, ὧν ἡ αἴσθησις τὴν ἀντίληψιν ἔχει; ᾧ κἂν πῦρ προσενέγκης, κἂν σίδηρον, κἂν ἀνατέμῃς διὰ ξίφους τὸ σῶμα, κἂν τοῖς σαρκοβόροις προθῇς, κἂν ἐγκρύψῃς χώματι, πρὸς ἅπαντα ὁμοίως ὁ κείμενος ἔχει. Ὅταν οὖν ἐν τούτοις βλέπηται ἡ μεταβολή, τὸ δὲ ζωτικὸν ἐκεῖνο αἴτιον, ὅ τί ποτε ἦν, ἀφανές τε καὶ ἄδηλον ἀθρόως **6** γένηται, καθάπερ ἐπὶ λύχνου σβεσθέντος, τῆς τέως ἐξαπτομένης αὐτοῦ φλογὸς οὔτε ἐπὶ τῆς θρυαλλίδος μενούσης οὔτε ἑτέρωθί που μεθισταμένης, ἀλλ' εἰς ἀφανισμὸν παντελῆ μεταχωρούσης, πῶς ἂν γένοιτο τὴν τοσαύτην μεταβολὴν ἐνεγκεῖν ἀλύπως μηδενὶ προδήλῳ ἐπερειδόμενον; Ἔξοδον γὰρ ψυχῆς ἀκούσαντες τὸ μὲν ὑπολειφθὲν ὁρῶμεν, τὸ δὲ χωρισθὲν ἀγνοοῦμεν αὐτό τε ὅ τί ποτε κατὰ τὴν φύσιν ἐστὶ καὶ εἰς ὅ τι μετακεχώρηκεν, οὐ γῆς, οὐκ ἀέρος, οὐχ ὕδατος, οὐκ ἄλλου τινὸς τῶν στοιχείων ἐν ἑαυτῷ δεικνύντος ἐκείνην τὴν δύναμιν τὴν τοῦ σώματος ἐκχωρήσασαν· ἧς ὑπεξελθούσης νεκρόν ἐστι τὸ ὑπολειφθὲν καὶ πρὸς διαφθορὰν ἤδη ἐκκείμενον.

[17] Ταῦτα δέ μου διεξιόντος μεταξὺ κατασείσασα τῇ χειρὶ ἡ διδάσκαλος, μή τίς σε τοιοῦτος, φησί, φόβος ὑποταράσσει καὶ συνέχει τὴν διάνοιαν, ὡς οὐ διαμενούσης εἰς ἀεὶ τῆς ψυχῆς, ἀλλὰ συγκαταληγούσης τῇ διαλύσει τοῦ σώματος;

Ἐγὼ δὲ (καὶ γὰρ οὔπω τοῦ πάθους τὸν λογισμὸν ἀνελεξάμην) θρασύτερόν πως ἀπεκρινάμην, οὐ πάνυ περισκεψάμενος τὸ λεγόμενον. Εἶπον γὰρ ἐπιτάγμασιν ἐοικέναι τὰς θείας φωνάς, δι' ὧν τὸ μὲν δεῖν πεπεῖσθαι τὴν ψυχὴν εἰς ἀεὶ διαμένειν ἀναγκαζόμεθα· οὐ μὲν λόγῳ τινὶ τῷ τοιούτῳ προσήχθημεν δόγματι, ἀλλ' ἔοικεν ἡμῖν δουλικῶς ἔνδοθεν ὁ νοῦς φόβῳ τὸ κελευόμενον δέχεσθαι, οὐχ ἑκουσίᾳ τινὶ ὁρμῇ τοῖς λεγομένοις συντίθεσθαι. Ὅθεν καὶ βαρύτεραι ἡμῖν ἐπὶ τῶν

1. Πρβλ. Σ. Σειρ. 38,1-15.

κατοιχουμένων αἱ λῦπαι γίνονται, οὐκ ἀκριβῶς ἐπισταμένων ἡμῶν, εἴτ' ἔτι ἔστι καθ' ἑαυτὸ τοῦτο τὸ ζωοποιὸν αἴτιον, καὶ ὅπη καὶ ὅπως, εἴτε οὐκ ἔστιν οὐδαμῆ οὐδαμῶς. Ἴσας γὰρ ποιεῖ τοῦ ἀληθῶς ὄντος ἡ ἀδηλία τὰς ἐφ' ἑκάτερον ὑπολήψεις, καὶ πολλοῖς μὲν τοῦτο, πολλοῖς δὲ τὸ ἐναντίον δοκεῖ. Καί εἰσί γέ τινες παρὰ τοῖς Ἕλλησιν οὐ μικρὰν ἔχοντες ἐπὶ φιλοσοφίᾳ τὴν δόξαν, οἳ ταῦτα ᾠήθησάν τε καὶ ἀπεφήναντο.

Ἔα, φησί, τοὺς ἔξωθεν λήρους, ἐν οἷς ὁ τοῦ ψεύδους εὑρετὴς ἐπὶ βλάβῃ τῆς ἀληθείας πιθανῶς τὰς ἠπατημένας **8** ὑπολήψεις συντίθησιν· σὺ δὲ πρὸς τοῦτο βλέπε, ὅτι τὸ οὕτως περὶ ψυχῆς ἔχειν οὐδὲν ἄλλο ἐστὶν ἢ ἀλλοτρίως πρὸς τὴν ἀρετὴν ἔχειν καὶ πρὸς τὸ παρὸν ἡδὺ μόνον βλέπειν, τὴν δὲ τοῖς αἰῶσιν ἐνθεωρουμένην ζωὴν ἀπ' ἐλπίδος ποιεῖσθαι καθ' ἣν μόνη ἡ ἀρετὴ τὸ πλεῖον ἔχει.

Καὶ πῶς, ἔφην, γένοιτ' ἂν ἡμῖν παγία τις καὶ ἀμετάθετος ἡ περὶ τοῦ διαμένειν τὴν ψυχὴν δόξα; **[20]** Αἰσθάνομαι γὰρ καὶ αὐτὸς ὅτι τοῦ καλλίστου τῶν κατὰ τὴν ζωήν, τῆς ἀρετῆς λέγω, ὁ τῶν ἀνθρώπων χηρεύσει βίος, εἰ μή τις ἀναμφίβολος ἡ περὶ τούτου πίστις ἐν ἡμῖν κρατυνθείη. Πῶς γὰρ ἔστι τὴν ἀρετὴν χώραν ἔχειν ἐφ' ὧν ἡ παροῦσα ζωὴ περιγραφὴ τοῦ εἶναι ὑπείληπται, καὶ πλέον ἐλπίζεται μετὰ ταύτην οὐδέν;

Οὐκοῦν ζητῆσαι χρή, φησὶν ἡ διδάσκαλος, ὅθεν ἂν ἡμῖν τὴν δέουσαν περὶ τούτων ἀρχὴν ὁ λόγος λάβῃ, καί, εἰ δοκεῖ, παρὰ σοῦ γενέσθω τῶν ἐναντίων δογμάτων ἡ συμμαχία· ὁρῶ γὰρ ὅτι σοι καὶ ὑποκεκίνηται πρὸς τὴν τοιαύτην καταφορὰν ἡ διάνοια. Εἶθ' οὕτως ὁ τῆς ἀληθείας μετὰ τὴν ἀντίθεσιν ἀναζητηθήσεται λόγος.

Ἐπεὶ δὲ τοῦτο ἐκέλευσεν, παραιτησάμενος αὐτὴν μὴ κατ' ἀλήθειαν οἰηθῆναι τὰ παρ' ἡμῶν ἀντιλέγεσθαι, ἀλλ' ὑπὲρ τοῦ βεβαίως κατασκευασθῆναι τὸ περὶ τῆς ψυχῆς δόγμα τῶν ἀντιπιπτόντων πρὸς τὸν σκοπὸν τοῦτον ὑπεκλυθέντων, ἦ που, ἔφην, ταῦτα ἂν εἴποιεν οἱ τῷ ἐναντίῳ παριστάμενοι λόγῳ, ὅτι τὸ σῶμα σύνθετον ὂν πάντως εἰς τὰ ἐξ ὧν συνέστηκε διαλύεται[α]. Λυθείσης δὲ τῶν στοιχείων τῆς ἐν τῷ σώματι συμφυΐας ἐπὶ τὸ οἰκεῖον ἑκάστῳ γίνεται κατὰ τὸ εἰκὸς ἡ ῥοπή, αὐτῆς φύσεως τῶν στοιχείων δι' ὁλκῆς τινος ἀναγκαίας τῇ ὁμογενεῖ τὸ οἰκεῖον ἀποδιδούσης. Τῷ τε γὰρ θερμῷ πάλιν τὸ ἐν ἡμῖν θερμὸν ἑνωθήσεται καὶ τῷ στερρῷ τὸ γεῶδες, καὶ τῶν λοιπῶν ἑκάστῳ πρὸς τὸ συγγενὲς ἡ μετα**10**χώρησις γίνεται. Ἡ οὖν ψυχὴ μετὰ τοῦτο ποῦ ἔσται; εἰ μὲν γὰρ ἐν τοῖς στοιχείοις εἶναί τις λέγοι, τὴν αὐτὴν εἶναι τούτοις κατ' ἀνάγκην συνθήσεται. Οὐ γὰρ ἂν γένοιτό τις τοῦ ἑτεροφυοῦς πρὸς τὸ ἀλλότριον μίξις, καὶ εἰ ταῦτα εἴη, ποικίλη τις πάντως ἀναφανήσεται ἡ πρὸς τὰς ἐναντίας μεμιγμένη ποιότητας. Τὸ δὲ ποικίλον ἁπλοῦν οὐκ ἔστιν, ἀλλ' ἐν συνθέσει θεωρεῖται πάντως.

α. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, κατωτ. 392,26 ἑξ.

Πᾶν δὲ τὸ σύνθετον καὶ διαλυτὸν ἐξ ἀνάγκης. Ἡ δὲ διάλυσις φθορὰ τοῦ συνεστῶτός ἐστι. Τὸ δέ γε φθειρόμενον **[21]** οὐκ ἀθάνατον· ἢ, οὕτως γε ἂν καὶ ἡ σὰρξ ἀθάνατος λέγοιτο εἰς τὰ ἐξ ὧν συνέστηκεν λυομένη. Εἰ δὲ ἄλλο τί που παρὰ ταῦτα ἔστι, ποῦ λόγος αὐτὴν εἶναι ὑποτίθεται, ἐν μὲν τοῖς στοιχείοις διὰ τὸ ἑτεροφυῶς ἔχειν οὐχ εὑρισκομένην, ἄλλου δὲ οὐδενὸς ὄντος ἐν τῷ κόσμῳ ἐν ᾧ γένοιτ' ἂν ἡ ψυχή, καταλλήλως τῇ ἰδίᾳ φύσει ἐμβιοτεύουσα; Ὃ δὲ μηδαμοῦ ἔστιν, οὐδὲ ἔστι πάντως.

Καὶ ἡ διδάσκαλος, ἠρέμα τοῖς ῥηθεῖσιν ἐπιστενάξασα, τάχα που ταῦτα καὶ τὰ τοιαῦτα, φησί, πρὸς τὸν Ἀπόστολον ἐν Ἀθήναις ποτὲ συστάντες προέφερον οἱ Στωικοί τε καὶ Ἐπικούρειοι[1] (καὶ γὰρ ἀκούω πρὸς τοῦτο μάλιστα τὸν Ἐπίκουρον ταῖς ὑπολήψεσι φέρεσθαι), ὡς τυχαία τις καὶ αὐτόματος ἡ τῶν ὄντων ὑπενοήθη φύσις, ὡς οὐδεμιᾶς προνοίας διὰ τῶν πραγμάτων διηκούσης. Καὶ διὰ τοῦτο κατὰ τὸ ἀκόλουθον καὶ τὴν ἀνθρωπίνην ζωὴν πομφόλυγος δίκην ᾤετο, πνεύματί τινι τοῦ σώματος ἡμῶν περιταθέντος, ἕως ἂν περικρατῆται τὸ πνεῦμα τῷ περιέχοντι· τῇ δὲ διαπτώσει τοῦ ὄγκου καὶ τὸ ἐναπειλημμένον συγκατασβέννυσθαι. Ὅρος γὰρ τούτῳ τῆς τῶν ὄντων φύσεως τὸ φαινόμενον ἦν, καὶ μέτρον τῆς τοῦ παντὸς καταλήψεως ἐποιεῖτο τὴν αἴσθησιν, μεμυκὼς παντάπασι τὰ τῆς ψυχῆς αἰσθητήρια καὶ πρὸς οὐδὲν τῶν νοητῶν τε καὶ ἀσωμάτων βλέπειν οἷός τε **12** ὤν, ὥσπερ ὁ οἰκίσκῳ τινὶ καθειργμένος τῶν οὐρανίων θαυμάτων ἀθέατος μένει, τοῖς τοίχοις καὶ τῷ ὀρόφῳ πρὸς τὴν τῶν ἔξωθεν θέαν ἐμποδιζόμενος· ἀτεχνῶς γὰρ γήινοί τινές εἰσι τοῖχοι τὰ αἰσθητὰ πάντα, ὅσα ἐν τῷ παντὶ καθορᾶται, πρὸς τὴν τῶν νοητῶν θεωρίαν δι' ἑαυτῶν τοὺς μικροψυχοτέ**[24]**ρους διατειχίζοντες. Γῆν ὁ τοιοῦτος βλέπει μόνον καὶ ὕδωρ καὶ ἀέρα καὶ πῦρ· ὅθεν δὲ τούτων ἕκαστον ἢ ἐν τίνι ἐστὶν ἢ ὑπὸ τίνος περικρατεῖται, διιδεῖν ὑπὸ μικροψυχίας οὐ δύναται. Καὶ ἱμάτιον μέν τις ἰδὼν τὸν ὑφάντην ἀνελογίσατο καὶ διὰ τῆς νηὸς τὸν ναυπηγὸν ἐνενόησεν, ἥ τε αὐτοῦ οἰκοδόμου χεὶρ ὁμοῦ τῇ τοῦ οἰκοδομήσαντος ὄψει τῇ διανοίᾳ τῶν θεωμένων ἐγγίνεται, οἱ δὲ πρὸς τὸν κόσμον ὁρῶντες πρὸς τὸν διὰ τούτων δηλούμενον ἀμβλυωποῦσιν. Ὅθεν τὰ σοφὰ ταῦτα καὶ δριμέα παρὰ τῶν τὸν ἀφανισμὸν τῆς ψυχῆς δογματιζόντων προφέρεται, σῶμα ἐκ στοιχείων καὶ στοιχεῖα ἐκ σώματος, καὶ τὸ μὴ δύνασθαι τὴν ψυχὴν καθ' ἑαυτὴν εἶναι, εἰ μήτε τούτων τι εἴη μήτε ἐν τούτοις. Εἰ γάρ, ὅτι μὴ ὁμοφυὴς τοῖς στοιχείοις ἐστὶν ἡ ψυχή[a], διὰ τοῦτο οὐδαμοῦ εἶναι αὐτὴν οἱ ἀντιλέγοντες οἴονται, οὗτοι πρῶτον μὲν καὶ τὴν ἐν σαρκὶ ζωὴν ἄψυχον εἶναι δογματιζέτωσαν· οὐ γὰρ ἄλλο τι τὸ σῶμά ἐστιν, εἰ μὴ συνδρομὴ τῶν στοιχείων· μὴ τοίνυν μηδ' ἐν τούτοις τὴν ψυχὴν εἶναι

---

1. Πρβλ. Πράξ. 17,16 ἑξ.

α. Πρβλ. Ἀριστ., Περὶ ψυχῆς α 5. 409b23-410b15.

λεγέτωσαν, δι' ἑαυτῆς ζωοποιοῦσαν τὸ σύγκριμα, εἴπερ οὐκ ἔστι μετὰ ταῦτα δυνατόν, καθὼς οἴονται, τῶν στοιχείων ὄντων καὶ τὴν ψυχὴν εἶναι, ὡς μηδὲν ἄλλο, ἢ νεκρὰν τὴν ζωὴν ἡμῶν παρ' αὐτῶν ἀποδείκνυσθαι. Εἰ δὲ νῦν ἐν τῷ σώματι τὴν ψυχὴν εἶναι οὐκ ἀμφιβάλλουσιν, πῶς διαλυθέντος τοῦ σώματος εἰς τὰ στοιχεῖα τὸν ἀφανισμὸν αὐτῆς δογματίζουσιν; Ἔπειτα δὲ καὶ κατ' αὐτῆς τῆς θείας φύσεως τὰ ἴσα τολμάτωσαν. Πῶς γὰρ ἐροῦσι τὴν νοεράν τε καὶ ἄυλον καὶ ἀειδῆ φύσιν εἰς τὰ ὑγρά τε καὶ μαλακὰ καὶ θερμὰ καὶ στερέμνια διαδυομένην ἐν τῷ εἶναι συνέχειν τὰ ὄντα, οὔτε συγγενῶς ἔχουσαν πρὸς τὰ ἐν οἷς γίνεται, οὔτε διὰ τὸ ἑτερο**14**γενὲς ἐν αὐτοῖς εἶναι ἀδυνατοῦσαν; Οὐκοῦν ἐξῃρήσθω καθ' ὅλου τοῦ δόγματος αὐτῶν καὶ αὐτὸ τὸ Θεῖον, ᾧ διακρατεῖται τὰ ὄντα.

Αὐτὸ δὴ τοῦτο, εἶπον ἐγώ, πῶς ἂν τοῖς ἀντιλέγουσιν ἀναμφίβολον γένοιτο, τὸ ἐκ Θεοῦ εἶναι τὰ πάντα καὶ ἐν αὐτῷ περικρατεῖσθαι τὰ ὄντα[1], ἢ καὶ ὅλως τὸ εἶναί τι Θεῖον τῆς τῶν ὄντων ὑπερκείμενον φύσεως;

[25] Ἡ δέ, σιωπᾶν μὲν ἦν, φησίν, ἐπὶ τοῖς τοιούτοις ἁρμοδιώτερον, μηδὲ ἀξιοῦν ἀποκρίσεως τὰς μωράς τε καὶ ἀσεβεῖς τῶν προτάσεων, ἐπεὶ καί τις τῶν θείων ἀπαγορεύειν λόγος, μὴ ἀποκρίνεσθαι ἄφρονι κατὰ τὴν ἀφροσύνην αὐτοῦ[2]. Ἄφρων δὲ πάντως ἐστί, κατὰ τὸν προφήτην, ὁ μὴ εἶναι λέγων Θεόν[3]. Ἐπεὶ δὲ χρὴ καὶ τοῦτο εἰπεῖν, ἐρῶ σοι, φησί, λόγον, ἐμὸν μὲν οὐχί, οὐδ' ἄλλου τινὸς ἀνθρώπου (μικρὸς γὰρ οὗτος ὅσος δ' ἂν ᾖ), ἀλλ' αὐτὸν ὃν ἡ κτίσις τῶν ὄντων διὰ τῶν ἐν αὐτῇ θαυμάτων διέξεισιν, ἧς ἀκροατὴς ὁ ὀφθαλμὸς γίνεται, διὰ τῶν φαινομένων ἐνηχοῦντος τῇ καρδίᾳ τοῦ σοφοῦ τε καὶ τεχνικοῦ λόγου. Βοᾷ γὰρ ἄντικρυς τὸν ποιητὴν ἡ κτίσις, αὐτῶν τῶν οὐρανῶν, καθώς φησιν ὁ προφήτης, ταῖς ἀλαλήτοις φωναῖς τὴν δόξαν τοῦ Θεοῦ διηγουμένων[4]. Τίς γὰρ βλέπων τὴν τοῦ παντὸς ἁρμονίαν, τῶν τε οὐρανίων καὶ τῶν κατὰ γῆν θαυμάτων, καὶ ὡς ἐναντίως ἔχοντα πρὸς ἄλληλα τὰ στοιχεῖα κατὰ τὴν φύσιν πρὸς τὸν αὐτὸν τὰ πάντα σκοπὸν διά τινος ἀρρήτου κοινωνίας συμπλέκεται, τὴν παρ' ἑαυτοῦ δύναμιν ἕκαστον πρὸς τὴν τοῦ παντὸς διαμονὴν συνεισφέροντα, καὶ οὔτε τὰ ἄμικτά τε καὶ ἀκοινώνητα κατὰ τὴν ἰδιότητα τῶν ποιοτήτων διαχωρεῖ ἀπ' ἀλλήλων, οὔτε ἐν ἀλλήλοις φθείρεται, κατακιρνάμενα πρὸς ἄλληλα ταῖς ἐναντίαις ποιότησιν, ἀλλὰ καὶ οἷς ἀνωφερής ἐστιν ἡ φύσις, ἐπὶ τὰ κάτω φέρεται, τῆς ἡλιακῆς θερμότητος διὰ τῶν ἀκτίνων καταρρεούσης, τά τε ἐμβριθῆ τῶν σωμάτων ἀνακουφίζεται, διὰ τῶν ἀτμῶν λεπτυνόμενα, ὡς καὶ τὸ ὕδωρ παρὰ τὴν ἑαυτοῦ φύσιν ἀνωφερὲς γίνεσθαι, δι' ἀέρος ἐπὶ πνευμάτων ὀχούμενον, καὶ τὸ αἰθέριον πῦρ πρόσγειον **16** γίνεσθαι, ὡς καὶ τὸ βάθος μὴ ἀμοιρεῖν τῆς θερμό-

---

1. Πρβλ. Α' Κορ. 8,6. 2. Πρβλ. Παρμ. 26,4. 3. Πρβλ. Ψαλ. 13,1. 52,2. 4. Πρβλ. Ψαλ. 18,1 ἑξ.

τητος, ἐπιχεομένην δὲ τῇ γῇ ἐκ τῶν ὄμβρων ἰκμάδα, μίαν οὖσαν τῇ φύσει, μυρίας γεννᾶν βλαστημάτων διαφοράς, πᾶσι καταλλήλως τοῖς ὑποκειμένοις ἐμφυομένην, τήν τε ὀξυτάτην τοῦ πόλου περιφορὰν καὶ τῶν **[28]** ἐντὸς κύκλων τὴν ἐπὶ τὸ ἔμπαλιν κίνησιν, τάς τε ὑποδρομὰς καὶ τὰς συνόδους καὶ τὰς ἐναρμονίους ἀποστάσεις τῶν ἄστρων· ὁ ταῦτα βλέπων τῷ διανοητικῷ τῆς ψυχῆς ὀφθαλμῷ ἆρ' οὐχὶ φανερῶς ἐκ τῶν φαινομένων διδάσκεται, ὅτι θεία δύναμις ἔντεχνός τε καὶ σοφὴ τοῖς οὖσιν ἐμφαινομένη καὶ διὰ πάντων ἥκουσα, τά τε μέρη συναρμόζει τῷ ὅλῳ καὶ τὸ ὅλον συμπληροῖ ἐν τοῖς μέρεσι[1] καὶ μιᾷ τινι περικρατεῖται δυνάμει τὸ πᾶν, αὐτὸ ἐν ἑαυτῷ μένον καὶ περὶ ἑαυτὸ κινούμενον καὶ οὔτε λῆγόν ποτε τῆς κινήσεως οὔτε εἰς ἄλλον τινὰ τόπον παρὰ τὸν ἐν ᾧ ἔστι μεθιστάμενον;

Καὶ πῶς, εἶπον, ἡ περὶ τὸ εἶναι τὸν Θεὸν πίστις καὶ τὴν ψυχὴν εἶναι τὴν ἀνθρωπίνην συναποδείκνυσιν; (οὐ γὰρ δὴ ταὐτόν ἐστι τῷ Θεῷ ἡ ψυχὴ) ὥστε, εἰ τὸ ἓν ὁμολογοῖτο εἶναι, συνομολογεῖσθαι πάντως καὶ τὸ λειπόμενον.

Ἡ δέ, λέγεται, φησί, παρὰ τῶν σοφῶν μικρός τις εἶναι κόσμος ὁ ἄνθρωπος, ταῦτα περιέχων ἐν ἑαυτῷ τὰ στοιχεῖα, οἷς τὸ πᾶν συμπεπλήρωται. Εἰ δὲ ἀληθὴς οὗτος ὁ λόγος, ἔοικε δὲ τάχα οὐκ ἂν ἑτέρας δεηθείημεν συμμαχίας εἰς τὸ βεβαιωθῆναι ἡμῖν ὃ περὶ ψυχῆς ὑπειλήφαμεν. Ὑπειλήφαμεν δὲ τὸ εἶναι αὐτὴν καθ' ἑαυτὴν ἐν ἐξηλλαγμένῃ τε καὶ ἰδιαζούσῃ φύσει παρὰ τὴν σωματικὴν παχυμέρειαν. Ὡς γὰρ πάντα τὸν κόσμον διὰ τῆς αἰσθητικῆς ἀντιλήψεως ἐπιγινώσκοντες δι' αὐτῆς τῆς κατὰ τὴν αἴσθησιν ἡμῶν ἐνεργείας εἰς τὴν τοῦ ὑπὲρ αἴσθησιν πράγματός τε καὶ νοήματος ἔννοιαν ὁδηγούμεθα, καὶ γίνεται ἡμῖν ὁ ὀφθαλμὸς ἑρμηνεὺς τῆς παντοδυνάμου σοφίας, τῆς τῷ παντὶ μὲν ἐνθεωρουμένης, τὸν δὲ κατ' αὐτὴν τοῦ παντὸς περιδεδραγμένον δι' ἑαυτῆς μηνυούσης, οὕτω καὶ πρὸς τὸν ἐν ἡμῖν βλέποντες κόσμον οὐ μικρὰς ἔχομεν ἀφορμὰς πρὸς τὸ διὰ τῶν φαινομένων καὶ **18** τοῦ κεκρυμμένου καταστοχάσασθαι. Κέκρυπται δὲ ἐκεῖνο, ὃ ἐφ' ἑαυτοῦ ὂν νοητόν τε καὶ ἀειδές, διαφεύγει τὴν αἰσθητικὴν κατανόησιν.

Κἀγὼ εἶπον, ἀλλὰ τὴν μὲν τοῦ παντὸς ὑπερκειμένην σοφίαν διὰ τῶν ἐνθεωρουμένων τῇ φύσει τῶν **[29]** ὄντων σοφῶν τε καὶ τεχνικῶν λόγων ἐν τῇ ἐναρμονίῳ ταύτῃ διακοσμήσει δυνατόν ἐστιν ἀναλογίσασθαι, ψυχῆς δὲ γνῶσις διὰ τῶν κατὰ τὸ σῶμα δεικνυμένων τίς ἂν γένοιτο τοῖς ἀπὸ τῶν φαινομένων τὸ κρυπτὸν ἀνιχνεύουσιν;

Καὶ μάλιστα μέν τοι, φησὶν ἡ παρθένος, τοῖς κατὰ τὸ σοφὸν ἐκεῖνο παράγγελμα γινώσκειν ἑαυτοὺς ἐπιθυμοῦσιν ἱκανὴ διδάσκαλος τῶν περὶ ψυχῆς ὑπολήψεων αὐτὴ ἡ ψυχή, ὅτι ἄυλός τίς ἐστι καὶ ἀσώματος[α], καταλλήλως τῇ ἰδίᾳ φύσει ἐνεργοῦσά τε καὶ κινουμέ-

1. Πρβλ. Α' Κορ. 12,12.

α. Πρβλ. Μ. Βασιλείου, Εἰς τὸ «πρόσεχε σεαυτῷ», ΒΕΠ 54,36,1.

νη[α] καὶ διὰ τῶν σωματικῶν ὀργάνων τὰς ἰδίας κινήσεις ἐνδεικνυμένη. Ἡ γὰρ ὀργανικὴ τοῦ σώματος αὕτη διασκευὴ ἔστι μὲν οὐδὲν ἧττον καὶ ἐπὶ τῶν ἀπονεκρωθέντων διὰ θανάτου, ἀλλ᾽ ἀκίνητός τε μένει καὶ ἀνενέργητος, τῆς ψυχικῆς δυνάμεως ἐν αὐτῇ μὴ οὔσης. Κινεῖται δὲ τότε ὅταν ἥ τε αἴσθησις ἐν τοῖς ὀργάνοις ᾖ καὶ διὰ τῆς αἰσθήσεως ἡ νοητὴ δύναμις διήκῃ, ταῖς ἰδίαις ὁρμαῖς συγκινοῦσα πρὸς τὸ δοκοῦν τὰ ὀργανικὰ αἰσθητήρια.

Τί οὖν, εἶπον, ἐστὶν ἡ ψυχή, εἰ δυνατὸν λόγῳ τινὶ τὴν φύσιν ὑπογραφῆναι, ὥς ἄν τις γένοιτο ἡμῖν τοῦ ὑποκειμένου διὰ τῆς ὑπογραφῆς κατανόησις;

Καὶ ἡ διδάσκαλος, ἄλλοι μὲν ἄλλως, φησί, τὸν περὶ αὐτῆς ἀπεφήναντο λόγον, κατὰ τὸ δοκοῦν ἕκαστος ὁριζόμενοι, ἡ δὲ ἡμετέρα περὶ αὐτῆς δόξα οὕτως ἔχει· Ψυχή ἐστιν οὐσία γενητή, οὐσία ζῶσα, νοερά, σώματι ὀργανικῷ καὶ αἰσθητικῷ δύναμιν ζωτικὴν καὶ τῶν αἰσθητῶν ἀντιληπτικὴν δι᾽ ἑαυτῆς ἐνιεῖσα, ἕως ἂν ἡ δεκτικὴ τούτων συνεστηκυῖα φαίνοιτο φύσις. Καὶ ἅμα ταῦτα λέγουσα δείκνυσι τῇ χειρὶ **20** τὸν ἰατρὸν τὸν ἐπὶ θεραπείᾳ τοῦ σώματος αὐτῇ παρακαθήμενον καί φησιν, Ἐγγὺς ἡμῖν τῶν εἰρημένων ἡ μαρτυρία. Πῶς γάρ, εἶπεν, οὗτος ἐπιβαλὼν τῇ ἀρτηρίᾳ τὴν τῶν δακτύλων ἁφὴν ἀκούει τρόπον τινὰ διὰ τῆς ἁπτικῆς αἰσθήσεως πρὸς αὐτὸν βοώσης τῆς φύσεως καὶ τὰ ἴδια πάθη διηγουμένης; ὅτι ἐν ἐπιτάσει ἐστὶ τῷ σώματι τὸ ἀρρώστημα καὶ ἀπὸ τῶνδε τῶν σπλάγχνων ἡ νόσος ὥρμηται καὶ ἐπὶ τοσόνδε παρατείνει τοῦ φλογμοῦ ἡ ἐπίτασις. Διδάσκεται δὲ καὶ ὑπὸ τοῦ ὀφθαλμοῦ ἄλλα τοιαῦτα, πρός τε τὸ σχῆμα τῆς κατακλίσεως βλέπων καὶ πρὸς τὴν τῶν σαρκῶν τηκεδόνα, καὶ ὡς ἐπισημαίνει τὴν ἔνδον διάθεσιν τό τε εἶδος τοῦ χρώματος, ὕπωχρόν τε ὂν καὶ χολῶδες, καὶ ἡ τῶν ὀμμάτων βολή, περὶ τὸ λυποῦν τε καὶ ἀλγῦνον αὐτομάτως ἐγκλινομένη· ὡσαύτως δὲ καὶ ἡ ἀκοὴ τῶν ὁμοίων διδάσκαλος γίνεται, τῷ τε πυκνῷ τοῦ ἄσθματος καὶ τῷ συνεκδιδομένῳ μετὰ τῆς ἀναπνοῆς στεναγμῷ τὸ πάθος ἐπιγινώσκουσα. Εἴποι δ᾽ ἄν τις μηδὲ τὴν ὄσφρησιν τοῦ ἐπιστήμονος ἀνεπίσκεπτον εἶναι τοῦ πάθους, ἀλλὰ διὰ τῆς ποιᾶς τοῦ ἄσθματος ἰδιότητος ἐπιγινώσκειν τὸ ἐγκεκρυμμένον τοῖς σπλάγχνοις ἀρ**[32]**ρώστημα. Ἆρ᾽ οὖν, εἰ μή τις δύναμις ἦν νοητὴ ἡ ἑκάστῳ τῶν αἰσθητηρίων παροῦσα, τί ἂν ἡμᾶς ἡ χεὶρ ἀφ᾽ ἑαυτῆς ἐδιδάξατο, μὴ τῆς ἐννοίας πρὸς τὴν τοῦ ὑποκειμένου γνῶσιν τὴν ἁφὴν ὁδηγούσης; Τί δ᾽ ἂν ἡ ἀκοὴ διανοίας διεζευγμένη, ἢ ὀφθαλμὸς ἢ μυκτὴρ ἢ ἄλλο τι αἰσθητήριον πρὸς τὴν ἐπίγνωσιν τοῦ ζητουμένου συνήργησεν, εἰ ἐφ᾽ ἑαυτοῦ μόνου τούτων ἕκαστον ἦν; Ἀλλ᾽ ὃ πάντων ἐστὶν ἀληθέστατον, ὃ καλῶς τις τῶν τὰ ἔξω πεπαιδευμένων εἰπὼν μνημονεύεται, τὸν νοῦν εἶναι τὸν ὁρῶντα καὶ νοῦν τὸν ἀκούοντα. Εἰ γὰρ μὴ τοῦτο δοίη τις ἀληθὲς εἶναι, πῶς,

---

α. Πρβλ. Νεμεσίου Ἐμέσης, Περὶ ψυχῆς, ΒΕΠ 38,231,5 ἑξ. 232,5 ἑξ.

εἰπὲ σύ, πρὸς τὸν ἥλιον βλέπων, καθὼς ἐδιδάχθης παρὰ τοῦ διδασκάλου βλέπειν, οὐχ ὅσος φαίνεται τοῖς πολλοῖς, τοσοῦτον αὐτὸν φῂς εἶναι τῷ μεγέθει τοῦ κύκλου, ἀλλ' ὑπερβάλλειν πολλαπλασίονι τῷ μέτρῳ πᾶσαν τὴν γῆν; οὔκ, ἐπειδὴ τῇ ποιᾷ κινήσει καὶ τοῖς χρονικοῖς τε καὶ τοπικοῖς **22** διαστήμασι καὶ ταῖς ἐκλειπτικαῖς αἰτίαις τῇ διανοίᾳ διὰ τῶν φαινομένων ἀκολουθήσας, θαρρῶν ἀποφαίνῃ τὸ οὕτως ἔχειν; Καὶ τῆς σελήνης μείωσίν τε καὶ αὔξησιν βλέπων, ἄλλα διδάσκει διὰ τοῦ φαινομένου περὶ τὸ στοιχεῖον σχήματος, τὸ ἀφεγγῆ τε εἶναι αὐτὴν κατὰ τὴν ἰδίαν φύσιν καὶ τὸν πρόσγειον κύκλον περιπολεῖν, λάμπειν δὲ ἀπὸ τῶν ἡλιακῶν ἀκτίνων, ὡς ἐπὶ τῶν κατόπτρων γίνεσθαι πέφυκεν, ἃ τὸν ἥλιον ἐφ' ἑαυτῶν δεχόμενα οὐκ ἰδίας αὐγὰς ἀντιδίδωσιν, ἀλλὰ τοῦ ἡλιακοῦ φωτός, ἐκ τοῦ λείου καὶ στίλβοντος σώματος εἰς τὸ ἔμπαλιν ἀνακλωμένου. Ὅπερ τοῖς ἀνεξετάστως βλέπουσιν ἐξ αὐτῆς δοκεῖ τῆς σελήνης εἶναι τὸ φέγγος. Δείκνυται δὲ τὸ μὴ οὕτως ἔχειν, ὅτι γενομένη μὲν ἀντιπρόσωπος τῷ ἡλίῳ κατὰ διάμετρον ὅλῳ τῷ πρὸς ἡμᾶς βλέποντι κύκλῳ καταφωτίζεται, ἐν ἐλάττονι δὲ τῷ καθ' ἑαυτὴν τόπῳ θᾶττον περιιοῦσα τὸν ἐν ᾧ ἐστι κύκλον, πρὶν ἅπαξ τὸν ἥλιον περιοδεῦσαι τὸν ἴδιον δρόμον, πλέον ἢ δωδεκάκις αὐτὴ τὸν καθ' ἑαυτὴν περιέρχεται. Διὸ συμβαίνει μὴ ἀεὶ πεπλη**[33]**ρῶσθαι φωτὸς τὸ στοιχεῖον· οὐ γὰρ μένει ἐν τῷ πυκνῷ τῆς περιόδου διηνεκῶς ἀντιπρόσωπος τῷ διὰ πολλοῦ περιιόντι τὸν ἴδιον πόλον ἡ δι' ὀλίγου πολλάκις τὸν ἑαυτῆς περιθέουσα· ἀλλ' ὥσπερ ἡ κατ' εὐθεῖαν ὡς πρὸς τὸν ἥλιον ἀντιπρόσωπος θέσις ἅπαν τὸ πρὸς ἡμᾶς τῆς σελήνης μέρος διὰ τῶν ἡλιακῶν ἀκτίνων πεφωτισμένον ἐποίησεν, οὕτως, ὅταν ἐπὶ τὰ πλάγια γένηται τοῦ ἡλίου, τοῦ ἀεὶ κατ' αὐτὸν γενομένου τῆς σελήνης ἡμισφαιρίου διαλαμβανομένου τῇ τῶν ἀκτίνων περιβολῇ, τὸ πρὸς ἡμᾶς κατ' ἀνάγκην ἀποσκιάζεται, ἀντιμεθισταμένης τῆς λαμπηδόνος ἀπὸ τοῦ μὴ δυναμένου πρὸς τὸν ἥλιον βλέπειν μέρους ἐπὶ τὸ ἀεὶ κατ' ἐκεῖνον γινόμενον, ἕως ἂν ὑποβᾶσα κατ' εὐθεῖαν τὸν ἡλιακὸν κύκλον κατὰ νώτου τὴν ἀκτῖνα δέξηται, καὶ οὕτω τοῦ ἄνωθεν ἡμισφαιρίου περιλαμφθέντος ἀόρατον ποιεῖ τὸ πρὸς ἡμᾶς μέρος τῷ εἶναι καθ' ὅλου τῇ ἰδίᾳ φύσει ἀφεγγὲς καὶ ἀφώτιστον, ὅπερ δὴ παντελὴς τοῦ στοιχείου μείωσις λέγεται. Εἰ δὲ παρέλθοι πάλιν τὸν ἥλιον κατὰ τὴν ἰδίαν τοῦ δρόμου **24** κίνησιν καὶ ἐκ πλαγίου γένοιτο τῇ ἀκτῖνι, τὸ πρὸ ὀλίγου ἀλαμπὲς ὑπολάμπειν ἄρχεται, τῆς ἀκτῖνος ἀπὸ τοῦ πεφωτισμένου πρὸς τὸ τέως ἀφεγγὲς μετιούσης. Ὁρᾷς οἵων σοι γίνεται ἡ ὄψις διδάσκαλος, οὐκ ἄν σοι παρασχομένη δι' ἑαυτῆς τῶν τοιούτων τὴν θεωρίαν, εἰ μή τι ἦν τὸ διὰ τῶν ὄψεων βλέπον, ὃ τοῖς κατ' αἴσθησιν γινωσκομένοις οἷόν τισιν ὁδηγοῖς κεχρημένον διὰ τῶν φαινομένων ἐπὶ τὰ μὴ φαινόμενα διαδύεται; Τί δεῖ προστιθέναι τὰς γεωμετρικὰς ἐφόδους διὰ τῶν αἰσθητῶν χαραγμάτων πρὸς τὰ ὑπὲρ αἴσθησιν ἡμᾶς χειραγωγούσας, καὶ μύρια ἐπὶ τούτοις ἄλλα, δι' ὧν συνίσταται τὸ διὰ τῶν ἐν ἡμῖν σωμα-

τικῶς ἐνεργουμένων τῆς ἐγκεκρυμμένης τῇ φύσει ἡμῶν νοερᾶς οὐσίας τὴν κατάληψιν γίνεσθαι;

Τί δέ, εἶπον, εἰ, ὥσπερ κοινὸν μέν ἐστιν ἐπὶ τῆς αἰσθητῆς τῶν στοιχείων φύσεως τὸ ὑλῶδες, διαφορὰ δὲ κατὰ τὸ ἰδιάζον ἐν ἑκάστῳ εἴδει τῆς ὕλης πολλὴ (ἥ τε γὰρ κίνησις αὐτοῖς ἐκ τοῦ ἐναντίου ἐστίν, τοῦ μὲν ἀνωφεροῦς ὄντος, τοῦ δὲ ἐπὶ τὸ κάτω βρίθοντος, τό τε εἶδος οὐ τὸ αὐτὸ καὶ ἡ ποιότης διάφορος), εἴ τινα τούτων κατὰ τὸν αὐτὸν λόγον συνουσιωμένην τις εἶναι λέγοι δύναμιν τὴν τὰς νοητικὰς ταύτας φαντασίας τε καὶ κινήσεις ἐκ φυσικῆς ἰδιότητός τε καὶ δυνάμεως ἐνεργοῦσαν, οἷα δὴ πολλὰ βλέπομεν ὑπὸ τῶν μηχονοποιῶν ἐνεργούμενα ἐφ' ὧν ἡ ὕλη τεχνικῶς **[36]** διατεθεῖσα μιμεῖται τὴν φύσιν, οὐκ ἐν τῷ σχήματι μόνῳ δεικνῦσα τὸ ὅμοιον, ἀλλὰ καὶ ἐν κινήσει γίνεται καὶ φθόγγον τινὰ ὑποκρίνεται, ἠχοῦντος ἐν τῷ φωνητικῷ μέρει τοῦ μηχανήματος, καὶ οὐ δήπου νοητήν τινα δύναμιν τοῖς γενομένοις ἐνθεωροῦμεν τὴν τὸ καθ' ἕκαστον ἐργαζομένην τὸ σχῆμα, τὸ εἶδος, τὸν ἦχον, τὴν κίνησιν· εἰ ταῦτα λέγοιμεν καὶ περὶ τὸ μηχανικὸν τοῦτο τῆς φύσεως ἡμῶν ὄργανον, μηδεμιᾶς κατὰ τὸ ἰδιάζον νοητῆς οὐσίας ἐγκεκραμένης, γίνεσθαι, ἀλλά τινος τῇ φύσει τῶν ἐν ἡμῖν στοιχείων κινητικῆς δυνάμεως **26** ἐγκειμένης, καὶ τὴν τοιαύτην ἐνέργειαν ἀποτέλεσμα εἶναι, ἢ οὐδὲν ἄλλο ἢ κίνησίς τίς ἐστιν ὁρμητικὴ περὶ τὴν γνῶσιν τῶν σπουδαζομένων ἐνεργουμένη, τί ἂν μᾶλλον διὰ τούτων ἢ τὸ εἶναι ἐφ' ἑαυτῆς τὴν νοητὴν ἐκείνην καὶ ἀσώματον τῆς ψυχῆς οὐσίαν ἀποδεικνύοιτο ἢ τὸ μηδ' ὅλως εἶναι;

Ἡ δέ, συμμαχεῖ, φησί, τῷ λόγῳ καὶ τὸ ὑπόδειγμα, καὶ ἡ κατασκευὴ πᾶσα τῆς ἀνθυπενεχθείσης ἡμῖν ἀντιρρήσεως οὐ μικρὰ συντελέσει πρὸς τὴν τῶν νοηθέντων ἡμῖν βεβαιότητα.

Πῶς τοῦτο λέγεις;

Ὅτι τοι, φησί, τὸ οὕτως εἰδέναι μεταχειρίζεσθαί τε καὶ διατιθέναι τὴν ἄψυχον ὕλην, ὡς τὴν ἐναποτεθεῖσαν τοῖς μηχανήμασι τέχνην μικροῦ δεῖν ἀντὶ τῆς ψυχῆς τῇ ὕλῃ γίνεσθαι, δι' ὧν κίνησίν τε καὶ ἦχον καὶ σχήματα καὶ τὰ τοιαῦτα καθυποκρίνεται, ἀπόδειξις ἂν εἴη τοῦ εἶναί τε τοιοῦτον ἐν τῷ ἀνθρώπῳ, ὃ ταῦτα πέφυκε διὰ τῆς θεωρητικῆς καὶ ἐφευρετικῆς δυνάμεως κατανοεῖν τε ἐν ἑαυτῷ καὶ προκατασκευάζειν τῇ διανοίᾳ τὰ μηχανήματα, εἶθ' οὕτως εἰς ἐνέργειαν διὰ τῆς τέχνης ἄγειν καὶ διὰ τῆς ὕλης δεικνύειν τὸ νόημα. Πρῶτον γὰρ ὅτι πνεύματός ἐστι χρεία πρὸς τὴν ἐκφώνησιν κατενόησεν, εἶθ' ὅπως ἂν ἐπινοηθείη πνεῦμα τῷ μηχανήματι τῷ λογισμῷ προεξήτασε, τὴν τῶν στοιχείων φύσιν ἐπισκεψάμενος, ὅτι οὐδὲν κενὸν ἐν τοῖς οὖσίν ἐστιν, ἀλλὰ τῇ πρὸς τὸ βαρύτερον παραθέσει κενὸν τὸ κοῦφον νομίζεται, ἐπεὶ καὶ αὐτὸς ἐφ' ἑαυτοῦ κατ' ἰδίαν ὑπόστασιν ὁ ἀὴρ ναστός τε καὶ πλήρης ἐστίν· διάκενον γὰρ τὸ ἀγγεῖον ἐκ καταχρήσεως λέγεται, ὅταν τοῦ ὑγροῦ κενὸν ᾖ, οὐδὲν δὲ ἧττον μεστὸν ἀέρος ὁ πεπαιδευμένος καὶ τοῦτο λέγει. Σημεῖον δὲ τὸν ἐπα-

χθέντα τῇ λίμνῃ τὸν ἀμφορέα μὴ εὐθὺς πληροῦσθαι τοῦ ὕδατος, ἀλλ' ἐπιπολάζειν τὰ πρῶτα, τοῦ ἐναπειλημμένου ἀέρος [37] ἐπὶ τὸ ἄνω τὸ κοῖλον ἀνέχοντος, ἕως ἂν πιεσθεὶς ὁ ἀμφορεὺς τῇ χειρὶ τοῦ ἀρυομένου ἐν τῷ βάθει γένηται, καὶ τότε δέξηται τῷ στομίῳ τὸ ὕδωρ, οὗ γινομένου δείκνυται τὸ μὴ κενὸν αὐτὸν εἶναι καὶ πρὸ τοῦ ὕδατος. Μάχη 28 γάρ τις περὶ τὸ στόμιον τῶν δύο στοιχείων ὁρᾶται, τοῦ μὲν ὕδατος ὑπὸ βάρους ἐπὶ τὸ κοῖλον βιαζομένου τε καὶ εἰσρέοντος, τοῦ δὲ ἀέρος τοῦ ἐναπειλημμένου τῷ κοίλῳ διὰ τοῦ αὐτοῦ στομίου ἐπὶ τὸ ἔμπαλιν συνθλιβομένου περὶ τὸ ὕδωρ καὶ ἀναρρέοντος, ὡς καὶ ἀνακόπτεσθαι διὰ τούτου καὶ ἀνακογχυλιάζειν τὸ ὕδωρ περιαφρίζον τῇ βίᾳ τοῦ πνεύματος. Ταῦτά τε οὖν κατενόησεν καὶ ὅπως ἂν ἐντεθείη πνεῦμα τῷ μηχανήματι διὰ τῆς τῶν στοιχείων φύσεως ἐπενόησεν. Κοῖλον γάρ τι ἐκ στεγανῆς ὕλης κατασκευάσας καὶ πανταχόθεν τὸν ἐν αὐτῷ ἀέρα περισχὼν ἀδιάπνευστον, ἐπάγει τὸ ὕδωρ διὰ στομίου τῷ κοίλῳ, κατὰ τὸ μέτρον τῆς χρείας τὸ ποσὸν συμμετρήσας τοῦ ὕδατος· εἶθ' οὕτως ἐπὶ τὸν παρακείμενον αὐλὸν δίδωσι κατὰ τὸ ἀντικείμενον τῷ ἀέρι τὴν δίοδον, ἐκθλιβόμενος δὲ τῷ ὕδατι βιαιότερον ὁ ἀὴρ πνεῦμα γίνεται, ὅπερ ἐμπῖπτον τῇ κατασκευῇ τοῦ αὐλοῦ τὸν ἦχον ποιεῖ. Ἆρ' οὖν οὐ φανερῶς δείκνυται διὰ τῶν φαινομένων ὅτι ἔστι τις ἐν τῷ ἀνθρώπῳ νοῦς ἄλλο τι παρὰ τὸ φαινόμενον, ὁ τῷ ἀειδεῖ τε καὶ νοερῷ τῆς ἰδίας φύσεως ταῦτα ἐν ἑαυτῷ προκατασκευάζων ταῖς ἐπινοίαις, εἶθ' οὕτως διὰ τῆς ὑλικῆς ὑπηρεσίας εἰς τὸ ἐμφανὲς ἄγων τὴν ἔνδον συστᾶσαν διάνοιαν; Εἰ γὰρ ἦν κατὰ τὸν ἀντιτεθέντα λόγον ἡμῖν τῇ φύσει τῶν στοιχείων τὰς τοιαύτας θαυματοποιίας καταλογίζεσθαι, αὐτομάτως ἂν ἡμῖν συνέστη πάντως τὰ μηχανήματα, καὶ οὔτε ὁ χαλκὸς τὴν τέχνην ἀνέμενεν εἰς τὸ γενέσθαι ἀνδρείκελος, ἀλλ' εὐθὺς ἂν τοιοῦτος ἐκ φύσεως ἦν, οὐδ' ἂν τοῦ αὐλοῦ πρὸς τὸν ἦχον ὁ ἀὴρ ἐδεήθη, ἀλλὰ πάντοτε ἂν ἐφ' ἑαυτοῦ ἤχει, κατὰ τὸ συμβὰν ῥέων τε καὶ κινούμενος, τοῦ τε ὕδατος οὐκ ἂν ἦν βεβιασμένη διὰ σωλῆνος ἡ πρὸς τὸ ἄνω φορὰ τῆς τέχνης ἐκ πιεσμάτων εἰς τὸ παρὰ φύσιν ἀναθλιβούσης τὴν κίνησιν, ἀλλ' αὐτομάτως ἂν ᾔει τὸ ὕδωρ πάντως πρὸς τὸ μηχάνημα, τῇ ἰδίᾳ φύσει ἐπὶ τὸ ἄνω ὀχετηγούμενον. Εἰ δὲ τούτων κατὰ τὸ αὐτόματον ἔστιν οὐδὲν ὑπὸ τῆς τῶν στοιχείων φύσεως ἐνεργούμενον, ἀλλὰ τέχνῃ πρὸς τὸ δοκοῦν ἕκαστον ἄγεται, ἡ δὲ [40] τέχνη διάνοιά τίς ἐστιν 30 ἀσφαλής, πρός τινα σκοπὸν ἐνεργουμένη διὰ τῆς ὕλης, ἡ δὲ διάνοια νοῦ τίς ἐστιν οἰκεία κίνησίς τε καὶ ἐνέργεια, ἆρα καὶ διὰ τῶν ἀντιθέτων ἡμῖν τὸ ἄλλο τι παρὰ τὸ φαινόμενον εἶναι τὸν νοῦν ἡ ἀκολουθία τῶν εἰρημένων ἀπέδειξεν.

Ἐγὼ δὲ τοῦτο μὲν οὕτως ἔχειν φημὶ καὶ αὐτός, τὸ μὴ ταὐτὸν εἶναι τῷ φαινομένῳ τὸ μὴ φαινόμενον· οὐ μὴν τὸ ζητούμενον ἐν τῷ λόγῳ τούτῳ βλέπω. Οὔπω γάρ μοι δῆλόν ἐστιν ὅ τί ποτε χρὴ νομίζειν ἐκεῖνο εἶναι τὸ μὴ φαινόμενον, ἀλλ' ὅτι μὲν ὑλικόν τι οὐκ ἔστιν,

ἐδιδάχθην τῷ λόγῳ· οὐδέπω δὲ ἔγνων ὅ τι περὶ αὐτοῦ προσήκει λέγειν. Ἐγὼ δὲ τοῦτο μάλιστα ἐδεόμην μαθεῖν, οὐχ ὅ τι οὐκ ἔστιν, ἀλλ' ὅπερ ἐστίν.

Ἡ δέ, πολλά, φησί, καὶ περὶ πολλῶν οὕτω μανθάνομεν ἐν τῷ μὴ τόδε τι λέγειν εἶναι, αὐτὸ τὸ εἶναι τοῦ ζητουμένου ὅ τί ποτέ ἐστι διερμηνεύοντες. Ἀπόνηρον γὰρ εἰπόντες τὸν ἀγαθὸν παρεστήσαμεν, καὶ ἄνανδρον ὀνομάσαντες τὸν δειλὸν ἐγνωρίσαμεν, καὶ πολλὰ τούτοις ἔστιν εἰπεῖν ὁμοιότροπα, δι' ὧν ἢ τὸ χρηστότερον ἀναλαμβάνομεν νόημα διὰ τῆς τῶν πονηρῶν ἀποφάσεως ἢ τὸ ἔμπαλιν ἐπὶ τὸ χεῖρον ταῖς ὑπονοίαις τρεπόμεθα, τῇ τῶν καλῶν ἀφαιρέσει τὸ πονηρὸν ἐνδειξάμενοι. Οὕτω τοίνυν καὶ ἐπὶ τοῦ παρόντος τις λόγου κατανοήσας οὐκ ἂν τῆς δεούσης περὶ τὸ ζητούμενον ἐννοίας ἀποσφαλείη. Ζητεῖται δέ τι χρὴ τὸν νοῦν οἴεσθαι κατ' αὐτὴν τὴν οὐσίαν. Ὁ τοίνυν τὸ μὲν εἶναι τοῦτο περὶ οὗ ὁ λόγος ἐστὶ διὰ τῆς παρ' αὐτοῦ δεικνυμένης ἡμῖν ἐνεργείας μὴ ἀμφιβάλλων, τὸ δὲ ὅτι ἐστι γνῶναι βουλόμενος, ἱκανῶς ἂν εὕροι τῷ μὴ τοῦτο μαθεῖν εἶναι αὐτὸ ὃ καταλαμβάνει ἡ αἴσθησις, μὴ χρῶμα, μὴ **32** σχῆμα, μὴ ἀντιτυπίαν, μὴ βάρος, μὴ πηλικότητα, μὴ τὴν εἰς τρία διάστασιν, μὴ τὴν ἐπὶ τόπου θέσιν, μηδέ τι τῶν περὶ τὴν ὕλην καταλαμβανομένων ὅλως μηδέν, εἰ δή τι ἄλλο παρὰ ταῦτά ἐστιν.

Ἐγὼ δέ, μεταξὺ διεξιούσης, οὐκ οἶδα, ἔφην, πῶς ἔστι, πάντων τούτων ἀφαιρουμένων τοῦ λόγου μὴ συνεξαλειφθῆναι τούτοις καὶ τὸ ζητούμενον. Τίνι γὰρ προσφυὴς δίχα τούτων ἡ καταληπτικὴ περιεργία, κατά γε τὴν ἐμὴν ὑπόληψιν οὔπω ὁρᾶται. Πανταχῇ γὰρ ἐν τῇ τῶν ὄντων ἀναζητήσει διὰ τῆς ἐξεταστικῆς διανοίας ἀφάσσοντες τὸ ζητούμενον, ὥσπερ τινὲς τυφλοὶ διὰ τῶν τοίχων ἐπὶ **[41]** τὴν θύραν χειραγωγούμενοι, ἑνός τῶν εἰρημένων πάντως θιγγάνομεν, ἢ χρῶμα εὑρίσκοντες ἢ σχῆμα ἢ πηλικότητα ἤ τι τῶν παρὰ σοῦ νῦν ἀπηριθμημένων ἕτερον· ὅταν δὲ τούτων μηδὲν εἶναι λέγηται, εἰς τὸ μηδ' ὅλως τι εἶναι οἴεσθαι ὑπὸ μικροψυχίας περιαγόμεθα.

Ἡ δὲ σχετλιάσασα μεταξὺ τοῦ λόγου, φεῦ τῆς ἀτοπίας, φησίν, εἰς οἷον καταστρέφει πέρας ἡ μικροφυὴς αὕτη καὶ χαμαίζηλος περὶ τῶν ὄντων κρίσις; Εἰ γὰρ ἐξῄρηται τοῦ ὄντος ἅπαν ὃ μὴ τῇ αἰσθήσει γνωρίζεται, οὐδ' ἂν αὐτὴν τὴν τοῦ παντὸς ἐπιστατοῦσαν καὶ περιδεδραγμένην τῶν ὄντων δύναμιν ὁμολογοίη πάντως ὁ τοῦτο λέγων, ἀλλὰ τὸ ἀσώματόν τε καὶ ἀειδὲς περὶ τῆς θείας φύσεως διδαχθείς, τὸ μὴ εἶναι αὐτὴν ὅλως ἐκ τῆς τοιαύτης πάντως ἀκολουθίας λογίσεται. Εἰ δὲ ἐκεῖ τὸ ταῦτα μὴ εἶναι παραγραφὴ τοῦ εἶναι οὐ γίνεται, πῶς ὁ ἀνθρώπινος νοῦς τοῦ ὄντος ἐκθλίβεται, τῇ ἀφαιρέσει τῶν σωματικῶν ἰδιωμάτων συνδαπανώμενος;

Οὐκοῦν, εἶπον, ἐξ ἀτόπου μεταλαμβάνομεν ἕτερον ἄτοπον διὰ τῆς ἀκολουθίας ταύτης· περιῆκται γὰρ ὁ λόγος ἡμῖν εἰς τὸ ταὐτὸν οἴεσθαι τῇ θείᾳ φύσει καὶ τὸν νοῦν τὸν **34** ἡμέτερον, εἴπερ τῇ ὑπεξαιρέσει τῶν κατ' αἴσθησιν εὑρισκομένων νοεῖται ἑκάτερον.

Μὴ ταὐτὸν εἴπῃς, φησὶν ἡ διδάσκαλος, (ἀσεβὴς γὰρ καὶ οὗτος ὁ λόγος), ἀλλ' ὡς ἐδιδάχθης παρὰ τῆς θείας φωνῆς, ὅμοιον εἰπὲ τοῦτο ἐκείνῳ. Τὸ γὰρ κατ' εἰκόνα[1] γενόμενον διὰ πάντων ἔχει πάντως τὴν πρὸς τὸ ἀρχέτυπον ὁμοιότητα, νοερὰν τοῦ νοεροῦ καὶ τοῦ ἀσωμάτου ἀσώματον, ὄγκου τε παντὸς ἀπηλλαγμένον, ὥσπερ ἐκεῖνο, καὶ πᾶσαν ἐκφεῦγον διαστηματικὴν καταμέτρησιν ὁμοίως ἐκείνῳ, ἄλλο δέ τι παρ' ἐκεῖνο κατὰ τὴν τῆς φύσεως ἰδιότητα (οὐκέτι γὰρ ἂν εἴη εἰκών, εἰ διὰ πάντων εἴη ταὐτὸν ἐκείνῳ)· ἀλλ' ἐν οἷς ἐν τῇ ἀκτίστῳ φύσει καθορᾶται ἐκεῖνο, ἐν τοῖς αὐτοῖς ἡ κτιστὴ φύσις δείκνυσι τοῦτο· καὶ ὥσπερ πολλάκις ἐν μικρῷ ψήγματι ὑελίνῳ, ὅταν τύχῃ πρὸς ἀκτῖνα κείμενον, ὅλος ἐνορᾶται τοῦ ἡλίου ὁ κύκλος, οὐ κατὰ τὸ ἴδιον μέγεθος αὐτῷ ἐμφαινόμενος, ἀλλ' ὡς χωρεῖ ἡ βραχύτης τοῦ ψήγματος τοῦ κύκλου τὴν ἔμφασιν, οὕτως ἐν τῇ βραχύτητι τῆς ἡμετέρας φύσεως τῶν ἀφράστων ἐκείνων τῆς θεότητος ἰδιωμάτων αἱ εἰκόνες ἐκλάμπουσιν, ὥστε διὰ τούτων τὸν λόγον χειραγωγούμενον μήτε ἀπο-**[44]** πίπτειν τῆς κατὰ τὴν οὐσίαν τοῦ νοῦ καταλήψεως, ἀποκαθαιρομένης ἐν τῇ ἐξετάσει τοῦ σκέμματος τῆς σωματικῆς ἰδιότητος, μηδ' αὖ πάλιν εἰς ἴσον ἄγειν τῇ ἀοράτῳ τε καὶ ἀκηράτῳ φύσει τὴν μικρὰν καὶ ἐπίκηρον, ἀλλὰ νοητὴν μὲν οἴεσθαι τὴν οὐσίαν, ἐπειδὴ καὶ νοητῆς οὐσίας ἐστὶν εἰκών, μὴ μέν τοι τὴν αὐτὴν τῷ ἀρχετύπῳ τὴν εἰκόνα λέγειν. Ὥσπερ οὖν διὰ τῆς ἀπορρήτου σοφίας τοῦ Θεοῦ τῆς τῷ παντὶ ἐμφαινομένης τὴν θείαν φύσιν τε καὶ δύναμιν ἐν πᾶσι τοῖς οὖσιν εἶναι οὐκ ἀμφιβάλλομεν, ὡς ἂν ἐν τῷ εἶναι τὰ πάντα μένοι (καίτοι γε εἰ τὸν τῆς φύσεώς τις ἀπαιτοίη λόγον, παμπληθὲς ἀπέχει οὐσία Θεοῦ πρὸς τὰ καθ' ἕκαστον ἐν τῇ κτίσει δεικνύμενά τε καὶ νοού**36**μενα, ἀλλ' ὅμως ἐν τούτοις εἶναι τὸ διεστὼς κατὰ τὴν φύσιν ὁμολογεῖται), οὕτως οὐδὲν ἄπιστον, καὶ τὴν τῆς ψυχῆς οὐσίαν ἄλλο τι καθ' ἑαυτὴν οὖσαν, ὅ τί ποτε καὶ εἶναι εἰκάζεται, μὴ ἐμποδίζεσθαι πρὸς τὸ εἶναι, τῶν στοιχειωδῶν ἐν τῷ κόσμῳ θεωρουμένων οὐ συμβαινόντων αὐτῇ κατὰ τὸν λόγον τῆς φύσεως. Οὐδὲ γὰρ ἐπὶ τῶν ζώντων σωμάτων, καθὼς ἤδη προείρηται, οἷς ἡ ὑπόστασις ἐκ τῆς τῶν στοιχείων ἐστὶ συγκράσεως, κοινωνία τις κατὰ τὸν τῆς οὐσίας λόγον ἐστὶ τῷ ἁπλῷ τε καὶ ἀειδεῖ τῆς ψυχῆς πρὸς τὴν σωματικὴν παχυμέρειαν[α], ἀλλ' ὅμως τὸ ἐν τούτοις εἶναι τὴν ζωτικὴν τῆς ψυχῆς ἐνέργειαν οὐκ ἀμφιβάλλεται, λόγῳ τινὶ κρείττονι τῆς ἀνθρωπίνης κατανοήσεως ἀνακραθεῖσαν. Οὐκοῦν οὐδὲ ἀναλυσάντων πρὸς ἑαυτὰ τῶν ἐν τῷ σώματι στοιχείων τὸ συνδέον αὐτὰ διὰ τῆς ζωτικῆς ἐνεργείας ἀπόλωλεν, ἀλλ' ὥσπερ συνεστῶτος ἔτι τοῦ τῶν στοιχείων συγκρίματος ψυχοῦται τὰ καθ' ἕκαστον, ἴσως τε καὶ ὁμοίως πᾶσι τοῖς μέρεσι τοῖς συμπληροῦσι τὸ σῶμα τῆς ψυχῆς ἐνδυομένης, καὶ οὐκ ἄν τις εἴποι οὔτε

---

1. Πρβλ. Γεν. 1,27.

α. Πρβλ. Γρηγορίου Νύσσης, Εἰς τὸ Ἆσμα Ἀσμάτων, ΒΕΠ 66,235,30.

στερρὰν αὐτὴν καὶ ἀντίτυπον εἶναι τῷ γεώδει συγκεκραμμένην οὔτε ὑγρὰν ἢ ψυχρὰν ἢ τὴν τῷ ψυχρῷ ἀντικειμένην ποιότητα, τὴν ἐν ἅπασιν οὖσαν τούτοις καὶ ἑκάστῳ τὴν ζωτικὴν δύναμιν ἐνιεῖσαν, οὕτω καὶ λυθέντος τοῦ συγκρίματος καὶ εἰς τὰ οἰκεῖα πάλιν ἀναδραμόντος, τὴν ἁπλῆν ἐκείνην καὶ ἀσύνθετον φύσιν ἑκάστῳ παρεῖναι τῶν μερῶν καὶ μετὰ τὴν διάλυσιν οἴεσθαι οὐδὲν ἔξω τοῦ εἰκότος ἐστίν, ἀλλὰ τὴν ἅπαξ ἀρρήτῳ τινὶ συμφυεῖσαν λόγῳ τῷ τῶν στοιχείων συγκρίματι καὶ εἰς ἀεὶ παραμένειν οἷς κατεμίχθη, μηδενὶ τρόπῳ τῆς γενομένης ἅπαξ αὐτῇ συμφυΐας ἀποσπωμένην· οὐ γὰρ [45] ἐπειδὴ λύεται τὸ συγκείμενον καὶ κινδυνεύει συνδιαλυθῆναι τῷ συνθέτῳ τὸ μὴ συγκείμενον.

Κἀγὼ εἶπον, Ἀλλὰ τὰ μὲν στοιχεῖα συμπίπτειν τε πρὸς ἄλληλα καὶ ἀπ' ἀλλήλων διακρίνεσθαι, καὶ τοῦτο εἶναι τὴν **38** τοῦ σώματος σύστασίν τε καὶ διάλυσιν οὐδεὶς ἂν ἀντείποι. Ἐπειδὴ δὲ πολὺ τὸ μέσον ἑκάστου νοεῖται τούτων τῶν ἑτερογενῶς ἐχόντων πρὸς ἄλληλα κατά τε τὴν τοπικὴν θέσιν καὶ τὴν τῶν ποιοτήτων διαφοράν τε καὶ ἰδιότητα, συνδεδραμηκότων μὲν ἀλλήλοις περὶ τὸ ὑποκείμενον τῶν στοιχείων τὴν νοερὰν[α] ταύτην καὶ ἀδιάστατον φύσιν, ἣν καλοῦμεν ψυχήν, ἀκόλουθον συμφυῶς πρὸς τὸ ἡνωμένον ἔχειν· εἰ δὲ ἀπ' ἀλλήλων διακριθείη ταῦτα κἀκεῖσε γένοιτο, ὅπηπερ ἂν ἕκαστον ἡ φύσις ἄγῃ, τί πείσεται ἡ ψυχή, πολλαχῇ τοῦ ὀχήματος αὐτῇ διασπαρέντος; Ὥσπερ τις ναύτης, τῆς ὁλκάδος ἐν ναυαγίῳ διαλυθείσης, ἀδυνατῶν πᾶσι τοῖς τοῦ πλοίου μορίοις, ἄλλοις ἀλλαχῇ τοῦ πελάγους ἐσκεδασμένοις, κατὰ ταὐτὸν ἐπινήξασθαι (πάντως γὰρ τοῦ ἐπιτυχόντος λαβόμενος τὰ λοιπὰ φέρειν καταλείψει τοῖς κύμασιν), τὸν αὐτὸν τρόπον ἡ ψυχή, τῇ διακρίσει τῶν στοιχείων συνδιασχισθῆναι φύσιν οὐκ ἔχουσα, εἴπερ δυσαπαλλάκτως ἔχει τοῦ σώματος, ἑνί τινι πάντως προσφυεῖσα στοιχείῳ, τῶν ἄλλων ἀποσχισθήσεται καὶ οὐδὲν μᾶλλον ἀθάνατον αὐτὴν διὰ τὸ ἐν ἑνὶ ζῆν ἢ θνητὴν διὰ τὸ ἐν τοῖς πλείοσι μὴ εἶναι ἡ ἀκολουθία τοῦ λόγου δίδωσιν οἴεσθαι.

Ἀλλ' οὔτε συστέλλεται, φησίν, οὔτε διαχεῖται τὸ νοητόν τε καὶ ἀδιάστατον (σωμάτων γὰρ ἴδιον συστολὴ καὶ διάχυσις), ἐπ' ἴσης δὲ κατὰ τὴν ἰδίαν φύσιν τὴν ἀειδῆ καὶ ἀσώματον τῇ τε συγκρίσει τῶν στοιχείων περὶ τὸ σῶμα καὶ τῇ διακρίσει πάρεστιν, οὔτε συνεσφιγμένων ἐν τῷ συγκρίματι τῶν στοιχείων στενοχωρουμένη οὔτε ἀποφοιτησάντων ἐπὶ τὰ συγγενῆ καὶ κατὰ φύσιν αὐτοῖς ἀπολιμπανομένη, κἂν πολὺ τὸ μέσον εἶναι δοκῇ τὸ τῇ ἑτερότητι τῶν στοιχείων ἐνθεωρούμενον· πολλὴ γὰρ ἡ διαφορὰ τοῦ ἀνωφεροῦς τε καὶ κούφου πρὸς τὸ βαρὺ καὶ γεῶδες καὶ τοῦ θερμοῦ πρὸς τὸ ψυχρὸν καὶ τοῦ ὑγροῦ πρὸς τὸ ἐναντίον· ἀλλ' ὅμως οὐδεὶς πόνος τῇ νοερᾷ **40** φύσει [48] ἑκάστῳ

α. Πρβλ. Μ. Ἀθανασίου, Διδασκαλία πρὸς Ἀντίοχον, ΒΕΠ 35,104,11 ἑξ. PG 28,608A. Γρηγορίου Νύσσης, Περὶ ψυχῆς καὶ ἀναστάσεως, ἀνωτ. σ. 325,1 ἑξ.

παρεῖναι, οἷς ἅπαξ ἐνεφύη δι' ἀνακράσεως, μὴ συνδιασχιζομένη τῇ τῶν στοιχείων ἐναντιότητι. Οὐ γάρ, ἐπειδὴ κατὰ τὴν τοπικὴν διάστασιν καὶ τὴν ποιὰν ἰδιότητα πόρρωθεν ἀλλήλων ταῦτα νομίζεται, διὰ τοῦτο κάμνει ἡ ἀδιάστατος φύσις τοῖς τοπικῶς διεστηκόσι συναπτομένη, ἐπεὶ καὶ νῦν ἔξεστι τῇ διανοίᾳ ὁμοῦ τε τὸν οὐρανὸν θεωρεῖν καὶ ἐπὶ τὰ πέρατα τοῦ κόσμου ταῖς πολυπραγμοσύναις ἐκτείνεσθαι, καὶ οὐ διασπᾶται πρὸς τοσαῦτα μήκη τὸ θεωρητικὸν τῆς ψυχῆς ἡμῶν διατεινόμενον. Οὐκοῦν οὐδὲν ἐμπόδιόν ἐστι τῇ ψυχῇ κατὰ τὸ ἴσον παρεῖναι τοῖς τοῦ σώματος στοιχείοις καὶ συγκεκραμένοις διὰ τῆς συνδρομῆς καὶ ἀπολυομένοις τῆς ἀνακράσεως. Καθάπερ γὰρ χρυσοῦ καὶ ἀργύρου συντετηκότων ἐνθεωρεῖταί τις τεχνικὴ δύναμις ἡ τὰς ὕλας συντήξασα, καὶ εἰ πάλιν ἀποτακείη τοῦ ἑτέρου τὸ ἕτερον, οὐδὲν ἔλαττον ὁ τῆς τέχνης λόγος ἐν ἑκατέρῳ μένει, καὶ ἡ μὲν ὕλη διεμερίσθη, ἡ δὲ τέχνη οὐ συνδιετμήθη τῇ ὕλῃ (πῶς γὰρ ἂν διαιρεθείη τὸ ἄτμητον;), κατὰ τὸν αὐτὸν λόγον καὶ ἡ νοερὰ τῆς ψυχῆς φύσις καὶ τῇ συνδρομῇ τῶν στοιχείων ἐνθεωρεῖται καὶ διαλυθέντων οὐκ ἀποκρίνεται, ἀλλὰ καὶ ἐν αὐτοῖς μένει καὶ τῷ χωρισμῷ αὐτῶν συμπαρεκτεινομένη οὐ διακόπτεται, οὐδὲ πρὸς τὸν ἀριθμὸν τῶν στοιχείων εἰς μέρη καὶ τμήματα κατακερματίζεται[α]· τοῦτο γὰρ ἴδιον τῆς σωματικῆς τε καὶ διαστηματικῆς ἐστι φύσεως, ἡ δὲ νοερά τε καὶ ἀδιάστατος φύσις τὰ ἐκ διαστάσεως οὐκ ἀναδέχεται πάθη. Οὐκοῦν ἔστιν ἐν αὐτοῖς ἡ ψυχὴ ἐν οἷς ἅπαξ ἐγένετο, οὐδεμιᾶς ἀνάγκης τῆς πρὸς ἐκεῖνα συμφυΐας αὐτὴν ἀποσπώσης. Τί οὖν τὸ σκυθρωπὸν ἐν τούτοις ἐστίν, εἰ τοῦ ὁρωμένου τὸ ἀειδὲς ἀνταλλάσσεται, καὶ ὑπὲρ τίνος οὕτω διαβέβληταί σοι πρὸς τὸν θάνατον ἡ διάνοια;

Ἐγὼ δέ, ἀναλαβὼν τῇ διανοίᾳ τὸν ὁρισμὸν ὃν ἐν **42** τοῖς πρὸ τούτου λόγοις περὶ τῆς ψυχῆς ἐποιήσατο, οὐχ ἱκανῶς εἶπον ἐνδεδεῖχθαί μοι τὸν λόγον ἐκεῖνον τὰς ἐνθεωρουμένας τῇ ψυχῇ δυνάμεις, ὅς φησι νοερὰν αὐτὴν εἶναι οὐσίαν καὶ τῷ ὀργανικῷ σώματι ζωτικὴν δύναμιν πρὸς τὴν τῶν αἰσθήσεων ἐνέργειαν ἐμποιεῖν[β]. Οὐ γὰρ μόνον περὶ τὴν ἐπιστημονικήν τε καὶ θεωρητικὴν διάνοιαν ἐνεργός ἐστιν ἡμῶν ἡ ψυχή, ἐν τῷ νοερῷ τῆς οὐσίας τὸ τοιοῦτον ἐργαζομένη, οὐδὲ τὰ αἰσθητήρια μόνα πρὸς τὴν κατὰ φύσιν ἐνέργειαν οἰκονομεῖ, ἀλλὰ πολλὴ μὲν ἡ κατ' ἐπιθυμίαν, πολλὴ δὲ καὶ ἡ κατὰ θυμὸν κίνησις ἐνθεωρεῖται τῇ φύσει, ἑκατέρου δὲ τούτων γενι**[49]**κῶς ἡμῖν ἐνυπάρχοντος εἰς πολλάς τε καὶ ποικίλας διαφορὰς ὁρῶμεν προϊοῦσαν ταῖς ἐνεργείαις ἀμφοτέρων τὴν κίνησιν. Πολλὰ μὲν γὰρ ἔστιν ἰδεῖν, ὧν τὸ ἐπιθυμητικὸν καθηγεῖται, πολλὰ δὲ πάλιν ἃ τῆς θυμοειδοῦς αἰτίας ἐκφύεται, καὶ οὐδὲν τούτων σῶμά ἐστιν, τὸ δὲ ἀσώματον νοερὸν πάν-

---

α. Πρβλ. Ἰουστίνου, Πρὸς Τρύφωνα Ἰουδαῖον, ΒΕΠ 3,214,43-215,20. PG 6,489Β-492Α. Τατιανοῦ, Πρὸς Ἕλληνας, ΒΕΠ 4,250,23 ἑξ. PG 6,833Α-Β.

β. Πρβλ. Ἀριστ., Τοπικά, VI, 140b3. Περὶ ψυχῆς, β2, 414α12. Μ. Βασιλείου, Ἀσκητικαὶ Διατάξεις, ΒΕΠ 57,23,16 ἑξ.

τως· νοερὸν δέ τι χρῆμα τὴν ψυχὴν ὁ ὁρισμὸς ἀπεφήνατο[α], ὥστε δυοῖν ἀτόποιν τὸ ἕτερον ἐκ τῆς ἀκολουθίας ἀνακύπτειν τοῦ λόγου, ἢ καὶ τὸν θυμὸν καὶ τὴν ἐπιθυμίαν ἄλλας ἐν ἡμῖν εἶναι ψυχὰς καὶ πλῆθος ψυχῶν ἀντὶ μιᾶς καθορᾶσθαι ἢ μηδὲ τὸ διανοητικὸν τὸ ἐν ἡμῖν ψυχὴν οἴεσθαι. Τὸ γὰρ νοερὸν ἐπ᾽ ἴσης πᾶσιν ἐφαρμοζόμενον ἢ πάντα ψυχὰς ἀποδείξει ταῦτα ἢ ἕκαστον τούτων ἐκ τοῦ ἴσου τοῦ ἰδιώματος τῆς ψυχῆς ἐξαιρήσει.

Ἡ δέ, πολλοῖς, φησίν, ἤδη καὶ ἄλλοις ἐζητημένον τὸν λόγον τοῦτον ἀκολούθως καὶ αὐτὸς ἐπεζήτησας, ὅ τί ποτε χρὴ ταῦτα νομίζειν εἶναι, τὸ ἐπιθυμητικόν τε καὶ θυμοειδές, εἴτε συνουσιωμένα τῇ ψυχῇ, καὶ παρὰ τὴν πρώτην εὐθὺς τῇ κατασκευῇ συνυπάρχοντα, εἴτε τι ἄλλο παρ᾽ αὐτὴν ὄντα καὶ ὕστερον ἡμῖν ἐπιγινόμενα. Τὸ μὲν γὰρ ἐνορᾶσθαι τῇ ψυχῇ ταῦτα παρὰ πάντων ἐπ᾽ ἴσης ὁμολογεῖται, τὸ δὲ ὅ τι χρὴ περὶ αὐτῶν οἴεσθαι, οὔπω δι᾽ ἀκριβείας εὗρεν ὁ **44** λόγος, βεβαίαν τὴν περὶ τούτων ὑπόληψιν ἔχειν, ἀλλ᾽ ἔτι πεπλανημέναις οἱ πολλοὶ καὶ διαφόροις ταῖς περὶ τούτων δόξαις ἐπιδιστάζουσιν. Ἡμῖν δὲ εἰ μὲν ἱκανὴ πρὸς ἀπόδειξιν ἀληθείας ἦν ἡ ἔξω φιλοσοφία ἡ τεχνικῶς περὶ τούτων διαλαβοῦσα, περιττὸν ἂν ἦν ἴσως τὸν περὶ ψυχῆς λόγον προτιθέναι τῷ σκέμματι. Ἐπεὶ δὲ τοῖς μὲν κατὰ τὸ φανὲν ἀκόλουθον κατ᾽ ἐξουσίαν προῆλθεν ἡ περὶ ψυχῆς θεωρία, ἡμεῖς δὲ τῆς ἐξουσίας ἄμοιροι ταύτης ἐσμέν, τῆς τοῦ λέγειν, φημί, ἅπερ βουλόμεθα, κανόνι παντὸς δόγματος καὶ νόμῳ κεχρημένοι τῇ ἁγίᾳ Γραφῇ, ἀναγκαίως πρὸς ταύτην βλέποντες τοῦτο δεχόμεθα μόνον, ὅ τί περ ἂν ᾖ συμφωνοῦν τῷ τῶν γεγραμμένων σκοπῷ. Οὐκοῦν, παρέντες τὸ πλατωνικὸν[β] ἅρμα καὶ τὴν ὑπεζευγμένην αὐτῷ ξυνωρίδα τῶν πώλων, οὐχ ὁμοίως ταῖς ὁρμαῖς πρὸς ἀλλήλους ἐχόντων, καὶ τὸν ὑπὲρ τούτων ἡνίοχον, δι᾽ ὧν ἁπάντων τὰ τοιαῦτα περὶ **[52]** ψυχῆς φιλοσοφεῖ δι᾽ αἰνίγματος· ὅσα τε αὖ ὁ μετ᾽ ἐκεῖνον φιλόσοφος ὁ τεχνικῶς τοῖς φαινομένοις ἀκολουθῶν καὶ τὰ νῦν ἡμῖν προκείμενα δι᾽ ἐπιμελείας κατεξετάζων, θνητὴν εἶναι διὰ τούτων τὴν ψυχὴν ἀπεφήνατο, καὶ πάντας τούς τε πρὸ τούτων καὶ τοὺς ἐφεξῆς τούς τε καταλογάδην καὶ τοὺς ἐν ῥυθμῷ τινι καὶ μέτρῳ φιλοσοφήσαντας καταλιπόντες, σκοπὸν τοῦ λόγου τὴν θεόπνευστον Γραφὴν ποιησόμεθα, ἣ μηδὲν ψυχῆς ἐξαίρετον νομίζειν εἶναι νομοθετεῖ[1] ὃ μὴ καὶ τῆς θείας φύσεώς ἐστιν ἴδιον. Ὁ γὰρ ὁμοίωμα Θεοῦ τὴν ψυχὴν εἶναι φήσας πᾶν ὃ ἀλλότριόν ἐστι Θεοῦ ἐκτὸς εἶναι τοῦ ὅρου τῆς ψυχῆς ἀπεφήνατο· οὐδὲ γὰρ ἂν ἐν τοῖς παρηλλαγμένοις διασωθείη τὸ ὅμοιον. Οὐκοῦν, ἐπειδὴ

---

1. Πρβλ. Ματθ. 16,26. Μάρκ. 8,36-37. Λουκ. 9,25.

α. Πρβλ. Ἀριστ., Ἠθικὰ μεγάλα, α4. 1185α,15-35. Ἠθικὰ Νικομάχεια, α13. 1102b,30. Περὶ ψυχῆς, γ3. 427α,16. Κλήμεντος Ἀλεξανδρέως, Παιδαγωγός, ΒΕΠ 7,190,3 ἑξ. PG 8,556Α. Ὠριγένους, Κατὰ Κέλσου, ΒΕΠ 10,46,3 ἑξ. PG **11**,1256Α.

β. Πρβλ. Πλάτ., Φαῖδρος 246Ε.

τοιοῦτον οὐδὲν τῇ θείᾳ συνθεωρεῖται φύσει, οὐδὲ τῇ ψυχῇ συνουσιῶσθαι ταῦτα κατὰ λόγον ἄν τις ὑπονοήσειεν. Τὸ μὲν οὖν κατὰ τὴν διαλεκτικὴν τέχνην διὰ συλλογιστικῆς τε καὶ ἀναλυτικῆς ἐπιστήμης βεβαιοῦσθαι καὶ τὰ ἡμέτερα δόγματα, ὡς σαθρόν τε καὶ ὕποπτον εἰς ἀπόδειξιν ἀληθείας τὸ τοιοῦτον εἶδος τοῦ λόγου παραιτησόμεθα· πᾶσι γάρ ἐστι πρόδηλον τὸ τὴν **46** διαλεκτικὴν περιεργίαν ἴσην ἐφ' ἑκάτερα τὴν ἰσχὺν ἔχειν, πρός τε τὴν τῆς ἀληθείας ἀνατροπὴν καὶ πρὸς τὴν τοῦ ψεύδους κατηγορίαν. Ὅθεν καὶ αὐτὴν τὴν ἀλήθειαν, ὅταν μετά τινος τοιαύτης τέχνης προάγηται, δι' ὑποψίας πολλάκις ποιούμεθα, ὡς τῆς περὶ ταῦτα δεινότητος παρακρουομένης ἡμῶν τὴν διάνοιαν καὶ τῆς ἀληθείας ἀποσφαλλούσης. Εἰ δέ τις τὸν ἀκατάσκευόν τε καὶ γυμνὸν πάσης περιβολῆς προσίοιτο λόγον, ἐροῦμεν, ὡς ἂν οἷόν τε ᾖ, κατὰ τὸν εἱρμὸν τῆς Γραφικῆς ὑφηγήσεως τὴν περὶ τούτων θεωρίαν προσάγοντες. Τί οὖν ἔστιν ὅ φαμεν; Τὸ λογικὸν τοῦτο ζῷον, ὁ ἄνθρωπος, νοῦ τε καὶ ἐπιστήμης δεκτικὸν εἶναι καὶ παρὰ τῶν ἔξω τοῦ λόγου τοῦ καθ' ἡμᾶς μεμαρτύρηται, οὐκ ἂν οὕτω τοῦ ὁρισμοῦ τὴν φύσιν ἡμῶν ὑπογράφοντος, εἴπερ ἐνεώρα θυμόν τε καὶ ἐπιθυμίαν καὶ τὰ τοιαῦτα πάντα συνουσιώμενα τῇ φύσει· οὐδὲ γὰρ ἐπ' ἄλλου τινὸς ὅρον ἄν τις ἀποδοίη τοῦ ὑποκειμένου τὸ κοινὸν ἀντὶ τοῦ ἰδίου λέγων. **[53]** Ἐπεὶ οὖν τὸ ἐπιθυμητικόν τε καὶ θυμοειδὲς[α] κατὰ τὸ ἴσον καὶ ἐπὶ τῆς ἀλόγου τε καὶ λογικῆς φύσεως καθορᾶται, οὐκ ἄν τις εὐλόγως ἐκ τοῦ κοινοῦ χαρακτηρίζοι τὸ ἴδιον. Ὃ δὲ πρὸς τὴν τῆς φύσεως ὑπογραφὴν περιττόν ἐστιν καὶ ἀπόβλητον, πῶς ἔστιν ὡς μέρος τῆς φύσεως ἐπ' ἀνατροπῇ τοῦ ὅρου τὴν ἰσχὺν ἔχειν; πᾶς γὰρ ὁρισμὸς οὐσίας πρὸς τὸ ἴδιον τοῦ ὑποκειμένου βλέπει. Ὅ τι δ' ἂν ἔξω τοῦ ἰδιάζοντος ᾖ, ὡς ἀλλότριον παρορᾶται τοῦ ὅρου. Ἀλλὰ μὴν ἡ κατὰ θυμόν τε καὶ ἐπιθυμίαν ἐνέργεια κοινὴ πάσης εἶναι τῆς ἀλόγου φύσεως ὁμολογεῖται. Πᾶν δὲ τὸ κοινὸν οὐ ταὐτόν ἐστιν τῷ ἰδιάζοντι. Ἀνάγκη ἄρα διὰ τούτων ἐστίν, μὴ ἐν τούτοις εἶναι ταῦτα λογίζεσθαι ἐν οἷς κατ' ἐξαίρετον ἡ ἀνθρωπίνη χαρακτηρίζεται φύσις· ἀλλ' ὥσπερ τὸ αἰσθητικὸν καὶ τὸ θρεπτικὸν καὶ τὸ αὐξητικὸν ἐν ἡμῖν τις ἰδὼν οὐκ ἀναλύει διὰ τούτων τὸν ἀποδοθέντα περὶ τῆς ψυχῆς ὅρον (οὐ γὰρ ἐπειδὴ τοῦτο ἔστιν ἐν τῇ ψυχῇ, ἐκεῖνο οὐκ ἔστιν), οὕτως καὶ τὰ **48** περὶ τὸν θυμὸν καὶ τὴν ἐπιθυμίαν κατανοήσας τῆς φύσεως ἡμῶν κινήματα, οὐκ ἂν εὐλόγως τῷ ὅρῳ μάχοιτο, ὡς ἐλλιπῶς ἐνδειξαμένῳ τὴν φύσιν.

Τί οὖν χρὴ περὶ τούτων γινώσκειν; εἶπον πρὸς τὴν διδάσκαλον· οὔπω γὰρ οἷός τέ εἰμι κατιδεῖν ὅπως προσήκει τὰ ἐν ἡμῖν ὄντα, ὡς ἀλλότρια τῆς φύσεως ἡμῶν ἀποποιεῖσθαι;

Ὁρᾷς, φησίν, ὅτι μάχη τίς ἐστι τοῦ λογισμοῦ πρὸς ταῦτα καὶ

α. Πρβλ. Μ. Βασιλείου, Κατὰ ὀργιζομένων, ΒΕΠ 54,105,24. Γρηγορίου Νύσσης, Περὶ ψυχῆς καὶ ἀναστάσεως, ἀνωτ. σ. 333,10. Ἐπιστολὴ κανονικὴ πρὸς Λητόϊον, κατωτ. σ. 439 σημ. α.

σπουδὴ τοῦ μονωθῆναι τὴν ψυχὴν τούτων, ὡς ἂν οἷόν τε ᾖ. Καί εἰσί γέ τινες οἷς κατώρθωται ἡ σπουδή, καθάπερ ἐπὶ τοῦ Μωυσέως ἀκούομεν, ὅτι κρείττων ἦν θυμοῦ τε καὶ ἐπιθυμίας ἐκεῖνος[1], ἀμφότερα μαρτυρούσης αὐτῷ τῆς ἱστορίας, ὅτι τε πρᾶος ἦν παρὰ πάντας ἀνθρώπους (ἐνδείκνυται δὲ τὸ ἀόργητον διὰ τοῦ πράου καὶ τὴν πρὸς τὸν θυμὸν ἀλλοτρίωσιν), καὶ ὅτι οὐκ ἐπεθύμησε τούτων τινὸς περὶ ἃ ὁρῶμεν ἐν τοῖς πολλοῖς τὸ ἐπιθυμητικὸν ἐνεργούμενον, ὅπερ οὐκ ἂν ἐγένετο, εἰ φύσις ἦν ταῦτα καὶ εἰς τὸν λόγον τῆς οὐσίας ἀνήγετο· οὐ γάρ ἐστι δυνατὸν τὸν ἔξω γεγονότα τῆς φύσεως ἐν τῷ εἶναι μένειν. Ἀλλὰ μὴν ὁ Μωυσῆς καὶ ἐν τῷ εἶναι ἦν καὶ ἐν τούτοις οὐκ ἦν. Ἄλλο τι ἄρα παρὰ τὴν φύσιν ἐστὶ ταῦτα καὶ οὐχὶ φύσις· ἡ γὰρ ἀληθῶς φύσις ταὐτό ἐστιν ἐν ᾧ τὸ εἶναι τῆς οὐσίας καταλαμβάνεται. Τούτων δὲ ἡ ἀλλοτρίωσις ἐφ' ἡμῖν κεῖται, ὡς μὴ μόνον ἀζήμιον, ἀλλὰ καὶ ἐπικερδὲς εἶναι τῇ φύσει τὸν ἀφανισμὸν τῶν τοιούτων. Δῆλον οὖν ὅτι τῶν ἔξωθεν ἐπιθεωρουμένων ἐστὶ **[56]** ταῦτα, πάθη τῆς φύσεως ὄντα καὶ οὐκ οὐσία· ἡ μὲν γάρ ἐστιν ὅπερ ἐστίν. Θυμὸν δὲ ζέσιν εἶναι τοῦ περικαρδίου αἵματος τοῖς πολλοῖς δοκεῖ, ἑτέροις δὲ ὄρεξιν τοῦ ἀντιλυπῆσαι τὸν προκατάρξαντα. Ὡς δ' ἂν ἡμεῖς ὑπολάβοιμεν, θυμός ἐστιν ὁρμὴ τοῦ κακῶσαι τὸν παροξύναντα[α]. Ὧν οὐδὲν τῷ περὶ ψυχῆς ὅρῳ συμβαίνει. Κἂν τὴν ἐπιθυμίαν ἐφ' ἑαυτῆς ὁρισώμεθα, ἔφεσιν λέξομεν τοῦ ἐνδέοντος ἢ πόθον τῆς καθ' ἡδονὴν ἀπολαύ**50**σεως ἢ λύπην ἐπὶ τῷ μὴ κατ' ἐξουσίαν ὄντι καταθυμίῳ ἤ τινα πρὸς τὸ ἡδὺ σχέσιν, οὗ μὴ πάρεστιν ἡ ἀπόλαυσις· ταῦτα γὰρ πάντα καὶ τὰ τοιαῦτα τὴν μὲν ἐπιθυμίαν ἐνδείκνυται, τοῦ δὲ ὁρισμοῦ τοῦ περὶ ψυχῆς οὐ προσάπτεται· ἀλλὰ καὶ ὅσα ἄλλα περὶ τὴν ψυχὴν καθορᾶται, τὰ ἐξ ἀντιθέτου ἀλλήλοις ὁρώμενα, οἷον δειλία καὶ θράσος, λύπη καὶ ἡδονή, φόβος καὶ καταφρόνησις, καὶ ὅσα τοιαῦτα, ὧν ἕκαστον συγγενῶς μὲν ἔχειν δοκεῖ πρὸς τὸ ἐπιθυμητικόν τε καὶ θυμοειδές[β], ἰδιάζοντι δὲ ὅρῳ τὴν ἰδίαν ὑπογράφει φύσιν. Τό τε γὰρ θράσος καὶ ἡ καταφρόνησις ἔμφασιν ὑποσημαίνει τινὰ τῆς θυμώδους ὁρμῆς, ἐλάττωσιν δέ τινα καὶ ὕφεσιν τοῦ αὐτοῦ τούτου ἡ κατὰ δειλίαν καὶ φόβον ἐγγινομένη σχέσις. Ἡ δὲ λύπη ἐξ ἀμφοτέρων ἔχει τὰς ὕλας· ἥ τε γὰρ τοῦ θυμοῦ ἀτονία ἐν τῇ τοῦ ἀμύνασθαι τοὺς προλελυπηκότας ἀδυναμίᾳ λύπη γίνεται καὶ ἡ ἀπόγνωσις τῶν ἐπιθυμουμένων καὶ ἡ στέρησις τῶν καταθυμίων τὴν σκυθρωπὴν ταύτην ἐμποιεῖ τῇ διανοίᾳ διάθεσιν. Καὶ τὸ ἀντιθεωρούμενον τῇ λύπῃ, τὸ καθ' ἡδονὴν λέγω νόσημα, ὁμοίως τῷ

---

1. Πρβλ. Λευϊτ. 12,3.

α. Πρβλ. Κλήμεντος Ἀλεξανδρέως, Στρωματεῖς, ΒΕΠ 8,122,16. PG 9, 48B. Ὠριγένους, Εἰς τοὺς Ψαλμούς, ΒΕΠ 15,304,36 ἑξ. PG 12,1173B. Νεμεσίου Ἐμέσης, Περὶ φύσεως ἀνθρώπου, ΒΕΠ 38,272,11 ἑξ.

β. Πρβλ. Κλήμεντος Ἀλεξανδρέως, Στρωματεῖς, ΒΕΠ 7,348,24 ἑξ. PG 8,1056B. Νεμεσίου Ἐμέσης, Περὶ φύσεως ἀνθρώπου, ΒΕΠ 38,266,39 ἑξ. καὶ Γρηγορίου Νύσσης, Περὶ ψυχῆς καὶ ἀναστάσεως, ἀνωτ. σ. 334 σημ. α.

θυμῷ τε καὶ τῇ ἐπιθυμίᾳ ἐπιμερίζεται· ἡδονὴ γὰρ ἑκατέρου τούτων κατὰ τὸ ἴσον ἡγεμονεύει. Ἅπερ πάντα καὶ περὶ τὴν ψυχήν ἔστι καὶ ψυχὴ οὐκ ἔστιν, ἀλλ' οἷον μυρμηκίαι τινὲς τοῦ διανοητικοῦ μέρους τῆς ψυχῆς ἐκφυόμεναι. Ἃ μέρη μὲν αὐτῆς εἶναι διὰ τὸ προσπεφυκέναι νομίζεται, οὐ μὴν ἐκεῖνό εἰσιν ὅπερ ἐστὶν ἡ ψυχὴ κατ' οὐσίαν.

Καὶ μὴν ὁρῶμεν, φημὶ πρὸς τὴν παρθένον, οὐ μικρὰν ἐκ τούτων γινο**[57]**μένην τὴν πρὸς τὸ κρεῖττον συνεισφορὰν τοῖς ἐναρέτοις· τῷ τε γὰρ Δανιὴλ ἔπαινος ἦν ἡ ἐπιθυμία[1], καὶ ὁ Φινεὲς τῷ θυμῷ τὸν Θεὸν ἱλεώσατο[2], καὶ ἀρχὴν σοφίας φόβον ἐμάθομεν[3], καὶ τῆς κατὰ Θεὸν λύπης[4] σωτηρίαν εἶναι τὸ πέρας παρὰ τοῦ Παύλου ἠκούσαμεν, τῶν τε δεινῶν τὴν καταφρόνησιν νομοθετεῖ ἡμῖν τὸ Εὐαγ**52**γέλιον, καὶ τὸ μὴ φοβεῖσθαι πτόησιν[5] οὐδὲν ἄλλο ἢ τοῦ θράσους ἐστὶν ὑπογραφή, ὅπερ ἐν ἀγαθοῖς ὑπὸ τῆς σοφίας κατείλεκται. Δείκνυσι τοίνυν διὰ τούτων ὁ λόγος τὸ μὴ πάθη τὰ τοιαῦτα δεῖν οἴεσθαι· οὐ γὰρ ἂν πρὸς ἀρετῆς κατόρθωσιν συμπαραληφθείη τὰ πάθη.

Καὶ ἡ διδάσκαλος, ἔοικα, φησί, τῆς τοιαύτης τῶν λογισμῶν συγχύσεως αὐτὴ τὴν αἰτίαν παρέχειν, μὴ διακρίνασα τὸν περὶ τούτου λόγον, ὥστε τινὰ τάξιν ἀκόλουθον ἐπιτεθῆναι τῇ θεωρίᾳ. Νῦν οὖν, ὅπως ἂν οἷόν τε ᾖ, ἐπινοηθήσεταί τις τάξις τῷ σκέμματι, ὡς ἂν δι' ἀκολούθου προϊούσης τῆς θεωρίας μηκέθ' ἡμῖν αἱ τοιαῦται τῶν ἀντιθέσεων ἔχοιεν χώραν. Φαμὲν γὰρ τῆς ψυχῆς τὴν μὲν θεωρητικήν τε καὶ διακριτικὴν καὶ τῶν ὄντων ἐποπτικὴν δύναμιν οἰκείαν εἶναι καὶ κατὰ φύσιν αὐτῇ καὶ τῆς θεοειδοῦς χάριτος διὰ τούτων σῴζειν ἐν ἑαυτῇ τὴν εἰκόνα (ἐπεὶ καὶ τὸ Θεῖον, ὅ τί ποτε κατὰ τὴν φύσιν ἐστίν, ἐν τούτοις ὁ λογισμὸς εἶναι στοχάζεται, ἐν τῷ ἐφορᾶν τε τὰ πάντα καὶ διακρίνειν τὸ καλὸν ἀπὸ τοῦ χείρονος), ὅσα δὲ τῆς ψυχῆς ἐν μεθορίῳ κεῖται πρὸς ἑκάτερον τῶν ἐναντίων ἐπιρρεπῶς κατὰ τὴν ἰδίαν ἔχοντα φύσιν, ὧν ἡ ποιὰ χρῆσις ἢ πρὸς τὸ καλὸν ἢ πρὸς τὸ ἐναντίον ἄγει τὴν ἔκβασιν, οἷον τὸν θυμὸν ἢ τὸν φόβον ἢ εἴ τι τοιοῦτον τῶν ἐν τῇ ψυχῇ κινημάτων ἐστίν, ὧν ἄνευ οὐκ ἔστιν ἀνθρωπίνην θεωρηθῆναι φύσιν, ταῦτα ἔξωθεν ἐπιγεγενῆσθαι αὐτῇ λογιζόμεθα διὰ τὸ τῷ ἀρχετύπῳ κάλλει μηδένα τοιοῦτον ἐνθεωρηθῆναι χαρακτῆρα[α]. Ὁ δὲ δὴ περὶ τούτων λόγος ἡμῖν τέως ὡς ἐν γυμνασίῳ προκείσθω, ὡς ἂν διαφύγοι τῶν συκοφαντικῶς ἀκουόντων τὰς ἐπηρείας. Ὁδῷ τινι καὶ τάξεως ἀκολουθίᾳ πρὸς τὴν ἀνθρωποποιίαν ὁρμῆσαι τὸ Θεῖον διηγεῖται ὁ λόγος. **[60]** Ἐπειδὴ γὰρ συνέστη τὸ πᾶν, καθὼς ἡ ἱστορία φησίν, οὐκ εὐθὺς δὲ ὁ ἄνθρωπος ἐν τῇ γῇ γίνεται, ἀλλὰ τούτου μὲν ἡ τῶν ἀλόγων προηγήσατο φύσις, ἐκείνων δὲ τὰ βλαστήματα[6], δεί-

---

1. Πρβλ. Δαν. (Θδτ.) 9,23. 10,11,19. 2. Πρβλ. Ἀριθ. 25,11. 3. Πρβλ. Παρμ. 9,10. 4. Πρβλ. Β' Κορ. 7,10. 5. Πρβλ. Α' Πέτρ. 3,6. Λουκ. 21,9. Ματθ. 28,5. 6. Πρβλ. Γεν. 1,1 ἑξ.

α. Πρβλ. Γρηγορίου Νύσσης, *Περὶ ψυχῆς καὶ ἀναστάσεως*, ἀνωτ. σ. 333 σημ. β.

κνυσιν, **54** οἶμαι, διὰ τούτων ὁ λόγος, ὅτι ἡ ζωτικὴ δύναμις[α] ἀκολουθίᾳ τινὶ τῇ σωματικῇ καταμίγνυται φύσει, πρῶτον μὲν τοῖς ἀναισθήτοις ἐνδύνουσα, μετὰ τοῦτο δὲ ἐπὶ τὸ αἰσθητικὸν προϊοῦσα, εἶθ' οὕτως πρὸς τὸ νοερόν τε καὶ λογικὸν ἀναβαίνουσα. Οὐκοῦν τῶν ὄντων τὸ μὲν σωματικόν, τὸ δὲ νοερόν ἐστι πάντως. Τοῦ δὲ σωματικοῦ τὸ μὲν ἄψυχόν ἐστι, τὸ δὲ ἔμψυχον· ἔμψυχον δὲ λέγω τὸ μετέχον ζωῆς. Τῶν δὲ ζώντων τὰ μὲν αἰσθήσει συζῇ, τὰ δὲ ἀμοιρεῖ ταύτης. Πάλιν τῶν αἰσθητικῶν τὰ μὲν λογικά ἐστιν, τὰ δὲ ἄλογα. Ἐπεὶ οὖν ἡ αἰσθητικὴ ζωὴ οὐκ ἂν δίχα τῆς ὕλης συσταίη, οὐδ' ἂν τὸ νοερὸν ἄλλως ἐν σώματι γένοιτο, μὴ τῷ αἰσθητικῷ ἐμφυόμενον, τούτου χάριν τελευταία ἡ τοῦ ἀνθρώπου κατασκευὴ ἱστορεῖται, ὡς πᾶσαν ἐμπεριειληφότος τὴν ζωτικὴν ἰδέαν, τήν τε ἐν τοῖς βλαστήμασι καὶ ἐν τοῖς ἀλόγοις θεωρουμένην. Τὸ μὲν γὰρ τρέφεσθαί τε καὶ αὔξεσθαι ἐκ τῆς φυτικῆς ἔχει ζωῆς (ἔστι γὰρ τὸ τοιοῦτον καὶ ἐν ἐκείνοις ἰδεῖν, ἑλκομένης τε διὰ ῥιζῶν τῆς τροφῆς καὶ ἀποποιουμένης διὰ καρπῶν τε καὶ φύλλων), τὸ δὲ κατ' αἴσθησιν οἰκονομεῖσθαι ἐκ τῶν ἀλόγων ἔχει. Τὸ δὲ διανοητικόν τε καὶ λογικὸν ἄμικτόν ἐστι καὶ ἰδιάζον ἐπὶ ταύτης τῆς φύσεως, ἐφ' ἑαυτοῦ θεωρούμενον. Ἀλλ' ὥσπερ τὸ ἐφελκτικὸν τῶν ἀναγκαίων πρὸς τὴν ὑλικὴν ζωὴν ἡ φύσις ἔχει, ὅπερ ἐν ἡμῖν γενόμενον ὄρεξις λέγεται (τοῦτο δὲ φαμὲν τοῦ φυτικοῦ τῆς ζωῆς εἶδους εἶναι, ἐπειδὴ καὶ ἐν ἐκείνοις ἔστιν ἰδεῖν, οἷόν τινας ὁρμὰς φυσικῶς ἐνεργουμένας ἐν τῷ πληροῦσθαί τε τοῦ οἰκείου καὶ ὀργᾶν πρὸς τὴν ἔκφυσιν), οὕτως καὶ ὅσα τῆς ἀλόγου φύσεώς ἐστιν ἴδια, ταῦτα τῷ νοερῷ τῆς ψυχῆς κατεμίχθη. Ἐκείνων, φησίν, ὁ θυμός, ἐκείνων ὁ φόβος, ἐκείνων τὰ ἄλλα πάντα, ὅσα κατὰ τὸ ἐναντίον ἐν ἡμῖν ἐνεργεῖται, πλὴν τῆς λογικῆς τε καὶ διανοητικῆς δυνάμεως, ὃ δὴ μόνον τῆς ἡμετέρας ζωῆς ἐστιν ἐξαίρετον, ἐν ἑαυτῷ, καθὼς εἴρηται, τοῦ θείου χαρακτῆρος ἔχον τὴν μίμησιν· **56** ἀλλ' ἐπειδὴ κατὰ τὸν ἤδη προαποδοθέντα λόγον οὐκ ἔστιν ἄλλως τὴν λογικὴν δύναμιν ἐγγενέσθαι τῇ σωματικῇ ζωῇ, μὴ διὰ τῶν αἰσθήσεων ἐγγινομένην, ἡ δὲ αἴσθησις ἐν **[61]** τῇ τῶν ἀλόγων προϋπέστη φύσει, ἀναγκαίως διὰ τοῦ ἑνὸς καὶ πρὸς τὰ συνημμένα τούτῳ γίνεται τῆς ψυχῆς ἡμῶν ἡ κοινωνία. Ταῦτα δέ ἐστιν ὅσα ἐν ἡμῖν γινόμενα πάθη λέγεται, ἃ οὐχὶ πάντως ἐπὶ κακῷ τινι τῇ ἀνθρωπίνῃ συνεκληρώθη ζωῇ (ἦ γὰρ ἂν ὁ Δημιουργὸς τῶν κακῶν τὴν αἰτίαν ἔχοι, εἰ ἐκεῖθεν αἱ τῶν πλημμελημάτων ἦσαν ἀνάγκαι συγκαταβεβλημέναι τῇ φύσει), ἀλλὰ τῇ ποιᾷ χρήσει τῆς προαιρέσεως ἢ ἀρετῆς ἢ κακίας ὄργανα τὰ τοιαῦτα τῆς ψυχῆς κινήματα γίνεται, καθάπερ ὁ σίδηρος κατὰ γνώμην τοῦ τεχνίτου τυπούμενος πρὸς ὅπερ ἂν ἐθέλῃ τοῦ τεχνιτεύοντος ἡ ἐνθύμησις πρὸς τοῦτο καὶ σχηματίζεται, ἢ ξίφος ἤ τι γεωργικὸν ἐργαλεῖον γινόμενος. Οὐκοῦν εἰ μὲν ὁ λόγος, ὃ δὴ τῆς φύσεως ἡμῶν ἐστιν ἐξαί-

---

α. Πρβλ. Γρηγορίου Νύσσης, Περὶ ψυχῆς καὶ ἀναστάσεως, κατωτ. σ. 350,3 ἑξ.

ρετον, τῶν ἔξωθεν ἡμῖν ἐπεισκριθέντων τὴν ἡγεμονίαν ἔχοι, καθὼς καὶ δι᾽ αἰνίγματος ὁ τῆς Γραφῆς παρεδήλωσε λόγος, ἄρχειν ἐγκελευόμενος πάντων τῶν ἀλόγων[1], οὐκ ἄν τι πρὸς κακίας ὑπηρεσίαν τῶν τοιούτων κινημάτων ἡμῖν ἐνεργήσειεν, τοῦ μὲν φόβου τὸ ὑπήκοον ἐμποιοῦντος, τοῦ δὲ θυμοῦ τὸ ἀνδρεῖον, τῆς δειλίας δὲ τὴν ἀσφάλειαν, τῆς δὲ ἐπιθυμητικῆς ὁρμῆς τὴν θείαν τε καὶ ἀκήρατον ἡμῖν ἡδονὴν προξενούσης. Εἰ δὲ ἀποβάλοι τὰς ἡνίας ὁ λόγος καὶ οἷόν τις ἡνίοχος ἐμπλακεὶς τῷ ἅρματι κατόπιν ὑπ᾽ αὐτοῦ σύροιτο, ἐκεῖ ἀπαγόμενος ὅπουπερ ἂν ἡ ἄλογος κίνησις τῶν ὑπεζευγμένων φέρῃ, τότε εἰς πάθος αἱ ὁρμαὶ καταστρέφονται, οἷον δὴ καὶ ἐν τοῖς ἀλόγοις ἔστιν ἰδεῖν. Ἐπειδὴ γὰρ οὐκ ἐπιστατεῖ λογισμὸς τῆς φυσικῶς αὐτοῖς ἐγκειμένης κινήσεως, τὰ μὲν θυμώδη τῶν ζῴων ἐν ἀλλήλοις φθείρεται τῷ θυμῷ στρατηγούμενα, τὰ δὲ πολύσαρκά τε καὶ δυνατὰ εἰς οὐδὲν οἰκεῖον ἀγαθὸν ἀπώνατο τῆς δυνάμεως, κτῆμα τοῦ λογικοῦ διὰ τὴν ἀλογίαν γινόμενα· ἥ τε τῆς ἐπιθυμίας καὶ τῆς ἡδονῆς ἐνέργεια **58** περὶ οὐδὲν τῶν ὑψηλῶν ἀσχολεῖται, οὔτε ἄλλο τι τῶν ἐν αὐτοῖς θεωρουμένων λόγῳ τινὶ πρὸς τὸ λυσιτελοῦν διεξάγεται. Οὕτω καὶ ἐν ἡμῖν, εἰ μὴ πρὸς τὸ δέον ἄγοιτο ταῦτα διὰ τοῦ λογισμοῦ, ἀλλ᾽ ἐπικρατοίη τῆς τοῦ νοῦ δυναστείας τὰ πάθη, πρὸς τὸ ἄλογόν τε καὶ ἀνόητον μεταβαίνει ὁ ἄνθρωπος ἀπὸ τοῦ διανοητικοῦ τε καὶ θεοειδοῦς, τῇ ὁρμῇ τῶν τοιούτων παθη**[64]**μάτων ἀποκτηνούμενος[α].

Ἐγὼ δὲ σφόδρα περὶ τὰ εἰρημένα διατεθείς, ἀρκεῖ μέν, ἔφην, παντὶ τῷ γε νοῦν ἔχοντι ψιλῶς οὑτωσὶ καὶ ἀκατασκεύως δι᾽ ἀκολούθου προελθὼν ὁ λόγος, εὖ ἔχειν δόξαι καὶ μηδαμοῦ παρεσφάλθαι τῆς ἀληθείας. Ἐπεὶ δὲ τοῖς μὲν τὰς τεχνικὰς ἐφόδους μεμελετηκόσι τῶν ἀποδείξεων ὁ συλλογισμὸς ἱκανὸς εἰς πίστιν δοκεῖ, ἡμῖν δὲ πάντων τῶν τεχνικῶν συμπερασμάτων ἀξιοπιστότερον εἶναι ὁμολογεῖται τὸ διὰ τῶν ἱερῶν τῆς Γραφῆς διδαγμάτων ἀναφαινόμενον, ζητεῖν οἶμαι δεῖν ἐπὶ τοῖς εἰρημένοις, εἰ ἡ θεόπνευστος διδασκαλία συμφέρεται.

Ἡ δέ, καὶ τίς ἂν ἀντείποι, φησί, μὴ οὐχὶ ἐν τούτῳ μόνῳ τὴν ἀλήθειαν τίθεσθαι ᾧ σφραγὶς ἔπεστιν τῆς Γραφικῆς μαρτυρίας; Οὐκοῦν εἰ χρή τι καὶ τῆς τοῦ Εὐαγγελίου διδασκαλίας πρὸς τὴν τοῦ δόγματος τούτου συνηγορίαν παραληφθῆναι, οὐκ ἀπὸ καιροῦ γένοιτ᾽ ἂν ἡμῖν τῆς παραβολῆς τῶν ζιζανίων ἡ θεωρία[2]. Ἔσπειρεν γὰρ ἐκεῖ τὸ καλὸν σπέρμα ὁ οἰκοδεσπότης (ἡμεῖς δὲ πάντως ὁ οἶκός ἐσμεν), καθεύδοντας δὲ τοὺς ἀνθρώπους ἐπιφυλάξας ἐνέσπειρεν ὁ ἐχθρὸς τῷ τροφίμῳ τὸ ἄχρηστον, αὐτῷ τῷ σίτῳ κατὰ τὸ μέσον ἐνθεὶς τὸ ζιζά-

---

1. Πρβλ. Γεν. 1,28. 2. Πρβλ. Ματθ. 13,24 ἑξ.

α. Πρβλ. Γρηγορίου Θεολόγου, Θεολογικὸς Β', ΒΕΠ 59,227,39. Γρηγορίου Νύσσης, Ἀντιρρητικὸς πρὸς τὴν Εὐνομίου Ἔκθεσιν, ἀνωτ. σ. 93,32-94,5.

νιον. Καὶ συνεβλάστησεν ἀλλήλοις τὰ σπέρματα· οὐ γὰρ ἦν δυνατὸν τὸ αὐτῷ τῷ σίτῳ ἐντεθὲν σπέρμα μὴ σὺν ἐκείνῳ βλαστῆσαι. Κωλύει δὲ τοὺς ὑπηρέτας ὁ τῆς γεωργίας ἔφορος μὴ ἀποτίλλειν τὸ ἄχρηστον διὰ τὴν ἐν τῇ ῥίζῃ τῶν ἐναντίων συμφυΐαν, ὡς ἂν μὴ τῷ ἀλλοτρίῳ συνεκτιλῇ τὸ τρόφιμον. Τὰς γὰρ τοιαύτας τῆς ψυχῆς ὁρμὰς διὰ τῶν **60** καλῶν σπερμάτων οἰόμεθα τὸν λόγον ἐνδείκνυσθαι, ὧν ἕκαστον, εἰ μόνον πρὸς τὸ ἀγαθὸν ἐγεωργεῖτο, τὸν τῆς ἀρετῆς ἂν ἡμῖν καρπὸν πάντως ἐβλάστησεν. Ἐπειδὴ δὲ παρενεσπάρη τούτοις ἡ περὶ τὴν τοῦ καλοῦ κρίσιν διαμαρτία, καὶ τὸ ὄντως καὶ μόνον κατὰ τὴν ἰδίαν φύσιν καλὸν διὰ τοῦ συναναφυέντος βλαστοῦ τῆς ἀπάτης ἐπεσκοτίσθη (τὸ γὰρ ἐπιθυμητικὸν οὐ πρὸς τὸ τῇ φύσει καλόν, οὗ χάριν καὶ κατεσπάρη ἡμῖν, ἐφύη τε καὶ ἀνέδραμεν, ἀλλὰ πρὸς τὸ κτηνῶδες καὶ ἄλογον τὸν βλαστὸν μετεποίησεν, τῆς περὶ τὸ καλὸν ἀκρισίας πρὸς τοῦτο **[65]** τὴν τῆς ἐπιθυμίας ἐνεγκούσης ὁρμήν· ὡσαύτως καὶ τὸ τοῦ θυμοῦ σπέρμα οὐ πρὸς ἀνδρείαν ἐστόμωσεν, ἀλλὰ πρὸς τὴν τῶν ὁμοφύλων μάχην ἐξώπλισεν, ἥ τε τῆς ἀγάπης δύναμις τῶν νοητῶν ἀπέστη, περὶ τὴν τῶν αἰσθητῶν ἀπόλαυσιν πέρα τοῦ μέτρου ὑλομανήσασα, καὶ τὰ ἄλλα κατὰ τὸν αὐτὸν τρόπον τοὺς χείρονας βλαστοὺς ἀντὶ τῶν κρειττόνων ἐξήνθησεν), τούτου χάριν ἀφίησιν ὁ σοφὸς γεωργὸς τὸ ἐμφυὲν τῷ σπέρματι βλάστημα ἐν αὐτῷ εἶναι προμηθείᾳ τοῦ μὴ γυμνωθῆναι τῶν κρειττόνων ἡμᾶς, καθ' ὅλου τῆς ἐπιθυμίας τῷ ἀχρήστῳ βλαστῷ συνεκριζωθείσης· εἰ γὰρ τοῦτο πάθοι ἡ ἀνθρωπίνη φύσις, τί ἔστι τὸ ἐπαῖρον ἡμᾶς πρὸς τὴν τῶν οὐρανίων συνάφειαν; ἢ τῆς ἀγάπης ἀφαιρεθείσης, τίνι τρόπῳ πρὸς τὸ Θεῖον συναφθησόμεθα; τοῦ δὲ θυμοῦ κατασβεσθέντος, ποῖον ὅπλον κατὰ τοῦ προσπαλαίοντος ἕξομεν; Ἀφίησι τοίνυν τὰ νόθα τῶν σπερμάτων ἐν ἡμῖν ὁ γεωργός, οὐχ ὡς εἰς ἀεὶ κατακρατεῖν τῆς τιμιωτέρας σπορᾶς, ἀλλ' ὡς αὐτὴν τὴν ἄρουραν (οὕτω γὰρ τὴν καρδίαν τροπικῶς ὀνομάζει), διὰ τῆς ἐγκειμένης αὐτῇ φυσικῆς δυνάμεως, ἥτις ἐστὶν ὁ λογισμός, τὸ μὲν ξηρᾶναι τῶν βλαστημάτων, τὸ δὲ κάρπιμον καὶ εὐθαλὲς ἀπεργάσασθαι. Εἰ δὲ μὴ τοῦτο γένοιτο, τῷ πυρὶ τὴν τῆς γεωργίας διάκρισιν ταμιεύεται. Οὐκοῦν εἰ μέν τις τούτοις κατὰ τὸν δέοντα χρήσαιτο λόγον, ἐν ἑαυτῷ λαμβάνων ἐκεῖνα καὶ μὴ αὐτὸς ἐν ἐκείνοις γινόμενος, ἀλλ' οἷόν τις βασιλεὺς τῇ πολυχειρίᾳ τῶν ὑπηκόων συνεργῷ χρώμενος, ῥᾷον κατορθώσει τὸ κατ' ἀρετὴν σπουδαζόμε**62**νον· εἰ δὲ ἐπ' ἐκείνοις γένοιτο, καθάπερ δούλων τινῶν ἐπαναστάντων τῷ κεκτημένῳ, καὶ ἐξανδραποδισθείη, ταῖς δουλικαῖς ἀπονοίαις ἀγεννῶς ὑποκύψας, καὶ κτῆμα γένοιτο τῶν ὑπεζευγμένων κατὰ τὴν φύσιν αὐτῷ, πρὸς ἐκεῖνα κατ' ἀνάγκην μετατεθήσεται πρὸς ἅπερ ἂν ἡ ἐπικράτησις τῶν καθηγουμένων βιάζηται. Εἰ δὲ ταῦτα τοῦτον ἔχει τὸν τρόπον, οὔτε ἀρετὴν οὔτε κακίαν ἐφ' ἑαυτῶν ταῦτα ἀποφανούμεθα, ὅσα κινήματα τῆς ψυχῆς ὄντα ἐπὶ τῇ ἐξουσίᾳ τῶν χρωμένων κεῖται, ἢ καλῶς ἢ ὡς ἑτέρως ἔχειν, ἀλλ', ὅταν μὲν αὐτοῖς πρὸς τὸ κρεῖττον ἡ

κίνησις ᾖ, ἐπαίνων γίνεσθαι ὕλην ὡς τῷ Δανιὴλ τὴν ἐπιθυμίαν[1] καὶ τῷ Φινεὲς τὸν θυμὸν[2] καὶ τῷ καλῶς πενθοῦντι τὴν λύπην[3], εἰ δὲ πρὸς τὸ χεῖρον γένοιτο ἡ ῥοπή, τότε πάθη γίνεσθαι ταῦτα καὶ ὀνομάζεσθαι.

Ἐγὼ δὲ ταῦτα διεξελθούσης, ἐπειδὴ παυσαμένη βραχύ τι ἔδωκε τῷ λόγῳ διαλιπεῖν, καὶ συνελεξάμην τῇ διανοίᾳ τὰ εἰρημένα, πάλιν ἐπὶ τὴν προτέραν ἀνέδραμον ἀκολουθίαν τοῦ λόγου, ἐν ᾧ κατεσκευάζετο μὴ ἀδύνατον εἶναι τὴν ψυχὴν διαλυθέντος τοῦ σώματος ἐν τοῖς στοιχείοις εἶναι[α], καὶ τοῦτο εἶπον πρὸς τὴν διδάσκαλον, ποῦ ἐκεῖνο τὸ πολυθρύλητον τοῦ ᾅδου ὄνομα, πολὺ μὲν ἐν τῇ συνηθείᾳ τοῦ βίου, πολὺ δὲ ἐν ταῖς συγγραφαῖς ταῖς τε ἔξωθεν καὶ ταῖς ἡμετέραις περιφερόμενον, εἰς ὃ πάντες οἴονται καθάπερ εἴς τι δοχεῖον ἐνθένδε τὰς ψυχὰς μετανίστασθαι[β], οὐ γὰρ ἂν τὰ στοιχεῖα τὸν ᾅδην λέγοις.

Καὶ ἡ Διδάσκαλος, δῆλος εἶ, φησί, μὴ λίαν προσεσχηκὼς τῷ λόγῳ· τὴν γὰρ ἐκ τοῦ ὁρωμένου πρὸς τὸ ἀειδὲς μετάστασιν τῆς ψυχῆς εἰποῦσα οὐδὲν ᾤμην ἐλλελοιπέναι εἰς τὸ περὶ τοῦ ᾅδου ζητούμενον. Οὐδὲ γὰρ ἄλλο τί μοι δοκεῖ παρά τε τῶν ἔξωθεν καὶ παρὰ τῆς θείας Γραφῆς τὸ ὄνομα τοῦτο διασημαίνειν, ἐν ᾧ τὰς ψυχὰς γίνεσθαι λέγουσι, πλὴν τὴν εἰς τὸ ἀφανές τε καὶ ἀειδὲς μεταχώρησιν.

64 Καὶ πῶς, εἶπον ἐγώ, τὸν ὑποχθόνιον χῶρον οἴονταί τινες οὕτω λέγεσθαι, ἐν ἑαυτῷ τε κἀκεῖνον τὰς ψυχὰς πανδοχεύειν, καθάπερ τι χώρημα τῆς τοιαύτης φύσεως δεκτικὸν τὰς ἀποπτάσας ἤδη τῆς ἀνθρωπίνης ζωῆς πρὸς ἑαυτὸν ἐφελκόμενον;

Ἀλλ' οὐδὲν μᾶλλον, φησὶν ἡ διδάσκαλος, τὸ δόγμα διὰ τῆς ὑπονοίας ταύτης παραβλαβήσεται, εἴπερ ἀληθὴς ὁ λόγος ὁ κατὰ σέ. Τῷ συνεχῆ γὰρ πρὸς ἑαυτὸν καὶ ἀδιάσπαστον εἶναι τὸν οὐράνιον πόλον, τῷ ἰδίῳ κύκλῳ πάντα ἐμπεριέχοντα, καὶ ἐν τῷ μέσῳ τὴν γῆν καὶ τὰ περὶ αὐτὴν αἰωρεῖσθαι, καὶ πάντων τῶν κυκλοφορουμένων τὴν κίνησιν περὶ τὸ ἑστὼς καὶ πάγιον γίνεσθαι, ἀνάγκη πᾶσα, φησίν, ὅ τί περ ἂν ἑκάστῳ τῶν στοιχείων ᾖ κατὰ τὸ ἄνω τῆς γῆς μέρος, τοῦτο καὶ κατὰ τὸ ἀντικείμενον εἶναι, μιᾶς καὶ τῆς αὐτῆς οὐσίας ὅλον αὐτῆς τὸν ὄγκον ἐν κύκλῳ περιθεούσης. Καὶ ὥσπερ ὑπὲρ γῆν τοῦ ἡλίου φανέντος ἐπὶ τὸ ὑποκείμενον αὐτῆς στρέφεται ἡ **[69]** σκιά, τοῦ σφαιροειδοῦς σχήματος οὐ δυναμένου κατὰ ταὐτὸν ἐν κύκλῳ διαληφθῆναι τῇ τῆς ἀκτῖνος περιβολῇ, ἀλλὰ κατὰ πᾶσαν ἀνάγκην, καθ' ὅπερ ἂν τῆς γῆς μέρος προσβάλῃ ταῖς ἀκτῖσιν ὁ ἥλιος, κατά τινος κέντρου πάντως ἐπὶ τῆς σφαίρας γινόμενος, πρὸς τὴν εὐθεῖαν διάμετρον κατὰ τὸ ἕτερον πέρας σκότος ἔσται καὶ οὕτω κατὰ τὸ διηνεκὲς τῷ ἡλιακῷ δρόμῳ ἐπὶ τὸ ἀντικείμενον τῇ τῆς ἀκτῖνος εὐθείᾳ συμπεριοδεύει τὸ

1. Πρβλ. Δαν. (Θδτ.) 9,23. 10,11,19. 2. Πρβλ. Ἀριθ. 25,11. 3. Πρβλ. Β' Κορ. 7,10.

α. Πρβλ. Γρηγορίου Νύσσης, Περὶ ψυχῆς καὶ ἀναστάσεως, ἀνωτ. σ. 332 σημ. α.

β. Πρβλ. Πλάτ., Φαῖδρος 250B.

σκότος, ὥστε κατὰ τὸ ἴσον τόν τε ὑπέργειον καὶ τὸν ὑπόγειον τόπον ἀνὰ μέρος γίνεσθαι ἐν φωτί τε καὶ σκότῳ, οὕτως εἰκὸς καὶ τἄλλα πάντα ὅ τί περ ἂν στοιχειωδῶς ἐν τῷ καθ' ἡμᾶς ἡμισφαιρίῳ τῆς γῆς θεωρεῖται, τὸ αὐτὸ καὶ περὶ τὸ ἕτερον εἶναι μὴ ἀμφιβάλλειν. Μιᾶς δὲ καὶ τῆς αὐτῆς οὔσης κατὰ πᾶν τῆς γῆς μέρος τῆς τῶν στοιχείων περιβολῆς οὔτε ἀντιλέγειν οὔτε συναγορεύειν οἶμαι δεῖν τοῖς περὶ τούτων ἐνισταμένοις, ὡς δέον ἢ τοῦτον ἢ τὸν καταχθόνιον τόπον ἀποτετάχθαι οἴεσθαι ταῖς τῶν σωμάτων ἐκλυθείσαις ψυ**66**χαῖς. Ἕως γὰρ ἂν μὴ παρακινοίη τὸ προηγούμενον δόγμα ἡ ἔνστασις περὶ τοῦ εἶναι μετὰ τὴν ἐν σαρκὶ ζωὴν τὰς ψυχάς, οὐδὲν περὶ τοῦ τόπου ὁ ἡμέτερος λόγος διενεχθήσεται, μόνων σωμάτων ἴδιον εἶναι τὴν ἐπὶ τόπου θέσιν καταλαμβάνων, ψυχὴν δὲ ἀσώματον οὖσαν μηδεμίαν ἀνάγκην ἔχειν ἐκ φύσεως τόποις τισὶν ἐγκατέχεσθαι.

Τί οὖν; εἶπον, εἰ τὸν Ἀπόστολον ὁ ἀντιλέγων προβάλλοιτο, πᾶσαν λέγοντα τὴν λογικὴν κτίσιν ἐν τῇ τοῦ παντὸς ἀποκαταστάσει πρὸς τὸν τοῦ παντὸς ἐξηγούμενον βλέπειν, ἐν οἷς καὶ καταχθονίων μνημονεύει τινῶν δι' ἐπιστολῆς πρὸς Φιλιππησίους εἰπὼν ὅτι αὐτῷ «πᾶν γόνυ κάμψει ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων»[1].

Ἐπιμενοῦμεν τῷ δόγματι, φησὶν ἡ διδάσκαλος, κἂν ταῦτα λεγόντων ἀκούωμεν, περὶ μὲν τοῦ εἶναι τὴν ψυχὴν καὶ τὸν ἀντιλέγοντα σύμψηφον ἔχοντες, περὶ δὲ τοῦ τόπου, καθὼς ἐν τοῖς φθάσασιν εἴρηται, οὐκ ἐνιστάμενοι.

Τοῖς οὖν ἐπιζητοῦσιν, εἶπον, τὴν ἀποστολικὴν ἐν τῇ φωνῇ ταύτῃ διάνοιαν, τί ἄν τις εἴποι, εἴπερ τῆς τοπικῆς σημασίας ἀποκινοίη τὴν λέξιν;

Ἡ δέ, οὔ μοι δοκεῖ, φησίν, ὁ θεῖος Ἀπόστολος, τοπικῶς τὴν νοερὰν διακρίνων οὐσίαν, τὸ μέν τι ἐπουράνιον, τὸ δὲ ἐπίγειον, τὸ δὲ καταχθόνιον ὀνομάσαι. Ἀλλ' ἐπειδὴ τρεῖς τῆς λογικῆς φύσεώς εἰσι καταστάσεις, ἡ μὲν ἐξ ἀρχῆς τὴν ἀσώματον λαχοῦσα ζωήν, ἣν ἀγγελικὴν ὀνομάζομεν, ἡ δὲ πρὸς τὴν σάρκα **[72]** συμπεπλεγμένη, ἣν ἀνθρωπίνην φαμέν, ἡ δὲ διὰ θανάτου τῶν σαρκῶν ἀπολελυμένη, ὅπερ ἐν ψυχαῖς θεωρεῖται, τοῦτο οἶμαι τῷ βάθει τῆς σοφίας βλέποντα τὸν θεῖον Ἀπόστολον πάσης τῆς λογικῆς φύσεως τὴν ἐν τῷ ἀγαθῷ ποτε γενησομένην συμφωνίαν ἀποσημαίνειν, ἐπουράνιον μὲν καλοῦντα τὸ ἀγγελικὸν καὶ ἀσώματον, ἐπίγειον δὲ τὸ συμπεπλεγμένον τῷ σώματι, καταχθόνιον δὲ τὸ διακεκριμένον ἤδη τοῦ σώματος, ἢ εἰ **68** δή τις καὶ ἄλλη παρὰ τὰ εἰρημένα φύσις ἐν λογικοῖς θεωρεῖται, ἣν εἴτε δαίμονας εἴτε πνεύματα εἴτε ἄλλο τι τοιοῦτον ἐθέλοι τις κατονομάζειν, οὐ διοισόμεθα. Πεπίστευται γὰρ ἔκ τε τῆς κοινῆς ὑπολήψεως καὶ ἐκ τῆς τῶν Γραφῶν παραδόσεως εἶναί τινα φύσιν ἔξω τῶν τοιούτων σωμάτων, ὑπεναντίως πρὸς τὸ καλὸν διακειμένην καὶ βλαπτικὴν τῆς

---

1. Φιλιπ. 2,10.

ἀνθρωπίνης ζωῆς, ἑκουσίως τῆς κρείττονος λήξεως ἀπορρυεῖσαν καὶ τῇ ἀποστάσει τοῦ καλοῦ τὸ ἐκ τοῦ ἐναντίου νοούμενον ἐν ἑαυτῇ ὑποστήσασαν, ἥνπερ φασὶ καταχθονίοις ἐναριθμεῖν τὸν Ἀπόστολον, τοῦτο ἐν ἐκείνῳ τῷ λόγῳ σημαίνοντα, ὅτι τῆς κακίας ποτὲ ταῖς μακραῖς τῶν αἰώνων περιόδοις ἀφανισθείσης οὐδὲν ἔξω τοῦ ἀγαθοῦ καταλειφθήσεται, ἀλλὰ καὶ παρ' ἐκείνων ὁμόφωνος ἡ ὁμολογία τῆς τοῦ Χριστοῦ κυριότητος ἔσται. Τούτων οὖν οὕτως ἐχόντων οὐκέτ' ἄν τις ἡμᾶς ἀναγκάζοι τῷ τῶν καταχθονίων ὀνόματι τὸν ὑπόγειον ἐννοεῖν χῶρον, ἐπ' ἴσης τοῦ ἀέρος ἁπανταχόθεν περικεχυμένον τῇ γῇ, ὡς μηδὲν αὐτῆς μέρος γυμνὸν τῆς περιβολῆς τοῦ ἀέρος καταλαμβάνεσθαι.

Ταῦτα δὲ διεξελθούσης τῆς διδασκάλου, μικρὸν ἐπισχών, οὔπω ἱκανῶς ἔχω, φημί, τοῦ ζητουμένου, ἀλλ' ἔτι μοι τοῖς εἰρημένοις ἐπιδιστάζει πως ἡ διάνοια καὶ δέομαι πάλιν ἐπαναχθῆναί μοι πρὸς τὴν αὐτὴν ἀκολουθίαν τὸν λόγον, τῶν μὲν ἤδη συμβιβασθέντων ἡμῖν ἀπαλλαγέντα· μετρίως γὰρ οἶμαι διὰ τῶν εἰρημένων τοὺς μὴ λίαν ἀντιτύπως ἔχοντας ἐναχθήσεσθαι μὴ εἰς ἀναίρεσιν καὶ ἀνυπαρξίαν τὴν ψυχὴν μετὰ τὴν διάλυσιν τῶν σωμάτων ἄγειν, μηδὲ κατασκευάζειν μηδαμοῦ δύνασθαι αὐτὴν ἐν τοῖς οὖσιν εἶναι διὰ τὸ ἑτεροφυῶς ἔχειν πρὸς τὴν τῶν στοιχείων οὐσίαν. Κἂν μὴ συμβαίνῃ γὰρ τούτοις ἡ νοερά τε καὶ ἄυλος φύσις, τὸ εἶναι ἐν αὐτοῖς οὐ κωλύεται, διχόθεν ἡμῖν τῆς ὑπολήψεως ταύτης βεβαιουμένης ἔκ τε τοῦ νῦν ἐν τῇ ζωῇ ταύτῃ τὴν ψυχὴν ἐν τοῖς σώμασιν εἶναι, ἄλλο τι παρὰ τὸ σῶμα κατὰ τὴν οὐσίαν ὑπάρχουσαν καὶ ἐκ τοῦ τὴν θείαν φύσιν ἀποδεῖξαι **[73]** τὸν λόγον **70** ἄλλο τι παντάπασιν οὖσαν τῆς αἰσθητικῆς τε καὶ ὑλικῆς οὐσίας, ὅμως δὲ δι' ἑκάστου τῶν ὄντων διήκειν καὶ τῇ πρὸς τὸ πᾶν ἀνακράσει συνέχειν ἐν τῷ εἶναι τὰ ὄντα, ὡς διὰ τούτων κατὰ τὸ ἀκόλουθον μηδὲ τὴν ψυχὴν ἔξω τῶν ὄντων οἴεσθαι ἀπὸ τῆς ἐν εἴδει θεωρουμένης ζωῆς εἰς τὸ ἀειδὲς μεταστᾶσαν. Ἀλλὰ πῶς, εἶπον, τῆς τῶν στοιχείων ἑνώσεως ἕτερόν τι διὰ τῆς πρὸς ἄλληλα μίξεως εἶδος ἀναλαβόντων, πρὸς ὃ τῆς ψυχῆς γέγονεν ἡ οἰκείωσις, ἐπειδὰν τῇ διαλύσει τῶν στοιχείων κατὰ τὸ εἰκὸς συναφανισθῇ καὶ τὸ εἶδος, τίνι σημείῳ κατακολουθήσει ἡ ψυχὴ μετὰ τοῦτο, τοῦ ἐγνωσμένου μὴ παραμείναντος;

Ἡ δὲ μικρὸν ἐπισχοῦσα, δεδόσθω μοι, φησί, κατ' ἐξουσίαν πλάσαι τινὰ λόγον ἐν ὑποδείγματι πρὸς τὴν τοῦ προκειμένου σαφήνειαν, κἂν ἔξω τοῦ δυνατοῦ δοκῇ τὸ λεγόμενον· δεδόσθω γὰρ δυνατὸν εἶναι τῇ τοῦ ζωγράφου τέχνῃ μὴ μόνον μιγνύειν ἐξ ἐναντίων τὰ χρώματα, καθὼς ἔθος ποιεῖν αὐτοῖς, πρὸς τὴν τῆς μορφῆς ὁμοιότητα, ἀλλὰ καὶ διακρίνειν τὰ μεμιγμένα καὶ τὴν κατὰ φύσιν πάλιν ἑκάστῳ τῶν χρωμάτων ἀποδιδόναι βαφήν. Οὐκοῦν τὸ λευκὸν καὶ τὸ μέλαν ἢ τὸ ἐρυθρὸν καὶ τὸ χρυσοειδὲς ἢ εἴ τις ἄλλη βαφὴ πρὸς τὴν ὁμοιότητα τοῦ προκειμένου συγκίρναται, εἰ πάλιν ἀποκριθείη τῆς πρὸς τὸ

ἕτερον μίξεως καὶ ἐφ' ἑαυτοῦ γένοιτο, οὐδὲν ἧττον γινώσκεσθαι ὑπὸ τοῦ τεχνίτου φαμὲν αὐτὸ τὸ εἶδος τοῦ χρώματος καὶ μηδεμίαν ἐγγίνεσθαι λήθην αὐτῷ μήτε τοῦ ἐρυθροῦ μήτε τοῦ μέλανος, εἰ ἑτερόχροα κατὰ τὴν πρὸς ἄλληλα μίξιν γενόμενα, πάλιν εἰς τὴν κατὰ φύσιν ἐπανέλθοι βαφήν· μεμνημένον δὲ τοῦ τρόπου τῆς πρὸς ἄλλα τῶν χρωμάτων συγκράσεως εἰδέναι ποῖον ἐν τίνι γενόμενον, οἷον ἀπειργάσατο χρῶμα, καὶ ὅπως ἐκπλυθέντος τοῦ ἑτέρου πάλιν εἰς τὸ οἰκεῖον ἐπανέδραμεν ἄνθος· καὶ εἰ πάλιν δέοι διὰ τῆς μίξεως τὸ ἴσον ἐργάσασθαι, ἀπονωτέρα ἔσται αὐτῷ ἡ κατασκευή, ἐν τῇ προλαβούσῃ δημιουρ**72**γίᾳ μελετηθεῖσα. Εἰ δή τι ἀκόλουθον ἐν τῷ ὑποδείγματι, φησίν, ὁ λόγος ἔχει, ἐξεταστέον ἤδη ἡμῖν αὐτὸ τὸ προκείμενον· ἀντὶ γὰρ τῆς γραφικῆς τέχνης ἡ ψυχὴ προκείσθω τῷ λόγῳ καὶ ἀντὶ τῶν χρωμάτων τῆς τέχνης ἡ τῶν στοιχείων νοείσθω φύσις, ἡ δὲ μίξις τῆς ποικίλης τῶν ἑτεροχροούντων βαφῆς, καὶ πάλιν ἡ δοθεῖσα ἡμῖν καθ' ὑπόθεσιν εἰς τὰ οἰκεῖα τούτων ἐπάνοδος τὴν συνδρομήν τε καὶ διάστασιν τῶν στοιχείων ὑπογρα**[76]**φέτω. Ὥσπερ οὖν φαμεν ἐν τῷ ὑποδείγματι μὴ ἀγνοεῖν τὴν βαφὴν τοῦ χρώματος τὸν τεχνίτην, μετὰ τὴν μίξιν πάλιν εἰς τὸ οἰκεῖον ἄνθος ἐπανελθοῦσαν, ἀλλ' ἐπιγινώσκειν τό τε ἐρυθρὸν καὶ τὸ μέλαν καὶ εἴ τι ἕτερον διὰ τῆς ποιᾶς πρὸς τὸ ἑτερογενὲς κοινωνίας τὴν μορφὴν ἀπειργάσατο, οἷον μὲν ἦν ἐν τῇ μίξει, οἷον δὲ νῦν ἐστιν ἐν τῷ κατὰ φύσιν γενόμενον, οἷον δὲ πάλιν ἔσται, εἰ ὁμοιοτρόπως αὖθις ἀλλήλοις ἀναμιχθείη τὰ χρώματα, — οὕτως εἰδέναι τὴν ψυχὴν τῶν συνδραμόντων στοιχείων πρὸς τὴν τοῦ σώματος κατασκευήν, ᾧ ἐνεφύη, καὶ μετὰ τὴν διάλυσιν αὐτῶν τὴν φυσικὴν ἰδιότητα. Κἂν πόρρωθεν ἀπ' ἀλλήλων αὐτὰ ἡ φύσις ἀφέλκῃ διὰ τὰς ἐγκειμένας ἐναντιότητας, ἕκαστον αὐτῶν τῆς πρὸς τὸ ἐναντίον ἐπιμιξίας ἀπείργουσα, οὐδὲν ἧττον παρ' ἑκάστῳ ἔσται, τῇ γνωστικῇ δυνάμει τοῦ οἰκείου ἐφαπτομένη καὶ παραμένουσα, ἕως ἂν εἰς ταὐτὸν πάλιν ἡ τῶν διεστώτων γένηται συνδρομὴ πρὸς τὴν τοῦ διαλυθέντος ἀναστοιχείωσιν, ὅπερ ἀνάστασις κυρίως καὶ ἔστι καὶ ὀνομάζεται.

Κἀγὼ εἶπον, Ἄριστά μοι δοκεῖς κατὰ πάροδον συμμεμαχηκέναι τῷ λόγῳ τῆς ἀναστάσεως· δύνασθαι γὰρ ἂν διὰ τούτων ἠρέμα προσαχθῆναι τοὺς ἀπομαχομένους τῇ πίστει πρὸς τὸ μὴ οἴεσθαι τῶν ἀδυνάτων εἶναι πάλιν ἀλλήλοις συνελθεῖν τὰ στοιχεῖα καὶ τὸν αὐτὸν ἀπεργάσασθαι ἄνθρωπον.

74 Ναί, φησὶν ἡ διδάσκαλος, ἀληθὲς τοῦτο λέγεις. Ἔστι γὰρ λεγόντων ἀκούειν τῶν πρὸς τὸν λόγον τοῦτον ἐνισταμένων ὅτι, εἰς τὸ πᾶν κατὰ τὸ συγγενὲς γινομένης τῶν στοιχείων τῆς ἀναλύσεως, τίς μηχανὴ τὸ ἐν τῷδε θερμὸν ἐν τῷ καθ' ὅλου γενόμενον ἀμιγὲς τοῦ συγγενοῦς πάλιν ἀποκριθῆναι πρὸς τὸ συστῆναι τὸν ἀναπλασσόμενον ἄνθρωπον; Εἰ γὰρ μὴ ἀκριβῶς τὸ ἴδιον ἐπανέλθοι, ἐκ δὲ τοῦ ὁμογενοῦς ἀντὶ τοῦ ἰδιάζοντός τι παραληφθείη, ἕτερον ἀνθ' ἑτέρου γενήσεται

καὶ οὐκέτ' ἂν εἴη τὸ τοιοῦτον ἀνάστασις, ἀλλὰ καινοῦ ἀνθρώπου δημιουργία. Εἰ δὲ χρὴ τὸν αὐτὸν εἰς ἑαυτὸν πάλιν ἐπανελθεῖν, δι' ὅλου εἶναι προσήκει τὸν αὐτὸν ἑαυτῷ, πᾶσι τοῖς τῶν στοιχείων μέρεσι τὴν ἐξ ἀρχῆς ἐπαναλαβόντα φύσιν.

Οὐκοῦν, εἶπον, αὐτάρκης ἡμῖν καὶ πρὸς ταύτην τὴν ἔνστασιν ἡ τοιαύτη περὶ τῆς ψυχῆς ἂν εἴη ὑπόληψις, τὸ οἷς ἐξ ἀρχῆς ἐνεφύη στοιχείοις, τούτοις καὶ μετὰ **[77]** τὴν διάλυσιν παραμένειν, οἱονεὶ φύλακα τῶν οἰκείων καθισταμένην καὶ ἐν τῇ ἀνακράσει τῇ πρὸς τὸ ὁμόφυλον οὐ διαφιεῖσαν τὸ ἴδιον ἐν τῷ λεπτῷ τε καὶ εὐκινήτῳ τῆς νοερᾶς δυνάμεως, οὐδεμίαν ἐν τῇ λεπτομερείᾳ τῶν στοιχείων ὑπομένουσαν πλάνην, ἀλλὰ συνδιαδύεσθαι τοῖς ἰδίοις καταμιγνυμένοις πρὸς τὸ ὁμόφυλον, καὶ μὴ ἀτονεῖν συνδιεξιοῦσαν αὐτοῖς, ὅταν πρὸς τὸ πᾶν ἀναχέωνται, ἀλλ' ἐν αὐτοῖς ἀεὶ μένειν, ὅπουπερ ἂν αὐτὰ καὶ ὅπως παρασκευάσῃ ἡ φύσις. Εἰ δὲ γένοιτο πάλιν παρὰ τῆς τὸ πᾶν οἰκονομούσης δυνάμεως τοῖς διαλυθεῖσι πρὸς τὴν συνδρομὴν τὸ ἐνδόσιμον, τότε καθάπερ εἰ μιᾶς ἀρχῆς ἐξαφθεῖεν σχοῖνοι διάφοροι, ὁμοῦ τε καὶ κατ' αὐτὸν αἱ πᾶσαι τῷ ἐφελκομένῳ συνέπονται, οὕτως ἐν μιᾷ τῆς ψυχῆς δυνάμει τῆς τῶν στοιχείων διαφορᾶς ἑλκομένης ἀθρόως ἐν τῇ συνδρομῇ τῶν οἰκείων ἡ τοῦ σώματος ἡμῶν σειρὰ διὰ τῆς ψυχῆς συμπλακήσεται, καταλλήλως ἑκάστου **76** πάλιν πρὸς τὸ ἀρχαῖον καὶ σύνηθες πλεκομένου τε καὶ περιπτυσσομένου τὸ γνώριμον.

Ἀλλὰ καὶ τοῦτο τὸ ὑπόδειγμα, φησὶν ἡ διδάσκαλος, εἰκότως ἂν προστεθείη τοῖς ἐξητασμένοις εἰς ἀπόδειξιν τοῦ μὴ πολλὴν εἶναι τῇ ψυχῇ τὴν δυσκολίαν ἐν τοῖς στοιχείοις διακρίνειν τοῦ ἀλλοτρίου τὸ ἴδιον. Προκείσθω γὰρ τῷ κεραμεύοντι πηλὸς καθ' ὑπόθεσιν, πολὺς δὲ οὗτος εἶναι δεδόσθω, οὗ τὸ μέν τι πρὸς τὴν τῶν σκευῶν ἀπεργασίαν ἤδη τετύπωται, τὸ δὲ μέλλει· τὰ δὲ σκεύη πάντα μὴ ὁμοειδῶς ἀλλήλοις διεσχηματίσθω, ἀλλὰ τὸ μὲν πίθος, τὸ δὲ ἀμφορεύς, ἕτερον δὲ πινάκιον ἢ τρυβλίον ἢ ἄλλο τι τῶν κατὰ τὴν χρῆσιν ἐπιτηδείων ἔστω. Ταῦτα δὲ πάντα μὴ εἷς κεκτήσθω, ἀλλ' ἴδιος ἑκάστου δεσπότης ὑποκείσθω τῷ λόγῳ. Οὐκοῦν ἕως ἂν συνεστήκῃ ταῦτα, φανερὰ τοῖς ἔχουσι γίνεται, κἂν συντριβῇ, πάλιν οὐδὲν ἧττον γνώριμα καὶ ἀπὸ τῶν συντριμμάτων τοῖς κεκτημένοις ἔσται, τί μὲν τὸ ἐκ τοῦ πίθου, ποῖον δὲ τὸ ἐκ τοῦ ποτηρίου τρύφος ἐστίν. Εἰ δὲ καὶ πρὸς τὸν ἀκατέργαστον καταμιχθείη πηλόν, πολὺ μᾶλλον ἀπλανὴς ἡ διάγνωσις τῶν ἤδη κατειργασμένων ἀπ' ἐκείνου γίνεται. Οὕτως οἷόν **[80]** τι σκεῦος ὁ καθ' ἕκαστόν ἐστιν ἄνθρωπος, ἐκ τῆς συνδρομῆς τῶν στοιχείων ἀπὸ τῆς κοινῆς ὕλης τετυπωμένος, ἐν ἰδιάζοντι πάντως τῷ σχήματι πολλὴν πρὸς τὸ ὁμογενὲς τὴν διαφορὰν ἔχων· οὗ διαλυθέντος οὐδὲν ἧττον καὶ ἀπὸ τῶν λειψάνων ἡ κεκτημένη τὸ σκεῦος ψυχὴ τὸ οἰκεῖον ἐπιγινώσκει, οὔτε ἐν τῇ κοινωνίᾳ τῶν συντριμμάτων, οὔτε εἰ πρὸς τὸ ἀκατέργαστον τῆς τῶν στοιχείων ὕλης καταμιχθείη, τοῦ οἰκείου ἀφισταμένη, ἀλλ' ἀεὶ ἐπισταμένη τὸ ἴδιον, οἷόν τε συνεστὼς ἐν τῷ σχή-

ματι ἦν, καὶ μετὰ τὴν διάλυσιν ἐκ τῶν ἐναπομεινάντων σημείων τοῖς λειψάνοις οὐ πλανωμένη περὶ τὸ ἴδιον.

Ἀποδεξάμενος δὲ τὰ εἰρημένα, ὡς προσφυῶς τε καὶ οἰκείως πρὸς τὸν προκείμενον εὑρεθέντα σκοπόν, Ταῦτα **78** μὲν οὕτως, εἶπον, λέγεσθαί τε καὶ πιστεύεσθαι καλῶς ἔχει· εἰ δέ τις τὸ ἐν τῷ Εὐαγγελίῳ τοῦ Κυρίου περὶ τῶν ἐν ᾅδου[1] διήγημα πρὸς τὰ εἰρημένα προφέροι, ὡς οὐ συμβαῖνον τοῖς ἐξητασμένοις, πῶς χρὴ παρασκευάσασθαι πρὸς τὴν ἀπόκρισιν;

Ἡ δέ, σωματικώτερον μέν, φησίν, ὁ λόγος ἐκτίθεται τὸ διήγημα, πολλὰς δὲ κατασπείρει τὰς ἀφορμὰς δι' ὧν εἰς λεπτοτέραν θεωρίαν ἐκκαλεῖται τὸν ἐξεταστικῶς ἐπαΐοντα. Ὁ γὰρ χάσματι μεγάλῳ διείργων τὸ κακὸν ἐκ τοῦ κρείττονος, σταγόνος τέ τινος διὰ δακτύλου κομιζομένης ἐπιδεᾶ ποιήσας τὸν ὀδυνώμενον καὶ πατριάρχου κόλπου τῷ διὰ τῆς ζωῆς ταύτης κεκακωμένῳ ὑποθεὶς εἰς ἀνάπαυσιν, πρὸ τούτων δὲ καὶ τὸ τεθνάναι αὐτοὺς καὶ ταφῇ δοθῆναι διηγησάμενος, οὐ μικρῶς ἀφίστησι τῆς κατὰ τὸ πρόχειρον διανοίας τὸν μὴ ἀσυνέτως τοῖς λεγομένοις ἑπόμενον. Ποίους γὰρ ὀφθαλμοὺς ἐπαίρει ἐν τῷ ᾅδῃ ὁ πλούσιος, τοὺς τῆς σαρκὸς ἐναφεὶς τῷ τάφῳ; πῶς δὲ τῆς φλογὸς ἐπαισθάνεται τὸ ἀσώματον; ποίαν δὲ γλῶσσαν καταψυχθῆναι διὰ τῆς σταγόνος ἐπιθυμεῖ, τῆς σαρκίνης αὐτῷ μὴ παρούσης; τίς δὲ ὁ διακομίζων αὐτῷ τὴν ῥανίδα δάκτυλος; αὐτὸς δὲ ὁ κόλπος τῆς ἀναπαύσεως τίς[2]; Τῶν γὰρ σωμάτων ἐν τάφοις ὄντων, τῆς δὲ ψυχῆς οὔτε ἐν σώματι οὔσης οὔτε ἐκ μερῶν συνεστώσης, ἄπορον ἂν εἴη τὴν τοῦ διηγήματος διασκευὴν κατὰ τὸ προχείρως νοούμενον ἐφαρμόσαι τῇ ἀληθείᾳ, εἰ μή τις μεταλάβοι τὰ καθ' ἕκαστον εἰς νοητὴν θεωρίαν, ὥστε χάσμα τὸ διεῖργον τῶν ἀμίκτων τὴν κοινωνίαν μὴ γῆς διάστασιν οἴεσθαι. Τῷ γὰρ ἀσωμάτῳ καὶ νοερῷ τίς πόνος διαπτῆναι τὸ χάσμα, καὶ εἰ μήκιστον ἦν, διότι τὸ νοερὸν τῇ φύσει, ἐν ᾧπερ ἂν ἐθέλῃ, ἀχρόνως γίνεται;

Τί οὖν ἂν εἴη, φημί, **[81]** τὸ πῦρ ἢ τὸ χάσμα ἢ τὰ λοιπὰ τῶν εἰρημένων, εἰ μὴ ἃ λέγεταί ἐστιν;

80 Ἐμοὶ δοκεῖ, φησί, δόγματά τινα περὶ τῶν κατὰ τὴν ψυχὴν ζητουμένων δι' ἑκάστου τούτων ὑποσημαίνειν τὸ Εὐαγγέλιον. Προειπὼν γὰρ πρὸς τὸν πλούσιον ὁ πατριάρχης ὅτι, ἀπέσχες τῷ διὰ σαρκὸς βίῳ τῶν ἀγαθῶν τὴν μοῖραν, καὶ περὶ τοῦ πτωχοῦ τὸ ἴσον εἰπών, ὅτι καὶ οὗτος ἀπέπλησε παρὰ τὸν βίον τῆς τῶν κακῶν μετουσίας τὴν λειτουργίαν, εἶθ' οὕτως ἐπαγαγὼν περὶ τοῦ χάσματος, ᾧ ἀπ' ἀλλήλων διατειχίζονται[3], μέγα τι δόγμα διὰ τούτων ἔοικεν ὑποδεικνύειν τῷ λόγῳ. Τὸ δὲ δόγμα κατά γε τὸν ἐμὸν λόγον τοιοῦτόν ἐστι. Μονοειδὴς ἦν τὸ κατ' ἀρχὰς ἡ τῶν ἀνθρώπων ζωή. Μονοειδῆ δὲ λέγω τὴν

---

1. Πρβλ. Λουκ. 16,23 ἑξ. 2. Πρβλ. Λουκ. 16,19 ἑξ. 3. Πρβλ. Λουκ. 16,25-26.

ἐν μόνῳ τῷ ἀγαθῷ θεωρουμένην καὶ πρὸς τὸ κακὸν ἀνεπίμικτον. Τὸν δὲ τοιοῦτον λόγον ὁ πρῶτος τοῦ Θεοῦ νόμος μαρτύρεται, ὁ τοῦ παντὸς μὲν δοὺς τῶν ἐν τῷ παραδείσῳ καλῶν ἄφθονον τῷ ἀνθρώπῳ τὴν μετουσίαν, ἀπείργων δὲ μόνου ἐκείνου ᾧ σύμμικτος ἦν ἐκ τῶν ἐναντίων ἡ φύσις, τοῦ κακοῦ πρὸς τὸ καλὸν συγκεκραμένου, θάνατον ἐπιθεὶς τῷ παρανομήσαντι τὴν ζημίαν. Ἀλλ᾽ ἐκουσίως ὁ ἄνθρωπος ἐν τῷ αὐτεξουσίῳ κινήματι καταλιπὼν τὴν ἀμιγῆ τοῦ χείρονος μοῖραν τὴν ἐκ τῶν ἐναντίων σύγκρατον ζωὴν ἐπεσπάσατο. Οὐ μὴν ἀφῆκεν ἡ θεία προμήθεια τὴν ἀβουλίαν ἡμῶν ἀδιόρθωτον. Ἀλλ᾽ ἐπειδὴ τοῖς παραβεβηκόσι τὸν νόμον ὁ κριθεὶς ἐπ᾽ αὐτῷ θάνατος ἀναγκαίως ἐπηκολούθησεν, διχῇ μερίσας τὴν ἀνθρωπίνην ζωήν, εἴς τε τὴν διὰ σαρκὸς ταύτην καὶ εἰς τὴν ἔξω τοῦ σώματος μετὰ ταύτην, οὐ κατὰ τὸ ἴσον μέτρον τοῦ διαστήματος, ἀλλὰ τὴν μὲν βραχυτάτῳ τινὶ τῷ χρονικῷ περιγράψας ὅρῳ, τὴν δὲ παρατείνας εἰς τὸ ἀΐδιον, ἐξουσίαν ἔδωκεν ὑπὸ φιλανθρωπίας, ἐν ᾧ τις βούλεται τούτων ἑκάτερον ἔχειν, τό τε ἀγαθὸν λέγω καὶ τὸ κακὸν ἢ κατὰ τὸν βραχὺν τοῦτον καὶ ὠκύμορον βίον ἢ κατὰ τοὺς ἀτελευτήτους ἐκείνους αἰῶνας, ὧν πέρας ἡ ἀπειρία ἐστίν. Ὁμωνύμως δὲ λεγομένου τοῦ τε ἀγαθοῦ καὶ τοῦ κακοῦ καὶ ἑκατέρου τούτων πρὸς διπλῆν ἔννοιαν μεριζομένου, πρὸς νοῦν τε λέγω καὶ αἴσθησιν, καὶ τῶν μὲν τοῦτο ἐν ἀγαθοῦ μοίρᾳ κρινόντων, ὅπερ ἂν ἡδὺ τῇ αἰ**82**σθήσει δόξῃ, τῶν δὲ μόνον τὸ κατὰ διάνοιαν θεωρούμενον πεπιστευκότων ἀγαθὸν καὶ εἶναι καὶ ὀνομάζεσθαι, οἷς μὲν ἀγύμναστός ἐστιν ὁ λογισμὸς καὶ **[84]** τοῦ βελτίονος ἀνεπίσκεπτος, οὗτοι ὑπὸ λαιμαργίας ἐν τῷ σαρκίνῳ βίῳ τὴν χρεωστουμένην τῇ φύσει τοῦ ἀγαθοῦ μοῖραν προαναλίσκουσιν, οὐδὲν τῷ μετὰ ταῦτα βίῳ ταμιευόμενοι· οἱ δὲ δὴ λογισμῷ διακριτικῷ τε καὶ σώφρονι τὴν ἑαυτῶν οἰκονομοῦντες ζωήν, ἐν τῷ βραχεῖ τούτῳ βίῳ διὰ τῶν τὴν αἴσθησιν λυπούντων ἀνιαθέντες, τῷ ἐφεξῆς αἰῶνι τὸ ἀγαθὸν ταμιεύονται, ὥστε αὐτοῖς τῇ ἀϊδίῳ ζωῇ τὴν κρείττω λῆξιν συμπαρατείνεσθαι. Τοῦτο οὖν ἐστιν, ὥς γε ὁ ἐμὸς λόγος, τὸ χάσμα, ὃ οὐχὶ γῆς διασχούσης γίνεται, ἀλλ᾽ ὃ ἡ παρὰ τὸν βίον κρίσις πρὸς τὰς ἐναντίας προαιρέσεις διασχισθεῖσα ποιεῖ. Ὁ γὰρ ἅπαξ τὸ ἡδὺ κατὰ τὸν βίον τοῦτον ἑλόμενος καὶ μὴ θεραπεύσας ἐκ μετανοίας τὴν ἀβουλίαν, ἄβατον ἑαυτῷ μετὰ ταῦτα τὸν τῶν ἀγαθῶν χῶρον ἐργάζεται, τὴν ἀδιάβατον ταύτην ἀνάγκην, καθάπερ τι βάραθρον ἀχανές τε καὶ ἀπαρόδευτον καθ᾽ ἑαυτοῦ διορύξας. Διό μοι δοκεῖ καὶ τὴν ἀγαθὴν τῆς ψυχῆς κατάστασιν, ἐν ᾗ τὸν τῆς ὑπομονῆς ἀθλητὴν ἀναπαύει ὁ λόγος, κόλπον τοῦ Ἀβραὰμ ὀνομάσαι[1]· πρῶτος γὰρ οὗτος ὁ πατριάρχης τῶν πώποτε γεγονότων ἱστόρηται τὴν ἐλπίδα τῶν μελλόντων τῆς ἀπολαύσεως τῶν παρόντων ἀνταλλαξάμενος, ὅς γε πάντων γυμνωθεὶς ἐν οἷς ἦν αὐτῷ κατ᾽ ἀρχὰς ἡ ζωή, ἐν ἀλλοτρίοις εἶχε τὴν δίαιταν, διὰ

1. Πρβλ. Λουκ. 16,23.

τῆς παρούσης κακοπαθείας τὴν ἐλπιζομένην εὐκληρίαν ἐμπορευόμενος. Ὥσπερ οὖν τὴν ποιὰν τοῦ πελάγους περιγραφὴν ἐκ καταχρήσεώς τινος ὀνομάζομεν κόλπον, οὕτως μοι δοκεῖ τῶν ἀμετρήτων ἐκείνων ἀγαθῶν τὴν ἔνδειξιν ὁ λόγος τῷ τοῦ κόλπου διασημαίνειν ὀνόματι, ᾧ πάντες οἱ δι' ἀρετῆς τὸν παρόντα διαπλέοντες βίον, ὅταν ἐντεῦθεν ἀπάρωσιν, ὥσπερ ἐν ἀκλύστῳ λιμένι τῷ ἀγαθῷ κόλπῳ τὰς ψυχὰς ἐνορμίζουσι. Τοῖς δὲ λοιποῖς ἡ τῶν φαινομένων αὐτοῖς ἀγαθῶν στέρησις φλὸξ γίνεται τὴν ψυχὴν διασμύχουσα, ῥανίδος τινὸς ἐκ τοῦ πελάγους τῶν τοὺς ὁσίους περικλυζόντων ἀγαθῶν εἰς παραμυθίαν προσ**84**δεομένην καὶ οὐ τυγχάνουσαν. Γλῶσσαν δὲ καὶ ὀφθαλμὸν καὶ δάκτυλον καὶ τὰ λοιπὰ τῶν σωματικῶν ὀνομάτων ἐν τῷ διαλόγῳ τῶν ἀσωμάτων βλέπων τῷ κατὰ στοχασμὸν ἡμῖν ἤδη νοηθέντι περὶ ψυχῆς λόγῳ συμφώνως ἔχειν ὁμολογήσεις, ἐπισκεψάμενος τῶν ῥητῶν τὴν διάνοιαν· ὡς γὰρ ὅλου τοῦ σώματος ἡ τῶν στοιχείων συνδρομὴ ποιεῖ τὴν οὐσίαν, οὕτως εἰκὸς καὶ τῶν ἐν τῷ σώματι μερῶν ἐκ τῆς αὐτῆς **[85]** αἰτίας συμπληροῦσθαι τὴν φύσιν. Εἰ οὖν πάρεστιν ἡ ψυχὴ τοῖς ἐκ τοῦ σώματος στοιχείοις πρὸς τὸ πᾶν ἀναμιχθεῖσιν, οὐ μόνον τὸ πλήρωμα τῶν εἰς ὅλον τὸ σύγκριμα συνδεδραμηκότων γνωρίσει καὶ ἐν αὐτοῖς ἔσται, ἀλλ' οὐδὲ τὴν ἰδιάζουσαν ἑκάστου τῶν μερῶν σύστασιν ἀγνοήσει, διὰ ποίων τῶν ἐν τοῖς στοιχείοις μορίων ἀπετελέσθη τὰ ἐν ἡμῖν μέλη. Τὴν οὖν ἐν παντὶ οὖσαν τῷ τῶν στοιχείων πληρώματι καὶ ἐν τοῖς καθ' ἕκαστον εἶναι οὐδὲν ἔξω τοῦ εἰκότος ἐστίν· καὶ οὕτω πρὸς τὰ στοιχεῖά τις βλέπων, οἷς ἐνυπάρχει τῇ δυνάμει τὰ καθ' ἕκαστον μέλη τοῦ σώματος, δάκτυλόν τε περὶ αὐτὴν εἶναι καὶ ὀφθαλμὸν καὶ γλῶσσαν καὶ τὰ ἄλλα πάντα μετὰ τὴν διάλυσιν τοῦ συγκρίματος τὴν Γραφὴν λέγειν ὑπονοῶν τοῦ εἰκότος οὐχ ἁμαρτήσεται. Εἰ οὖν τὰ καθ' ἕκαστον ἀπάγει τὸν νοῦν τῆς σωματικῆς περὶ τοῦ διηγήματος ὑπολήξεως, εἰκὸς δήπου καὶ τὸν μνημονευθέντα νῦν ᾅδην μὴ τόπον τινὰ οὕτως ὀνομαζόμενον οἴεσθαι, ἀλλά τινα κατάστασιν ζωῆς ἀειδῆ καὶ ἀσώματον[α], ἣ τὴν ψυχὴν ἐμβιοτεύειν παρὰ τῆς Γραφῆς διδασκόμεθα. Ἀλλὰ καὶ ἕτερον ἐν τῷ κατὰ τὸν πλούσιον καὶ πτωχὸν διηγήματι δόγμα μανθάνομεν, ὃ πολλὴν ἕξει πρὸς τὰ ἐξητασμένα τὴν οἰκειότητα. Ἐποίησεν ἐκεῖνον τὸν ἐμπαθῆ καὶ φιλόσαρκον, ἐπειδὴ τὸ ἄφυκτον εἶδε τῆς κατ' αὐτὸν συμφορᾶς, φροντίδα τῶν ὑπὲρ γῆς αὐτῷ κατὰ τὸ γένος προσηκόντων ἔχειν, καὶ τοῦ Ἀβραὰμ εἰπόντος μὴ ἀπρονόητον εἶναι τῶν ἐν σαρκὶ ζώντων τὸν βίον, ἀλλὰ κατ' ἐξουσίαν προκεῖσθαι αὐτοῖς τὴν ἐκ τοῦ νόμου καὶ τῶν προφητῶν χειραγωγίαν, ἔτι παραμένειν προσλιπαροῦντα τὸν πλούσιον, ὅπως ἂν ἐκ τοῦ παραδόξου πιθανὸν αὐ**86**τοῖς τὸ κήρυγμα γένοιτο, ὑπό τινος ἐκ τῶν νεκρῶν ἀναβεβιωκότος καταγγελλόμενον[1].

1. Πρβλ. Λουκ. 16,29-31.

α. Πρβλ. Γρηγορίου Νύσσης, Περὶ ψυχῆς καὶ ἀναστάσεως, ἀνωτ. σ. 324 σημ. α.

Τί οὖν, εἶπον, ἐν τούτοις ἐστὶ τὸ δόγμα;

Ἐπειδή, φησί, τοῦ μὲν Λαζάρου πρὸς τοῖς παροῦσιν ἄσχολός ἐστιν ἡ ψυχὴ καὶ πρὸς οὐδὲν τῶν καταλειφθέντων ἑαυτὴ ἐπιστρέφει, ὁ δὲ πλούσιος, οἷον ἰξῷ τινι τῇ σαρκίνῃ ζωῇ καὶ μετὰ θάνατον ἔτι προσίσχεται, ἣν οὐδὲ παυσάμενος τοῦ ζῆν καθαρῶς ἀπεδύσατο, ἀλλ᾽ ἔτι αὐτῷ διὰ φροντίδος ἐστὶν ἡ σὰρξ καὶ τὸ αἷμα (δι᾽ ὧν γὰρ τοὺς κοινωνοῦντας αὐτῷ τοῦ γένους ἐξαιρεθῆναι τῶν κακῶν δεῖται, δῆλός ἐστι μήπω τῆς σαρκικῆς ἐκλυθεὶς προσπα**[88]**θείας, ἐκ τούτων, φησί, τῶν διηγημάτων οἰόμεθα τοῦτο δογματίζειν τὸν Κύριον, τὸ δεῖν ὅτι μάλιστα τοὺς ἐν σαρκὶ βιοτεύοντας, διὰ τῆς κατ᾽ ἀρετὴν ζωῆς, χωρίζεσθαί πως καὶ ἀπολύεσθαι τῆς πρὸς αὐτὴν σχέσεως, ἵνα μετὰ τὸν θάνατον μὴ πάλιν ἄλλου θανάτου δεώμεθα τοῦ τὰ λείψανα τῆς σαρκώδους κόλλης ἀποκαθαίροντος· ἀλλὰ καθάπερ δεσμῶν τῇ ψυχῇ περιρραγέντων, κοῦφος αὐτῇ καὶ ἄνετος ὁ πρὸς τὸ ἀγαθὸν γένηται δρόμος, οὐδεμιᾶς αὐτὸν σωματικῆς ἀλγηδόνος πρὸς ἑαυτὴν ἀφελκούσης. Ὡς εἴ τις ὅλος δι᾽ ὅλων ἀποσαρκωθείη τῇ διανοίᾳ πᾶσαν ψυχῆς κίνησίν τε καὶ ἐνέργειαν ἐν τοῖς θελήμασι τῆς σαρκὸς ἀσχολῶν, ὁ τοιοῦτος οὐδὲ τῆς σαρκὸς ἔξω γενόμενος τῶν κατ᾽ αὐτὴν παθημάτων χωρίζεται, ἀλλὰ καθάπερ οἱ ἐπὶ πλεῖον ἐνδιατρίψαντες τοῖς δυσωδεστέροις τῶν τόπων, οὐδ᾽ εἰ πρὸς τὸν εὔπνουν ἀέρα μετέλθοιεν καθαρεύουσι τῆς ἀηδείας, ἣν διὰ τῆς χρονιωτέρας ἐν αὐτῇ διαγωγῆς ἀνεμάξαντο, οὕτως οὐδὲ πρὸς τὸν ἀειδῆ καὶ λεπτὸν βίον τῆς μεταβολῆς γενομένης, δυνατὸν ἂν εἴη τοὺς φιλοσάρκους μὴ ἀφέλκεσθαί τι πάντως τῆς σαρκικῆς δυσωδίας, δι᾽ οὗ πλέον αὐτοῖς ἡ ὀδύνη βαρύνεται, ὑλωδεστέρας ἐκ τῆς τοιαύτης περιστάσεως τῆς ψυχῆς γενομένης. Δοκεῖ δέ πως πρὸς τοιαύτην ὑπόληψιν συνᾴδειν ὃ παρά τινων λέγεται, πολλάκις ὁρᾶσθαι περὶ τὰς τῶν σωμάτων θέσεις, σκιοειδῆ τινα τῶν κατοιχομένων φαντάσματα. Εἰ γὰρ τῷ ὄντι γίνεται οὕτως, ἐλέγχεται **88** τῆς ψυχῆς ἡ πέρα τοῦ δέοντος γενομένη νῦν πρὸς τὸν σαρκώδη βίον προσπάθεια, ὡς μηδὲ ἐξωσθεῖσαν τῆς σαρκὸς καθαρῶς αὐτὴν ἐθέλειν ἀφίπτασθαι, μηδὲ συγχωρεῖν τὴν παντελῆ γίνεσθαι πρὸς τὸ ἀειδὲς τοῦ σχήματος μεταποίησιν, ἀλλὰ παραμένειν ἔτι τῷ εἴδει μετὰ τὸ λυθῆναι τὸ εἶδος, καὶ ἔξω γενομένην ἤδη τούτου, πόθῳ τοῖς τῆς ὕλης ἐπιπλανᾶσθαι τόποις καὶ περὶ αὐτοὺς ἀναστρέφεσθαι.

Ἐγὼ δὲ μικρὸν ἐπισχὼν καὶ ἀναλαβὼν τὴν τῶν εἰρημένων διάνοιαν, δοκεῖ μοι, εἶπον, τοῖς περὶ τῶν παθῶν προεξητασμένοις ἀνακύπτειν ἐκ τῶν εἰρημένων τις ἐναντίωσις. Εἰ γὰρ ἐκ τῆς πρὸς τὰ ἄλογα συγγενείας ἐνομίσθη τὰ τοιαῦτα τῆς ψυχῆς ἐν ἡμῖν ἐνεργεῖσθαι κινήματα, ὅσα προλαβὼν ὁ λόγος ἀπηριθμήσατο, θυμόν τε καὶ φόβον καὶ **[89]** ἐπιθυμίαν καὶ ἡδονὴν καὶ τὰ τοιαῦτα, εἴρηται δὲ τὴν μὲν ἀγαθὴν τῶν τοιούτων χρῆσιν ἀρετὴν εἶναι, διὰ δὲ τῆς ἐσφαλμένης τὴν κακίαν γίνεσθαι, προσέθηκεν δὲ ὁ λόγος ἑκάστου τε τῶν ἄλλων τὴν πρὸς τὸν κατ᾽ ἀρετὴν βίον συνεισφορὰν καὶ ὅτι δι᾽ ἐπιθυμίας

πρὸς τὸν Θεὸν ἀναγόμεθα, οἷόν τινι σειρᾷ κάτωθεν πρὸς αὐτὸν ἀνελκόμενοι, δοκεῖ δέ πως, ἔφην, ἐναντιοῦσθαι πρὸς τὸν σκοπὸν ὁ λόγος.

Πῶς τοῦτο λέγεις;

Ὅτι, εἶπον, τῆς ἀλόγου πάσης κινήσεως μετὰ τὴν κάθαρσιν ἐν ἡμῖν ἀποσβεσθείσης, οὐδὲ τὸ ἐπιθυμητικὸν πάντως ἔσται· τούτου δὲ μὴ ὄντος, οὐδ' ἂν ἡ τοῦ κρείττονος ἔφεσις εἴη, μηδενὸς ὑπολειφθέντος τῇ ψυχῇ τοιούτου κινήματος τοῦ πρὸς τὴν ὄρεξιν τῶν ἀγαθῶν ἐπεγείροντος.

Ἀλλὰ πρὸς τοῦτο, φησίν, ἐκεῖνό φαμεν, ὅτι τὸ θεωρητικόν τε καὶ διακριτικὸν ἴδιόν ἐστι τοῦ θεοειδοῦς τῆς ψυχῆς[α], ἐπεὶ καὶ τὸ θεῖον ἐν τούτοις καταλαμβάνομεν. Εἰ τοίνυν εἴτε ἐκ τῆς νῦν ἐπιμελείας εἴτε ἐκ τῆς μετὰ ταῦτα καθάρσεως ἐλευθέρα γένοιτο ἡμῖν ἡ ψυχὴ τῆς πρὸς **90** τὰ ἄλογα τῶν παθῶν συμφυΐας, οὐδὲν πρὸς τὴν τοῦ καλοῦ θεωρίαν ἐμποδισθήσεται. Τὸ δὲ καλὸν ἑλκτικόν πώς ἐστιν κατὰ τὴν ἑαυτοῦ φύσιν παντὸς τοῦ πρὸς ἐκεῖνο βλέποντος. Εἰ οὖν πάσης κακίας ἡ ψυχὴ καθαρεύσειεν, ἐν τῷ καλῷ πάντως ἔσται[β]. Καλὸν δὲ τῇ ἑαυτοῦ φύσει τὸ θεῖον, πρὸς ὃ διὰ τῆς καθαρότητος τὴν συνάφειαν ἕξει, τῷ οἰκείῳ συναπτομένη. Εἰ οὖν τοῦτο γένοιτο, οὐκέτι ἔσται χρεία τῆς κατ' ἐπιθυμίαν κινήσεως, ἣ πρὸς τὸ καλὸν ἡμῖν ἡγεμονεύσει· ὁ γὰρ ἐν σκότει τὴν διαγωγὴν ἔχων, οὗτος ἐν ἐπιθυμίᾳ τοῦ φωτὸς ἔσται, εἰ δὲ τῷ φωτὶ γένοιτο, τὴν ἐπιθυμίαν ἐκδέξεται ἡ ἀπόλαυσις. Ἡ δὲ ἐξουσία τῆς ἀπολαύσεως ἀργὴν καὶ ἕωλον τὴν ἐπιθυμίαν ἐργάζεται. Οὐκοῦν οὐδεμία τις ἔσται διὰ τούτων ζημία πρὸς τὴν τοῦ ἀγαθοῦ μετουσίαν, εἰ τῶν τοιούτων ἡ ψυχὴ κινημάτων ἐλευθέρα γένοιτο, πρὸς ἑαυτὴν πάλιν ἐπανελθοῦσα καὶ ἑαυτὴν ἀκριβῶς ἰδοῦσα, οἵα τῇ φύσει ἐστὶ καὶ οἷον ἐν κατόπτρῳ καὶ εἰκόνι διὰ τοῦ οἰκείου κάλλους πρὸς τὸ ἀρχέτυπον βλέπουσα. Ἀληθῶς γὰρ ἐν τούτῳ ἔστιν εἰπεῖν τὴν ἀκριβῆ πρὸς τὸ θεῖον εἶναι ὁμοίωσιν, ἐν τῷ μιμεῖ**[92]**σθαί πως τὴν ἡμετέραν ψυχὴν τὴν ὑπερκειμένην φύσιν[γ]· ἡ γὰρ ὑπεράνω παντὸς νοήματος φύσις, πόρρῳ τῶν ἐν ἡμῖν θεωρουμένων ἀφιδρυμένη, ἄλλῳ τινὶ τρόπῳ τὴν ἰδίαν ἐξοδεύει ζωὴν καὶ οὐ καθὼς ἡμεῖς νῦν ἐν τῷ ζῆν ἐσμεν. Ἄνθρωποι μὲν γὰρ διὰ τὸ ἀεὶ πάντως ἐν κινήσει τὴν φύσιν εἶναι, καθ' ὅπερ ἂν ἡ ὁρμὴ τῆς προαιρέσεως γένηται, κατ' ἐκεῖ-

---

α. Πρβλ. Κλήμεντος Ἀλεξανδρέως, Στρωματεῖς Ϛ', VIII, ΒΕΠ 8,204,35. PG 9,293B. Γρηγορίου Νεοκαισαρείας, Λόγος εἰς Ὠριγένην προσφωνητικὸς καὶ πανηγυρικός, ΒΕΠ 17,287,28. PG 10,1077D. Γρηγορίου Θεολόγου, Θεολογικὸς Β', ΒΕΠ 59,227,39. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, κατωτ. σ. 389,31.

β. Πρβλ. Γρηγορίου Νύσσης, κατωτ. σ. 352 σημ. α', Μ. Ἀθανασίου, Πρὸς Ἀντίοχον Ἄρχοντα, ΒΕΠ 35,105,11 ἑξ., 109,5 ἑξ. PG 28,609A. 617A. Μακαρίου τοῦ Αἰγυπτίου, Ὁμιλίαι Πνευματικαί, ΒΕΠ 41,262,30 ἑξ.

γ. Πρβλ. Μ. Ἀθανασίου, Περὶ σαρκώσεως τοῦ Κυρίου κατὰ Ἀπολιναρίου, ΒΕΠ 37,276,20. PG 26,1116A. Γρηγορίου Νύσσης, Εἰς τὸ Ἆσμα τῶν Ἀσμάτων, ΒΕΠ 66,360,34 ἑξ. Ἀντιρρητικὸς εἰς τὴν Εὐνομίου ἔκθεσιν (Β' Migne), ἀνωτ. σ. 94,29 ἑξ.

νο φερόμεθα, οὐχ ὁμοίως τῆς ψυχῆς κατὰ τὸ ἔμπροσθεν ἑαυτῆς, ὡς ἂν εἴποι τις, καὶ τὸ ὀπίσω διακειμένης. Ἐλπὶς μὲν γὰρ καθηγεῖται τῆς ἐπὶ τὸ πρόσω κινήσεως, μνήμη δὲ διαδέχεται πρὸς τὴν ἐλπίδα προϊοῦσαν τὴν κίνησιν. Ἀλλ' εἰ μὲν πρὸς τὸ φύσει καλὸν ἡ ἐλπὶς τὴν ψυχὴν ἄγοι, φαιδρὸν ἐνσημαίνεται τῇ μνήμῃ τὸ ἴχνος ἡ τῆς προαιρέσεως κίνησις, εἰ δὲ διαψευσθείη τοῦ κρείττονος, εἰδώλῳ τινὶ κάλλους παρασοφισαμένης τὴν ψυχὴν τῆς ἐλπίδος, ἡ ἐπακολουθοῦσα τοῖς **92** γινομένοις μνήμη αἰσχύνη γίνεται. Καὶ οὕτως ὁ ἐμφύλιος οὗτος πόλεμος ἐν τῇ ψυχῇ συνίσταται, μαχομένης τῇ ἐλπίδι τῆς μνήμης, ὡς κακῶς καθηγησαμένης τῆς προαιρέσεως. Τοιοῦτον γάρ τινα νοῦν ἑρμηνεύει σαφῶς τὸ κατ' αἰσχύνην πάθος, ὅταν δάκνηται πρὸς τὸ ἀποβὰν ἡ ψυχή, οἷόν τινι μάστιγι τῇ μεταμελείᾳ καθαπτομένη τῆς ἀβουλήτου ὁρμῆς καὶ εἰς συμμαχίαν κατὰ τοῦ λυποῦντος ἐφελκομένη τὴν λήθην. Ἀλλ' ἡμῖν μὲν διὰ τὸ πτωχὴ εἶναι τοῦ καλοῦ ἡ φύσις ἀεὶ πρὸς τὸ ἐνδέον ἵεται· καὶ ἡ τοῦ λείποντος ἔφεσις αὕτη ἐστὶν ἡ ἐπιθυμητικὴ τῆς φύσεως ἡμῶν διάθεσις, ἤτοι σφαλλομένη δι' ἀκρισίαν τοῦ ὄντως καλοῦ ἢ καὶ τυγχάνουσα οὗ τυχεῖν ἀγαθόν. Ἡ δὲ ὑπερέχουσα πᾶσαν ἀγαθὴν ἔννοιαν φύσις καὶ πάσης ὑπερκειμένη δυνάμεως, ἅτε μηδενὸς ἐνδεῶς ἔχουσα τῶν πρὸς τὸ ἀγαθὸν νοουμένων, αὐτὴ τῶν ἀγαθῶν οὖσα τὸ πλήρωμα, οὐδὲ κατὰ [93] μετοχὴν καλοῦ τινος ἐν τῷ καλῷ γινομένη, ἀλλ' αὐτὴ οὖσα ἡ τοῦ καλοῦ φύσις, ὅ τί ποτε καὶ εἶναι τὸ καλὸν ὁ νοῦς ὑποτίθεται, οὔτε τὴν ἐλπιστικὴν κίνησιν ἐν ἑαυτῇ δέχεται (πρὸς γὰρ τὸ μὴ παρὸν ἡ ἐλπὶς ἐνεργεῖται μόνον, ὃ δὲ ἔχει τις, τί καὶ ἐλπίζει[1]; φησὶν ὁ Ἀπόστολος) οὔτε τῆς μνημονευτικῆς ἐνεργείας πρὸς τὴν τῶν ὄντων ἐπιστήμην ἐπιδεής ἐστι· τὸ γὰρ βλεπόμενον τοῦ μνημονευθῆναι οὐκ ἐπιδέεται. Ἐπεὶ δὲ οὖν παντὸς ἀγαθοῦ ἐπέκεινα ἡ θεία φύσις, τὸ δὲ ἀγαθὸν ἀγαθῷ φίλον πάντως, διὰ τοῦτο ἑαυτὴν βλέπουσα καὶ ὃ ἔχει, θέλει, καὶ ὃ θέλει, ἔχει, οὐδὲν τῶν ἔξωθεν εἰς ἑαυτὴν δεχομένη. Ἔξω δὲ αὐτῆς οὐδέν, ὅτι μὴ ἡ κακία μόνη, ἥτις, κἂν παράδοξον ᾖ, ἐν τῷ μὴ εἶναι τὸ εἶναι ἔχει· οὐ γὰρ ἄλλη τίς ἐστι κακίας γένεσις, εἰ μὴ ἡ τοῦ ὄντος στέρησις. Τὸ δὲ κυρίως ὂν ἡ τοῦ ἀγαθοῦ φύσις ἐστίν. Ὃ οὖν ἐν τῷ ὄντι οὐκ ἔστιν, ἐν τῷ μὴ εἶναι πάντως ἐστίν. Ἐπειδὰν οὖν καὶ ἡ ψυχή, πάντα τὰ ποικίλα τῆς φύσεως ἀποσκευασαμένη κινήματα, θεοειδὴς γένηται, καὶ ὑπερβᾶσα τὴν ἐπιθυμίαν ἐν ἐκείνῳ ᾖ πρὸς ὃ ὑπὸ τῆς ἐπιθυμίας τέως ἐπῄρετο, οὐκέτι τινὰ σχολὴν δίδωσιν ἐν ἑαυτῇ οὔτε τῇ ἐλπίδι οὔτε τῇ μνήμῃ (τὸ μὲν γὰρ ἐλ**94**πιζόμενον ἔχει, τῇ δὲ περὶ τὴν ἀπόλαυσιν τῶν ἀγαθῶν ἀσχολίᾳ τὴν μνήμην ἐκκρούει τῆς διανοίας), καὶ οὕτως τὴν ὑπερέχουσαν μιμεῖται ζωὴν τοῖς ἰδιώμασι τῆς θείας φύσεως ἐμμορφωθεῖσα, ὡς μηδὲν ὑπολειφθῆναι τῶν ἄλλων αὐτῇ, πλὴν τῆς ἀγαπητικῆς διαθέσεως, φυσικῶς τῷ καλῷ προσφυομένης· τοῦτο γὰρ

1. Πρβλ. Ρωμ. 8,24.

ἐστιν ἡ ἀγάπη, ἡ πρὸς τὸ καταθύμιον ἐνδιάθετος σχέσις. Ὅταν οὖν ἁπλῆ καὶ μονοειδὴς καὶ ἀκριβῶς θεοείκελος ἡ ψυχὴ[α] γενομένη εὕρῃ τὸ ἀληθῶς ἁπλοῦν τε καὶ ἄϋλον ἀγαθὸν ἐκεῖνο, τὸ μόνον τῷ ὄντι ἀγαπητὸν καὶ ἐράσμιον, προσφύεταί τε αὐτῷ καὶ συνανακιρνᾶται διὰ τῆς ἀγαπητικῆς κινήσεώς τε καὶ ἐνεργείας, πρὸς τὸ ἀεὶ καταλαμβανόμενόν τε καὶ εὑρισκόμενον ἑαυτὴν μορφοῦσα, καὶ **[96]** τοῦτο γινομένη διὰ τῆς τοῦ ἀγαθοῦ ὁμοιότητος, ὅπερ ἡ τοῦ μετεχομένου φύσις ἐστίν, ἐπιθυμίας δὲ ἐν ἐκείνῳ μὴ οὔσης διὰ τὸ μηδέ τινος τῶν ἀγαθῶν ἔνδειαν ἐν αὐτῷ εἶναι, ἀκόλουθον ἂν εἴη καὶ τὴν ψυχήν, ἐν τῷ ἀνενδεεῖ γινομένην, ἐκβάλλειν ἀφ' ἑαυτῆς καὶ τὴν ἐπιθυμητικὴν κίνησίν τε καὶ διάθεσιν, ἣ τότε γίνεται μόνον, ὅταν μὴ παρῇ τὸ ποθούμενον. Τοῦ δὲ τοιούτου δόγματος καὶ ὁ θεῖος Ἀπόστολος ἡμῖν καθηγήσατο, πάντων τῶν νῦν ἐν ἡμῖν καὶ ἐπὶ τῷ κρείττονι σπουδαζομένων παῦλάν τινα καὶ καταστολὴν προαγγείλας, μόνης δὲ τῆς ἀγάπης οὐχ εὑρὼν τὸν ὅρον[β]. Προφητεῖαι γάρ, φησί, καταργηθήσονται καὶ γνώσεις παύσονται, ἡ δὲ ἀγάπη οὐδέποτε ἐκπίπτει[1], ὅπερ ἴσον ἐστὶ τῷ ἀεὶ ὡσαύτως ἔχειν. Ἀλλὰ καὶ πίστιν καὶ ἐλπίδα συμπαραμεμενηκέναι τῇ ἀγάπῃ λέγων πάλιν καὶ τούτων αὐτὴν ὑπερτίθησιν εἰκότως· ἡ γὰρ ἐλπὶς μέχρις ἐκείνου κινεῖται, ἕως ἂν μὴ παρῇ ἡ τῶν ἐλπιζομένων ἀπόλαυσις, καὶ ἡ πίστις ὡσαύτως ἔρεισμα τῆς τῶν ἐλπιζομένων ἀδηλίας γίνεται. Οὕτω γὰρ αὐτὴν καὶ ὡρίσατο λέγων, «ἔστι δὲ πίστις ἐλπιζομένων ὑπόστασις»[2]. Ἐπειδὰν δὲ ἔλθῃ τὸ ἐλπιζόμενον, τῶν ἄλλων ἀτρεμούντων πάντων ἡ κατὰ τὴν ἀγάπην ἐνέργεια μένει, τὸ διαδεχόμενον αὐτὴν οὐχ εὑρίσκουσα. Διὸ καὶ προτερεύει τῶν τε κατ' ἀρετὴν κατορθουμένων ἁπάντων καὶ τῶν τοῦ νόμου παραγγελμάτων. Εἰ οὖν ἐπὶ τοῦτό ποτε τὸ τέλος **96** φθάσειεν ἡ ψυχή, ἀνενδεῶς ἕξει τῶν ἄλλων, ἅτε δὴ τοῦ πληρώματος περιδεδραγμένη τῶν ὄντων, καὶ δοκεῖ μόνη πως αὐτῆς τῆς θείας μακαριότητος ἐν ἑαυτῇ σῴζειν τὸν χαρακτῆρα· ἥ τε γὰρ ζωὴ τῆς ἄνω φύσεως ἀγάπη ἐστίν, ἐπειδὴ τὸ καλὸν ἀγαπητὸν πάντως ἐστὶ τοῖς γινώσκουσι (γινώσκει δὲ ἑαυτὸ τὸ θεῖον), ἡ δὲ γνῶσις ἀγάπη γίνεται, διότι καλόν ἐστι φύσει τὸ γινωσκόμενον. Τοῦ δὲ ἀληθῶς καλοῦ ὁ ὑβριστὴς οὐ προσάπτεται κόρος. Κόρου δὲ τὴν ἀγαπητικὴν πρὸς τὸ καλὸν σχέσιν οὐ διακόπτοντος, ἀεὶ ἡ θεία ζωὴ δι' ἀγάπης ἐνεργηθήσεται, ἣ καλή τε κατὰ φύ**[97]**σιν ἐστί, καὶ ἀγαπητικῶς πρὸς τὸ καλὸν ἐκ φύσεως ἔχει· καὶ ὅρον τῆς κατὰ τὴν ἀγάπην ἐνεργείας οὐκ ἔχει, ἐπειδὴ οὐδὲ τοῦ καλοῦ τι πέρας

---

1. Πρβλ. Α' Κορ. 13,8. 2. Ἑβρ. 11,1.

α. Πρβλ. Κλήμεντος Ἀλεξανδρέως, Προτρεπτικὸς πρὸς Ἕλληνας XII, ΒΕΠ 7,78,14. PG 8,244A. Στρωματεῖς Ϛ' IX, ΒΕΠ 8,204,35. PG 9,293B. Γρηγορίου Θεολόγου, Ἔπη Θεολογικά, Ἠθικά, ΒΕΠ 61,62,21. 81,14.

β. Πρβλ. Κλήμεντος Ἀλεξανδρέως, Στρωματεῖς, Z,XII, ΒΕΠ 8,279,5 ἑξ. PG 9,500C-D. Τίς ὁ σῳζόμενος πλούσιος, ΒΕΠ 8,360,11 ἑξ. PG 9,624A. Μακαρίου τοῦ Αἰγυπτίου, Ὁμιλίαι πνευματικαί, ΒΕΠ 41,196,19 ἑξ.

καταλαμβάνεται, ὡς συναπολήγειν τῷ πέρατι τοῦ καλοῦ τὴν ἀγάπην· μόνῳ γὰρ τῷ ἐναντίῳ τὸ καλὸν περατοῦται. Οὗ δὲ ἡ φύσις ἀνεπίδεκτός ἐστι τοῦ χείρονος, πρὸς τὸ ἀπέραντόν τε καὶ ἀόριστον ἀγαθὸν προελεύσεται. Ἐπεὶ οὖν ἑλκτικὴ τῶν οἰκείων πᾶσα φύσις ἐστίν, οἰκεῖον δέ πως τῷ Θεῷ τὸ ἀνθρώπινον, ἅτε δὴ φέρον ἐν ἑαυτῷ τοῦ ἀρχετύπου μιμήματα, ἕλκεται κατὰ πᾶσαν ἀνάγκην πρὸς τὸ θεῖόν τε καὶ συγγενὲς ἡ ψυχή· δεῖ γὰρ πάντῃ καὶ πάντως τῷ Θεῷ ἀποσωθῆναι τὸ ἴδιον. Ἀλλ' εἰ μὲν κουφὴ καὶ ἀπέριττος τύχοι, μηδεμιᾶς σωματικῆς ἀχθηδόνος αὐτὴν πιεζούσης, ἡδεῖα καὶ εὔκολος αὐτῇ ἡ πρὸς τὸν ἐπισπώμενον προσχώρησις γίνεται· εἰ δὲ τοῖς τῆς προσπαθείας ἥλοις εἰς τὴν πρὸς τὰ ὑλώδη σχέσιν καταπαρείη, οἷόν τι πάσχειν εἰκὸς ἐν τοῖς συμπτώμασι τῶν σεισμῶν τὰ ἐμπιεσθέντα τοῖς χώμασι σώματα (προκείσθω δὲ καθ' ὑπόθεσιν τὸ μὴ βεβαρῆσθαι μόνον αὐτὰ τοῖς συμπτώμασιν, ἀλλὰ καὶ διαπεπερονῆσθαί τισιν ὀβελοῖς ἢ ξύλοις τοῖς ἐνευρεθεῖσι τῷ χώματι)· ὅπερ οὖν εἰκὸς ὑπομεῖναι τὰ οὕτω διακείμενα σώματα, παρὰ τῶν οἰκείων τῆς συμπτώσεως ὁσίας ἕνεκεν ἐξελκόμενα (ξανθήσεται γὰρ πάντως καὶ σπαραχθήσεται καὶ πᾶν ὁτιοῦν τῶν χαλεπωτάτων πείσεται, τοῦ χώματος αὐτὰ καὶ τῶν ἥλων διὰ τὴν τῶν ἐφελκομένων βίαν καταξαινόντων), τοιοῦτόν τί μοι δοκεῖ καὶ περὶ **98** τὴν ψυχὴν γίνεσθαι πάθος, ὅταν ἡ θεία δύναμις ὑπὸ φιλανθρωπίας ἐκ τῶν ἀλόγων τε καὶ ὑλικῶν συμπτωμάτων ἐφέλκηται τὸ ἴδιον. Οὐ γὰρ μισῶν, οὐδ' ἀμυνόμενος ἐπὶ τῇ κακῇ ζωῇ κατά γε τὸν ἐμὸν λόγον ἐπάγει τοῖς ἐξημαρτηκόσι τὰς ὀδυνηρὰς διαθέσεις ὁ Θεός, ὁ ἀντιποιούμενός τε καὶ πρὸς ἑαυτὸν ἕλκων πᾶν ὅ τί περ αὐτοῦ χάριν ἦλθεν εἰς γένεσιν, ἀλλ' ὁ μὲν ἐπὶ τῷ κρείττονι σκοπῷ πρὸς ἑαυτόν, ὅς ἐστι πηγὴ πάσης μακαριότητος, τὴν ψυχὴν ἐπισπᾶται, ἐπισυμβαίνει δὲ κατ' ἀνάγκην ἡ ἀλγεινὴ διάθεσις τῷ ἑλκομένῳ· **[100]** καὶ ὥσπερ τὴν ἐμμιχθεῖσαν τῷ χρυσίῳ ὕλην οἱ διὰ πυρὸς ἐκκαθαίροντες οὐ μόνον τὸ νόθον τῷ πυρὶ τήκουσιν, ἀλλὰ κατὰ πᾶσαν ἀνάγκην καὶ τὸ καθαρὸν τῷ κιβδήλῳ συγκατατήκεται, κἀκείνου δὲ δαπανωμένου τοῦτο μένει, οὕτω καὶ τῆς κακίας τῷ καθαρσίῳ πυρὶ δαπανωμένης ἀνάγκη πᾶσα καὶ τὴν ἑνωθεῖσαν αὐτῇ ψυχὴν ἐν τῷ πυρὶ εἶναι, ἕως ἂν τὸ κατεσπαρμένον νόθον καὶ ὑλῶδες καὶ κίβδηλον ἀπαναλωθῇ, τῷ πυρὶ δαπανώμενον[α]. Καὶ καθάπερ εἴ τινι σχοινίῳ πηλὸς τῶν κολλωδεστέρων διὰ βάθους περιπλασθείη, εἶτα διά τινος λεπτοῦ χωρήματος ἡ ἀρχὴ διεξαχθείη τῆς σχοίνου καὶ βιαίως τις ἐπὶ τὰ ἐντὸς ἐκ τοῦ ἄκρου τὴν σχοῖνον ἐφέλκοιτο, ἀνάγκη πᾶσα τὴν μὲν ἕπεσθαι τῷ ἐπισπωμένῳ, τὸν δὲ περιπλασθέντα πηλὸν ἐκ τῆς βιαίας ὁλκῆς ἔξω τῆς τρυμαλιᾶς μένειν τῆς σχοίνου ἀποξυόμενον, καὶ αἴτιον αὐτῇ γίνεσθαι τοῦ μὴ εὐοδοῦσθαι κατὰ τὴν πάροδον, ἀλλὰ βιαίαν ὑπομένειν ἐκ τοῦ ἐφελκομένου τὴν τάσιν, —τοιοῦτόν τί μοι δοκεῖ καὶ

α. Πρβλ. Γρηγορίου Νύσσης, Περὶ ψυχῆς καὶ ἀναστάσεως, ἀνωτ. σ. 349 σημ. α.

τὸ περὶ τὴν ψυχὴν ἐννοεῖν, ταῖς ὑλικαῖς τε καὶ γεώδεσι προσπαθείαις ἐνειληθεῖσαν κάμνειν καὶ διατείνεσθαι, τοῦ μὲν Θεοῦ τὸ ἴδιον πρὸς ἑαυτὸν ἕλκοντος, τοῦ δ' ἀλλοτρίου διὰ τὸ συμφυῆναί πως αὐτῇ βιαίως ἀποξυομένου καὶ τὰς δριμείας αὐτῇ καὶ ἀνυποστάτους ἀλγηδόνας ἐπάγοντος.

Οὐκοῦν, εἶπον, οὐχ ἡ θεία κρίσις, ὡς ἔοικε, κατὰ τὸ προηγούμενον τοῖς ἐξημαρτηκόσιν ἐπάγει τὴν κόλασιν, **100** ἀλλὰ ἡ μέν, ὡς ὁ λόγος ἀπέδειξεν, ἀγαθὸν ἐνεργεῖ μόνον τοῦ κακοῦ ἀποκρίνουσα καὶ πρὸς τὴν τῆς μακαριότητος κοινωνίαν ἐπισπωμένη, ὁ δὲ τῆς συμφυΐας διασπασμὸς ὀδύνη τῷ ἑλκομένῳ γίνεται.

Οὕτω, φησὶν ἡ διδάσκαλος, καὶ ὁ ἐμός ἐστι λόγος, καὶ ὅτι μέτρον τῆς ἀλγηδόνος ἡ τῆς κακίας ἐν ἑκάστῳ ποσότης ἐστίν· οὐ γὰρ εἰκὸς ἐκ τοῦ ἴσου τὸν εἰς τοσοῦτον ἐν ἀπηγορευμένοις γεγονότα κακοῖς καὶ τὸν μετρίοις τισὶ συνενεχθέντα πλημμελήμασιν ἐν τῇ καθάρσει τῆς μοχθηρᾶς ἕξεως ἀνιαθῆναι, ἀλλὰ παρὰ τὸ πόσον τῆς ὕλης ἢ πλεῖον ἢ ἔλαττον ἡ ὀδυνηρὰ ἐκείνη φλὸξ ἐξαφθήσεται, ἕως ἂν τὸ ὑποτρέφον ᾖ. Ὧ τοίνυν πολὺς ὁ ὑλώδης ἔπεστι φόρτος, πολλὴν ἀνάγκη καὶ διαρκεστέραν ἐπ' αὐτοῦ γίνεσθαι τὴν ἀναλίσκουσαν φλόγα, ᾧ δ' ἐπ' ἔλαττον ἡ τοῦ πυρὸς δαπάνη ἐγκαταμέμικται, τοσοῦτον ὑποκαταβαίνει τῆς σφοδροτέρας τε καὶ δριμυτέρας ἐνεργείας **[101]** ἡ κόλασις, ὅσον ἠλάττωται τῷ τῆς κακίας μέτρῳ τὸ ὑποκείμενον. Χρὴ γὰρ πάντη καὶ πάντως ἐξαιρεθῆναί ποτε τὸ κακὸν ἐκ τοῦ ὄντος καί, ὅπερ ἐν τοῖς φθάσασιν εἴρηται, τὸ ἐν τῷ ὄντι μὴ ὂν μηδ' εἶναι ὅλως. Ἐπειδὴ γὰρ ἔξω τῆς προαιρέσεως ἡ κακία εἶναι φύσιν οὐκ ἔχει, ὅταν πᾶσα προαίρεσις ἐν τῷ Θεῷ γένηται, εἰς παντελῆ ἀφανισμὸν ἡ κακία μεταχωρήσει τῷ μηδὲν αὐτῆς ὑπολειφθῆναι δοχεῖον.

Ἀλλὰ τί τὸ κέρδος τῆς χρηστῆς ταύτης ἐλπίδος, εἶπον ἐγώ, τῷ λογιζομένῳ ὅσον ἐστὶ κακὸν καὶ ἐνιαυσιαίαν μόνην ὑποσχεῖν ἀλγηδόνα, εἰ δ' εἰς αἰώνιόν τι διάστημα ἡ ἄσχετος ἐκείνη ὀδύνη παραταθείη, τίς ἐκ τῆς εἰς ὕστερον ἐλπίδος ὑπολέλειπται παραμυθία, ᾧ πρὸς ὅλον αἰῶνα συνδιαμετρεῖται ἡ κόλασις;

Ὥστε προνοητέον, φησὶν ἡ διδάσκαλος, ἢ καθ' ὅλου τῶν τῆς κακίας μολυσμάτων φυλάξαι τὴν ψυχὴν ἀμιγῆ **102** τε καὶ ἀκοινώνητον, ἤ, εἰ τοῦτο πάντη ἀμήχανον διὰ τὸ ἐμπαθὲς τῆς φύσεως ἡμῶν, ὡς ὅτι μάλιστα ἐν μετρίοις τισὶ καὶ εὐθεραπεύτοις εἶναι τὰ τῆς ἀρετῆς ἀποτεύγματα. Οἶδε γὰρ ἡ εὐαγγελικὴ διδασκαλία καὶ μυρίων ὀφειλέτην τινὰ ταλάντων[1] καὶ πεντακοσίων δηναρίων[2] καὶ πεντήκοντα καὶ κοδράντου τινός[3], ὅπερ τὸ ἔσχατόν ἐστιν ἐν νομίσμασι, τὴν δὲ τοῦ Θεοῦ δικαίαν κρίσιν διὰ πάντων διεξιέναι, καὶ τῷ βάρει τοῦ ὀφλήματος συνεπιτείνουσαν τὴν ἀνάγκην τῆς ἀπαιτήσεως, καὶ οὐδὲ τῶν σμικροτάτων ὑπερορῶσαν. Τὴν δὲ ἀπόδοσιν τῶν ὀφλημάτων τὸ

1. Πρβλ. Ματθ. 18,24. 2. Πρβλ. Λουκ. 7,41. 3. Πρβλ. Ματθ. 5,26.

Εὐαγγέλιον εἶπεν οὐκ ἐκ χρημάτων διαλύσεως γίνεσθαι, ἀλλὰ παραδίδοσθαι τοῖς βασανισταῖς τὸν ὑπόχρεων, ἕως ἄν, φησίν, ἀποδῷ πᾶν τὸ ὀφειλόμενον[1], ὅπερ οὐδὲν ἕτερόν ἐστιν ἢ διὰ τῆς βασάνου τὴν ἀναγκαίαν ὀφειλὴν ἀποτῖσαι, τὸ ὄφλημα τῆς τῶν λυπηρῶν μετουσίας, ὧν παρὰ τὸν βίον ὑπόχρεως ἐγένετο, ἀμιγῆ τε καὶ ἄκρατον τοῦ ἐναντίου τὴν ἡδονὴν ὑπὸ ἀβουλίας ἑλόμενος, καὶ οὕτως, ἅπαν ἀποθέμενος τὸ ἀλλότριον ἑαυτοῦ, ὅπερ ἐστὶν ἡ ἁμαρτία, καὶ τὴν ἐκ τῶν ὀφλημάτων αἰσχύνην ἀποδυσάμενος, ἐν ἐλευθερίᾳ τε καὶ παρρησίᾳ γένηται. Ἡ δ' ἐλευθερία ἐστὶν ἡ πρὸς τὸ ἀδέσποτόν τε καὶ αὐτοκρατὲς ἐξομοίωσις, ἡ κατ' ἀρχὰς μὲν ἡμῖν παρὰ τοῦ Θεοῦ δεδωρημένη, συγκαλυφθεῖσα δὲ τῇ τῶν ὀφλημάτων αἰσχύνῃ. Πᾶσα δ' ἐλευθερία μία τίς ἐστι τῇ φύσει καὶ πρὸς ἑαυτὴν οἰκείως ἔχει· ἀκολούθως οὖν πᾶν τὸ ἐλεύθερον τῷ ὁμοίῳ συναρμοσθήσεται. Ἀρετὴ δὲ ἀδέσπο**[104]**τον· οὐκοῦν ἐν ταύτῃ γενήσεται πᾶν τὸ ἐλεύθερον· ἀδέσποτον γὰρ τὸ ἐλεύθερον. Ἀλλὰ μὴν ἡ θεία φύσις ἡ πηγὴ πάσης ἐστὶ τῆς ἀρετῆς[α]· ἐν ταύτῃ ἄρα οἱ τῆς κακίας ἀπηλλαγμένοι γενήσονται, ἵνα, καθώς φησιν ὁ Ἀπόστολος, ὁ Θεὸς ᾖ τὰ πάντα ἐν πᾶσιν[2]· αὕτη γὰρ ἡ φωνὴ σαφῶς μοι δοκεῖ βεβαιοῦν τὴν προεξητασμένην διάνοιαν, ἡ λέγουσα καὶ πάντα γίνεσθαι τὸν Θεὸν καὶ ἐν πᾶσι. Τῆς γὰρ ἐν τῷ παρόντι ζωῆς ποικίλως τε καὶ πολυειδῶς ἡμῖν ἐνεργουμένης, πολλὰ μὲν **104** ἔστιν ὧν μετέχομεν, οἷον χρόνου καὶ ἀέρος καὶ τόπου, βρώσεώς τε καὶ πόσεως καὶ σκεπασμάτων καὶ ἡλίου καὶ λύχνου καὶ ἄλλων πρὸς τὴν χρείαν τοῦ βίου πολλῶν, ὧν οὐδέν ἐστιν ὁ Θεός, ἡ δὲ προσδοκωμένη μακαριότης τούτων μὲν οὐδενός ἐστιν ἐπιδεής, πάντα δὲ ἡμῖν καὶ ἀντὶ πάντων ἡ θεία γενήσεται φύσις, πρὸς πᾶσαν χρείαν τῆς ζωῆς ἐκείνης ἑαυτὴν ἁρμοδίως ἐπιμερίζουσα. Καὶ τοῦτο δῆλόν ἐστιν ἐκ τῶν θείων λογίων, ὅτι καὶ τόπος γίνεται ὁ Θεὸς τοῖς ἀξίοις καὶ οἶκος[3] καὶ ἔνδυμα[4] καὶ τροφὴ καὶ πόσις[5] καὶ φῶς[6] καὶ πλοῦτος[7] καὶ βασιλεία καὶ πᾶν νόημά τε καὶ ὄνομα τῶν πρὸς τὴν ἀγαθὴν ἡμῖν συντελούντων ζωήν. Ὁ δὲ πάντα γινόμενος καὶ ἐν πᾶσι γίνεται[8]. Ἐν τούτῳ δέ μοι δοκεῖ τὸν παντελῆ τῆς κακίας ἀφανισμὸν δογματίζειν ὁ λόγος· εἰ γὰρ ἐν πᾶσι τοῖς οὖσιν ὁ Θεὸς ἔσται, ἡ κακία δηλαδὴ ἐν τοῖς οὖσιν οὐκ ἔσται. Εἰ γάρ τις ὑπόθοιτο κἀκείνην εἶναι, πῶς σωθήσεται τὸ ἐν πᾶσι τὸν Θεὸν εἶναι; ἡ γὰρ ὑπεξαίρεσις ἐκείνης ἐλλιπῆ τῶν πάντων ποιεῖ **[105]** τὴν περίληψιν. Ἀλλ' ὁ ἐν τοῖς πᾶσιν ἐσόμενος ἐν τοῖς μὴ οὖσιν οὐκ ἔσται.

---

1. Πρβλ. Λουκ. 7,41 ἑξ. Ματθ. 18,23 ἑξ. 2. Πρβλ. Α' Κορ. 15,28. 3. Πρβλ. Ἰω. 15,5-6. 4. Πρβλ. Ρωμ. 13,14. Γαλ. 3,27. 5. Πρβλ. Ἰω. 6,55-56. 6. Πρβλ. Ψαλ. 35,10. Ἡσ. 60,19-20. 7. Πρβλ. Ψαλ. 111,3. 8. Πρβλ. Ἐφ. 4,6.

α. Πρβλ. Μεθοδίου, Περὶ τοῦ Σταυροῦ καὶ τοῦ Πάθους τοῦ Ἰησοῦ, ΒΕΠ 18,221,11 ἑξ. PG 18,400C. Μ. Ἀθανασίου, Κατὰ Ἀρειανῶν Β', ΒΕΠ 30,240, 35 ἑξ. PG 26,300C.

Τί οὖν χρὴ λέγειν, εἶπον, πρὸς τοὺς μικροψύχως ταῖς συμφοραῖς διακειμένους;

Εἴπωμεν πρὸς αὐτούς, φησὶν ἡ διδάσκαλος, ὅτι, μάτην, ὦ οὗτοι, δυσανασχετεῖτε καὶ δυσχεραίνετε τῷ εἱρμῷ τῆς ἀναγκαίας τῶν πραγμάτων ἀκολουθίας, ἀγνοοῦντες πρὸς ὅντινα σκοπὸν τὰ καθ' ἕκαστον ἐν τῷ παντὶ οἰκονομούμενα φέρεται, ὅτι πάντα χρὴ τάξει τινὶ καὶ ἀκολουθίᾳ κατὰ τὴν τεχνικὴν τοῦ καθηγεμόνος σοφίαν τῇ θείᾳ προσοικειωθῆναι φύσει. Τούτου γὰρ ἕνεκεν ἡ λογικὴ φύσις ἦλθεν εἰς γένεσιν, ὡς τὸν πλοῦτον τῶν θείων ἀγαθῶν μὴ ἀργὸν εἶναι· ἀλλ' οἷον ἀγγεῖά τινα καὶ προαιρετικὰ τῶν ψυχῶν δοχεῖα παρὰ τῆς τὸ πᾶν συστησαμένης σοφίας κατεσκευάσθη, ἐφ' ᾧτε εἶναί τι χώρημα δε-**106**κτικὸν ἀγαθῶν, τὸ ἀεὶ τῇ προσθήκῃ τοῦ εἰσχεομένου μεῖζον γινόμενον. Τοιαύτη γὰρ ἡ τοῦ θείου ἀγαθοῦ μετουσία, ὥστε μείζονα καὶ δεκτικώτερον ποιεῖν τὸν ἐν ᾧ γίνεται, εἰς δυνάμεως καὶ μεγέθους προσθήκην ἀναλαμβανομένη τῷ δεχομένῳ, ὡς ἀεὶ αὔξεσθαι τὸν τρεφόμενον καὶ μὴ λήγειν ποτὲ τῆς αὐξήσεως. Τῆς γὰρ πηγῆς τῶν ἀγαθῶν ἀνέκλειπτα πηγαζούσης, ἡ τοῦ μετέχοντος φύσις διὰ τὸ μηδὲν τοῦ λαμβανομένου περιττωματικόν τε εἶναι καὶ ἄχρηστον ὅλον τὸ εἰσρέον προσθήκην τοῦ ἰδίου ποιουμένη μεγέθους ἑλκτικωτέρα τε ἅμα τοῦ κρείττονος καὶ πολυχωρητοτέρα γίνεται, ἀμφοτέρων ἀλλήλοις συνεπιδιδόντων, τῆς τε τρεφομένης δυνάμεως ἐπὶ τῇ τῶν ἀγαθῶν ἀφθονίᾳ πρὸς τὸ μεῖζον ἐπιδιδούσης καὶ τῆς τρεφούσης χορηγίας τῇ τῶν αὐξομένων ἐπιδόσει συμπλημμυρούσης. Ἔστιν οὖν εἰκὸς εἰς τοιοῦτον ἀναβήσεσθαι μέγεθος, ἐφ' ᾧ ὅρος οὐδεὶς ἐπικόπτει τὴν αὔξησιν. Εἶτα τοιούτων ἡμῖν προκειμένων χαλεπαίνετε διὰ τῆς τεταγμένης ἡμῖν ὁδοῦ πρὸς τὸν ἴδιον σκοπὸν προϊούσης τῆς φύσεως; Οὐ γὰρ ἔστιν ἄλλως ἐπ' ἐκεῖνα γενέσθαι τὸν δρόμον ἡμῖν, μὴ τοῦ βαροῦντος ἡμᾶς, τοῦ ἐμβριθοῦς λέγω τούτου καὶ γεώδους φορτίου, τῆς ψυχῆς ἡμῶν ἀποσεισθέντος, τῆς τε πρὸς αὐτὸ συμπαθείας, ἣν ἐν τῷ τῇδε βίῳ ἐσχήκαμεν, διὰ κρείττονος ἐπιμελείας ἐκκαθαρθέντας τῷ καθαρῷ δυνηθῆναι προσοικειωθῆναι τὸ ὅμοιον. Εἰ δέ σοί τις καὶ πρὸς τὸ σῶμα τοῦτο σχέσις ἐστί, καὶ λυπεῖ σε ἡ τοῦ ἀγαπωμένου **[108]** διάζευξις, μηδὲ τοῦτό σοι ἀπ' ἐλπίδος ἔστω· ὄψει γὰρ τοῦτο τὸ σωματικὸν περιβόλαιον, τὸ νῦν διαλυθὲν τῷ θανάτῳ, ἐκ τῶν αὐτῶν πάλιν ἐξυφαινόμενον, οὐ κατὰ τὴν παχυμερῆ ταύτην καὶ βαρεῖαν κατασκευήν, ἀλλ' ἐπὶ τὸ λεπτότερόν τε καὶ ἀερῶδες μετακλωσθέντος τοῦ **108** νήματος, ὥστε σοι καὶ παρεῖναι τὸ ἀγαπώμενον καὶ ἐν ἀμείνονι καὶ ἐρασμιωτέρῳ τῷ κάλλει πάλιν ἀποκαθίστασθαι.

Ἀλλ' ἔοικέ πως, εἶπον, ἐξ ἀκολουθίας ἡμῖν τὸ δόγμα τῆς ἀναστάσεως ἐπεισεληλυθέναι τῷ λόγῳ, ὅ μοι δοκεῖ δεῖν ἀληθὲς μὲν καὶ πιστὸν ἐκ τῆς τῶν Γραφῶν διδασκαλίας εἶναι καὶ μὴ ἀμφιβάλλειν. Ἐπειδὴ δέ πως ἡ ἀσθένεια τῆς ἀνθρωπίνης διανοίας τοῖς χωρητοῖς ἡμῖν λογισμοῖς μᾶλλον πρὸς τὴν τοιαύτην πίστιν ἐπιστηρίζεται,

καλῶς ἂν ἔχοι μηδὲ τοῦτο τὸ μέρος παραδραμεῖν ἀθεώρητον. Τί οὖν χρὴ λέγει ἐπισκεψώμεθα.

Καὶ ἡ διδάσκαλος, οἱ μὲν ἔξω, φησί, τῆς καθ' ἡμᾶς φιλοσοφίας ἐν διαφόροις ὑπολήψεσιν, ἄλλος ἄλλως ἐν μέρει τινὶ τοῦ κατὰ τὴν ἀνάστασιν ἐφήψαντο δόγματος, οὔτε δι' ἀκριβείας τοῖς ἡμετέροις συνενεχθέντες οὔτε πάντη τῆς τοιαύτης ἀποσφαλέντες ἐλπίδος. Τινὲς μὲν γὰρ ὑβρίζουσι τῇ κοινότητι τὸ ἀνθρώπινον, τὴν αὐτὴν ἀνὰ μέρος ἀνθρώπου τε καὶ ἀλόγου ψυχὴν διοριζόμενοι γίνεσθαι, μετενδυομένην τὰ σώματα καὶ πρὸς τὸ ἀρέσκον ἀεὶ μεταβαίνουσαν ἢ πτηνὸν ἢ ἔνυδρον ἢ χερσαῖόν τι ζῷον γινομένην μετὰ τὸν ἄνθρωπον, καὶ πάλιν ἀπὸ τούτων πρὸς τὴν ἀνθρωπίνην ἐπανιέναι φύσιν[α]· ἕτεροι δὲ καὶ μέχρι τῶν θάμνων τὸν τοιοῦτον λῆρον ἐκτείνουσιν, ὡς καὶ τὸν ξυλώδη βίον αὐτῇ κατάλληλόν τε καὶ οἰκεῖον νομίζειν· τοῖς δὲ τοῦτο δοκεῖ μόνον τὸ ἐξ ἀνθρώπου ἕτερον ἄνθρωπον ἀεὶ μεταλαμβάνειν καὶ διὰ τῶν αὐτῶν πάντοτε τὸν ἀνθρώπινον διεξάγεσθαι βίον, νῦν μὲν ἐν τούτοις
110 πάλιν δὲ ἐν ἑτέροις τῶν αὐτῶν ψυχῶν εἰς τὸ διηνεκὲς γινομένων. Ἡμεῖς δὲ καλῶς ἔχειν φαμέν, ἐκ τῶν ἐκκλησιαστικῶν δογμάτων ὁρμώμενοι, τοσοῦτον παραδέξασθαι μόνον τῶν τὰ τοιαῦτα πεφιλοσοφηκότων, ὅσον συμφωνοῦντας αὐτοὺς τρόπον τινὰ δεῖξαι τῷ τῆς ἀναστάσεως δόγματι· τὸ γὰρ λέγειν αὐτοὺς πάλιν τισὶν ἐπεισκρίνεσθαι σώμασιν μετὰ τὴν ἀπὸ τούτων διάζευξιν τὴν ψυχὴν οὐ λίαν ἀπᾴδει τῆς ἐλπιζομένης ἡμῖν ἀναβιώσεως. Ὅ τε γὰρ ἡμέτερος λόγος ἐκ τῶν τοῦ κόσμου στοιχείων νῦν τε καὶ εἰς αὖθις τὸ σῶμα ἡμῶν συνίστασθαι λέγει, καὶ τοῖς ἔξω**[109]**θεν τὸ ἴσον δοκεῖ· οὐ γὰρ ἂν ἄλλην τινὰ τοῦ σώματος ἐπινοήσαιεν φύσιν ἔξω τῆς συνδρομῆς τῶν στοιχείων. Διαφέρει δὲ τοσοῦτον ὅσον παρ' ἡμῶν μὲν τὸ αὐτὸ λέγεσθαι πάλιν περὶ τὴν αὐτὴν ψυχὴν συμπήγνυσθαι σῶμα, ἐκ τῶν αὐτῶν στοιχείων συναρμοζόμενον[β], ἐκείνους δὲ οἴεσθαι πρὸς ἄλλα τινὰ σώματα λογικά τε καὶ ἄλογα καὶ ἀναίσθητα τὴν ψυχὴν μεταπίπτειν, οἷς τὸ μὲν ἐκ τῶν τοῦ κόσμου μερῶν εἶναι τὴν σύστασιν ὁμολογεῖται, διαφωνεῖ δὲ τὸ μὴ ἐκ τῶν αὐτῶν οἴεσθαι τῶν κατ' ἀρχὰς ἐν τῇ διὰ σαρκὸς ζωῇ τῇ ψυχῇ προσφυέντων. Οὐκοῦν τὸ μὲν μὴ ἔξω τοῦ εἰκότος εἶναι τὸ πάλιν τὴν ψυχὴν ἐν τῷ σώματι γίνεσθαι παρὰ τῆς ἔξω φιλοσοφίας μεμαρτυρήσθω. Τὸ δὲ ἀσύστατον τοῦ κατ' αὐτοὺς δόγματος καιρὸς ἂν εἴη διασκοπήσασθαι καὶ δι' αὐτῆς τῆς κατὰ τὸ εὔλογον ἀνακυπτούσης ἡμῖν ἀκολουθίας φανερῶσαι, ὡς ἔστι δυνατόν, τὴν ἀλήθειαν. Τίς οὖν ὁ περὶ τούτων λόγος; Οἱ πρὸς διαφόρους φύσεις τὴν ψυχὴν μετοικίζοντες συγχεῖν μοι δοκοῦσι τὰς τῆς φύσεως ἰδιότητας καὶ πάντα χρήματα καταμιγνύειν τε καὶ ἀναφύρειν πρὸς ἀλλη-

---

α. Πρβλ. Ἀρχελάου, *Διάλεξις αὐτοῦ πρὸς τὸν αἱρεσιάρχην Μάνητα*, PG 10,1441C. Ὠριγένους, *Κατὰ Κέλσου*, ΒΕΠ 10,25,40 ἑξ. PG 11,1212A.

β. Πρβλ. Γρηγορίου Νύσσης, *Περὶ ψυχῆς καὶ ἀναστάσεως*, κατωτ. σ. 332 σημ. α.

λα, τὸ ἄλογον, τὸ λογικόν, τὸ αἰσθητικόν, τὸ ἀναίσθητον, εἴπερ ἐν ἀλλήλοις ταῦτα γίνοιτο, μηδενί τινι φύσεως εἱρμῷ κατὰ τὸ ἀμετάπτωτον ἀπ' ἀλλήλων διατειχιζόμενα. Τὸ γὰρ τὴν αὐτὴν ψυχὴν λέγειν νῦν μὲν λογικήν τε καὶ διανοητικὴν **112** διὰ τῆς τοιᾶσδε τοῦ σώματος περιβολῆς γίνεσθαι, πάλιν δὲ μετὰ τῶν ἑρπετῶν φωλεύειν ἢ τοῖς ὀρνέοις συναγελάζεσθαι ἢ ἀχθοφορεῖν ἢ σαρκοβορεῖν ἢ ὑποβρύχιον εἶναι ἢ καὶ πρὸς τὸ ἀναίσθητον μεταπίπτειν, ῥιζουμένην τε καὶ ἀποδενδρουμένην καὶ κλάδων ἐκφύσεις ἀναβλαστάνουσαν καὶ ἐν τούτοις ἢ ἄνθος ἢ ἄκανθαν ἢ τρόφιμόν τι φυομένην ἢ δηλητήριον, οὐδὲν ἕτερόν ἐστιν ἢ ταὐτὸν ἡγεῖσθαι τὰ πάντα, καὶ μίαν ἐν τοῖς οὖσιν εἶναι τὴν φύσιν ἐν συγκεχυμένῃ τινὶ καὶ ἀδιακρίτῳ κοινότητι πρὸς ἑαυτὴν πεφυρμένην, μηδεμιᾶς ἰδιότητος τὸ ἕτερον τοῦ ἑτέρου ἀποκρινούσης. Ὁ γὰρ λέγων τὸ αὐτὸ ἐν παντὶ γίνεσθαι οὐδὲν ἕτερον ἢ ἓν εἶναι τὰ πάντα βούλεται, τῆς ἐμφαινομένης διαφορᾶς τοῖς οὖσιν οὐδὲν πρὸς τὴν ἐπιμιξίαν τῶν ἀκοινωνήτων ἐμποδιζούσης, ὡς ἀνάγκην εἶναι, κἄν τι τῶν ἰοβόλων καὶ σαρκοβόρων θεάσηται, ὁμόφυ[112]λον νομίζειν ἑαυτῷ καὶ συγγενὲς τὸ φαινόμενον· οὐδὲ τὸ κώνειον ὁ τοιοῦτος ὡς ἀλλότριον τῆς ἰδίας ὄψεται φύσεως, εἴπερ βλέπει καὶ ἐν φυτοῖς τὸ ἀνθρώπινον, ἀλλ' οὐδὲ πρὸς αὐτὸν ἀνυπόπτως ἕξει τὸν βότρυν τὸν ἐπὶ τῇ χρείᾳ τῆς ζωῆς γεωργούμενον (καὶ γὰρ καὶ οὗτος τῶν φυομένων ἐστίν), φυτὰ δὲ ἡμῖν καὶ τὰ τῶν ἀσταχύων γεννήματα, δι' ὧν τρεφόμεθα. Πῶς οὖν ἐπάξει τὴν δρεπάνην τῇ τῶν ἀσταχύων τομῇ; πῶς δὲ ἀποθλίψει τὸν βότρυν ἢ ἀνορύξει τῆς ἀρούρας τὴν ἄκανθαν ἢ τὸ ἄνθος δρέψεται ἢ θηρεύσει τοὺς ὄρνιθας ἢ ἀπὸ ξύλων ἀνακαύσει πυράν, ἄδηλον ὄν, εἰ μὴ κατὰ συγγενῶν ἢ προγόνων ἢ ὁμοφύλων ἡ χεὶρ φέρεται, καὶ διὰ τοῦ σώματος αὐτῶν ἢ τὸ πῦρ ἀνάπτεται ἢ ὁ κρατὴρ κιρνᾶται ἢ ἡ τροφὴ παρασκευάζεται; Τῷ γὰρ οἴεσθαι δι' ἑκάστου τούτων τὴν ψυχὴν τοῦ ἀνθρώπου γίνεσθαι φυτὸν ἢ ζῷον, σημεῖα δὲ μὴ ἐπικεῖσθαι ποῖον μὲν τὸ ἐξ ἀνθρώπου φυτὸν ἢ ζῷον, ποῖον δὲ τὸ ἑτέρως γενόμενον, πρὸς πάντα κατὰ τὸ ἴσον ὁ τῇ τοιαύτῃ προειλημμένος ὑπολήψει διατεθήσεται, ὡς **114** κατ' ἀνάγκην ἢ καὶ κατ' αὐτῶν τῶν ἐν τῇ φύσει ζώντων ἀνθρώπων ἀπηνῶς ἔχειν, ἤ, εἴπερ ἐπὶ τῶν ὁμοφύλων πρὸς φιλανθρωπίαν ἐκ φύσεως ῥέποι, ὁμοίως αὐτὸν διακεῖσθαι πρὸς πᾶν ἔμψυχον, κἂν ἐν ἑρπετοῖς, κἂν ἐν θηρίοις τύχῃ, ἀλλὰ κἂν ἐν ὕλῃ δένδρων γένηται ὁ τὸ δόγμα τοῦτο παραδεξάμενος, δῆμον ἀνθρώπων τὰ δένδρα οἰήσεται. Τίς οὖν ὁ τοῦ τοιούτου βίος, ἢ πρὸς πάντα εὐλαβῶς διὰ τὸ ὁμόφυλον ἢ καὶ πρὸς τοὺς ἀνθρώπους ἀπηνῶς διὰ τὴν ἐπὶ τῶν ἄλλων ἀδιαφορίαν ἔχοντος; Οὐκοῦν ἀπόβλητος ἐκ τῶν εἰρημένων ὁ τοιοῦτος ἂν εἴη λόγος, πολλῶν καὶ ἄλλων τῆς τοιαύτης ἡμᾶς ὑπολήψεως κατὰ τὸ εὔλογον ἀπαγόντων. Ἤκουσα γὰρ τῶν τὰ τοιαῦτα δογματιζόντων ὅτι ἔθνη τινὰ τῶν ψυχῶν ὑποτίθενται ἐν ἰδιαζούσῃ τινὶ πολιτείᾳ[α] πρὸ τῆς ἐν σώματι ζωῆς βιοτεύ-

α. Πρβλ. Πλάτ., Πολιτεία Χ, 619C. Φαῖδρος 246B.

οντα, ἐν τῷ λεπτῷ τε καὶ εὐκινήτῳ τῆς φύσεως ἑαυτῶν τῇ τοῦ παντὸς συμπεριπολοῦντα δινήσει, ῥοπῇ δέ τινι τῇ πρὸς κακίαν πτερορρυούσας τὰς ψυχὰς ἐν σώμασι γίνεσθαι, πρῶτον μὲν ἀνθρωπίνοις, εἶθ' οὕτως διὰ τῆς πρὸς τὰ ἄλογα τῶν παθῶν ὁμιλίας μετὰ τὴν τοῦ ἀνθρωπίνου βίου ἐκχώρησιν ἀποκτηνοῦσθαι, κἀκεῖθεν μέχρι τῆς φυτικῆς ταύτης καὶ ἀναισθήτου καταπί**[113]**πτειν ζωῆς, ὡς τὸ τῇ φύσει λεπτὸν καὶ εὐκίνητον, ὅπερ ἐστὶν ἡ ψυχή[α], πρῶτον μὲν ἐμβριθές τε καὶ κατωφερὲς γίνεσθαι, τοῖς ἀνθρωπίνοις σώμασι διὰ κακίας εἰσοικιζόμενον, εἶτα τῆς λογικῆς δυνάμεως ἀποσβεσθείσης τοῖς ἀλόγοις ἐμβιοτεύειν, ἐκεῖθεν δὲ καὶ τῆς τῶν αἰσθήσεων χάριτος ἀφαιρεθείσης τὴν ἀναίσθητον ταύτην ζωὴν τὴν ἐν φυτοῖς μεταλαμβάνειν, ἀπὸ τούτου δὲ πάλιν διὰ τῶν αὐτῶν ἀνιέναι βαθμῶν καὶ πρὸς τὸν οὐράνιον χῶρον ἀποκαθίστασθαι. Τὸ δὲ τοιοῦτον δόγμα τοῖς καὶ μετρίως κρίνειν ἐπισταμένοις αὐτόθεν ἐλέγχεται, μηδεμίαν ἔχον ἐν ἑαυτῷ στάσιν. Εἰ γὰρ ἀπὸ τῆς οὐρανίου ζωῆς διὰ κακίας ἐπὶ τὸν ξυλώδη βίον ἡ ψυχὴ κατασύρεται, ἀπὸ τούτου δὲ πάλιν δι' ἀρετῆς ἐπὶ τὸν οὐράνιον ἀνατρέχει[β], εὑρίσκεται ὁ λό**116**γος αὐτῶν ἀπορῶν ὅ τι προτιμότερον οἴεται, εἴτε τὴν ξυλίνην εἴτε τὴν οὐρανίαν ζωήν· κύκλος γάρ τις ἔστι διὰ τῶν ὁμοίων περιχωρῶν, ἀεὶ τῆς ψυχῆς, ἐν ᾧπερ ἂν ᾖ, ἀστατούσης. Εἰ γὰρ ἐκ τῆς ἀσωμάτου ζωῆς πρὸς τὴν σωματικὴν καταφέρεται, ἐκ δὲ ταύτης πρὸς ἀναίσθητον, ἐκεῖθεν δὲ πάλιν πρὸς τὸ ἀσώματον ἀνατρέχει, οὐδὲν ἕτερον ἢ ἀδιάκριτος κακῶν τε καὶ ἀγαθῶν σύγχυσις παρὰ τοῖς ταῦτα δογματίζουσιν ὑπονοεῖται· οὔτε γὰρ ἡ οὐρανία διαγωγὴ ἐν τῷ μακαρισμῷ διαμενεῖ, εἴπερ κακία τῶν ἐκεῖ ζώντων καθάπτεται, οὔτε τὰ ξύλα τῆς ἀρετῆς ἀμοιρήσει, εἴπερ ἐντεῦθεν μὲν ἐπὶ τὸ ἀγαθὸν παλινδρομεῖν οἴονται τὴν ψυχήν, ἐκεῖθεν δὲ τοῦ κατὰ κακίαν ἄρχεσθαι βίου. Εἰ γὰρ τῷ οὐρανῷ ἡ ψυχὴ συμπεριπολοῦσα τῇ κακίᾳ συμπλέκεται καὶ διὰ ταύτης ἐπὶ τὸν ὑλώδη καθελκυσθεῖσα βίον ἀνωθεῖται πάλιν ἐντεῦθεν ἐπὶ τὴν ἐν ὕψει διαγωγήν, ἄρα τὸ ἔμπαλιν παρ' ἐκείνων κατασκευάζεται τὸ τὴν μὲν ὑλικὴν ζωὴν κακίας εἶναι καθάρσιον, τὴν δὲ ἀπλανῆ περιφορὰν κακῶν ἀρχηγὸν καὶ αἰτίαν ταῖς ψυχαῖς γίνεσθαι, εἴπερ ἐντεῦθεν μὲν δι' ἀρετῆς πτεροφυήσασαι μετεωροποροῦσιν, ἐκεῖθεν δὲ διὰ κακίας τῶν πτερῶν ἐκπιπτόντων χαμαιπετεῖς καὶ πρόσγειοι γίνονται, τῇ παχύτητι τῆς ὑλικῆς καταμιγνύμεναι φύσεως[γ]. Καὶ οὐ μέχρι τούτων ἵσταται τῶν τοιούτων δογμάτων ἡ ἀτοπία, τὸ ἀντεστράφθαι πρὸς τοὐναντίον τὰς ὑπολήψεις, ἀλλ' οὐδὲ **[116]** αὐτὴ παγία διαμένει μέχρι παντὸς αὐτοῖς ἡ ὑπόνοια. Εἰ γὰρ ἄτρεπτον τὸ οὐράνιον λέγουσι, πῶς ἔχει χώραν ἐν τῷ ἀτρέπτῳ τὸ

α. Πρβλ. Ὠριγένους, Περὶ ἀρχῶν Ι, 8,4. PG 11,180B-C.

β. Πρβλ. Ὠριγένους, Περὶ ἀρχῶν VIII, 3. PG 11,221B. Εἰς τὸ κατὰ Ἰωάννην, ΒΕΠ 12,200,30 ἑξ. PG 14,568A ἑξ.

γ. Πρβλ. Ὠριγένους, Περὶ ἀρχῶν IV, 23. PG 11,393A. Εἰς τὸ κατὰ Ἰωάννην, ΒΕΠ 12,200,30 ἑξ. PG 14,568A ἑξ.

πάθος; καὶ εἰ ἐμπαθὴς ἡ κάτω φύσις, πῶς ἐν τῷ παθητῷ κατορθοῦται ἡ ἀπάθεια; Ἀλλὰ φύρουσι τὰ ἄμικτα καὶ ἑνοῦσι τὰ ἀκοινώνητα, ἐν πάθει τὸ ἄτρεπτον, καὶ ἐν τῷ τρεπτῷ πάλιν καθορῶντες τὴν ἀπάθειαν, **118** καὶ οὐδὲ τούτοις εἰς ἀεὶ παραμένουσιν, ἀλλ' ὅθεν τὴν ψυχὴν διὰ κακίας ἀπῴκισαν, ἐκεῖσε πάλιν αὐτὴν ὡς εἰς ἀσφαλῆ καὶ ἀκήρατον ζωὴν ἐκ τῆς ὑλικῆς ἀνοικίζουσιν, ὥσπερ ἐπιλαθόμενοι τὸ ἐκεῖθεν αὐτὴν ἐν κακίᾳ βρίσασαν τῇ κάτω καταμιχθῆναι φύσει. Ἥ τε οὖν διαβολὴ τοῦ τῇδε βίου καὶ ὁ τῶν οὐρανίων ἔπαινος ἐν ἀλλήλοις συγχέονται καὶ ἀναφύρονται, τοῦ μὲν διαβεβλημένου κατὰ τὴν ἐκείνων δόξαν πρὸς τὸ καλὸν καθηγουμένου, τοῦ δὲ πρὸς τὸ κρεῖττον ὑπειλημμένου τὴν ἀφορμὴν ἐνδιδόντος τῇ ψυχῇ τῆς πρὸς τὸ χεῖρον ῥοπῆς. Οὐκοῦν ἐκβλητέα τῶν τῆς ἀληθείας δογμάτων πᾶσα πεπλανημένη τε καὶ ἀστατοῦσα περὶ τῶν τοιούτων ὑπόληψις. Ἀλλὰ μηδ' ὅσοις μεταβαίνειν ἐκ γυναικείων σωμάτων πρὸς τὴν ἀνδρώδη ζωὴν τὰς ψυχὰς δοκεῖ, ἢ τὸ ἔμπαλιν ἐν[α] γυναικὶ γίνεσθαι τὰς τῶν ἀνδρικῶν σωμάτων χωρισθείσας ψυχὰς ἢ καὶ πρὸς ἄνδρας ἐξ ἀνδρῶν μεταβαίνειν καὶ γυναῖκας ἐκ γυναικῶν γίνεσθαι πάλιν, ὡς τῆς ἀληθείας ἠστοχηκόσιν ἀκολουθήσωμεν. Ὁ μὲν γὰρ πρότερος οὐ μόνον διὰ τὸ ἄστατός τε καὶ ἀπατηλὸς εἶναι ἀπεδοκιμάσθη λόγος, αὐτὸς ἐν ἑαυτῷ πρὸς τὰς ἐναντίας ὑπολήψεις περιτρεπόμενος, ἀλλ' ὅτι καὶ ἀσεβῶς ἔχει, μηδὲν τῶν ὄντων εἰς γένεσιν ἄγεσθαι δογματίζων, μὴ κακίας τῇ ἑκάστου φύσει τὴν ἀρχὴν ἐνδιδούσης· εἰ γὰρ οὔτε ἄνθρωποι οὔτε φυτὰ οὔτε βοσκήματα μὴ ψυχῆς ἄνωθεν ἐπὶ ταῦτα πεσούσης φύονται, ἡ δὲ πτῶσις διὰ κακίας γίνεται, ἆρα κατάρχειν οἴονται τὴν κακίαν τῆς τῶν ὄντων συστάσεως. Καὶ πῶς συμβαίνει κατὰ τὸν αὐτὸν ἀμφότερα χρόνον, καὶ ἄνθρωπον ἐκ γάμου φύεσθαι καὶ τῆς ψυχῆς τὴν κατάπτωσιν τῇ τοῦ γά**[117]**μου συμβαίνειν σπουδῇ καὶ τὸ ἔτι τούτου παραλογώτερον, εἰ ἔαρι τὰ πολλὰ τῆς ἀλόγου φύσεως συνδυάζεται, ἆρ' οὖν ἔστιν εἰπεῖν ὅτι καὶ τῇ ἄνω περιφορᾷ τὸ ἔαρ ἐμφύεσθαι τὴν κακίαν ποιεῖ, ὥστε συμβαίνειν ὁμοῦ τε τοῦ κακοῦ τὰς ψυχὰς πληρουμένας πίπτειν καὶ **120** τὰς γαστέρας τῶν ἀλόγων κυΐσκεσθαι; τί δ' ἂν εἴποι τις περὶ τοῦ γεωπόνου τοῦ καταπηγνύντος τῇ γῇ τὰς τῶν φυτῶν ἀποσπάδας; πῶς ἡ τούτου χεὶρ συγκατέχωσε τῷ φυτῷ τὴν ἀνθρωπίνην ψυχήν, συντρεχούσης τῆς ψυχικῆς πτερορρυήσεως τῇ τοῦ ἀνθρώπου πρὸς τὴν φυτείαν ὁρμῇ; Τὸ αὐτὸ τοίνυν ἄτοπον καὶ ἐπὶ τοῦ ἑτέρου τῶν λόγων ἐστί, τὸ οἴεσθαι τὴν ψυχὴν τὰς συνόδους τῶν ἐν συζυγίᾳ ζώντων περιεργάζεσθαι ἢ τὰς λοχείας ἐπιτηρεῖν, ἵνα τοῖς φυομένοις σώμασιν εἰσκριθῶσιν. Εἰ δὲ ἀπείποι ὁ ἀνὴρ τὸν γάμον, ἡ δὲ γυνὴ ἑαυτὴν τῆς τῶν ὠδίνων ἀνάγκης ἐλευθερώσειεν, ἆρ' οὐ βαρήσει τὴν ψυχὴν ἡ κακία; Οὐκοῦν ὁ γάμος τῇ ἄνω κακίᾳ τὸ κατὰ τῶν ψυχῶν ἐνδόσιμον δίδωσιν, ἢ καὶ δίχα τούτου καθάπτεται τῆς ψυχῆς ἡ πρὸς

α. Πρβλ. Πλάτ., Τίμαιος 90Ε.

τὸ ἐναντίον σχέσις. Οὐκοῦν ἄοικος ἐν τῷ μέσῳ καὶ ἀλῆτις ἡ ψυχὴ[α] πεπλανήσεται, τῶν μὲν οὐρανίων ἀπορρυεῖσα, σώματος δέ, ἂν οὕτω τύχῃ, πρὸς ὑποδοχὴν ἀμοιρήσασα. Εἶτα καὶ πῶς διὰ τούτων ἐπιστατεῖν τὸ θεῖον τῶν ὄντων ὑπονοήσουσι, τῇ τυχαίᾳ ταύτῃ καὶ ἀλόγῳ τῶν ψυχῶν καταπτώσει τὰς ἀρχὰς τῆς ἀνθρωπίνης ἀνατιθέντες ζωῆς; Ἀνάγκη γὰρ πᾶσα τῇ ἀρχῇ καὶ τὰ μετ' αὐτὴν συμφώνως ἔχειν. Εἰ γὰρ ἐκ συντυχίας αὐτομάτου τινὸς ὁ βίος ἤρξατο, τυχαία πάντως καὶ ἡ κατ' αὐτὸν διέξοδος γίνεται. Καὶ μάτην τῆς θείας δυνάμεως οἱ τοιοῦτοι τὰ ὄντα ἐξάπτουσιν, οἱ μὴ βουλήματι θείῳ τὰ ἐν τῷ κόσμῳ φύεσθαι λέγοντες, ἀλλ' εἰς πονηράν τινα συντυχίαν τὰς ἀρχὰς τῶν γινομένων ἀνάγοντες, ὡς οὐκ ἂν συστάσης τῆς ἀνθρωπίνης ζωῆς, μὴ τοῦ κακοῦ δόντος τῇ ζωῇ τὸ ἐνδόσιμον. Εἰ οὖν ἡ ἀρχὴ τοῦ βίου τοιαύτη, δηλαδὴ καὶ τὰ ἐφεξῆς κατὰ τὴν ἀρχὴν κινηθήσεται· οὐ γὰρ ἄν τις ἐκ κακοῦ καλόν, οὐδὲ ἐξ ἀγαθοῦ τὸ ἐναντίον φύεσθαι λέγοι, ἀλλὰ κατὰ τὴν τοῦ σπέρματος φύσιν καὶ τοὺς καρποὺς ἀναμένομεν. Οὐκοῦν πάσης τῆς ζωῆς ἡ αὐτόματος αὕτη **122** καὶ συντυχικὴ κίνησις ἡγεμονεύσει, μηδεμιᾶς προνοίας διὰ τῶν ὄντων ἠκούσης. Ἄχρηστος δὲ παντάπασι καὶ ἡ τῶν λογισμῶν ἔσται προμήθεια, τῆς δὲ ἀρετῆς κέρδος οὐδέν, καὶ τὸ πρὸς τὸ κακὸν ἀλλοτρίως ἔχειν ἀντ' οὐδενὸς ἂν εἴη. **[120]** **Πάντα** γὰρ πάντως ἐπὶ τῷ φέροντι κείσεται καὶ οὐδὲν ὁ βίος διοίσει τῶν ἀνερματίστων πλοίων, ταῖς αὐτομάτοις συντυχίαις οἷόν τισι κύμασιν ἄλλοτε πρὸς ἄλλην καλῶν ἢ φαύλων συντυχίαν μεθορμιζόμενος· οὐ γάρ ἐστι τὸ ἐξ ἀρετῆς ἐγγενέσθαι κέρδος οἷς ἡ φύσις ἐκ τοῦ ἐναντίου τὴν ἀρχὴν ἔχει. Εἰ μὲν γὰρ θεόθεν οἰκονομεῖται ἡμῶν ἡ ζωή, τὸ μηδὲ κακίαν κατάρχειν τῆς ζωῆς ἡμῶν συνομολογεῖται· εἰ δὲ δι' ἐκείνης φυόμεθα, πάντῃ τε καὶ πάντως κατ' αὐτὴν βιοτεύσομεν. Λῆρος οὖν διὰ τούτων ἀποδειχθήσεται τὰ μετὰ τὸν τῇδε βίον δικαιωτήρια καὶ ἡ πρὸς ἀξίαν ἀνταπόδοσις καὶ ὅσα ἄλλα πρὸς ἀναίρεσιν τῆς κακίας λέγεται καὶ πιστεύεται. Πῶς γὰρ δυνατὸν ἔξω ταύτης εἶναι τὸν ἄνθρωπον τὸν δι' ἐκείνης φύντα; πῶς δ' ἂν καὶ ὁρμή τις ἐγγένοιτο προαιρετικὴ τῷ ἀνθρώπῳ πρὸς τὸν κατ' ἀρετὴν βίον, οὗ ἡ φύσις ἐκ κακίας, ὡς λέγουσι, τὴν ἀρχὴν ἔχει; Ὡς γὰρ οὐκ ἐπιχειρεῖ τι τῶν ἀλόγων ζῴων ἀνθρωπικῶς φθέγξασθαι, τῇ δὲ συντρόφῳ καὶ κατὰ φύσιν κεχρημένα φωνῇ οὐδεμίαν ἡγεῖται ζημίαν ἀμοιροῦντα τοῦ λόγου, κατὰ τὸν αὐτὸν τρόπον καὶ οἷς ἡ κακία νομίζεται εἶναι τῆς ζωῆς ἀρχὴ καὶ αἰτία, οὐκ ἂν εἰς ἐπιθυμίαν ἔλθοιεν τῆς ἀρετῆς, ὡς ἔξω τῆς φύσεως αὐτῶν οὔσης. Ἀλλὰ μὴν πᾶσι τοῖς κεκαθαρμένοις ἐκ λογισμῶν τὴν ψυχὴν διὰ σπουδῆς τε καὶ ἐπιθυμίας ὁ κατ' ἀρετὴν βίος ἐστίν. Ἄρα διὰ τούτου σαφῶς ἀποδείκνυται τὸ μὴ πρεσβυτέραν εἶναι τῆς ζωῆς τὴν κακίαν, μηδ' ἐκεῖθεν τὰς πρώτας ἀρχὰς ἐσχηκέναι τὴν φύσιν, ἀλλὰ κατάρχειν ἡμῶν τῆς ζωῆς τὴν τὸ πᾶν οἰκονομοῦσαν τοῦ

α. Πρβλ. Ὠριγένους, Εἰς τὰ Ἄσματα τῶν Ἀσμάτων, Σχόλια, PG 17,257A.

Θεοῦ σοφίαν· ἐλθοῦσαν δὲ εἰς γένεσιν τὴν ψυχὴν κατὰ τὸν ἀρέσκοντα τρόπον τῷ κτίσαντι τότε κατ' ἐξουσίαν αὐτὴν **124** αἱρεῖσθαι τὸ κατὰ γνώμην, ἐκ τῆς προαιρετικῆς δυνάμεως, ὅ τί περ ἂν ἐθέλῃ, τοῦτο καὶ γινομένην. Μάθοιμεν δ' ἂν τὸν λόγον ἐκ τοῦ κατὰ τὸν ὀφθαλμὸν ὑποδείγματος, ᾧ τὸ μὲν ὁρᾶν ἔστιν ἐκ φύσεως, τὸ δὲ μὴ ὁρᾶν ἐκ προαιρέσεως ἢ καὶ πάθους· γένοιτο γὰρ ἄν ποτε καὶ τὸ παρὰ τὴν φύσιν ἀντὶ τῆς φύσεως, ἢ ἑκουσίως τινὸς τὸν ὀφθαλμὸν μύοντος ἢ ἐκ πάθους ἐστερηθέντος τῆς ὄψεως. Οὕτως ἔστι καὶ τὴν ψυχὴν εἰπεῖν, θεόθεν μὲν εἶναι τὴν σύστασιν αὐτῆς, μηδεμιᾶς δὲ νοουμένης περὶ τὸ θεῖον κακίας, ἔξω τῆς κατ' αὐτὴν ἀνάγκης εἶναι, γενομένην δὲ οὕτως τῇ ἰδίᾳ γνώμῃ πρὸς τὸ δοκοῦν ἄγεσθαι, ἢ ἐκ προαιρέσεως πρὸς τὸ κακὸν ἐπιμύουσαν ἢ ἐξ ἐπιβουλῆς τοῦ συνοικοῦντος ἡμῶν τῇ ζωῇ πολεμίου τὸν ὀφθαλμὸν βλαπτομένην καὶ ἐν τῷ τῆς ἀπάτης **[121]** βιοτεύουσαν σκότῳ, ἢ καὶ τὸ ἔμπαλιν καθαρῶς πρὸς τὴν ἀλήθειαν βλέπουσαν πόρρω γίνεσθαι τῶν σκοτεινῶν παθημάτων[α]. Πότε οὖν ἐρεῖ τις γενομένην καὶ πῶς; Ἀλλὰ τὴν μὲν ζήτησιν τὴν περὶ τοῦ πῶς τὸ καθ' ἕκαστον γέγονεν, ἐξαιρετέον πάντῃ τοῦ λόγου· οὐδὲ γὰρ περὶ τῶν προχείρων ἡμῖν εἰς κατανόησιν, ὧν τὴν ἀντίληψιν δι' αἰσθήσεως ἔχομεν, δυνατὸν ἂν γένοιτο τῷ διερευνωμένῳ λόγῳ τὸ πῶς ὑπέστη τὸ φαινόμενον κατανοῆσαι, ὡς μήτε τοῖς θεοφορουμένοις καὶ ἁγίοις ἀνδράσι τὸ τοιοῦτον ληπτὸν νομισθῆναι. «Πίστει» γάρ, φησίν ὁ Ἀπόστολος, «νοοῦμεν κατηρτίσθαι τοὺς αἰῶνας ῥήματι Θεοῦ εἰς τὸ μὴ ἐκ φαινομένων τὰ ὁρώμενα γεγονέναι»[1]· οὐκ ἄν, ὡς οἶμαι, τοῦτο εἰπών, εἴπερ ᾤετο γνωστὸν εἶναι διὰ τῶν λογισμῶν τὸ ζητούμενον, ἀλλ' ὅτι μὲν θελήματι θείῳ κατήρτισται αὐτός τε ὁ αἰὼν καὶ πάντα τὰ ἐξ ἐκείνου γενόμενα (ὅ τί ποτε καὶ ἔστιν ὁ αἰών, ᾧ παραθεωρεῖται πᾶσα ἡ ὁρατή τε καὶ ἀόρατος κτίσις), τοῦτο πεπιστευκέναι φησὶν ὁ Ἀπόστολος, τὸ δὲ πῶς ἀφῆ**126**κεν ἀδιερεύνητον. Οὐδὲ γὰρ ἐφικτὸν οἶμαι τὸ τοιοῦτον τοῖς ἀναζητοῦσιν εἶναι, πολλὰς ἀμηχανίας τοῦ περὶ τούτων ζητήματος ἡμῖν προδεικνύοντος, πῶς ἐκ τῆς ἑστώσης φύσεως τὸ κινούμενον, ἐκ τῆς ἁπλῆς τε καὶ ἀδιαστάτου τὸ διαστηματικόν τε καὶ σύνθετον; Ἆρα ἐξ αὐτῆς τῆς ὑπερκειμένης οὐσίας; Ἀλλ' οὐχ ὁμολογεῖται τῷ ἑτερογενῶς ἔχειν πρὸς ἐκείνην τὰ ὄντα. Ἀλλ' ἑτέρωθέν ποθεν; Καὶ μὴν οὐδὲν ἔξω τῆς θείας φύσεως ὁ λόγος βλέπει· ἦ γὰρ ἂν διασχισθείη πρὸς διαφόρους ἀρχὰς ἡ ὑπόληψις, εἴ τι τῆς ποιητικῆς αἰτίας ἔξω νομισθείη, παρ' οὗ ἡ τεχνικὴ σοφία τὰς πρὸς τὴν κτίσιν παρασκευὰς ἐρανίζεται. Ἐπεὶ οὖν ἓν μὲν τῶν ὄντων τὸ αἴτιον, οὐχ ὁμογενῆ δὲ τῇ ὑπερκειμένῃ φύσει τὰ δι' ἐκείνης παρα-

---

1. Ἑβρ. 11,3.

α. Πρβλ. Ὠριγένους, Περὶ ψυχῆς, PG 11,540A. Γρηγορίου Νεοκαισαρείας, Εἰς Ὠριγένην προσφωνητικὸς καὶ πανηγυρικός, ΒΕΠ 17,276,37 ἑξ. PG 10,1056A.

χθέντα εἰς γένεσιν, ἴση δὴ καθ' ἑκάτερον ἐν τοῖς ὑπονοουμένοις ἡ ἀτοπία, τό τε ἐκ τῆς φύσεως τοῦ Θεοῦ τὴν κτίσιν οἴεσθαι καὶ τὸ ἐξ ἑτέρας τινὸς οὐσίας ὑποστῆναι τὰ πάντα. Ἢ γὰρ ἂν καὶ τὸ Θεῖον ἐν τοῖς τῆς κτίσεως ἰδιώμασιν εἶναι ὑπονοηθήσεται, εἴπερ ὁμογενῶς πρὸς τὸν Θεὸν ἔχει τὰ γεγονότα· ἤ τις ὑλικὴ φύσις ἔξω τῆς θείας οὐσίας ἀντεισαχθήσεται, τῷ **[124]** Θεῷ κατὰ τὸ ἀγέννητον τῇ ἀϊδιότητι τοῦ ὄντος παρισουμένη, ὅπερ δὴ καὶ Μανιχαῖοι φαντασθέντες καί τινες ἐκ τῆς ἑλληνικῆς φιλοσοφίας ταῖς ἴσαις ὑπονοίαις συνενεχθέντες δόγμα τὴν φαντασίαν ταύτην πεποίηνται. Ὡς δ' ἂν οὖν μάλιστα ἐκφύγοιμεν τὴν ἐφ' ἑκάτερον ἀτοπίαν ἐν τῇ ζητήσει τῶν ὄντων, κατὰ τὸ τοῦ Ἀποστόλου ὑπόδειγμα ἀπολυπραγμόνητον τὸν λόγον τὸν περὶ τοῦ πῶς ἕκαστον ἔστι καταλείψομεν, τοσοῦτον παρασημηνάμενοι μόνον, ὅτι ἡ ὁρμὴ τῆς θείας προαιρέσεως, ὅταν ἐθέλῃ, πρᾶγμα γίνεται καὶ οὐσιοῦται τὸ βούλημα, εὐθὺς φύσις γινόμενον, τῆς παντοδυνάμου ἐξουσίας, ὅπερ ἂν σοφῶς τε καὶ τεχνικῶς ἐθελήσῃ, μὴ ἀνυπόστατον ποιούσης τὸ θέλημα. Ἡ δὲ τοῦ θελήματος ὕπαρξις οὐσία ἐστί. Διχῇ δὲ διῃρημένων τῶν ὄντων εἰς τὸ νοερόν τε καὶ σω**128**ματικόν, ἡ μὲν τῶν νοερῶν κτίσις οὐ δοκεῖ πως ἀπᾴδειν τῆς τοῦ ἀσωμάτου φύσεως, ἀλλ' ἐκ τοῦ σύνεγγυς εἶναι, τὸ ἀειδές τε καὶ ἀναφὲς καὶ ἀδιάστατον δεικνύουσα· ὅπερ δὴ καὶ περὶ τὴν ὑπερκειμένην φύσιν ὑπονοῶν τις οὐχ ἁμαρτήσεται. Τῆς δὲ σωματικῆς κτίσεως ἐν ἀκοινωνήτοις ὡς πρὸς τὸ Θεῖον τοῖς ἰδιώμασι θεωρουμένης, καὶ ταύτης μάλιστα τὴν πολλὴν ἀμηχανίαν ἐμποιούσης τῷ λόγῳ, μὴ δυναμένῳ κατιδεῖν πῶς ἐκ τοῦ ἀοράτου τὸ ὁρώμενον, ἐκ τοῦ ἀναφοῦς τὸ στερρὸν καὶ ἀντίτυπον, ἐκ τοῦ ἀορίστου τὸ ὡρισμένον, ἐκ τοῦ ἀπόσου τε καὶ ἀμεγέθους τὸ πάντως μέτροις τισὶ τοῖς κατὰ τὸ ποσὸν θεωρουμένοις περιειργόμενον, καὶ τὰ καθ' ἕκαστον, ὅσα περὶ τὴν σωματικὴν καταλαμβάνεται φύσιν (περὶ ὧν τοσοῦτόν φαμεν, ὅτι οὐδὲν ἐφ' ἑαυτοῦ τῶν περὶ τὸ σῶμα θεωρουμένων σῶμά ἐστιν, οὐ σχῆμα, οὐ χρῶμα, οὐ βάρος, οὐ διάστημα, οὐ πηλικότης, οὐκ ἄλλο τι τῶν ἐν ποιότητι θεωρουμένων οὐδέν, ἀλλὰ τούτων ἕκαστον λόγος ἐστίν, ἡ δὲ πρὸς ἄλληλα συνδρομὴ τούτων καὶ ἕνωσις σῶμα γίνεται, ἐπεὶ οὖν αἱ συμπληρωτικαὶ τοῦ σώματος ποιότητες νῷ καταλαμβάνονται καὶ οὐκ αἰσθήσει, νοερὸν δὲ τὸ Θεῖον, τίς πόνος τῷ νοητῷ τὰ νοητὰ κατεργάσασθαι, ὧν ἡ πρὸς ἄλληλα συνδρομὴ τὴν τοῦ σώματος ἡμῖν ἀπεγέννησε φύσιν; Ἀλλὰ ταῦτα μὲν ἔξω τοῦ **[125]** προκειμένου παρεξητάσθω. Τὸ δὲ ζητούμενον ἦν, εἰ μὴ προϋφεστήκασιν αἱ ψυχαὶ τῶν σωμάτων, πότε καὶ πῶς γίνονται; Καὶ τούτου χάριν ἡμῖν τὴν μὲν περὶ τοῦ πῶς ζήτησιν ὡς ἀνέφικτον οὖσαν ἀπολυπραγμόνητον ἀφῆκεν ὁ λόγος· περὶ δὲ τοῦ πότε τὰς ἀρχὰς αἱ ψυχαὶ τῆς ὑπάρξεως ἔχουσιν, ὡς ἀκόλουθον ὂν τοῖς προεξητασμένοις, ζητεῖν καταλείπεται. Εἰ γὰρ δοθείη τὸ πρὸ τοῦ σώματος ἐν ἰδιαζούσῃ τινὶ κατα**130**στάσει τὴν ψυχὴν βιοτεύειν, ἀνάγκη πᾶσα τὰς ἀτόπους ἐκείνας δογματοποιίας ἰσχὺν ἔχειν νομί-

σαι τῶν διὰ κακίας τὰς ψυχὰς εἰσοικιζόντων τοῖς σώμασιν. Ἀλλὰ μὴν ἐφυστερίζειν τῶν ψυχῶν τὴν γένεσιν καὶ νεωτέραν τῆς τῶν σωμάτων εἶναι συμπλάσεως, οὐδεὶς ἂν τῶν εὖ φρονούντων ὑπονοήσειεν, φανεροῦ πᾶσιν ὄντος ὅτι οὐδὲν τῶν ἀψύχων κινητικήν τε καὶ αὐξητικὴν ἐν ἑαυτῷ δύναμιν ἔχει· τῶν δὲ τῇ νηδύι ἐντρεφομένων οὔτε ἡ αὔξησις οὔτε ἡ τοπικὴ κίνησίς ἐστιν ἀμφισβητήσιμός τε καὶ ἀμφίβολος. Λείπεται οὖν μίαν καὶ τὴν αὐτὴν ψυχῆς τε καὶ σώματος τὴν ἀρχὴν τῆς συστάσεως οἴεσθαι[α]. Καὶ ὥσπερ τῆς ῥίζης τὴν ἀποσπάδα λαβοῦσα παρὰ τῶν γεηπόνων ἡ γῆ δένδρον ἐποίησεν, οὐκ αὐτὴ τὴν αὐξητικὴν ἐνθεῖσα τῷ τρεφομένῳ δύναμιν, ἀλλὰ μόνον τὰς πρὸς τὴν αὔξησιν ἀφορμὰς ἐνιεῖσα τῷ ἐγκειμένῳ, οὕτω φαμὲν καὶ τὸ ἐκ τοῦ ἀνθρώπου ἀποσπώμενον πρὸς ἀνθρώπου φυτείαν καὶ αὐτὸ τρόπον τινὰ ζῷον εἶναι, ἐξ ἐμψύχου ἔμψυχον, ἐκ τρεφομένου τρεφόμενον. Εἰ δὲ μὴ πάσας τὰς τῆς ψυχῆς ἐνεργείας τε καὶ κινήσεις ἡ βραχύτης τῆς ἀποσπάδος ἐχώρησε, θαυμαστὸν οὐδέν. Οὐδὲ γὰρ ὁ ἐν τῷ σπέρματι σῖτος εὐθὺς κατὰ τὸ φαινόμενον στάχυς ἐστὶ (πῶς γὰρ ἂν τὸ τοσοῦτον ἐν τῷ τοσούτῳ χωρήσειεν;), ἀλλὰ τῆς γῆς αὐτὸν ταῖς καταλλήλοις τιθηνουμένης τροφαῖς, στάχυς ὁ σῖτος γίνεται, οὐκ ἐξαλλάσσων ἐν τῇ βώλῳ τὴν φύσιν, ἀλλ' ἐκφαίνων ἑαυτὸν καὶ τελειῶν τῇ τῆς τροφῆς ἐνεργείᾳ. Ὥσπερ οὖν ἐπὶ τῶν φυομένων σπερμάτων κατ' ὀλίγον ἡ αὔξησις ἐπὶ τὸ τέλειον πρόεισι, τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τῆς **[128]** ἀνθρωπίνης συστάσεως πρὸς λόγον τῆς σωματικῆς ποσότητος καὶ ἡ τῆς ψυχῆς διαφαίνεται δύναμις, πρῶτον μὲν διὰ τοῦ θρεπτικοῦ τε καὶ αὐξητικοῦ τοῖς ἔνδοθεν πλασσομένοις ἐγγινομένη, μετὰ ταῦτα δὲ τὴν αἰσθητικὴν χάριν τοῖς εἰς φῶς προελθοῦσιν ἐπάγουσα[β], εἶθ' οὕτω **132** καθάπερ τινὰ καρπόν, αὐξηθέντος ἤδη τοῦ φυτοῦ, μετρίως τὴν λογικὴν ἐκφαίνουσα δύναμιν, οὐ πᾶσαν κατὰ τὸ ἀθρόον, ἀλλὰ τῇ ἀναδρομῇ τοῦ φυτοῦ δι' ἀκολούθου προκοπῆς συναυξομένη. Ἐπειδὴ τοίνυν τὸ ἐκ τῶν ἐμψύχων εἰς ἀφορμὴν ἐμψύχου συστάσεως ἀποσπώμενον νεκρὸν εἶναι οὐ δύναται (ἡ γὰρ νεκρότης κατὰ ψυχῆς στέρησιν γίνεται, οὐκ ἂν δὲ προλάβοι τὴν ἕξιν ἡ στέρησις), ἐκ τούτων καταλαμβάνομεν τὸ κοινὴν τῷ ἐξ ἀμφοτέρων συνισταμένῳ συγκρίματι τὴν εἰς τὸ εἶναι πάροδον γίνεσθαι, οὔτε τούτου προτερεύοντος οὔτ' ἐκείνου ἐφυστερίζοντος· στάσιν δέ ποτε τῆς τοῦ ἀριθμοῦ τῶν ψυχῶν αὐξήσεως ἀναγκαίως προορᾷ ὁ λόγος, ὡς ἂν μὴ διὰ παντὸς ῥέοι ἡ φύσις, ἀεὶ διὰ τῶν ἐπιγινομένων ἐπὶ τὸ πρόσω χεομένη καὶ οὐδέποτε τῆς κινήσεως λήγουσα. Τὴν δὲ αἰτίαν τοῦ δεῖν πάντως στά-

---

α. Πρβλ. Μ. Ἀθανασίου, Πρὸς Ἀντίοχον ἄρχοντα, ΒΕΠ 35,104,17-25. PG 28,608A. Γρηγορίου Θεολόγου, Εἰς τὰ Θεοφάνεια, ΒΕΠ 60,68,11-15. Γρηγορίου Νύσσης, Περὶ ψυχῆς. PG 45,205C.

β. Πρβλ. Μ. Βασιλείου, Περὶ Παραδείσου, PG 30,68B. Εἰς τὸ «πρόσεχε σεαυτῷ», ΒΕΠ 54,36,12 ἑξ. Γρηγορίου Θεολόγου, Περὶ τῆς ἐν διαλέξεσιν εὐταξίας, ΒΕΠ 60,24,15-18.

σιμόν ποτε καὶ τὴν ἡμετέραν γίνεσθαι φύσιν ταύτην οἰόμεθα, ὅτι ταύτης τῆς νοητῆς φύσεως ἐν τῷ ἰδίῳ πληρώματι ἑστώσης εἰκός ποτε καὶ τὸ ἀνθρώπινον εἰς πέρας ἐλθεῖν (οὐδὲ γὰρ τοῦτο τῆς νοητῆς ἠλλοτρίωται φύσεως), ὡς μὴ πάντοτε δοκεῖν ἐν τῷ ἐλλείποντι καθορᾶσθαι· ἡ γὰρ ἀεὶ τῶν ἐπιγινομένων προσθήκη κατηγορία τοῦ ἐλλιπῶς ἔχειν τὴν φύσιν γίνεται. Ἐπειδὰν οὖν εἰς τὸ οἰκεῖον πλήρωμα τὸ ἀνθρώπινον φθάσῃ, στήσεται πάντως ἡ ῥοώδης αὕτη τῆς φύσεως κίνησις εἰς τὸ ἀναγκαῖον καταντήσασα πέρας καί τις ἑτέρα κατάστασις τὴν ζωὴν διαδέξεται, τῆς νῦν ἐν γενέσει καὶ φθορᾷ διεξαγομένης κεχωρισμένη. Μὴ οὔσης γὰρ γενέσεως κατὰ πᾶσαν ἀνάγκην οὐδὲ τὸ φθειρόμενον ἔσται· εἰ γὰρ πρὸ τῆς διαλύσεως ἡ σύνθεσις ἄρχεται (σύνθεσιν δέ φαμεν τὴν διὰ γενέσεως πάροδον), ἀκόλουθον πάντως μὴ καθηγουμένης τῆς συνθέσεως μηδὲ τὴν διάλυσιν ἕπεσθαι. Οὐκοῦν ἑστῶσά τις καὶ ἀδιάλυτος ἡ μετὰ ταῦτα ζωὴ δι' ἀκο**134**λούθου προφαίνεται πίστεως, οὔτε ὑπὸ γενέσεως οὔτε ὑπὸ φθορᾶς ἀλλοιουμένη.

[129] Ἐγὼ δὲ ταῦτα διεξελθούσης τῆς διδασκάλου, ἐπειδὴ τοῖς πολλοῖς τῶν παρακαθημένων ἐδόκει τὸ προσῆκον ἐσχηκέναι πέρας ὁ λόγος, φοβηθεὶς μὴ οὐκέτ' εἴη ὁ διαλύων ἡμῖν τὰ περὶ τῆς ἀναστάσεως παρὰ τῶν ἔξωθεν προφερόμενα, εἴ τι ἐκ τῆς ἀρρωστίας ἡ διδάσκαλος πάθοι, ὃ δὴ καὶ ἐγένετο. Οὔπω, φημί, τοῦ κυριωτάτου τῶν κατὰ τὸ δόγμα ζητουμένων ὁ λόγος ἥψατο. Φησὶ γὰρ ἡ θεόπνευστος Γραφὴ κατά τε τὴν νέαν καὶ τὴν ἀρχαίαν διδασκαλίαν, πάντως ποτέ, τάξει τινὶ καὶ εἱρμῷ τῆς φύσεως ἡμῶν κατὰ τὴν περιοδικὴν τοῦ χρόνου κίνησιν διεξιούσης, στήσεσθαι μὲν τὴν ῥοώδη ταύτην φορὰν τὴν διὰ τῆς τῶν ἐπιγινομένων διαδοχῆς προϊοῦσαν, τῆς δὲ τοῦ παντὸς συμπληρώσεως μηκέτι τὴν ἐπὶ τὸ πλεῖον ἐξαύξησιν προσδεχομένης, ἅπαν τὸ τῶν ψυχῶν πλήρωμα πάλιν ἐκ τοῦ ἀειδοῦς καὶ ἐσκεδασμένου πρὸς τὸ συνεστὸς καὶ φαινόμενον ἐπανελεύσεσθαι, τῶν αὐτῶν στοιχείων κατὰ τὸν αὐτὸν εἱρμὸν πρὸς ἄλληλα πάλιν ἀναδραμόντων. Ἡ δὲ τοιαύτη τῆς ζωῆς κατάστασις παρὰ τῆς θείας τῶν Γραφῶν διδασκαλίας ἀνάστασις λέγεται, τῇ τοῦ γεώδους ἀνορθώσει πάσης τῆς τῶν στοιχείων κινήσεως συνονομαζομένης[α].

Τί οὖν, φησί, τούτων ἀμνημόνευτον ἐν τοῖς προειρημένοις ἐστίν;

Αὐτὸ, φημί, τὸ δόγμα τῆς ἀναστάσεως.

Καὶ μὴν πολλά, φησί, τῶν νῦν διεξοδικῶς εἰρημένων πρὸς τοῦτον τὸν σκοπὸν φέρει.

Οὐ γὰρ οἶδας, εἶπον, ὅσον παρὰ τῶν ἀντιτεταγμένων ἡμῖν περὶ τῆς ἐλπίδος ταύτης ἀντιθέσεων ἀνθυποφέρεται σμῆνος; καὶ ἅμα

α. Πρβλ. Γρηγορίου Νύσσης, κατωτ. σ. 417 σημ. στ', Ἀθηναγόρα, Περὶ ἀναστάσεως τῶν νεκρῶν, ΒΕΠ 4,319,23-321,6. PG 6,996A-1000A. Ὠριγένους, Κατὰ Κέλσου, ΒΕΠ 10,25,40 ἑξ. PG 11,1212A. Ἐπιφανίου Κύπρου, Κατὰ αἱρέσεων, PG 41,1088C. Γρηγορίου Νύσσης, Περὶ ψυχῆς καὶ ἀναστάσεως, κατωτ. σ. 404,34 ἑξ.

λέγειν ἐπεχείρουν ὅσα πρὸς ἀνατροπὴν τῆς ἀναστάσεως παρὰ τῶν ἐριστικῶν ἐφευρίσκεται.

Ἡ δέ, δοκεῖ μοι, φησί, χρῆναι πρότερον τὰ σποράδ**136**ην παρὰ τῆς θείας Γραφῆς περὶ τούτου τοῦ δόγματος ἐκτεθέντα δι' ὀλίγων ἐπιδραμεῖν, ὡς ἂν ἐκεῖθεν ἡμῖν ἡ κορωνὶς ἐπιτεθείη τῷ λόγῳ. Ἤκουσα τοίνυν τοῦ Δαβὶδ ὑμνολογοῦντος ἐν θείαις ᾠδαῖς, ὅτε τὴν τοῦ παντὸς διακόσμησιν ὑπόθεσιν τοῦ ὕμνου πεποιημένος ἐν ἑκατοστῷ τρίτῳ ψαλμῷ πρὸς τῷ τέλει τῆς ὑμνῳδίας τοῦτό φησιν ὅτι, «ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν· ἐξαποστελλεῖς τὸ Πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς **[132]** τὸ πρόσωπον τῆς γῆς»[1], τὴν πάντα ἐν πᾶσιν ἐνεργοῦσαν τοῦ Πνεύματος δύναμιν ζωοποιεῖν τε λέγων, οἷς ἂν ἐγγένηται, καὶ ἀφιστᾶν τῆς ζωῆς ἔμπαλιν, ὧν ἂν ἀπογένηται. Ἐπεὶ οὖν τῇ μὲν ἀναχωρήσει τοῦ πνεύματος τὴν τῶν ζώντων ἔκλειψιν, τῇ δὲ τούτου παρουσίᾳ τὸν τῶν ἐκλελοιπότων ἀνακαινισμὸν γίνεσθαι λέγει, προηγεῖται δὲ κατὰ τὴν τοῦ λόγου τάξιν τῶν ἀνακαινιζομένων ἡ ἔκλειψις, τοῦτο ἐκεῖνό φαμεν, τὸ κατὰ τὴν ἀνάστασιν καταγγέλλεσθαι τῇ Ἐκκλησίᾳ μυστήριον, τῷ προφητικῷ πνεύματι τοῦ Δαβὶδ τὴν χάριν ταύτην προεκφωνήσαντος. Ἀλλὰ καὶ ἑτέρωθί φησιν ὁ αὐτὸς οὗτος προφήτης ὅτι, ὁ τοῦ παντὸς Θεός, ὁ τῶν ὄντων Κύριος, ἐπέφανεν ἡμῖν ἐπὶ τῷ συστήσασθαι τὴν ἑορτὴν ἡμῶν ἐν τοῖς πυκάζουσι[2], τὴν τῶν σκηνοπηγιῶν ἑορτὴν διὰ τῆς τοῦ πυκασμοῦ λέξεως ἑρμηνεύων, ἣ πάλαι μὲν ἐκ τῆς παραδόσεως τοῦ Μωυσέως νενόμιστο (προφητικῶς, οἶμαι, τὰ μέλλοντα τοῦ νομοθέτου προαγορεύοντος), ἀεὶ δὲ γινομένη οὔπω ἐγεγόνει. Προεδηλοῦτο μὲν γὰρ τοῖς τῶν γινομένων αἰνίγμασι τυπικῶς ἡ ἀλήθεια· αὐτὴ δ' ἡ ἀληθὴς σκηνοπηγία οὔπω ἦν· ἀλλὰ τούτου χάριν κατὰ τὸν προφητικὸν λόγον ὁ Θεὸς τῶν ὅλων καὶ Κύριος ἑαυτὸν ἐπέφανεν ἡμῖν, ὡς ἂν συσταίη τῇ ἀνθρωπίνῃ φύσει ἡ τοῦ διαλυθέντος ἡμῶν οἰκητηρίου σκηνοπηγία[α], πάλιν διὰ τῆς συνόδου τῶν στοιχείων σωματικῶς πυκαζομένη· τὴν γὰρ περιβολὴν καὶ τὸν ἐκ ταύτης κόσμον ἡ τοῦ πυκασμοῦ λέξις κατὰ τὴν ἰδίαν ἔμφασιν διασημαίνει. Ἔχει δὲ ἡ ῥῆσις τῆς ψαλμῳδίας τοῦτον τὸν τρόπον· «Θεὸς **138** Κύριος καὶ ἐπέφανεν ἡμῖν συστήσασθαι ἑορτὴν ἐν τοῖς πυκάζουσιν ἕως τῶν κεράτων τοῦ θυσιαστηρίου», ὅπερ δοκεῖ μοι προαναφωνεῖν δι' αἰνίγματος τὸ μίαν ἑορτὴν πάσῃ τῇ λογικῇ κτίσει συνίστασθαι, τῶν ὑποδεεστέρων τοῖς ὑπερέχουσιν ἐν τῇ τῶν ἀγαθῶν συνοδίᾳ συγχορευόντων· ἐπειδὴ γὰρ ἐν τῇ τυπικῇ τοῦ ναοῦ κατασκευῇ οὐ πᾶσιν ἐφεῖτο τῆς ἔξωθεν περιβολῆς ἐντὸς γενέσθαι, ἀλλ' ἀπεκέκριτο τῆς εἰσόδου πᾶν ὅσον ἐθνικὸν καὶ ἀλλόφυλον, τῶν τε αὖ ἐντὸς

1. Ψαλ. 103,29-30. 2. Πρβλ. Ψαλ. 117,27.

α. Πρβλ. Μεθοδίου, *Συμπόσιον*, ΒΕΠ 18,75,39 ἑξ. 78,32 ἑξ. PG 18,181A. 189A-D.

γινομένων οὐ μετῆν ἐκ τοῦ ἴσου πᾶσι τῆς ἐπὶ τὸ ἐνδότερον παρόδου, μή τινι καθαρωτέρᾳ διαίτῃ καί τισι περιρραντηρίοις ἀφαγνισθεῖσι, πάλιν δὲ καὶ ἐν αὐτοῖς τούτοις οὐ πᾶσι βάσιμος ἦν ὁ ἔνδον ναός, ἀλλ' **[133]** ἢ τοῖς ἱερεῦσι μόνοις νόμιμον ἦν κατὰ χρείαν ἱερουργίας ἐντὸς τοῦ καταπετάσματος γίνεσθαι, τὸ δὲ ἀπόκρυφόν τε καὶ ἄδυτον τοῦ ναοῦ, ἐν ᾧ τὸ θυσιαστήριον ἵδρυτο κεράτων τισὶ προβολαῖς κεκαλλωπισμένον, καὶ αὐτοῖς τοῖς ἱερεῦσιν ἀνεπίβατον ἦν, πλὴν ἑνός, τοῦ προτεταγμένου τῆς ἱερωσύνης, ὃς ἅπαξ τοῦ ἐνιαυτοῦ κατά τινα νόμιμον ἡμέραν, μόνος ἀπορρητοτέραν τινὰ καὶ μυστικωτέραν προσάγων ἱερουργίαν[1], ἐπὶ τὸ ἐντὸς παρεδύετο· τοσαύτης οὖν οὔσης περὶ τὸν ναὸν τοῦτον διαφορᾶς, ἥτις εἰκών τε καὶ μίμημα τῆς νοητῆς ἦν καταστάσεως, τοῦτο τῆς σωματικῆς παρατηρήσεως διδασκούσης, ὅτι οὔτε πᾶσα ἡ λογικὴ φύσις τῷ ναῷ τοῦ Θεοῦ, τοῦτ' ἔστι τῇ ὁμολογίᾳ τοῦ μεγάλου Θεοῦ, προσεγγίζει, ἀλλ' οἱ πρὸς τὰς ψευδεῖς ὑπολήψεις πεπλανημένοι ἐκτός εἰσι τοῦ θείου περισχοινίσματος, τῶν δὲ διὰ τῆς ὁμολογίας ἐντὸς γεγενημένων προτιμότεροι τῶν ἄλλων οἱ περιρραντηρίοις καὶ ἁγνείαις προκαθηράμενοι, καὶ τούτων οἱ ἀφιερωθέντες ἤδη τὸ πλέον ἔχουσιν, ὥστε τῆς ἐσωτερικῆς ἀξιοῦσθαι μυσταγωγίας. Ὡς δ' ἄν τις ἐπὶ τὸ φανερώτερον προάγοι τὴν τοῦ αἰνίγματος ἔμφασιν, ταῦτα ἔστι μαθεῖν τοῦ λόγου διδάσκοντος, ὅτι τῶν λογικῶν δυνάμεων αἱ μέν τινές εἰσιν οἷον τὸ ἅγιον θυσιαστήριον ἐν τῷ ἀδύτῳ τῆς θεότητος **140** καθιδρυμέναι, αἱ δέ τινες πάλιν καὶ τούτων ἐν ἐξοχῇ θεωροῦνται κεράτων δίκην προβεβλημέναι, καὶ ἄλλαι περὶ ἐκείνας κατά τινα τάξεως ἀκολουθίαν προτερεύουσί τε καὶ δευτερεύουσι. Τὸ δὲ τῶν ἀνθρώπων γένος διὰ τὴν ἐγγινομένην κακίαν ἔξω τῆς θείας περιβολῆς ἀπεώσθη, ὅπερ τῷ περιρραντηρίῳ λουτρῷ καθηράμενον ἐντὸς γίνεται. Ἀλλ' ἐπειδὴ μέλλει ποτὲ τὰ μέσα ταῦτα παραφράγματα λύεσθαι, δι' ὧν ἡμᾶς ἡ κακία πρὸς τὰ ἐντὸς τοῦ καταπετάσματος ἀπετείχισεν, ὅταν σκηνοπηγηθῇ πάλιν διὰ τῆς ἀναστάσεως ἡμῶν ἡ φύσις, καὶ πᾶσα ἡ κατὰ κακίαν ἐγγενομένη διαφθορὰ ἐξαφανισθῇ τῶν ὄντων, τότε κοινὴ συστήσεται ἡ περὶ τὸν Θεὸν ἑορτὴ τοῖς διὰ τῆς ἀναστάσεως πυκασθεῖσιν, ὡς μίαν τε καὶ τὴν αὐτὴν προκεῖσθαι πᾶσι τὴν εὐφροσύνην, μηκέτι διαφορᾶς τινος τῆς τῶν ἴσων μετουσίας τὴν λογικὴν φύσιν διατεμνούσης, ἀλλὰ τῶν νῦν ἔξω διὰ τὴν κακίαν ὄντων ἐντὸς τῶν ἀδύτων τῆς θείας μακαριότητός ποτε γενησομένων καὶ τοῖς κέρασι τοῦ θυσιαστηρίου, τοῦτ' ἔστι ταῖς ἐξεχούσαις τῶν ὑπερκοσμίων δυνάμεσιν, ἑαυτοὺς **[136]** συναπτόντων. Ὅπερ δὴ γυμνότερόν φησιν ὁ Ἀπόστολος, τὴν τοῦ παντὸς πρὸς τὸ ἀγαθὸν συμφωνίαν διερμηνεύων, ὅτι αὐτῷ «πᾶν γόνυ κάμψῃ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσηται ὅτι Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ πατρός»[2]· ἀντὶ μὲν τῶν κεράτων λέγων

1. Πρβλ. Ἑβρ. 9,3 ἑξ. Ἐξ. 30,10. 2. Φιλιπ. 2,10.

τὸ ἀγγελικόν τε καὶ ἐπουράνιον, διὰ δὲ τῶν λοιπῶν σημαίνων τὴν μετ' ἐκείνους νοουμένην κτίσιν, ἡμᾶς, ὧν πάντων μία καὶ σύμφωνος ἑορτὴ κατακρατήσει. Ἑορτὴ δέ ἐστιν ἡ τοῦ ὄντως ὄντος ὁμολογία τε καὶ ἐπίγνωσις. Ἔστι δέ, φησίν, καὶ ἄλλα πολλὰ τῆς ἁγίας Γραφῆς πρὸς σύστασιν τοῦ κατὰ τὴν ἀνάστασιν δόγματος ἀναλέξασθαι. Ὅ τε γὰρ Ἰεζεκιήλ, τῷ προφητικῷ πνεύματι τὸν ἐν τῷ μέσῳ πάντα χρόνον καὶ τὸ ἐν τούτῳ διάστημα ὑπερβὰς ἐπ' αὐτοῦ ἵσταται τοῦ καιροῦ τῆς ἀναστάσεως τῇ προγνωστικῇ δυνάμει καὶ τὸ ἐσόμενον ὡς ἤδη παρὸν τεθεαμένος ὑπ' ὄψιν ἄγει τῷ διηγήματι. Πεδίον γὰρ μέγα καὶ εἰς ἄπει**142**ρον εἶδε διηπλώμενον, ὀστέων τε σωρείαν ἐπὶ τούτου πολλήν, ἄλλων ἀλλαχῇ πρὸς τὸ συμβὰν διερριμμένων, εἶτα θείᾳ δυνάμει πρὸς τὰ συγγενῆ τε καὶ ἴδια συγκινουμένων καὶ ταῖς οἰκείαις ἁρμονίαις ἐμφυομένων, εἶτα νεύροις καὶ σαρξὶ καὶ δέρμασι καλυπτομένων (ὅπερ ἡ ψαλμῳδία πυκαζομένων λέγει), καὶ πνεῦμα ζωοποιοῦν τε καὶ διεγεῖρον ἅπαν τὸ κείμενον[1]. Τὴν δὲ τοῦ Ἀποστόλου τῶν κατὰ τὴν ἀνάστασιν θαυμάτων διασκευήν, ὡς πρόχειρον οὖσαν τοῖς ἐντυγχάνουσιν, τί ἂν τις λέγοι; ὅπως ἐν κελεύσματί τινι καὶ σαλπίγγων ἠχῇ φησιν ὁ λόγος ἐν ἀκαρεῖ τοῦ χρόνου ἅπαν ἀθρόως τὸ τεθνηκός τε καὶ κείμενον εἰς ἀθανάτου φύσεως ὑπαμειφθήσεσθαι κατάστασιν[2]. Ἀλλὰ καὶ τὰς εὐαγγελικὰς φωνάς, ὡς προδήλους ἅπασιν οὔσας, παρήσομεν· οὐ γὰρ μόνῳ λόγῳ φησὶν ὁ Κύριος τοὺς νεκροὺς ἀναστήσεσθαι, ἀλλὰ καὶ αὐτὴν ἐνεργεῖ τὴν ἀνάστασιν, ἀπὸ τῶν ἐγγυτέρων ἡμῖν καὶ ἧττον ἀπιστεῖσθαι δυναμένων τῆς θαυματοποιίας ἀρξάμενος. Πρῶτον μὲν **[137]** γὰρ ἐν τοῖς ἐπιθανατίοις τῶν νοσημάτων τὴν ζωοποιὸν δείκνυσι δύναμιν, ἀπελαύνων προστάγματι καὶ λόγῳ τὰ πάθη[3]· εἶτα ἀρτιθανὲς ἐγείρει παιδίον[4], εἶτα νεανίαν τοῖς τάφοις ἤδη· προσκομιζόμενον τῆς σοροῦ διαναστήσας τῇ μητρὶ δίδωσι[5], μετὰ τοῦτο διαπεπτωκότα ἤδη τετραημέρῳ χρόνῳ τὸν Λάζαρον νεκρὸν ἐξάγει ζῶντα τῶν τάφων, φωνῇ τε καὶ προστάγματι ζωοποιήσας τὸν κείμενον[6], εἶτα τὸν ἑαυτοῦ ἄνθρωπον ἥλοις καὶ λόγχῃ διαπεπαρμένον ἐκ νεκρῶν διὰ τρίτης ἡμέρας διανίστησι, τοὺς τύπους τῶν ἥλων καὶ τὴν πληγὴν τῆς λόγχης εἰς μαρτυρίαν τῆς ἀναστάσεως ἐπαγόμενον[7]. Περὶ ὧν οὐδὲν οἶμαι χρῆναι διεξιέναι, μηδεμιᾶς ἀμφιβολίας ἐν τοῖς τὰ γεγραμμένα παραδεδεγμένοις ὑπούσης.

Ἀλλ' οὐ τοῦτο, εἶπον ἐγώ, τὸ ζητούμενον ἦν. Τὸ γὰρ ἔσεσθαί ποτε τὴν ἀνάστασιν, καὶ τὸ ὑπαχθήσεσθαι τῇ ἀδεκάστῳ κρίσει τὸν ἄνθρωπον διά τε τῶν γραφικῶν ἀποδείξεων καὶ τῶν ἤδη προεξητασμένων οἱ πολλοὶ τῶν ἀκουόντων συνθήσονται. Ὑπόλοιπον δ' ἂν εἴη σκοπεῖν, **144** εἰ πρὸς τὸ νῦν ὂν καὶ τὸ ἐλπιζόμενον ἔσται· ὅπερ εἰ οὕτως

---

1. Πρβλ. Ἰεζ. 37,1 ἑξ. 2. Πρβλ. Α' Κορ. 15,52. 3. Πρβλ. Μάρκ. 2,3 ἑξ. 4. Πρβλ. Μάρκ. 5,41. 5. Πρβλ. Λουκ. 7,15. 6. Πρβλ. Ἰω. 11,43. 7. Πρβλ. Ματθ. 28,6. Μάρκ. 16,6. Λουκ. 24,6. Ἰω. 20,17.

εἴη, φευκτὴν εἶπον τοῖς ἀνθρώποις τὴν ἐλπίδα τῆς ἀναστάσεως εἶναι. Εἰ γάρ, οἷα γίνεται λήγοντα τοῦ ζῆν τὰ ἀνθρώπινα σώματα, τοιαῦτα τῇ ζωῇ πάλιν ἀποκαθίσταται, ἆρά τις ἀτέλεστος συμφορὰ διὰ τῆς ἀναστάσεως τοῖς ἀνθρώποις ἐλπίζεται. Τί γὰρ ἂν ἐλεεινότερον γένοιτο θέαμα ἢ ὅταν ἐν ἐσχάτῳ γήρᾳ καταρρικνωθέντα τὰ σώματα μεταποιηθῇ πρὸς τὸ εἰδεχθές τε καὶ ἄμορφον, τῆς μὲν σαρκὸς αὐτοῖς ἀναλωθείσης τῷ χρόνῳ, ῥυσοῦ δὲ τοῖς ὀστέοις περιεσκληκότος τοῦ δέρματος; τῶν δὲ δὴ νεύρων συνεσπασμένων διὰ τὸ μηκέτι τῇ φυσικῇ ἰκμάδι ὑποπιαίνεσθαι, καὶ διὰ τοῦτο παντὸς συνελκομένου τοῦ σώματος, ἄτοπόν τι καὶ ἐλεεινὸν θέαμα γίνεται, τῆς μὲν κεφαλῆς ἐπὶ τὸ γόνυ συγκεκλιμένης, τῆς δὲ χειρὸς ἔνθεν καὶ ἔνθεν πρὸς μὲν τὴν κατὰ φύσιν ἐνέργειαν ἀπρακτούσης, ἐν τρόμῳ δὲ κατὰ τὸ ἀκούσιον ἀεὶ κραδαινομένης. Οἷα δὲ πάλιν τῶν ταῖς χρονίαις νόσοις ἐκτετηκότων τὰ σώματα, ἃ τοσοῦτον διαφέρει τῶν γυμνωθέντων ὀστέων, ὅσον ἐπικεκαλύφθαι δοκεῖν λεπτῷ καὶ ἐκδεδαπανημένῳ ἤδη τῷ δέρματι· οἷα δὲ καὶ τῶν ἐν ταῖς ὕδερι**[140]**καῖς ἀρρωστίαις ἐξῳδηκότων, τῶν δὲ τῇ ἱερᾷ νόσῳ κεκρατημένων, τὴν ἀσχήμονα λώβην τίς ἂν ὑπ' ὄψιν ἀγάγοι λόγος, ὡς κατ' ὀλίγον αὐτοῖς πάντα τὰ μέλη τὰ ὀργανικά τε καὶ αἰσθητήρια προϊοῦσα ἡ σηπεδὼν ἐπιβόσκεται; Τῶν δὲ ἐν σεισμοῖς ἢ πολέμοις ἢ ἐξ ἑτέρας τινὸς αἰτίας ἠκρωτηριασμένων, καὶ πρὸ τοῦ θανάτου χρόνον τινὰ ἐν τῇ συμφορᾷ ταύτῃ ἐπιβιούντων, ἢ τῶν ἀπὸ γενέσεως λώβῃ τινὶ συναποτελεσθέντων ἐν διαστρόφοις τοῖς μέλεσι τί ἄν τις λέγοι; περὶ δὲ τῶν ἀρτιγενῶν νηπίων, τῶν τε ἐκτιθεμένων καὶ τῶν καταπνιγομένων καὶ τῶν κατὰ τὸ αὐτόματον ἀπολλυμένων, τί ἔστι λογίσασθαι, εἰ τὰ τοιαῦτα πάλιν πρὸς τὴν ζωὴν ἐπανάγοιτο, ἆρ' ἐναπομενεῖ τῇ νηπιότητι; καὶ τί ἀθλιώτερον; ἀλλ' ἐπὶ τὸ μέτρον ἥξει τῆς ἡλικίας; καὶ ποίῳ γάλακτι πάλιν ἡ φύσις αὐτὰ τιθηνήσεται; Ὥστε εἰ μὲν διὰ πάντων ταὐ**146**τὸν ἡμῖν τὸ σῶμα πάλιν ἀναβιώσεται, συμφορά ἐστι τὸ προσδοκώμενον· εἰ δὲ μὴ ταὐτόν, ἄλλος τις ὁ ἐγειρόμενος ἔσται παρὰ τὸν κείμενον. Εἰ γὰρ πέπτωκε μὲν τὸ παιδίον, ἀνίσταται δὲ ὁ τέλειος, ἢ τὸ ἔμπαλιν, πῶς ἔστιν εἰπεῖν αὐτὸν ἀνωρθῶσθαι τὸν κείμενον, ἐν τῇ τῆς ἡλικίας διαφορᾷ τοῦ πεπτωκότος ὑπηλλαγμένου ὄντος; ἀντὶ γὰρ τοῦ παιδίου τέλειον καὶ ἀντὶ τοῦ πρεσβυτέρου τὸν ἀκμαστήν τις ὁρῶν ἕτερον ἀνθ' ἑτέρου τεθέαται, καὶ ἀντὶ τοῦ λελωβημένου τὸν ἄρτιον καὶ ἀντὶ τοῦ ἐκτετηκότος τὸν εὔσαρκον, καὶ τὰ ἄλλα πάντα ὡσαύτως, ἵνα μὴ τὰ καθ' ἕκαστόν τις διεξιὼν ὄχλον ἐπεισάγῃ τῷ λόγῳ. Εἰ μὴ τοιοῦτον ἀναβιώῃ τὸ σῶμα πάλιν, οἷον ἦν ὅτε τῇ γῇ κατεμίγνυτο, οὐ τὸ τεθνηκὸς ἀναστήσεται, ἀλλ' εἰς ἄλλον ἄνθρωπον ἡ γῆ πάλιν διαπλασθήσεται. Τί οὖν πρὸς ἐμὲ ἡ ἀνάστασις, εἰ ἀντ' ἐμοῦ τις ἄλλος ἀναβιώσεται; πῶς γὰρ ἂν ἐπιγνοίην αὐτὸς ἐμαυτόν, βλέπων ἐν ἐμαυτῷ οὐκ ἐμαυτόν; οὐ γὰρ ἂν εἴην ἀληθῶς ἐγώ, εἰ μὴ διὰ πάντων εἴην ὁ αὐτὸς ἐμαυτῷ[α]. Καθάπερ γὰρ κατὰ τὸν

α. Πρβλ. Κλήμεντος Ἀλεξανδρέως, Ἐκ τῶν Θεοδότου, ΒΕΠ 8,318,26 ἑξ.

παρόντα βίον εἴ τινος ἔχοιμι διὰ μνήμης τὸν χαρακτῆρα, ὑποκείσθω δὲ κατὰ τὸν λόγον ψεδνὸς ὁ τοιοῦτος εἶναι, προχειλής, ὑπόσιμος, λευκόχρους, γλαυκόμματος, ἐν πολιᾷ τῇ τριχὶ καὶ ῥυσῷ τῷ σώματι, εἶτα ζητῶν τὸν **[141]** τοιοῦτον ἐντύχοιμι νέῳ, κομήτῃ, γρυπῷ, μελανόχροϊ, καὶ τὰ λοιπὰ πάντα τοῦ κατὰ τὴν μορφὴν χαρακτῆρος ἑτέρως ἔχοντι, ἆρα τοῦτον ἰδὼν ἐκεῖνον οἰήσομαι; μᾶλλον δὲ τί χρὴ ταῖς ἐλάττοσι τῶν ἐνστάσεων ἐνδιατρίβειν, τῶν ἰσχυροτέρων ἀφέμενον; τίς γὰρ οὐκ οἶδεν ὅτι ῥοῇ τινι προσέοικεν ἡ ἀνθρωπίνη φύσις, ἀπὸ γενέσεως εἰς θάνατον ἀεὶ διά τινος κινήσεως προϊοῦσα, τότε τῆς κινήσεως λήγουσα, ὅταν καὶ τοῦ εἶναι παύσηται; Ἡ δὲ κίνησις αὕτη οὐ τοπική τίς ἐστι μετάστασις (οὐ γὰρ ἐκβαίνει ἑαυτὴν ἡ φύσις), ἀλλὰ δι' ἀλλοιώσεως ἔχει τὴν πρόοδον· ἡ δὲ ἀλλοίωσις, ἕως ἂν ᾖ τοῦτο ὃ λέγεται, οὐδέποτε ἐπὶ τοῦ αὐτοῦ μέ**148**νει (πῶς γὰρ ἂν ἐν ταυτότητι φυλαχθείη τὸ ἀλλοιούμενον;), ἀλλ' ὥσπερ τὸ ἐπὶ τῆς θρυαλλίδος πῦρ τῷ μὲν δοκεῖν ἀεὶ τὸ αὐτὸ φαίνεται (τὸ γὰρ συνεχὲς ἀεὶ τῆς κινήσεως ἀδιάσπαστον αὐτὸ καὶ ἡνωμένον πρὸς ἑαυτὸ δείκνυσι), τῇ δὲ ἀληθείᾳ πάντοτε αὐτὸ ἑαυτὸ διαδεχόμενον οὐδέποτε τὸ αὐτὸ μένει (ἡ γὰρ ἐξελκυσθεῖσα διὰ τῆς θερμότητος ἰκμὰς ὁμοῦ τε ἐξεφλογώθη καὶ εἰς λιγνὺν ἐκκαυθεῖσα μετεποιήθη, καὶ ἀεὶ τῇ ἀλλοιωτικῇ δυνάμει ἡ τῆς φλογὸς κίνησις ἐνεργεῖται, εἰς λιγνὺν δι' ἑαυτῆς ἀλλοιοῦσα τὸ ὑποκείμενον), ὥσπερ τοίνυν δὶς κατὰ ταὐτὸν τῆς φλογὸς θίγοντα οὐκ ἔστι τῆς αὐτῆς τὸ δὶς ἅψασθαι (τὸ γὰρ ὀξὺ τῆς ἀλλοιώσεως οὐκ ἀναμένει τὸν ἐκ δευτέρου πάλιν ἐπιθιγγάνοντα, κἂν ὡς τάχιστα τοῦτο ποιῇ), ἀλλ' ἀεὶ καινή τε καὶ πρόσφατός ἐστιν ἡ φλὸξ πάντοτε γεννωμένη, καὶ ἀεὶ ἑαυτὴν διαδεχομένη καὶ οὐδέποτε ἐπὶ τοῦ αὐτοῦ μένουσα, τοιοῦτόν τι καὶ περὶ τὴν τοῦ σώματος ἡμῶν φύσιν ἔστι. Τὸ γὰρ ἐπίρρυτον τῆς φύσεως ἡμῶν καὶ τὸ ἀπόρρυτον διὰ τῆς ἀλλοιωτικῆς κινήσεως ἀεὶ πορευόμενόν τε καὶ κινούμενον τότε ἵσταται, ὅταν καὶ τῆς ζωῆς ἀπολήξῃ· ἕως δ' ἂν ἐν τῷ ζῆν ᾖ, στάσιν οὐκ ἔχει. Ἢ γὰρ πληροῦται ἢ διαπνέεται ἢ δι' ἑκατέρων πάντως εἰς ἀεὶ διεξάγεται. Εἰ τοίνυν οὐδὲ τῷ χθιζῷ τις ὁ αὐτός ἐστιν, ἀλλ' ἕτερος τῇ ὑπαλλαγῇ γίνεται, ὅταν ἐπαναγάγῃ πάλιν τὸ σῶμα ἡμῶν πρὸς τὴν ζωὴν ἡ ἀνάστασις, δῆμός τις ἀνθρώπων πάντως ὁ εἷς γενήσεται, ὡς ἂν μηδὲν ἐλλείποι τοῦ ἀνισταμένου τὸ βρέφος, τὸ νήπιον, ὁ παῖς, τὸ μειράκιον, ὁ ἀνήρ, ὁ πατήρ, ὁ πρεσβύτης καὶ τὰ διὰ μέσου πάντα[α]. Σωφροσύνης δὲ καὶ ἀκολασίας διὰ σαρκὸς ἐνεργουμένης, τῶν τε ὑπομε**[144]**νόντων ὑπὲρ τῆς εὐσεβείας τὰς ἀλγεινὰς τῶν κολάσεων, τῶν

PG 9,657C. Κλήμεντος Ἀλεξανδρέως, Στρωματεῖς, Γ' VI, ΒΕΠ 8,27,31 ἑξ. PG 8,1152A. Μακαρίου Αἰγυπτίου, Ὁμιλίαι πνευματικαί, ΒΕΠ 41,314,26 ἑξ. Ἐπιφανίου Κύπρου, Κατὰ αἱρέσεων. PG 41,1092A,C, 1096C. Γρηγορίου Νύσσης, Εἰς τὸ Ἆσμα τῶν Ἀσμάτων, ΒΕΠ 66,267,3 ἑξ. Περὶ παρθενίας, ΒΕΠ 69, 48,14 ἑξ.

α. Πρβλ. Γρηγορίου Νύσσης, ἀνωτ. σ. 368 σημ. α.

τε αὖ μαλακιζομένων πρὸς ταῦτα διὰ τῆς σωματικῆς αἰσθήσεως ἑκάτερον τούτων ἐπιδεικνυμένων, πῶς ἔστι παρὰ τὴν κρίσιν διασωθῆναι τὸ δίκαιον; ἢ τοῦ αὐτοῦ νῦν μὲν πεπλημμεληκότος, αὖθις δὲ διὰ μεταμελείας ἑαυτὸν ἐκκαθάραντος, κἂν οὕτω τύχῃ, πάλιν ἐπὶ τὸ πλημμελὲς ὀλισθήσαντος, **150** ὑπαμειφθέντος δὲ κατὰ τὴν ἀκολουθίαν τῆς φύσεως καὶ τοῦ μεμολυσμένου καὶ τοῦ ἀμολύντου σώματος, καὶ μηθετέρου τούτων εἰς τὸ διηνεκὲς ἐξαρκέσαντος, ποῖον τῷ ἀκολάστῳ σῶμα συγκολασθήσεται; τὸ ῥικνωθὲν ἐν τῷ γήρᾳ πρὸς τῷ θανάτῳ; Ἀλλ' ἕτερον ἦν τοῦτο παρὰ τὸ τὴν ἁμαρτίαν κατεργασάμενον. Ἀλλ' ὅπερ κατεμολύνθη τῷ πάθει; καὶ ποῦ ὁ πρεσβύτης; Ἢ γὰρ οὐκ ἀναστήσεται οὗτος, καὶ οὐκ ἐνεργὸς ἡ ἀνάστασις, ἢ οὗτος ἐγερθήσεται, καὶ διαφεύξεται τὴν δίκην ὁ ὑποκείμενος. Εἴπω τι καὶ ἄλλο τῶν προφερομένων ἡμῖν παρὰ τῶν οὐ δεδεγμένων τὸν λόγον; Οὐδέν, φασίν, ἄπρακτον τῶν ἐν τῷ σώματι μορίων ἡ φύσις ἐποίησε· τὰ μὲν γὰρ τὴν τοῦ ζῆν αἰτίαν καὶ δύναμιν ἐν ἡμῖν ἔχει, ὧν ἄνευ συστῆναι τὴν διὰ σαρκὸς ζωὴν ἡμῶν οὐκ ἐνδέχεται, οἷον καρδία, ἧπαρ, ἐγκέφαλος, πνεύμων, γαστὴρ καὶ τὰ λοιπὰ σπλάγχνα, τὰ δὲ τῇ αἰσθητικῇ κινήσει ἀποκεκλήρωται, τὰ δὲ τῆς πρακτικῆς καὶ μεταβατικῆς ἐνεργείας ἐστίν, ἄλλα δὲ πρὸς τὴν διαδοχὴν τῶν ἐπιγινομένων ἐπιτηδείως ἔχει. Εἰ μὲν οὖν ἐν τοῖς αὐτοῖς ἡμῖν ὁ μετὰ ταῦτα βίος ἔσται, πρὸς οὐδὲν ἡ μετάστασις γίνεται· εἰ δὲ ἀληθὴς ὁ λόγος, ὥσπερ οὖν ἐστιν ἀληθής, ὁ μήτε γάμον ἐμπολιτεύεσθαι τῷ μετὰ τὴν ἀνάστασιν βίῳ διοριζόμενος[1], μήτε διὰ βρώσεως καὶ πόσεως τὴν τότε διακρατεῖσθαι ζωήν, τίς ἔσται χρῆσις τῶν μερῶν τοῦ σώματος, οὐκέτι τῶν δι' ἃ νῦν ἔστι τὰ μέλη κατὰ τὴν ζωὴν ἐκείνην ἐλπιζομένων; Εἰ γὰρ τοῦ γάμου χάριν τὰ πρὸς τὸν γάμον ἐστίν, ὅταν ἐκεῖνο μὴ ᾖ, οὐδὲν τῶν πρὸς ἐκεῖνο δεόμεθα. Οὕτω καὶ πρὸς τὸ ἔργον αἱ χεῖρες καὶ πρὸς τὸν δρόμον οἱ πόδες καὶ πρὸς τὴν παραδοχὴν τῶν σιτίων τὸ στόμα, καὶ οἱ ὀδόντες πρὸς τὴν τῆς τροφῆς ὑπηρεσίαν, καὶ πρὸς τὴν πέψιν τὰ σπλάγχνα καὶ πρὸς τὴν ἀποβολὴν τῶν ἀχρειωθέντων οἱ διεξοδικοὶ τῶν πόρων. Ὅταν οὖν ἐκεῖνα μὴ ᾖ, τὰ δι' ἐκεῖνα γενό**152**μενα πῶς ἢ **[145]** ὑπὲρ τίνος ἔσται; ὡς ἀνάγκην εἶναι, εἰ μὲν μὴ εἴη περὶ τὸ σῶμα τὰ πρὸς οὐδὲν τῶν πρὸς τὴν ζωὴν ἐκείνην συνεργεῖν μέλλοντα, μηδέν τι εἶναι τῶν νῦν συμπληρούντων ἡμῖν τὸ σῶμα. Ἐν ἄλλοις γὰρ ἡ ζωή, καὶ οὐκέτ' ἄν τις τὸ τοιοῦτον ἀνάστασιν ὀνομάσειε, τῶν καθ' ἕκαστον μελῶν διὰ τὴν ἐν ἐκείνῃ τῇ ζωῇ ἀχρηστίαν οὐ συνισταμένων τῷ σώματι. Εἰ δὲ διὰ πάντων ἔσται τούτων ἐνεργὸς ἡ ἀνάστασις, μάταια ἡμῖν καὶ ἀνόνητα πρὸς τὴν ζωὴν ἐκείνην δημιουργήσει ὁ ἐνεργῶν τὴν ἀνάστασιν. Ἀλλὰ μὴν καὶ εἶναι πιστεύειν χρὴ τὴν ἀνάστασιν καὶ μὴ ματαίαν εἶναι. Οὐκοῦν προσεκτέον τῷ λό-

---

1. Πρβλ. Ματθ. 22,30.

γῳ, ὅπως ἂν ἡμῖν διὰ πάντων ἐν τῷ δόγματι τὸ εἰκὸς διασῴζοιτο[α].

Ἐμοῦ δὲ ταῦτα διεξελθόντος, οὐκ ἀγεννῶς, φησὶν ἡ διδάσκαλος, κατὰ τὴν λεγομένην ῥητορικὴν τῶν τῆς ἀναστάσεως δογμάτων κατεπεχείρησας, πιθανῶς τοῖς ἀνασκευαστικοῖς τῶν λόγων ἐν κύκλῳ περιδραμὼν τὴν ἀλήθειαν, ὥστε τοὺς μὴ λίαν ἐπεσκεμμένους τὸ τῆς ἀληθείας μυστήριον παθεῖν ἄν τι κατὰ τὸ εἰκὸς πρὸς τὸν λόγον, καὶ οἰηθῆναι μὴ ἔξω τοῦ δέοντος ἐπῆχθαι τοῖς εἰρημένοις τὴν ἐπαπόρησιν. Ἔχει δὲ οὐχ οὕτω, φησίν, ἡ ἀλήθεια, κἂν ἀδυνατῶς ἔχωμεν ἐκ τῶν ὁμοίων ἀντιρρητορεύειν τῷ λόγῳ, ἀλλ' ὁ μὲν ἀληθὴς περὶ τούτων λόγος ἐν τοῖς ἀποκρύφοις τῆς σοφίας θησαυροῖς τεταμίευται, τότε εἰς τὸ ἐμφανὲς ἥξων, ὅταν ἔργῳ τὸ τῆς ἀναστάσεως διδαχθῶμεν μυστήριον, ὅτε οὐκέτι δεήσει ῥημάτων ἡμῖν πρὸς τὴν τῶν ἐλπιζομένων φανέρωσιν. Ἀλλ' ὥσπερ ἐν νυκτὶ πολλῶν κινουμένων τοῖς διαγρυπνοῦσι λόγων περὶ τῆς τοῦ ἡλίου λαμπηδόνος, οἷα ἐστίν, ἀργὴν ποιεῖ τὴν τοῦ λόγου ὑπογραφὴν προφανεῖσα μόνον τῆς ἀκτῖνος ἡ χάρις, οὕτω πάντα λογισμὸν στοχαστικῶς τῆς μελλούσης καταστάσεως ἐφαπτόμενον ἀντ' οὐδενὸς ἀποδείκνυσιν, ὅταν γένηται **154** ἡμῖν ἐν τῇ πείρᾳ τὸ προσδοκώμενον. Ἐπεὶ δὲ χρὴ μὴ παντάπασιν ἀνεξετάστους ἐαθῆναι τὰς ἀνθυπενεχθείσας ἡμῖν ἐνστάσεις, οὑτωσὶ τὸν περὶ τούτων λόγον διαληψόμεθα. Νοῆσαι χρὴ πρῶτον τίς ὁ σκοπὸς τοῦ κατὰ τὴν ἀνάστασιν δόγματος, καὶ ὅτου χάριν καὶ εἴρηται τοῦτο παρὰ τῆς ἁγίας φωνῆς καὶ πεπίστευται. Οὐκοῦν ὡς ἄν τις ὅρῳ τινὶ τὸ τοιοῦτο περιλαβὼν ὑπογράψειεν, οὕτως ἐροῦ**[148]**μεν, ὅτι ἀνάστασίς ἐστιν ἡ εἰς τὸ ἀρχαῖον τῆς φύσεως ἡμῶν ἀποκατάστασις[β]. Ἀλλ' ἐν τῇ πρώτῃ ζωῇ, ἧς αὐτὸς γέγονε δημιουργὸς ὁ Θεός, οὔτε γῆρας ἦν, ὡς εἰκός, οὔτε νηπιότης, οὔτε τὰ κατὰ τὰς πολυτρόπους ἀρρωστίας πάθη, οὔτε τι ἄλλο τῆς σωματικῆς ταλαιπωρίας οὐδὲν (οὔτε γὰρ εἰκὸς ἦν τοιαῦτα δημιουργεῖν τὸν Θεόν), ἀλλὰ θεῖόν τι χρῆμα ἦν ἡ ἀνθρωπίνη φύσις, πρὶν ἐν ὁρμῇ γενέσθαι τοῦ κακοῦ τὸ ἀνθρώπινον. Ταῦτα δὲ πάντα τῇ εἰσόδῳ τῆς κακίας ἡμῖν συνεισέβαλεν. Οὐκοῦν οὐδεμίαν ἀνάγκην ἕξει ὁ ἄνευ κακίας βίος ἐν τοῖς διὰ ταύτην συμβεβηκόσιν εἶναι. Ὥσπερ γὰρ ἐπακολουθεῖ τῷ διὰ κρυμῶν ὁδοιποροῦντι τὸ ψύχεσθαι τὸ σῶμα ἢ τῷ διὰ θερμῆς ἀκτῖνος πορευομένῳ τὸ μελαίνεσθαι τὴν ἐπιφάνειαν, εἰ δὲ ἐκτὸς ἑκατέρου γένοιτο τούτων, συναπηλλάγη πάντως καὶ τοῦ μελασμοῦ καὶ τῆς ψύξεως καὶ οὐκ ἄν τις εὐλόγως ἐπιζητοίη τὸ ἔκ τινος αἰτίας συμβαῖνον, τῆς αἰτίας οὐκ οὔσης, οὕτως ἡ φύσις ἡμῶν ἐμπαθὴς γενομένη τοῖς ἀναγκαίως ἐπακολουθοῦσι τῇ παθητικῇ ζωῇ συνηνέχθη, πρὸς δὲ τὴν ἀπαθῆ μακαριότητα πάλιν ἀναδραμοῦσα οὐκέτι τοῖς ἐπακολουθήμασι τῆς κακίας συνενεχθήσεται. Ἐπεὶ οὖν

α. Πρβλ. Γρηγορίου Νύσσης, ἀνωτ. σ. 368 σημ. α.

β. Πρβλ. Γρηγορίου Νύσσης, Εἰς τὸν Ἐκκλησιαστήν, W. Jaeger, (ἔκδ. P. Alexander), V, 296,1510. PG 44,633C. Εἰς Πουλχερίαν, ΒΕΠ 69,384,17 ἑξ.

ὅσα ἐκ τῆς ἀλόγου ζωῆς τῇ ἀνθρωπίνῃ κατεμίχθη φύσει, οὐ πρότερον ἦν ἐν ἡμῖν, πρὶν εἰς πάθος διὰ κακίας πεσεῖν τὸ ἀνθρώπινον, ἀναγκαίως καταλιπόντες τὸ πάθος, καὶ πάντα ὅσα μετ' αὐτοῦ καθορᾶται συγκαταλείψομεν. Ὥστε οὐκ ἄν τις εὐλόγως ἐν τῷ βίῳ ἐκείνῳ τὰ ἐκ τοῦ πάθους ἡμῖν ἐπισυμβεβηκότα ζητήσειεν. Ὡς γὰρ εἴ τις ῥωγαλέον περὶ ἑαυτὸν ἔχων χι**156**τῶνα γυμνωθείη τοῦ περιβλήματος, οὐκέτ' ἂν τὴν τοῦ ἀπορριφέντος ἀσχημοσύνην ἐφ' ἑαυτοῦ βλέποι, οὕτως καὶ ἡμῶν ἀποδυσαμένων τὸν νεκρὸν ἐκεῖνον καὶ εἰδεχθῆ χιτῶνα τὸν ἐκ τῶν ἀλόγων δερμάτων ἡμῖν ἐπιβληθέντα (δέρμα δὲ ἀκούων τὸ σχῆμα τῆς ἀλόγου φύσεως νοεῖν μοι δοκῶ, ὃ πρὸς τὸ πάθος οἰκειωθέντες περιεβλήθημεν) πάντα ὅσα τοῦ ἀλόγου δέρματος περὶ ἡμᾶς ἦν ἐν τῇ ἀπεκδύσει τοῦ χιτῶνος συναπεκδυθήσεται. Ἔστι δὲ ἃ προσελάβομεν ἀπὸ τοῦ ἀλόγου δέρματος, ἡ μίξις, ἡ σύλληψις, ὁ τόκος, ὁ ῥύπος, ἡ θηλή, ἡ τροφή, ἡ ἐκ**[149]**ποίησις, ἡ κατ' ὀλίγον ἐπὶ τὸ τέλειον αὔξησις, ἡ ἀκμή, τὸ γῆρας, ἡ νόσος, ὁ θάνατος. Εἰ οὖν ἐκεῖνο περὶ ἡμᾶς οὐκ ἔσται, πῶς ἡμῖν τὰ ἐξ ἐκείνου ὑπολειφθήσεται; Ὥστε μάταιον, ἄλλης τινὸς καταστάσεως κατὰ τὴν μέλλουσαν ζωὴν ἐλπιζομένης, διὰ τῶν μηδὲν αὐτῇ κοινωνούντων ἐνίστασθαι πρὸς τὸ δόγμα τῆς ἀναστάσεως. Τί γὰρ κοινὸν ἔχει ῥικνότης καὶ πολυσαρκία καὶ τηκεδὼν καὶ πληθώρα καὶ εἴ τι ἄλλο τῇ ῥευστῇ φύσει τῶν σωμάτων ἐπισυμβαίνει πρὸς τὴν ζωὴν ἐκείνην, ἣ τῆς ῥοώδους τε καὶ παροδικῆς τοῦ βίου διαγωγῆς ἠλλοτρίωται; Ἓν ζητεῖ μόνον ὁ τῆς ἀναστάσεως λόγος, τὸ φυῆναι διὰ γεννήσεως ἄνθρωπον, μᾶλλον δέ, καθώς φησιν τὸ Εὐαγγέλιον, εἰ ἐγεννήθη ἄνθρωπος εἰς τὸν κόσμον[1], τὸ δὲ μακρόβιον ἢ ὠκύμορον ἢ τὸν τοῦ θανάτου τρόπον, εἰ τοιῶσδε ἢ ἑτέρως συμβέβηκε, μάταιον τῷ τῆς ἀναστάσεως λόγῳ συνεξετάζειν. Ὅπως γὰρ ἂν τοῦτο δῶμεν καθ' ὑπόθεσιν ἔχειν, ἐν τῷ ὁμοίῳ πάντως ἐστίν, οὔτε δυσκολίας οὔτε ῥᾳστώνης ἐκ τῆς τοιαύτης διαφορᾶς περὶ τὴν ἀνάστασιν οὔσης· τὸν γὰρ τοῦ ζῆν ἀρξάμενον ζῆσαι χρὴ πάντως, τῆς ἐν τῷ μέσῳ διὰ τοῦ θανάτου συμβάσης αὐτῷ διαλύσεώς ἐν τῇ ἀναστάσει διορθωθείσης. Τὸ δὲ ὅπως ἢ πότε ἡ διάλυσις γίνεται, τί τοῦτο πρὸς τὴν ἀνάστασιν[α]; Πρὸς ἕτερον γὰρ **158** σκοπὸν βλέπει ἡ περὶ τούτου σκέψις, οἷον καθ' ἡδονήν τις ἐβίω ἢ ἀνιώμενος, κατ' ἀρετὴν ἢ κακίαν, ἐπαινετὸς ἢ ὑπαίτιος, ἐλεεινὸς ἢ μακάριος παρῆλθε τὸν χρόνον. Ταῦτα γὰρ πάντα καὶ τὰ τοιαῦτα ἐκ τοῦ μέτρου τῆς ζωῆς καὶ ἐκ τοῦ εἴδους τοῦ κατὰ τὸν βίον εὑρίσκεται· καὶ οὕτως πρὸς τὴν κρίσιν τῶν βεβιωμένων ἀναγκαῖον ἂν εἴη τῷ κριτῇ πάθος καὶ λώβην καὶ νόσον καὶ γῆρας καὶ ἀκμὴν καὶ νεότητα καὶ πλοῦτον καὶ πενίαν διερευνᾶσθαι, ὅπως τις δι' ἑκά-

---

1. Πρβλ. Ἰω. 16,21.

α. Πρβλ. Γρηγορίου Νύσσης, ἀνωτ. σ. 368 σημ. α. Λόγος Κατηχητικὸς κατωτ. σ. 403,33 ἑξ.

στου τούτων γενόμενος ἢ εὖ ἢ κακῶς τὸν συγκληρωθέντα βίον παρέδραμε, καὶ ἢ πολλῶν ἐγένετο δεκτικὸς ἀγαθῶν ἢ κακῶν ἐν μακρῷ τῷ χρόνῳ, ἢ οὐδὲ τὴν ἀργὴν ὅλως ἑκατέρου τούτων ἐφήψατο, ἐν ἀτελεῖ τῇ διανοίᾳ τοῦ ζῆν παυσάμενος; Ὅταν δὲ πρὸς τὴν πρώτην τοῦ ἀνθρώπου κατασκευὴν δι' ἀναστάσεως ὁ Θεὸς ἐπαναγάγῃ τὴν φύσιν, ἀργὸν ἂν εἴη τὰ τοιαῦτα λέγειν καὶ τὸ διὰ τῶν τοιούτων ἐνστάσεων οἴεσθαι τὴν δύναμιν τοῦ Θεοῦ πρὸς τὸν σκοπὸν ἐμποδίζεσθαι. **[152]** Σκοπὸς δὲ αὐτῷ εἷς, τὸ τελειωθέντος ἤδη διὰ τῶν καθ' ἕκαστον ἀνθρώπων παντὸς τοῦ τῆς φύσεως ἡμῶν πληρώματος, τῶν μὲν εὐθὺς ἤδη κατὰ τὸν βίον τοῦτον ἀπὸ κακίας κεκαθαρμένων, τῶν δὲ μετὰ ταῦτα διὰ τοῦ πυρὸς τοῖς καθήκουσι χρόνοις ἰατρευθέντων, τῶν δὲ ἐπ' ἴσης καὶ τοῦ καλοῦ καὶ τοῦ κακοῦ τὴν πεῖραν παρὰ τὸν τῇδε βίον ἀγνοησάντων, πᾶσι προθεῖναι τὴν μετουσίαν τῶν ἐν αὐτῷ καλῶν, ἅπερ φησὶν ἡ Γραφὴ μήτε ὀφθαλμὸν ἰδεῖν μήτε ἀκοὴν δέξασθαι μήτε λογισμοῖς ἐφικτὰ γενέσθαι[1]. Τοῦτο δὲ οὐδὲν ἄλλο ἐστί, κατά γε τὸν ἐμὸν λόγον, ἢ τὸ ἐν αὐτῷ τῷ Θεῷ γενέσθαι· τὸ γὰρ ἀγαθὸν τὸ ὑπὲρ ἀκοὴν καὶ ὀφθαλμὸν καὶ καρδίαν αὐτὸ ἂν εἴη τὸ τοῦ παντὸς ὑπερκείμενον. Ἡ δὲ τοῦ κατ' ἀρετὴν ἢ κακίαν βίου διαφορὰ ἐν τῷ μετὰ ταῦτα κατὰ τοῦτο δειχθήσεται μάλιστα, **160** ἐν τῷ θᾶττον ἢ σχολαιότερον μετασχεῖν τῆς ἐλπιζομένης μακαριότητος· τῷ γὰρ μέτρῳ τῆς ἐγγενομένης ἑκάστῳ κακίας ἀναλογήσει πάντως καὶ ἡ τῆς ἰατρείας παράτασις. Ἰατρεία δ' ἂν εἴη ψυχῆς τὸ τῆς κακίας καθάρσιον. Τοῦτο δὲ ἄνευ ἀλγεινῆς διαθέσεως κατορθωθῆναι οὐχ οἷόν τε, καθὼς ἐν τοῖς προλαβοῦσιν ἐξήτασται. Μᾶλλον δ' ἄν τις ἐπιγνοίη τῶν ἐνστάσεων τὸ περιττὸν καὶ ἀνοίκειον, εἰς τὸ βάθος τῆς ἀποστολικῆς διακύψας σοφίας. Τοῖς γὰρ Κορινθίοις τὸ περὶ τούτων σαφηνίζων μυστήριον, τάχα τὰ αὐτὰ προτεινόντων αὐτῷ κἀκείνων, ἃ παρὰ τῶν νῦν κατεπιχειρούντων τοῦ δόγματος ἐπὶ ἀνατροπῇ τῶν πεπιστευμένων προφέρεται, τῷ ἰδίῳ ἀξιώματι τὸ τῆς ἀμαθίας αὐτῶν ἐπικόπτων θράσος οὑτωσὶ λέγει· Ἐρεῖς οὖν μοι, «Πῶς ἐγείρονται οἱ νεκροί; ποίῳ δὲ σώματι ἔρχονται; Ἄφρον», φησί, «σὺ ὃ σπείρεις, οὐ ζωοποιεῖται, ἐὰν μὴ ἀποθάνῃ· καὶ ὃ σπείρεις, οὐ τὸ σῶμα τὸ γενησόμενον σπείρεις, ἀλλὰ γυμνὸν κόκκον εἰ τύχοι, σίτου ἢ ἄλλου τινὸς τῶν σπερμάτων· ὁ δὲ Θεὸς δίδωσιν αὐτῷ σῶμα, καθὼς ἠθέλησεν»[2]. Ἐνταῦθα γὰρ ἐπιστομίζειν μοι δοκεῖ τοὺς ἀγνοοῦντας τὰ οἰκεῖα μέτρα τῆς φύσεως, καὶ πρὸς τὴν ἑαυτῶν ἰσχὺν τὴν θείαν ἀντεξετάζοντας δύναμιν καὶ οἰομένους τοσοῦτον εἶναι τῷ Θεῷ δυνατόν, ὅσον χωρεῖ καὶ ἡ ἀνθρωπίνη κατάληψις, τὸ δὲ ὑπὲρ ἡμᾶς ὂν καὶ τοῦ Θεοῦ παριέναι τὴν δύναμιν. Ὁ γὰρ ἐρωτήσας τὸν Ἀπόστολον τό, «Πῶς ἐγείρονται οἱ νεκροί;» ὡς ἀμήχανον ὂν τὸ ἐσκεδασμένον τῶν τοῦ σώματος στοιχείων εἰς συνδρομὴν πάλιν ἐλθεῖν ἀποφαίνεται, καὶ ὡς τούτου μὴ δυ-

---

1. Πρβλ. Α' Κορ. 2,9. 2. Α' Κορ. 15,35-38.

ναμένου, ἄλλου δὲ σώματος παρὰ τὴν συνδρομὴν τῶν στοιχείων οὐχ ὑπολειπομένου, τοῦτό φησι κατὰ τοὺς δεινοὺς τῶν διαλεγομένων συμπεράνας διά τινος ἀκολουθίας ἅπερ ὑπέθετο, **[153]** εἰ σῶμά ἐστι συνδρομὴ στοιχείων, τούτων δὲ ἀμήχανος ἐκ δευτέρου ἡ σύνοδος, ποίῳ χρήσονται σώματι οἱ ἀνιστάμενοι; Τοῦτο τοίνυν τὸ δοκοῦν διά τινος τεχνικῆς σοφίας αὐτοῖς συμπεπλέχθαι ἀφροσύνην ὠνόμασε τῶν μὴ κατιδόντων ἐν τῇ λοιπῇ κτίσει **162** τὸ ὑπερέχον τῆς θείας δυνάμεως. Καταλιπὼν γὰρ τὰ ὑψηλότερα τῶν τοῦ Θεοῦ θαυμάτων, δι' ὧν ἦν εἰς ἀπορίαν ἀγαγεῖν τὸν ἀκούοντα, οἷον τί τὸ οὐράνιον σῶμα καὶ πόθεν, τί δὲ τὸ ἡλιακὸν ἢ τὸ σεληναῖον ἢ τὸ ἐν τοῖς ἄστροις φαινόμενον, ὁ αἰθήρ, ὁ ἀήρ, τὸ ὕδωρ, ἡ γῆ, ἐκ τῶν συντρόφων ἡμῖν καὶ κοινοτέρων ἐλέγχει τῶν ἐνισταμένων τὸ ἀνεπίσκεπτον. Οὐδὲ ἡ γεωργία σε διδάσκει, φησίν, ὅτι μάταιός ἐστιν ὁ πρὸς τὸ ἑαυτοῦ μέτρον τῆς θείας δυνάμεως στοχαζόμενος τὸ ὑπερέχον; πόθεν τοῖς σπέρμασι τὰ περιφυόμενα σώματα; τί δὲ καθηγεῖται τῆς βλάστης αὐτῶν; οὐχὶ θάνατος, εἴπερ θάνατός ἐστιν ἡ τοῦ συνεστηκότος διάλυσις; Τὸ γὰρ σπέρμα οὐκ ἂν ἔλθοι εἰς ἔκφυσιν, μὴ διαλυθὲν ἐν τῇ βώλῳ καὶ γενόμενον ἀραιὸν καὶ πολύπορον, ὥστε καταμιχθῆναι πρὸς τὴν παρακειμένην ἰκμάδα τῇ οἰκείᾳ ποιότητι καὶ οὕτως εἰς ῥίζαν καὶ βλάστην μεταποιηθῆναι καὶ μηδ' ἐν τούτοις μεῖναι, ἀλλὰ μεταβαλεῖν εἰς καλάμην τοῖς διὰ μέσου γόνασιν, οἷόν τισι συνδέσμοις ὑπεζωσμένην πρὸς τὸ δύνασθαι φέρειν ἐν ὀρθίῳ τῷ σχήματι τὸν στάχυν τῷ καρπῷ βαρυνόμενον. Ποῦ τοίνυν ταῦτα τὰ περὶ τὸν σῖτον ἦν πρὸ τῆς ἐν τῇ βώλῳ αὐτοῦ διαλύσεως; Ἀλλὰ μὴν ἐκεῖθεν τοῦτό ἐστιν· εἰ γὰρ μὴ ἐκεῖνο πρότερον ἦν, οὐδ' ἂν ὁ στάχυς ἐγένετο. Ὥσπερ τοίνυν τὸ κατὰ τὸν στάχυν σῶμα ἐκ τοῦ σπέρματος φύεται, τῆς θείας δυνάμεως ἐξ αὐτοῦ ἐκείνου τοῦτο φιλοτεχνούσης, καὶ οὔτε δι' ὅλων ταὐτόν ἐστι τῷ σπέρματι οὔτε παντάπασιν ἕτερον, οὕτω, φησί, καὶ τὸ μυστήριον τῆς ἀναστάσεως ἤδη σοι διὰ τῶν ἐν τοῖς σπέρμασι θαυματοποιουμένων προερμηνεύεται, ὡς τῆς θείας δυνάμεως ἐν τῷ περιόντι τῆς ἐξουσίας οὐ μόνον ἐκεῖνο τὸ διαλυθέν σοι πάλιν ἀποδιδούσης, ἀλλά σοι καὶ ἕτερα μεγάλα τε καὶ καλὰ προστιθείσης, δι' ὧν σοι πρὸς τὸ μεγαλοπρεπέστερον ἡ φύσις κατασκευάζεται. «Σπείρεται» γάρ, φησίν, «ἐν φθορᾷ, ἐγείρεται ἐν ἀφθαρσίᾳ· σπείρεται ἐν ἀσθενείᾳ, ἐγείρεται ἐν δυνάμει· σπείρεται ἐν ἀτιμίᾳ, ἐγείρεται ἐν **164** δόξῃ· σπείρεται σῶμα ψυχικόν, ἐγείρεται σῶμα πνευματικόν»[1]. Ὡς γὰρ καταλιπὼν μετὰ τὸ διαλυ**[156]**θῆναι ὁ ἐν τῇ βώλῳ σῖτος τὴν ἐν τῷ ποσῷ βραχύτητα καὶ τὴν ἐν τῷ ποιῷ τοῦ σχήματος αὐτοῦ ἰδιότητα ἑαυτὸν οὐκ ἀφῆκεν, ἀλλ' ἐν ἑαυτῷ μένων στάχυς γίνεται, πάμπολυ διαφέρων αὐτὸς ἑαυτοῦ μεγέθει καὶ κάλλει καὶ ποικιλίᾳ καὶ σχήματι, κατὰ τὸν αὐτὸν τρόπον καὶ ἡ ἀνθρωπίνη φύσις ἐναφεῖσα τῷ θανάτῳ πάντα τὰ περὶ αὐτὴν ἰδιώματα,

1. Α' Κορ. 15,42-44.

ὅσα διὰ τῆς ἐμπαθοῦς διαθέσεως ἐπεκτήσατο, τὴν ἀτιμίαν, λέγω, τὴν φθοράν, τὴν ἀσθένειαν, τὴν κατὰ τὰς ἡλικίας διαφοράν, ἑαυτὴν οὐκ ἀφίησιν, ἀλλ' ὥσπερ εἰς στάχυν τινά, πρὸς τὴν ἀφθαρσίαν μεθίσταται καὶ τὴν δόξαν καὶ τὴν τιμὴν καὶ τὴν δύναμιν καὶ τὴν ἐν παντὶ τελειότητα καὶ τὸ μηκέτι τὴν ζωὴν αὐτῆς οἰκονομεῖσθαι τοῖς φυσικοῖς ἰδιώμασιν, ἀλλ' εἰς πνευματικήν τινα καὶ ἀπαθῆ μεταβῆναι κατάστασιν. Αὕτη γάρ ἐστιν ἡ τοῦ ψυχικοῦ σώματος ἰδιότης, τὸ ἀεὶ διά τινος ῥοῆς καὶ κινήσεως ἀπὸ τοῦ ἐν ᾧ ἔστιν ἀλλοιοῦσθαι καὶ μεταβάλλειν εἰς ἕτερον· ἃ γὰρ νῦν οὐκ ἐν ἀνθρώποις μόνον ὁρῶμεν καλά, ἀλλὰ καὶ ἐν φυτοῖς καὶ ἐν βοσκήμασιν, τούτων οὐδὲν ἐν τῷ τότε βίῳ ὑπολειφθήσεται. Δοκεῖ δέ μοι καὶ διὰ πάντων συναγορεύειν ὁ ἀποστολικὸς λόγος τῇ καθ' ἡμᾶς ὑπολήψει τῆς ἀναστάσεως, καὶ τοῦτο δεικνύειν ὅπερ ὁ ἡμέτερος ὁρισμὸς περιέχει, λέγων μηδὲν ἕτερον εἶναι ἀνάστασιν ἢ τὴν εἰς τὸ ἀρχαῖον τῆς φύσεως ἡμῶν ἀποκατάστασιν, ἐπειδὴ γὰρ ἐν τῇ πρώτῃ κοσμογονίᾳ τοῦτο παρὰ τῆς Γραφῆς μεμαθήκαμεν, ὅτι πρῶτον ἐβλάστησεν ἡ γῆ βοτάνην χόρτου, καθὼς ὁ λόγος φησίν, εἶτα ἐκ τῆς βλάστης τὸ σπέρμα ἐγένετο[1], οὗπερ ἐπὶ τὴν γῆν καταρρυέντος τὸ αὐτὸ πάλιν εἶδος τοῦ ἐξ ἀρχῆς φυέντος ἀνέδραμεν· φησὶ δὴ τοῦτο ὁ θεῖος Ἀπόστολος καὶ ἐπὶ τῆς ἀναστάσεως γίνεσθαι[2]. Οὐ μόνον δὲ τοῦτο παρ' αὐτοῦ διδασκόμεθα, τὸ πρὸς τὸ μεγαλοπρεπέστερον μεθίστασθαι τὸ ἀνθρώπινον, ἀλλ' ὅτι τὸ ἐλπιζόμενον οὐδὲν ἕτερόν ἐστιν ἢ ὅπερ ἐν πρώτοις ἦν. **166** Ἐπειδὴ γὰρ τὸ κατ' ἀρχὰς οὐχ ὁ στάχυς ἀπὸ τοῦ σπέρματος, ἀλλ' ἐκεῖθεν τὸ σπέρμα, μετὰ ταῦτα δὲ οὗτος τῷ σπέρματι περιφύεται, ἡ τοῦ ὑποδείγματος ἀκολουθία σαφῶς ἐπιδείκνυσι τὸ πᾶσαν τὴν διὰ τῆς ἀναστάσεως ἀναβλαστήσουσαν ἡμῖν μακαριότητα πρὸς τὴν ἐξ ἀρχῆς ἐπανιέναι χάριν. Στάχυς γὰρ ὄντες τὸ κατ' ἀρχὰς τρόπον τινὰ καὶ ἡμεῖς τῷ καύσωνι τῆς **[157]** κακίας κατεξηράνθημεν, ὑπολαβοῦσα δὲ ἡμᾶς ἡ γῆ διὰ τοῦ θανάτου λυθέντας πάλιν κατὰ τὸ ἔαρ τῆς ἀναστάσεως στάχυν ἀναδείξει τὸν γυμνὸν τοῦτον κόκκον τοῦ σώματος, εὐμεγέθη τε καὶ ἀμφιλαφῆ καὶ ὄρθιον καὶ εἰς τὸ οὐράνιον ὕψος ἀνατεινόμενον, ἀντὶ καλάμης ἢ ἀνθερίκων τῇ ἀφθαρσίᾳ καὶ τοῖς λοιποῖς τῶν θεοπρεπῶν γνωρισμάτων ὡραϊζόμενον· δεῖ γάρ, φησί, «τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν»[3]. Ἡ δὲ ἀφθαρσία καὶ ἡ δόξα καὶ ἡ τιμὴ καὶ ἡ δύναμις ἴδια τῆς θείας φύσεως εἶναι ὁμολογεῖται, ἅπερ πρότερόν τε περὶ τὸν κατ' εἰκόνα γενόμενον[4] ἦν, καὶ εἰς αὖθις ἐλπίζεται. Ὁ γὰρ πρῶτος στάχυς ὁ πρῶτος ἄνθρωπος ἦν, ὁ Ἀδάμ[5]· ἀλλ' ἐπειδὴ τῇ τῆς κακίας εἰσόδῳ εἰς πλῆθος ἡ φύσις κατεμερίσθη, καθὼς γίνεται ὁ καρπὸς ἐν τῷ στάχυι, οὕτως οἱ καθ' ἕκαστον γυμνωθέντες τοῦ κατὰ τὸν στάχυν ἐκεῖνον εἴδους, καὶ τῇ γῇ καταμιχθέντες πάλιν ἐν τῇ ἀναστάσει κατὰ τὸ ἀρχέγονον κάλλος ἀναφυόμεθα, ἀντὶ

---

1. Πρβλ. Γεν. 1,11-12. 2. Πρβλ. Α' Κορ. 15,35 ἑξ. 3. Α' Κορ. 15,53. 4. Πρβλ. Γεν. 1,26. 5. Πρβλ. Α' Κορ. 15,45.

ἑνὸς τοῦ πρώτου στάχυος αἱ ἄπειροι μυριάδες τῶν ληίων γενόμενοι[α]. Ὁ δὲ κατ' ἀρετὴν βίος ἐν τούτῳ πρὸς τὴν κακίαν τὸ διάφορον ἕξει, ὅτι οἱ μὲν ἐνταῦθα παρὰ τὸν βίον δι' ἀρετῆς ἑαυτοὺς γεωργήσαντες εὐθὺς ἐν τελείῳ τῷ στάχυι φύονται, οἷς δὲ διὰ κακίας ἐξίτηλός τις καὶ ἀνεμόφθορος γέγονε παρὰ τὸν βίον τοῦτον ἡ ἐν τῷ ψυχικῷ σπέρματι δύναμις, καθάπερ τὰ λεγόμενα κερασβόλα οἱ τῶν τοιούτων ἐπιστήμονες λέγουσι γίνεσθαι, οὗτοι, κἂν φυῶσι διὰ τῆς ἀναστάσεως, πολλὴν ἀποτομίαν παρὰ τῷ **168** κριτῇ ἕξουσιν, ἅτε δὴ οὐκ ἰσχύοντες ἀναδραμεῖν ἐπὶ τὸ εἶδος τοῦ στάχυος καὶ γενέσθαι ἐκεῖνο ὅπερ ἦμεν πρὸ τῆς ἐπὶ τὴν γῆν καταπτώσεως. Ἡ δὲ θεραπεία τοῦ ἐπιστατοῦντος τῶν γεννημάτων, ἡ τῶν ζιζανίων τε καὶ τῶν ἀκανθῶν ἐστι συλλογὴ τῶν συναναφυέντων τῷ σπέρματι, πάσης τῆς ὑποτρεφούσης τὴν ῥίζαν δυνάμεως πρὸς τὸ νόθον μεταρρυείσης, δι' ὧν ἄτροφόν τε καὶ ἀτελεσφόρητον τὸ γνήσιον ἔμεινε σπέρμα, τῇ παρὰ φύσιν βλάστῃ συμπεπνιγμένον. Ἐπειδὰν οὖν πᾶν ὅσον νόθον τε καὶ ἀλλότριον ἐκτιλῇ τοῦ τροφίμου καὶ εἰς ἀφανισμὸν ἔλθῃ, τοῦ πυρὸς τὸ παρὰ φύσιν ἐκδαπανήσαντος, τότε καὶ τούτοις εὐτροφήσει ἡ φύσις καὶ εἰς καρπὸν ἁδρυνθήσεται διὰ τῆς τοιαύτης ἐπιμελείας, μακραῖς ποτε περιόδοις τὸ κοινὸν εἶδος τὸ ἐξ ἀρχῆς ἡμῖν θεόθεν ἐπιβληθὲν ἀπολαβοῦσα. Μακάριοι δὲ οἷς εὐθὺς τὸ τέλειον **[160]** κάλλος τῶν ἀσταχύων συνανατελεῖ φυομένοις διὰ τῆς ἀναστάσεως. Ταῦτα δέ φαμεν οὐχ ὡς σωματικῆς τινος διαφορᾶς ἐν τοῖς κατ' ἀρετὴν ἢ κακίαν βεβιωκόσιν ἐν τῇ ἀναστάσει φανησομένης, ὡς τὸν μὲν ἀτελῆ κατὰ τὸ σῶμα νομίζειν, τὸν δὲ τὸ τέλειον ἔχειν οἴεσθαι, ἀλλ' ὥσπερ παρὰ τὸν βίον ὁ δεσμώτης τε καὶ ἄνετος ἔχουσι μὲν ἀμφότεροι παραπλησίως τῷ σώματι, πολλὴ δὲ μεταξὺ ἀμφοτέρων ἡ καθ' ἡδονήν τε καὶ λύπην διαφορά, οὕτως οἶμαι χρῆναι τῶν ἀγαθῶν τε καὶ κακῶν ἐν τῷ μετὰ ταῦτα χρόνῳ λογίζεσθαι τὸ διάφορον. Ἡ γὰρ τελείωσις τῶν ἐκ τῆς σπορᾶς ἀναφυομένων σωμάτων ἐν ἀφθαρσίᾳ τε καὶ δόξῃ καὶ τιμῇ καὶ δυνάμει παρὰ τοῦ Ἀποστόλου γίνεσθαι λέγεται, ἡ δὲ τῶν τοιούτων ἐλάττωσις οὐ σωματικήν τινα τοῦ φυέντος διασημαίνει κολόβωσιν, ἀλλ' ἑκάστου τῶν κατὰ τὸ ἀγαθὸν νοουμένων στέρησίν τε καὶ ἀλλοτρίωσιν. Ἐπεὶ οὖν ἕν τι χρὴ πάντως περὶ ἡμᾶς εἶναι τῶν κατ' ἀντίθεσιν νοουμένων, ἢ ἀγαθὸν ἢ κακόν, δῆλον ὅτι τὸ ἐν τῷ ἀγαθῷ τινα λέγειν μὴ εἶναι ἀπόδειξις γίνεται τοῦ ἐν τῷ κακῷ πάντως εἶναι. Ἀλλὰ μὴν περὶ τὴν κακίαν οὐ τιμή, οὐ δόξα, οὐκ ἀφθαρσία, οὐ δύναμις. Ἀνάγκη οὖν πᾶσα περὶ ὃν **170** ἂν μὴ ᾖ ταῦτα, τούτῳ τὰ ἐξ ἀντιθέτου νοούμενα παρεῖναι μὴ ἀμφιβάλλειν, ἀσθένειαν, ἀτιμίαν, φθορὰν καὶ ὅσα τοῦ τοιούτου γένους ἐστίν, ἅπερ ἐν τοῖς ἔμπροσθεν εἴρηται λόγοις, ὅτι δυσαπάλλακτα γίνεται τῆς ψυχῆς τὰ ἐκ κακίας πάθη, δι' ὅλης αὐτῆς ἀνακραθέντα καὶ

α. Πρβλ. Πλάτ., *Νόμοι*, θ, 853D. Πλουτάρχου, *Συμποσιακά*, VII, 2,700. Εἰρηναίου, *Ἀποσπάσματα*, ΒΕΠ 5,175,5 ἑξ. PG 7,1236A.

συμφυέντα καὶ ἓν πρὸς ἐκείνην γενόμενα. Τῶν οὖν τοιούτων ταῖς διὰ τοῦ πυρὸς ἰατρείαις ἐκκαθαρθέντων τε καὶ ἀφαγνισθέντων, ἕκαστον τῶν πρὸς τὸ κρεῖττον νοουμένων ἀντεισελεύσεται, ἡ ἀφθαρσία, ἡ ζωή, ἡ τιμή, ἡ χάρις, ἡ δόξα, ἡ δύναμις καὶ εἴ τι ἄλλο τοιοῦτον αὐτῷ τε τῷ Θεῷ ἐπιθεωρεῖσθαι εἰκάζομεν καὶ τῇ εἰκόνι αὐτοῦ, ἥτις ἐστὶν ἡ ἀνθρωπίνη φύσις.

ΛΟΓΟΣ ΚΑΤΗΧΗΤΙΚΟΣ *

Πρόλογος

1 **[9]** Ὁ τῆς κατηχήσεως[1·α] λόγος ἀναγκαῖος μέν ἐστι τοῖς προεστηκόσι[2·β] τοῦ μυστηρίου τῆς εὐσεβείας[3], ὡς ἂν πληθύνοιτο τῇ προσθήκῃ τῶν σῳζομένων ἡ Ἐκκλησία, τοῦ κατὰ τὴν διδαχὴν[γ] πιστοῦ λόγου[4] τῇ ἀκοῇ τῶν ἀπίστων προσαγομένου. Οὐ μὴν ὁ αὐτὸς τῆς διδασκαλίας τρόπος ἐπὶ πάντων ἁρμόσει τῶν προσιόντων τῷ λόγῳ, ἀλλὰ κατὰ **2** τὰς τῶν θρησκειῶν διαφορὰς μεθαρμόζειν προσήκει καὶ τὴν κατήχησιν, πρὸς τὸν αὐτὸν μὲν ὁρῶντας τοῦ λόγου σκοπόν, οὐχ ὁμοιοτρόπως δὲ ταῖς κατασκευαῖς ἐφ' ἑκάστου κεχρημένους. Ἄλλαις γὰρ ὑπολήψεσιν ὁ ἰουδαΐζων προείληπται καὶ ὁ τῷ ἑλληνισμῷ συζῶν[δ] ἑτέραις, ὅ τε Ἀνόμοιος καὶ ὁ Μανιχαῖος καὶ οἱ κατὰ Μαρκίωνα καὶ Οὐαλεντῖνον καὶ Βασιλείδην καὶ ὁ λοιπὸς κατάλογος τῶν κατὰ τὰς αἱρέσεις πλανωμένων ἰδίαις ἕκαστος ὑπολήψεσι προειλημμένοι ἀναγκαίαν ποιοῦσι τὴν πρὸς τὰς ἐκείνων ὑπονοίας μάχην· κατὰ γὰρ τὸ εἶδος τῆς νόσου καὶ τὸν τρόπον τῆς θεραπείας προσαρμοστέον. Οὐ τοῖς αὐτοῖς θεραπεύσεις τοῦ Ἕλληνος τὴν πολυθεΐαν καὶ τοῦ Ἰουδαίου τὴν περὶ τὸν μονογενῆ[ε] Θεὸν[5] ἀπιστίαν, οὐδὲ ἀπὸ τῶν αὐτῶν τοῖς κατὰ τὰς αἱρέσεις πεπλανημένοις ἀνατρέψεις τὰς ἠπατημένας περὶ τῶν δογμάτων μυθοποιίας· οὐ γὰρ δι' **3** ὧν ἄν τις ἐπανορθώσαιτο τὸν **[12]** Σαβέλλιον[στ], διὰ τῶν αὐτῶν ὠφελήσει καὶ τὸν Ἀνόμοιον, οὐδὲ ἡ

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ James Herbert Srawley M. A., The Catechetical oration of Gregory of Nyssa, Cambridge 1956, σ. 9-164. (PG 45, 9-105).

1. Πρβλ. Λουκ. 1,4. Πράξ. 18,25. Α' Κορ. 14,19. Γαλ. 6,6. 2. Πρβλ. Ρωμ. 12,8. Α' Θεσ. 5,12. Α' Τιμ. 5,17. 3. Πρβλ. Α' Τιμ. 3,16. 4. Πρβλ. Τίτ. 1,9. 5. Πρβλ. Ἰω. 1,18.

α. Πρβλ. Κλήμεντος Ἀλεξανδρέως, Παιδαγωγὸς Α' VI, ΒΕΠ 7,94,11, ἑξ. PG 8,285C. Μ. Ἀθανασίου, Ἐπιστολαὶ ἑορταστικαί, ἀποσπάσματα, ΒΕΠ 33,77,24. PG 26,1437C. Γρηγορίου Θεολόγου, Ἔπη θεολογικά, ἠθικά, ΒΕΠ 61,228,10.

β. Πρβλ. Ἰουστίνου Μάρτυρος, Ἀπολογία Α, 67, ΒΕΠ 3,198,18,24. PG 6,429B ἑξ.

γ. Πρβλ. Ἰγνατίου Ἀντιοχείας, Πρὸς Ἐφεσίους, ΒΕΠ 2,290,35 ἑξ. PG 5,748B-749A.

δ. Πρβλ. Γρηγορίου Νύσσης, Πρὸς τοὺς βραδύνοντας εἰς τὸ Βάπτισμα, κατωτ. σ. 451,9 ἑξ.

ε. Πρβλ. Γρηγορίου Νύσσης, Περὶ τοῦ μὴ εἶναι τρεῖς Θεούς, πρὸς Ἀβλάβιον, ἀνωτ. σ. 178,2 ἑξ. Περὶ πίστεως, πρὸς Σιμπλίκιον, ἀνωτ. σ. 182,1 ἑξ.

στ. Πρβλ. [Μ. Ἀθανασίου], Κατὰ Ἀρειανῶν, Δ, 13. Δ, 25, ΒΕΠ 30,313, 17 ἑξ. 322,27 ἑξ. PG 26,484C. 505C.

πρὸς τὸν Μανιχαῖον μάχῃ καὶ τὸν Ἰουδαῖον ὀνίνησιν, ἀλλὰ χρή, καθὼς εἴρηται, πρὸς τὰς προλήψεις τῶν ἀνθρώπων βλέπειν καὶ κατὰ τὴν ἐγκειμένην ἑκάστῳ πλάνην ποιεῖσθαι τὸν λόγον, ἀρχάς τινας καὶ προτάσεις εὐλόγους ἐφ' ἑκάστης διαλέξεως προβαλλόμενον, ὡς ἂν διὰ τῶν παρ' ἀμφοτέροις ὁμολογουμένων ἐκκαλυφθείη κατὰ τὸ ἀκόλουθον ἡ ἀλήθεια. Οὐκοῦν ὅταν πρός τινα τῶν ἑλληνιζόντων[1] ἡ διάλεξις ᾖ, καλῶς ἂν ἔχοι ταύτην ποιεῖσθαι τοῦ λόγου τὴν ἀρχήν. Πότερον εἶναι τὸ Θεῖον ὑπείληφεν, ἢ τῷ τῶν ἀθέων συμφέρεται δόγματι; Εἰ μὲν οὖν μὴ εἶναι λέγοι, ἐκ **4** τῶν τεχνικῶς καὶ σοφῶς κατὰ τὸν κόσμον οἰκονομουμένων προσαχθήσεται πρὸς τὸ διὰ τούτων εἶναί τινα δύναμιν τὴν ἐν τούτοις διαδεικνυμένην καὶ τοῦ παντὸς ὑπερκειμένην ὁμολογῆσαι· εἰ δὲ τὸ μὲν εἶναι μὴ ἀμφιβάλλοι, εἰς πλῆθος δὲ θεῶν ταῖς ὑπονοίαις ἐκφέροιτο, τοιαύτῃ χρησώμεθα πρὸς αὐτὸν τῇ ἀκολουθίᾳ. Πότερον τέλειον ἢ ἐλλιπὲς ἡγεῖται τὸ Θεῖον;[α] Τοῦ δὲ κατὰ τὸ εἰκὸς τὴν τελειότητα προσμαρτυροῦντος τῇ θείᾳ φύσει, τὸ διὰ πάντων αὐτὸν τῶν ἐνθεωρουμένων τῇ θεότητι τέλειον ἀπαιτήσωμεν, ὡς ἂν μὴ σύμμικτον ἐκ τῶν ἐναντίων θεωροῖτο τὸ Θεῖον, ἐξ ἐλλιποῦς καὶ τελείου. Ἀλλ' εἴτε κατὰ τὴν δύναμιν εἴτε κατὰ τὴν τοῦ ἀγαθοῦ ἐπίνοιαν[β] εἴτε κατὰ τὸ σοφόν τε καὶ ἄφθαρτον καὶ ἀΐδιον καὶ εἴ τι ἄλλο θεοπρεπὲς νόημα τῇ θεωρίᾳ προσκείμενον τύχοι, ἐν παντὶ τὴν τελειότητα θεωρεῖσθαι περὶ τὴν θείαν φύσιν **5** κατὰ τὸ εὔλογον τῆς ἀκολουθίας ταύτης συγκαταθήσεται. Τούτου δὲ δοθέντος οὐκέτ' ἂν εἴη χαλεπὸν τὸ ἐσκεδασμένον τῆς διανοίας εἰς πλῆθος θεῶν[γ] πρὸς μιᾶς θεότητος περιαγαγεῖν ὁμολογίαν. Εἰ γὰρ τὸ τέλειον ἐν παντὶ δοίη περὶ τὸ ὑποκείμενον ὁμολογεῖσθαι, πολλὰ δὲ εἶναι τὰ τέλεια διὰ τῶν αὐτῶν χαρακτηριζόμενα λέγοι, ἀνάγκη πᾶσα ἐπὶ τῶν μηδεμιᾷ παραλλαγῇ διακρινομένων ἀλλ' ἐν τοῖς αὐτοῖς θεωρουμένων ἢ ἐπιδεῖξαι τὸ ἴδιον ἤ, εἰ μηδὲν ἰδιαζόντως καταλαμβάνοι ἡ ἔννοια ἐφ' ὧν τὸ διακρῖνον οὐκ ἔστι, μὴ ὑπονοεῖν τὴν διάκρισιν. Εἰ γὰρ μήτε παρὰ τὸ πλέον καὶ ἔλαττον τὴν διαφορὰν ἐξευρίσκοι, διότι τὴν ἐλάττωσιν ὁ τῆς τελειότητος οὐ παραδέχεται λόγος, μήτε τὴν παρὰ τὸ χεῖρον καὶ προτιμότερον· οὐ γὰρ ἂν ἔτι θεότητος ὑπόληψιν σχοίη οὗ ἡ τοῦ χείρονος οὐκ ἄπεστι προσηγορία· μήτε κατὰ τὸ ἀρχαῖον καὶ πρόσφατον· τὸ γὰρ μὴ ἀεὶ ὂν ἔξω τῆς περὶ τὸ Θεῖόν ἐστιν ὑπολήψεως· **6** ἀλλ' εἷς καὶ ὁ αὐτὸς τῆς θεότητος λόγος, οὐδεμιᾶς ἰδιότητος ἐν οὐδενὶ κατὰ τὸ εὔλογον εὑρισκομένης, ἀνάγκη πᾶσα πρὸς μιᾶς θεότητος ὁμολογίαν συνθλιβῆναι τὴν πεπλανημένην περὶ τοῦ πλήθους τῶν θεῶν

1. Πρβλ. Γαλ. 3,28.

α. Πρβλ. Μ. Ἀθανασίου, Κατὰ Ἀρειανῶν Α, 17, ΒΕΠ 30,137,21 ἑξ. PG 26,48Β.

β. Πρβλ. Εὐσεβίου Καισαρείας, Περὶ τῆς ἐκκλησιαστικῆς Θεολογίας Β, 14, ΒΕΠ 29,111,20. PG 24,933Β.

γ. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, κατωτ. σ. 383,28 ἑξ.

φαντασίαν. Εἰ γὰρ τὸ ἀγαθὸν καὶ τὸ δίκαιον, τό τε σοφὸν καὶ τὸ δυνατὸν ὡσαύτως λέγοιτο, ἥ τε ἀφθαρσία καὶ ἡ ἀϊδιότης καὶ πᾶσα εὐσεβὴς διάνοια κατὰ τὸν αὐτὸν ὁμολογοῖτο τρόπον, πάσης κατὰ πάντα λόγον διαφορᾶς ὑφαιρουμένης συνυφαιρεῖται κατ' ἀνάγκην τὸ τῶν θεῶν πλῆθος ἀπὸ τοῦ δόγματος, τῆς διὰ πάντων ταυτότητος εἰς τὸ ἓν τὴν πίστιν περιαγούσης.

[13] 1. Ἀλλ' ἐπειδὴ καὶ ὁ τῆς εὐσεβείας λόγος οἶδέ τινα **7** διάκρισιν ὑποστάσεων[α] ἐν τῇ ἑνότητι τῆς φύσεως βλέπειν, ὡς ἂν μὴ τῇ πρὸς τοὺς Ἕλληνας μάχῃ πρὸς τὸν Ἰουδαϊσμὸν ἡμῖν ὁ λόγος ὑπενεχθείη, πάλιν προσήκει διαστολῇ τινὶ τεχνικῇ καὶ τὴν περὶ τοῦτο πλάνην ἐπανορθώσασθαι. Οὐδὲ γὰρ τοῖς ἔξω τοῦ καθ' ἡμᾶς δόγματος ἄλογον εἶναι τὸ Θεῖον ὑπείληπται· τοῦτο δὲ παρ' ἐκείνων ὁμολογούμενον ἱκανῶς διαρθρώσει τὸν ἡμέτερον λόγον. Ὁ γὰρ ὁμολογῶν μὴ ἄλογον εἶναι τὸν Θεὸν[β] πάντως λόγον ἔχειν τὸν μὴ ἄλογον συγκαταθήσεται. Ἀλλὰ μὴν καὶ ὁ ἀνθρώπινος ὁμωνύμως λέγεται λόγος. Οὐκοῦν εἰ λέγοι καθ' ὁμοιότητα **8** τῶν παρ' ἡμῖν καὶ τὸν τοῦ Θεοῦ λόγον ὑπονοεῖν, οὕτω μεταχθήσεται πρὸς τὴν ὑψηλοτέραν ὑπόληψιν. Ἀνάγκη γὰρ πᾶσα κατάλληλον εἶναι πιστεύειν τῇ φύσει τὸν λόγον, ὡς καὶ τὰ ἄλλα πάντα. Καὶ γὰρ δύναμίς τις καὶ ζωὴ καὶ σοφία περὶ τὸ ἀνθρώπινον βλέπεται· ἀλλ' οὐκ ἄν τις ἐκ τῆς ὁμωνυμίας τοιαύτην καὶ ἐπὶ τοῦ Θεοῦ τὴν ζωὴν ἢ τὴν δύναμιν ἢ τὴν σοφίαν ὑπονοήσειεν, ἀλλὰ πρὸς τὸ τῆς φύσεως τῆς ἡμετέρας μέτρον συνταπεινοῦνται καὶ αἱ τῶν τοιούτων ὀνομάτων ἐμφάσεις. Ἐπειδὴ γὰρ φθαρτὴ καὶ ἀσθενὴς ἡμῶν ἡ φύσις, διὰ τοῦτο ὠκύμορος[γ] ἡ ζωή, ἀνυπόστατος ἡ δύναμις, ἀπαγὴς[δ] ὁ λόγος. Ἐπὶ δὲ τῆς ὑπερκειμένης φύσεως τῷ μεγαλείῳ τοῦ θεωρουμένου πᾶν τὸ περὶ αὐτῆς λεγόμενον συνεπαίρεται. Οὐκοῦν κἂν λόγος Θεοῦ λέγηται, οὐκ ἐν τῇ ὁρμῇ τοῦ φθεγγομένου καὶ τὴν ὑπόστασιν ἔχειν νομισθήσεται, καθ' ὁμοιότητα τοῦ ἡμετέρου μεταχωρῶν εἰς ἀνύπαρκτον· ἀλλ' ὥσπερ ἡ ἡμετέρα φύσις ἐπίκηρος οὖσα[ε] καὶ ἐπίκηρον τὸν λόγον ἔχει, οὕτως ἡ ἄφθαρτος καὶ ἀεὶ ἑστῶσα φύσις ἀΐδιον ἔχει καὶ ὑφεστῶτα τὸν Λόγον. Εἰ δὴ τοῦτο κατὰ τὸ ἀκόλουθον ὁμολογηθείη **9** τὸ ὑφεστάναι τὸν τοῦ Θεοῦ Λόγον ἀϊδίως, ἀνάγκη πᾶσα ἐν ζωῇ τοῦ Λόγου τὴν ὑπόστασιν εἶναι ὁμολογεῖν. Οὐ γὰρ καθ' ὁμοιότητα τῶν λίθων ἀψύχως ὑφεστάναι τὸν Λόγον εὐαγές ἐστιν οἴεσθαι. Ἀλλ' εἰ ὑφέστηκε νοερόν τι χρῆμα καὶ ἀσώματον ὤν, ζῇ πάντως· εἰ δὲ τοῦ ζῆν κεχώρισται, οὐδὲ ἐν ὑποστάσει πάντως ἐστίν. Ἀλλὰ μὴν

α. Πρβλ. Μ. Βασιλείου, Ἐπιστολαί, ΒΕΠ 55,58,10 ἑξ. 289,37.

β. Πρβλ. Εὐσεβίου Καισαρείας, Περὶ τῆς ἐκκλησιαστικῆς Θεολογίας Β, 14, ΒΕΠ 29,30 ἑξ. PG 24,928C.

γ. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, κατωτ. σ. 386,33.

δ. Πρβλ. Μ. Ἀθανασίου, Κατὰ Ἀρειανῶν Β, 34,35, ΒΕΠ 30,208,8-209, 30. PG 26,220A-224A.

ε. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, κατωτ. σ. 391,33.

ἀσεβὲς ἀπεδείχθη τὸν τοῦ Θεοῦ Λόγον ἀνυπόστατον εἶναι. Οὐκοῦν συναπεδείχθη κατὰ τὸ ἀκόλουθον τὸ ἐν ζωῇ τοῦτον θεωρεῖσθαι τὸν Λόγον. Ἁπλῆς δὲ τῆς τοῦ Λόγου φύσεως κατὰ τὸ εἰκὸς εἶναι πεπιστευμένης καὶ οὐδεμίαν διπλόην καὶ σύνθεσιν ἐν ἑαυτῇ δεικνυούσης, οὐκέτ᾽ ἄν τις κατὰ μετουσίαν ζωῆς τὸν λόγον ἐν ζωῇ θεωροίη· οὐ γὰρ ἂν ἐκτὸς εἴη συνθέσεως ἡ τοιαύτη ὑπόληψις, τὸ ἕτερον ἐν ἑτέρῳ λέγειν εἶναι· ἀλλ᾽ ἀνάγκη πᾶσα, τῆς ἁπλότητος ὁμολογουμένης, αὐτοζωὴν[α] εἶναι τὸν Λόγον οἴεσθαι, οὐ ζωῆς μετουσίαν. Εἰ οὖν ζῇ ὁ Λόγος ὁ ζωὴ ὤν, καὶ προαιρετικὴν πάντως δύναμιν **10** ἔχει· οὐδὲν γὰρ ἀπροαίρετον τῶν ζώντων ἐστί. Τὴν δὲ προαίρεσιν ταύτην καὶ δυνατὴν εἶναι κατὰ τὸ ἀκόλουθον εὐσεβές ἐστι λογίζεσθαι. Εἰ γὰρ μή τις τὸ δυνατὸν ὁμολογοίη, τὸ ἀδύνατον πάντως κατασκευάσει. Ἀλλὰ μὴν πόρρω τῆς περὶ τὸ Θεῖον ὑπολήψεώς ἐστι τὸ **[16]** ἀδύνατον. Οὐδὲν γὰρ τῶν ἀπεμφαινόντων[β] περὶ τὴν θείαν θεωρεῖται φύσιν, ἀνάγκη δὲ πᾶσα τοσαύτην εἶναι ὁμολογεῖν τοῦ Λόγου τὴν δύναμιν, ὅση ἐστὶ καὶ ἡ πρόθεσις, ἵνα μή τις μίξις τῶν ἐναντίων καὶ συνδρομὴ περὶ τὸ ἁπλοῦν θεωροῖτο, ἀδυναμίας τε καὶ δυνάμεως ἐν τῇ αὐτῇ προθέσει θεωρουμένων, εἴπερ τὸ μέν τι δύναιτο, πρὸς δέ τι ἀδυνάτως ἔχοι· πάντα δὲ δυναμένην τὴν τοῦ Λόγου προαίρεσιν πρὸς οὐδὲν τῶν κακῶν τὴν ῥοπὴν ἔχειν· ἀλλότρια γὰρ τῆς θείας φύσεως ἡ πρὸς κακίαν ὁρμή· ἀλλὰ πᾶν ὅ τί πέρ ἐστιν ἀγαθόν, τοῦτο καὶ βούλεσθαι, βουλομένην δὲ πάντως καὶ δύνασθαι, δυναμένην δὲ μὴ ἀνενέργητον[γ] εἶναι, ἀλλὰ πᾶσαν ἀγαθοῦ πρόθεσιν εἰς ἐνέργειαν ἄγειν. Ἀγαθὸν δὲ ὁ κόσμος καὶ τὰ ἐν αὐτῷ πάντα σοφῶς τε καὶ τεχνικῶς θεωρούμενα[δ]. Ἆρα τοῦ **11** Λόγου ἔργα τὰ πάντα τοῦ ζῶντος μὲν καὶ ὑφεστῶτος, ὅτι Θεοῦ Λόγος ἐστί, προαιρουμένου δέ, ὅτι ζῇ· δυναμένου δὲ πᾶν ὅ τί περ ἂν ἕληται, αἱρουμένου δὲ τὸ ἀγαθόν τε καὶ σοφὸν πάντως, καὶ εἴ τι τῆς κρείττονος σημασίας ἐστίν. Ἐπεὶ οὖν ἀγαθόν τι ὁ κόσμος ὁμολογεῖται, ἀπεδείχθη δὲ διὰ τῶν εἰρημένων τοῦ Λόγου ἔργον τὸν κόσμον εἶναι, τοῦ τὸ ἀγαθὸν καὶ αἱρουμένου καὶ δυναμένου, ὁ δὲ Λόγος οὗτος ἕτερός ἐστι παρὰ τὸν οὗ ἐστὶ Λόγος· τρόπον γάρ τινα τῶν πρός τι λεγομένων καὶ τοῦτό ἐστιν, ἐπειδὴ χρὴ πάντως τῷ Λόγῳ καὶ τὸν Πατέρα τοῦ Λόγου συνυπακούεσθαι· οὐ γὰρ ἂν εἴη Λόγος, μή τινος ὢν Λόγος· εἰ οὖν διακρίνει τῷ σχετικῷ τῆς σημασίας ἡ τῶν ἀκουόντων διάνοια αὐτὸν

α. Πρβλ. Εὐσεβίου Καισαρείας, Εὐαγγελικὴ ἀπόδειξις, Δ, XIII, ΒΕΠ 27, 157,28. PG 22,288C. Περὶ τῆς ἐκκλησιαστικῆς Θεολογίας, Α, 8, ΒΕΠ 29,67,3. 108,37. PG 24,837D. 928D. Μ. Ἀθανασίου, Κατὰ Ἀρειανῶν Δ, 32, ΒΕΠ 30, 327,21. PG 26,517A. Πρὸς Σεραπίωνα Θμούεως Ἐπίσκοπον, ΒΕΠ 33,111,27. PG 26,584B. Γρηγορίου Νύσσης, Κατὰ Εὐνομίου, Γ', Ϛ' (Η' Migne), ΒΕΠ 68,29,32-33.

β. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, κατωτ. σ. 399,2. 402, 26. Ἐπιστολαί, W. Jaeger, VIII, II σ. 23,18. PG 46,1020D.

γ. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, κατωτ. σ. 384,23-25.

δ. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 382,31. 403,11-12.

τε τὸν Λόγον καὶ τὸν ὅθεν ἐστίν, οὐκέτ' ἂν ἡμῖν κινδυνεύοι τὸ μυστήριον ταῖς ἑλληνικαῖς μαχόμενον ὑπολήψεσι τοῖς τὰ τῶν Ἰουδαίων πρεσβεύουσι[α] συνενεχθῆναι· ἀλλ' ἐπ' ἴσης ἑκατέρων τὴν ἀτοπίαν ἐκφεύξεται, τόν τε ζῶντα τοῦ Θεοῦ Λόγον καὶ ἐνεργὸν καὶ **12** ποιητικὸν ὁμολογῶν, ὅπερ ὁ Ἰουδαῖος οὐ δέχεται, καὶ τὸ μὴ διαφέρειν κατὰ τὴν φύσιν αὐτόν τε τὸν Λόγον καὶ τὸν ὅθεν ἐστίν. Ὥσπερ γὰρ ἐφ' ἡμῶν ἐκ τοῦ νοῦ φαμεν εἶναι τὸν λόγον, οὔτε δι' ὅλου τὸν αὐτὸν ὄντα τῷ νῷ οὔτε παντάπασιν ἕτερον· τῷ μὲν γὰρ ἐξ ἐκείνου εἶναι ἄλλο τι καὶ οὐκ ἐκεῖνό ἐστι· τῷ δὲ αὐτὸν τὸν νοῦν εἰς τὸ ἐμφανὲς ἄγειν οὐκέτ' ἂν ἕτερόν τι παρ' ἐκεῖνον ὑπονοοῖτο, ἀλλὰ κατὰ τὴν φύσιν ἓν ὢν ἕτερον τῷ ὑποκειμένῳ[β] ἐστίν· οὕτως καὶ ὁ τοῦ Θεοῦ Λόγος τῷ μὲν ὑφεστάναι καθ' ἑαυτὸν διῄρηται πρὸς ἐκεῖνον, παρ' οὗ τὴν ὑπόστασιν ἔχει· τῷ δὲ ταῦτα δεικνύειν ἐν ἑαυτῷ, ἃ περὶ τὸν Θεὸν καθορᾶται, ὁ αὐτός ἐστι κατὰ τὴν φύσιν ἐκείνῳ τῷ διὰ τῶν αὐτῶν γνωρισμάτων εὑρισκομένῳ· εἴτε γὰρ ἀγαθότης εἴτε δύναμις εἴτε σοφία εἴτε τὸ ἀϊδίως εἶναι εἴτε τὸ κακίας καὶ θανάτου **13** καὶ φθορᾶς ἀνεπίδεκτον εἴτε τὸ ἐν παντὶ τέλειον εἴτε τι τοιοῦτον ὅλως σημεῖόν τις ποιοῖτο τῆς τοῦ Πατρὸς καταλήψεως, διὰ τῶν αὐτῶν εὑρήσει σημείων καὶ τὸν ἐξ ἐκείνου ὑφεστῶτα Λόγον.

[17] 2. Ὥσπερ δὲ τὸν λόγον ἐκ τῶν καθ' ἡμᾶς ἀναγωγικῶς[γ] ἐπὶ τῆς ὑπερκειμένης ἔγνωμεν φύσεως, κατὰ τὸν αὐτὸν τρόπον καὶ τῇ περὶ τοῦ Πνεύματος ἐννοίᾳ προσαχθησόμεθα, σκιάς τινας καὶ μιμήματα τῆς ἀφράστου δυνάμεως ἐν τῇ καθ' ἡμᾶς θεωροῦντες φύσει. Ἀλλ' ἐφ' ἡμῶν μὲν τὸ πνεῦμα ἡ τοῦ ἀέρος ἐστὶν ὁλκή[δ], ἀλλοτρίου πράγματος[ε] πρὸς τὴν τοῦ σώματος σύστασιν ἀναγκαίως εἰσελκομένου τε καὶ προχεομένου, ὅπερ ἐν τῷ καιρῷ τῆς ἐκφωνήσεως τοῦ λόγου **14** φωνὴ γίνεται, τὴν τοῦ λόγου δύναμιν ἐν ἑαυτῇ φανεροῦσα, ἐπὶ δὲ τῆς θείας φύσεως τὸ μὲν εἶναι Πνεῦμα Θεοῦ εὐσεβὲς ἐνομίσθη, καθὼς ἐδόθη καὶ Λόγον εἶναι Θεοῦ διὰ τὸ μὴ δεῖν ἐλλιπέστερον τοῦ ἡμετέρου λόγου τὸν τοῦ Θεοῦ εἶναι Λόγον, εἴπερ τούτου μετὰ πνεύματος θεωρουμένου ἐκεῖνος δίχα πνεύματος εἶναι πιστεύοιτο. Οὐ μὴν ἀλλότριόν τι καθ' ὁμοιότητα τοῦ ἡμετέρου πνεύματος ἔξωθεν ἐπιρρεῖν τῷ Θεῷ καὶ ἐν αὐτῷ γίνεσθαι τὸ Πνεῦμα θεοπρεπές ἐστιν οἴεσθαι· ἀλλ' ὡς Θεοῦ Λόγον ἀκούσαντες οὐκ ἀνυπόστατόν τι πρᾶγμα τὸν Λόγον ᾠήθημεν, οὐδὲ ἐκ μαθήσεως ἐγγινόμενον, οὔτε διὰ φωνῆς προφαινόμενον, οὔτε μετὰ τὸ προενεχθῆναι διαλυόμενον, οὐδὲ ἄλλο τι

α. Πρβλ. Πλάτ., Συμπόσιον 186B.

β. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, κατωτ. σ. 383,20. Μ. Βασιλείου, Ἐπιστολαὶ 9, ΒΕΠ 55,32,23.

γ. Πρβλ. Γρηγορίου Θεολόγου, Εἰς τὸ ἅγιον Πάσχα, ΒΕΠ 60, 195,4.

δ. Πρβλ. Γρηγορίου Νύσσης, Εἰς τὸ Ἆσμα Ἀσμάτων, ΒΕΠ 66,122,22. Ἀριστ., Περὶ πνεύματος 2,482α15.

ε. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, κατωτ. σ. 387,19-20.

πάσχοντα τοιοῦτον, οἷα περὶ τὸν ἡμέτερον λόγον θεωρεῖται πάθη, ἀλλ' οὐσιωδῶς ὑφεστῶτα, προαιρετικόν τε καὶ ἐνεργὸν καὶ παντοδύναμον· οὕτως καὶ πνεῦμα μεμαθηκότες Θεοῦ, τὸ συμπαρομαρτοῦν τῷ Λόγῳ καὶ φανεροῦν αὐτοῦ τὴν ἐνέργειαν, οὐ πνοὴν ἄσθματος ἐννοοῦμεν· ἢ γὰρ ἂν καθαιροῖτο πρὸς ταπεινότητα[α] τὸ μεγαλεῖον[β] τῆς θείας δυνάμεως, εἰ **15** καθ' ὁμοιότητα τοῦ ἡμετέρου καὶ τὸ ἐν αὐτῷ Πνεῦμα ὑπονοοῖτο· ἀλλὰ δύναμιν οὐσιώδη αὐτὴν ἐφ' ἑαυτῆς ἐν ἰδιαζούσῃ ὑποστάσει θεωρουμένην, οὔτε χωρισθῆναι τοῦ Θεοῦ, ἐν ᾧ ἔστιν, ἢ τοῦ Λόγου τοῦ Θεοῦ, ᾧ παρομαρτεῖ, δυναμένην· οὔτε πρὸς τὸ ἀνύπαρκτον ἀναχεομένην[γ], ἀλλὰ καθ' ὁμοιότητα τοῦ Θεοῦ Λόγου καθ' ὑπόστασιν οὖσαν, προαιρετικήν, αὐτοκίνητον, ἐνεργόν, πάντοτε τὸ ἀγαθὸν αἱρουμένην καὶ πρὸς πᾶσαν πρόθεσιν σύνδρομον ἔχουσαν τῇ βουλήσει τὴν δύναμιν.

3. Ὥστε τὸν ἀκριβῶς τὰ βάθη τοῦ μυστηρίου διασκοπούμενον ἐν μὲν τῇ ψυχῇ[δ] κατὰ τὸ ἀπόρρητον μετρίαν τινὰ κατανόησιν τῆς κατὰ τὴν θεογνωσίαν διδασκαλίας λαμβάνειν, μὴ μέντοι δύνασθαι λόγῳ διασαφεῖν τὴν ἀνέκφραστον ταύτην τοῦ μυστηρίου βαθύτητα· πῶς τὸ αὐτὸ καὶ ἀριθμητόν[ε] ἐστι καὶ διαφεύγει τὴν ἐξαρίθμησιν, **16** καὶ διῃρημένως ὁρᾶται καὶ ἐν μονάδι καταλαμβάνεται, καὶ διακέκριται[στ] τῇ ὑποστάσει καὶ οὐ διώρισται τῷ ὑποκειμένῳ[ζ]. Ἄλλο γάρ τι τῇ ὑποστάσει τὸ Πνεῦμα καὶ ἕτερον ὁ Λόγος, καὶ ἄλλο πάλιν ἐκεῖνο, οὗ καὶ ὁ Λόγος ἐστὶ καὶ τὸ Πνεῦμα· ἀλλ' ἐπειδὰν τὸ διακεκριμένον ἐν τούτοις κατανοήσῃς, πάλιν ἡ τῆς φύσεως ἑνότης τὸν διαμερισμὸν οὐ προσίεται, ὡς μήτε τὸ τῆς μοναρχίας[η] σχίζεσθαι κράτος εἰς θεότητας διαφόρους κατατεμνόμενον μήτε τῷ ἰουδαϊκῷ δόγματι συμβαίνειν[θ] τὸν λόγον, ἀλλὰ διὰ μέσου τῶν δύο ὑπολήψεων χωρεῖν τὴν ἀλήθειαν, **17** ἑκατέραν τε τῶν αἱρέσεων καθαιροῦσαν καὶ ἀφ' ἑκατέρας παραδεχομένην τὸ χρήσιμον. Τοῦ μὲν γὰρ Ἰουδαίου καθαιρεῖ**[20]**ται τὸ δόγμα τῇ τε τοῦ Λόγου παραδοχῇ καὶ τῇ πίστει τοῦ Πνεύματος· τῶν δὲ ἑλληνιζόντων ἡ πολύθεος ἐξαφανίζεται πλάνη, τῆς κατὰ φύσιν ἑνότητος παραγραφομένης τὴν πληθυντικὴν φαντασίαν. Πάλιν δὲ

α. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. σ. 380,22.

β. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 380,25.

γ. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 380,28-29. Γρηγορίου Θεολόγου, Θεολογικὸς Β', ιε', ΒΕΠ 59,225,30-34.

δ. Πρβλ. Πλάτ., Τίμ. 30Β.

ε. Πρβλ. Ἰουστίνου Μάρτυρος, Πρὸς Τρύφωνα Ἰουδαῖον, Διάλογος, ΒΕΠ 3,328,1. PG 776Β.

στ. Πρβλ. Γρηγορίου Θεολόγου, Θεολογικὸς Ε', ΒΕΠ 59,273,18-22.

ζ. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. σ. 379,25. 382,11. κατωτ. σ. 386,18-19.

η. [Μ. Ἀθανασίου], Κατὰ Ἀρειανῶν Δ, 1, ΒΕΠ 30,306,8-10. PG 26, 468Β. Γρηγορίου Θεολόγου, Θεολογικὸς Γ', ΒΕΠ 59,239,25 ἑξ.

θ. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, κατωτ. σ. 416,26.

αὖ ἐκ μὲν τῆς ἰουδαϊκῆς ὑπολήψεως ἡ τῆς φύσεως ἑνότης παραμενέτω· ἐκ δὲ τοῦ Ἑλληνισμοῦ ἡ κατὰ τὰς ὑποστάσεις διάκρισις μόνη, θεραπευθείσης ἑκατέρωθεν καταλλήλως τῆς ἀσεβοῦς ὑπονοίας· ἔστι γὰρ ὥσπερ θεραπεία τῶν μὲν περὶ τὸ ἓν πλανωμένων ὁ ἀριθμὸς τῆς Τριάδος, τῶν δὲ εἰς πλῆθος ἐσκεδασμένων[α] ὁ τῆς ἑνότητος λόγος.

4. Εἰ δὲ ἀντιλέγοι τούτοις ὁ Ἰουδαῖος, οὐκέτ᾽ ἂν ἡμῖν **18** ἐκ τοῦ ἴσου δύσκολος ὁ πρὸς ἐκεῖνον γενήσεται λόγος. Ἐκ γὰρ τῶν συντρόφων αὐτῷ διδαγμάτων ἡ τῆς ἀληθείας ἔσται φανέρωσις. Τὸ γὰρ εἶναι Λόγον Θεοῦ καὶ Πνεῦμα Θεοῦ, οὐσιωδῶς ὑφεστώσας[β] δυνάμεις, ποιητικάς τε τῶν γεγενημένων καὶ περιεκτικὰς τῶν ὄντων[1·γ], ἐκ τῶν θεοπνεύστων Γραφῶν ἐναργέστερον δείκνυται. Ἀρκεῖ δὲ μιᾶς μαρτυρίας ἐπιμνησθέντας τοῖς φιλοτιμοτέροις καταλιπεῖν τῶν πλειόνων τὴν εὕρεσιν. «Τῷ Λόγῳ τοῦ Κυρίου», φησίν, «οἱ οὐρανοὶ ἐστερεώθησαν καὶ τῷ Πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν»[2]. Ποίῳ Λόγῳ καὶ ποίῳ Πνεύματι; Οὔτε γὰρ ῥῆμα[δ] ὁ Λόγος, οὔτε ἆσθμα τὸ Πνεῦμα. Ἢ γὰρ ἂν καθ᾽ ὁμοιότητα τῆς ἡμετέρας φύσεως καὶ τὸ θεῖον ἐξανθρωπίζοιτο, εἰ τοιούτῳ κεχρῆσθαι λόγῳ καὶ τοιούτῳ πνεύματι τὸν τοῦ παντὸς ποιητὴν δογματίζοιεν[ε]. **19** Τίς δὲ καὶ δύναμις ἀπὸ ῥημάτων καὶ ἄσθματος τηλικαύτη, ὡς ἐξαρκεῖν πρὸς οὐρανῶν σύστασιν καὶ τῶν ἐν τούτοις δυνάμεων; εἰ γὰρ ὅμοιος τῷ ἡμετέρῳ ῥήματι καὶ ὁ τοῦ Θεοῦ Λόγος καὶ τὸ Πνεῦμα τῷ πνεύματι, ὁμοία πάντως ἐκ τῶν ὁμοίων ἡ δύναμις· καὶ ὅσην ὁ ἡμέτερος, τοσαύτην καὶ ὁ τοῦ Θεοῦ Λόγος τὴν ἰσχὺν ἔχει. Ἀλλὰ μὴν ἀνενέργητά τε καὶ ἀνυπόστατα τὰ παρ᾽ ἡμῖν ῥήματα καὶ τὸ τοῖς ῥήμασι συνδιεξερχόμενον πνεῦμα. Ἄπρακτα πάντως καὶ ἀνυπόστατα κἀκεῖνα κατασκευάσουσιν[στ] οἱ πρὸς τὴν ὁμοιότητα τοῦ παρ᾽ ἡμῖν λόγου τὸ θεῖον κατάγοντες. Εἰ δέ, καθὼς λέγει Δαβίδ, ἐστερεώθησαν τῷ Λόγῳ τοῦ Κυρίου οἱ οὐρανοὶ καὶ αἱ δυνάμεις αὐτῶν ἐν τῷ Πνεύματι τοῦ Θεοῦ τὴν σύστασιν ἔσχον, ἆρα συνέστηκε τὸ τῆς ἀληθείας μυστήριον, Λόγου ἐν οὐσίᾳ καὶ Πνεῦμα ἐν ὑποστάσει λέγειν ὑφηγούμενον[ζ].

5. Ἀλλὰ τὸ μὲν εἶναι Λόγον Θεοῦ καὶ Πνεῦμα διά τε **20** τῶν κοινῶν ἐννοιῶν[3] ὁ Ἕλλην καὶ διὰ τῶν Γραφικῶν ὁ Ἰουδαῖος ἴσως οὐκ ἀντιλέξει· τὴν δὲ κατὰ ἄνθρωπον οἰκονομίαν[η] τοῦ Θεοῦ Λόγου κατὰ

---

1. Πρβλ. Ψαλ. 103,29-30. 138,7. Ἰὼβ 33,4. 2. Ψαλ. 32,6. 3. Πρβλ. Ἐφ. 1,10.

α. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. σ. 379,23.
β. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ᾽ ἀν. σ. 383,2.
γ. Πρβλ. Γρηγορίου Νύσσης, Κατὰ Εὐνομίου Γ΄, β΄ (Δ΄ Migne), ΒΕΠ 67,294.33 ἑξ.
δ. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. σ. 383,4. 20 ἑξ.
ε. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ᾽ ἀν. σ. 398,13.
στ. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ᾽ ἀν. σ. 381,12.
ζ. Πρβλ. Πλάτ., Πολιτεία 403Ε.
η. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, κατωτ. σ. 407,32.

τὸ ἴσον ἑκάτερος αὐτῶν ἀποδοκιμάσει ὡς ἀπίθανόν τε καὶ ἀπρεπῆ περὶ Θεοῦ λέγεσθαι. Οὐκοῦν ἐξ ἑτέρας ἀρχῆς[α] καὶ εἰς τὴν περὶ τούτου πίστιν τοὺς ἀντιλέγοντας προσαξόμεθα. Λόγῳ τὰ πάντα γεγενῆσθαι καὶ σοφίᾳ παρὰ τοῦ τὸ πᾶν **21** συστησαμένου πιστεύουσιν, ἢ καὶ πρὸς ταύτην δυσπειθῶς ἔχουσι τὴν ὑπόληψιν. Ἀλλ' εἰ μὴ δοῖεν Λόγον καθηγεῖσθαι καὶ σοφίαν τῆς τῶν ὄντων συστάσεως, ἀλογίαν τε καὶ ἀτεχνίαν τῇ ἀρχῇ **[21]** τοῦ παντὸς ἐπιστήσουσιν. Εἰ δὲ τοῦτο ἄτοπόν τε καὶ ἀσεβές, ὁμολογεῖται πάντως ὅτι Λόγον τε καὶ σοφίαν ἡγεμονεύειν τῶν ὄντων ὁμολογήσουσιν. Ἀλλὰ μὴν ἐν τοῖς φθάσασιν ἀποδέδεικται μὴ αὐτὸ τοῦτο ῥῆμα ὢν ὁ τοῦ Θεοῦ Λόγος, ἢ ἕξις[β] ἐπιστήμης τινὸς ἢ σοφίας, ἀλλὰ κατ' οὐσίαν τις ὑφεστῶσα δύναμις, προαιρετική τε παντὸς ἀγαθοῦ καὶ ἐν ἰσχύι πᾶν τὸ κατὰ προαίρεσιν ἔχουσα· ἀγαθοῦ δὲ ὄντος τοῦ κόσμου τὴν τῶν ἀγαθῶν προεκτικήν τε καὶ ποιητικὴν δύναμιν[γ] αἰτίαν εἶναι. Εἰ δὲ τοῦ κόσμου παντὸς ἡ ὑπόστασις τῆς τοῦ Λόγου δυνάμεως ἐξῆπται[δ], καθὼς ἡ ἀκολουθία παρέδειξεν, ἀνάγκη πᾶσα καὶ τῶν τοῦ κόσμου μερῶν μὴ ἄλλην ἐπινοεῖν αἰτίαν τινὰ τῆς συστάσεως, ἀλλ' ἢ τὸν Λόγον αὐτόν, δι' οὗ τὰ πάντα τὴν εἰς τὸ γενέσθαι πάροδον ἔσχε. Τοῦτον δὲ εἴτε Λόγον εἴτε σοφίαν εἴτε δύναμιν εἴτε Θεὸν εἴτε ἄλλο τι τῶν ὑψηλῶν τε καὶ τιμίων ὀνομάζειν τις ἐθέλοι, οὐ διοισόμεθα. Ὅ τι γὰρ ἂν εὑρεθῇ δεικτικὸν τοῦ ὑπο**22**κειμένου ῥῆμα ἢ ὄνομα, ἕν ἐστι τὸ διὰ τῶν φωνῶν σημαινόμενον, ἡ ἀΐδιος τοῦ Θεοῦ δύναμις[ε], ἡ ποιητικὴ τῶν ὄντων, ἡ εὑρετικὴ τῶν μὴ ὄντων, ἡ συνεκτικὴ[στ] τῶν γεγονότων, ἡ προορατικὴ τῶν μελλόντων. Οὗτος τοίνυν ὁ Θεὸς Λόγος[ζ], ἡ σοφία, ἡ δύναμις, ἀπεδείχθη κατὰ τὸ ἀκόλουθον τῆς ἀνθρωπίνης φύσεως ποιητής, οὐκ ἀνάγκῃ τινὶ πρὸς τὴν τοῦ ἀνθρώπου κατασκευὴν ἐναχθείς, ἀλλ' ἀγάπης περιουσίᾳ[η] τοῦ τοιούτου ζῴου δημιουργήσας τὴν γένεσιν. Ἔδει γὰρ μήτε τὸ φῶς ἀθέατον, μήτε τὴν δόξαν ἀμάρτυρον, μήτε ἀναπόλαυστον εἶναι τὴν ἀγαθότητα, μήτε τὰ ἄλλα πάντα, ὅσα περὶ τὴν θείαν καθορᾶται φύσιν, ἀργὰ κεῖσθαι, μὴ ὄντος τοῦ μετέχοντός τε καὶ ἀπολαύοντος. Εἰ τοίνυν ἐπὶ τούτοις ὁ ἄνθρωπος εἰς γένεσιν ἔρχεται, ἐφ'

α. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. σ. 379,3.

β. Πρβλ. Πλάτ., Θεαίτητος, 197Α. Κρατύλος, 414Β. Ἀριστ. Ἠθικὰ Νικομάχεια, VII 3,7.

γ. Πρβλ. Ἀριστ. Ἱστορία ζῴων, 4,489a27. Περὶ οὐρανοῦ, 7,275b5.

δ. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, κατωτ. σ. 413,5,

ε. Πρβλ. Γρηγορίου Θεολόγου, Θεολογικὸς Β', ΒΕΠ 59,221,36.

στ. Πρβλ. Γρηγορίου Θεολόγου, ἔνθ' ἀν.

ζ. Πρβλ. Μ. Ἀθανασίου, Περὶ ἐνανθρωπήσεως τοῦ Λόγου, ΒΕΠ 30,89,2-90,28. PG 25,128A-129C. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. σ. 384,7 ἑξ.

η. Πρβλ. Μ. Ἀθανασίου, Περὶ τῆς ἐνανθρωπήσεως τοῦ Λόγου, ΒΕΠ 30, 77,41-80,11. PG 25,104A-108B. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, κατωτ. σ. 411,31.

ᾧ τε μέτοχος τῶν θείων ἀγαθῶν γενέσθαι, ἀναγκαίως τοιοῦτος κατασκευάζεται, ὡς ἐπιτηδείως πρὸς τὴν τῶν ἀγαθῶν μετουσίαν ἔχειν. Καθάπερ γὰρ ὁ ὀφθαλμὸς[α] διὰ **23** τῆς ἐγκειμένης αὐτῷ φυσικῶς αὐγῆς ἐν κοινωνίᾳ τοῦ φωτὸς γίνεται, διὰ τῆς ἐμφύτου δυνάμεως τὸ συγγενὲς ἐφελκόμενος[β], οὕτως ἀναγκαῖον ἦν ἐγκραθῆναί τι τῇ ἀνθρωπίνῃ φύσει συγγενὲς πρὸς τὸ Θεῖον[γ], ὡς ἂν διὰ τοῦ καταλλήλου πρὸς τὸ οἰκεῖον τὴν ἔφεσιν ἔχοι. Καὶ γὰρ καὶ ἐν τῇ τῶν ἀλόγων φύσει, ὅσα τὸν ἔνυδρον καὶ ἐναέριον ἔλαχε βίον, καταλλήλως ἕκαστον τῷ τῆς ζωῆς εἴδει κατεσκεύασται, ὡς οἰκεῖον ἑκατέρου καὶ ὁμόφυλον διὰ τῆς ποιᾶς τοῦ σώματος διαπλάσεως τῷ μὲν τὸν ἀέρα, τῷ δὲ τὸ ὕδωρ εἶναι. Οὕτως οὖν καὶ τὸν ἄνθρωπον ἐπὶ τῇ τῶν θείων ἀγαθῶν ἀπολαύσει γενόμενον ἔδει τι συγγενὲς ἐν τῇ φύσει πρὸς τὸ μετεχόμενον ἔχειν. Διὰ τοῦτο καὶ ζωῇ καὶ λόγῳ καὶ σοφίᾳ καὶ πᾶσι τοῖς θεοπρεπέσιν ἀγαθοῖς κατεκοσμήθη, ὡς ἂν δι' ἑκάστου τούτων πρὸς τὸ οἰκεῖον τὴν ἐπιθυμίαν ἔχοι. Ἐπεὶ οὖν ἓν τῶν περὶ τὴν θείαν φύσιν ἀγαθῶν καὶ ἡ ἀϊδιότης ἐστίν, ἔδει πάντως μηδὲ τούτου τὴν κατασκευὴν εἶναι τῆς φύσεως ἡμῶν ἀπόκληρον, ἀλλ' ἔχειν ἐν ἑαυτῇ τὸ ἀθάνατον, ὡς ἂν διὰ τῆς ἐγκειμένης **24** δυνάμεως γνωρίζοι τε τὸ ὑπερκείμενον καὶ ἐν ἐπιθυμίᾳ τῆς θείας ἀϊδιότητος εἴη. Ταῦτά τοι περιληπτικῇ φωνῇ δι' ἑνὸς ῥήματος ὁ τῆς κοσμογονίας ἐνεδείξατο λόγος, κατ' εἰκόνα Θεοῦ τὸν ἄνθρωπον γεγενῆσθαι[1] λέγων· ἐν γὰρ τῇ ὁμοιώσει τῇ κατὰ τὴν εἰκόνα[δ] πάντων ἐστὶ **[24]** τῶν τὸ Θεῖον χαρακτηριζόντων ἡ ἀπαρίθμησις, καὶ ὅσα περὶ τούτων ἱστορικώτερον ὁ Μωσῆς διεξέρχεται, ἐν διηγήσεως εἴδει δόγματα[ε] ἡμῖν παρατιθέμενος, τῆς αὐτῆς ἔχεται διδασκαλίας. Ὁ γὰρ παράδεισος ἐκεῖνος καὶ ἡ τῶν καρπῶν ἰδιότης, ὧν ἡ βρῶσις οὐ γαστρὸς πλησμονήν, ἀλλὰ γνῶσιν καὶ ἀϊδιότητα ζωῆς τοῖς γευσαμένοις δίδωσι, πάντα ταῦτα συνᾴδει τοῖς προτεθεωρημένοις περὶ τὸν ἄνθρωπον, ὡς **25** ἀγαθῆς τε καὶ ἐν ἀγαθοῖς οὔσης κατ' ἀρχὰς ἡμῖν τῆς φύσεως. Ἀλλ' ἀντιλέγει τυχὸν τοῖς εἰρημένοις ὁ πρὸς τὰ παρόντα βλέπων καὶ οἴεται διελέγχειν τὸν λόγον οὐκ ἀληθεύοντα τῷ μὴ ἐν ἐκείνοις νῦν, ἀλλ' ἐν πᾶσι σχεδὸν τοῖς ὑπεναντίοις, ὁρᾶσθαι τὸν ἄνθρωπον. Ποῦ γὰρ τῆς ψυχῆς τὸ θεοειδές; ποῦ δὲ ἡ ἀπάθεια τοῦ σώματος; ποῦ τῆς ζωῆς τὸ ἀΐδιον; Ὠκύμορον[στ], ἐμπαθές, ἐπίκηρον[ζ], πρὸς πᾶσαν παθημάτων ἰδέαν κατά τε σῶμα καὶ

---

1. Πρβλ. Γεν. 1,27.

α. Πρβλ. Πλάτ., *Τίμαιος*, 45B. Ἀριστ., *Περὶ αἰσθήσεως καὶ αἰσθητῶν*, κεφ. 11.

β. Πρβλ. Ἀριστ. Ἠθικὰ Νικομάχεια 9,1179b6.

γ. Πρβλ. Γρηγορίου Νύσσης, *Λόγος Κατηχητικός*, ἀνωτ. σ. 380,18.

δ. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 408,18.

ε. Πρβλ. Ὠριγένους, *Περὶ ἀρχῶν* IV 16, PG 11,376B-377B. Γρηγορίου Νύσσης, *Λόγος Κατηχητικός*, ἀνωτ. (ἀναγωγικῶς), σ. 382,20.

στ. Πρβλ. Γρηγορίου Νύσσης, *Λόγος Κατηχητικός*, ἀνωτ. σ. 380,24.

ζ. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 380,29.

ψυχὴν ἐπιτήδειον, ταῦτα καὶ τὰ τοιαῦτα λέγων καὶ κατατρέχων τῆς φύσεως, ἀνατρέπειν τὸν ἀποδοθέντα περὶ τοῦ ἀνθρώπου λόγον οἰήσεται. Ἀλλ' ὡς ἂν μηδαμοῦ τῆς ἀκολουθίας ὁ λόγος παρατραπείη, καὶ περὶ τούτων ἐν ὀλίγοις διαληψόμεθα. Τὸ νῦν ἐν ἀτόποις εἶναι τὴν ἀνθρωπίνην ζωὴν οὐχ ἱκανός ἐστιν ἔλεγχος τοῦ μηδέποτε τὸν ἄνθρωπον ἐν ἀγαθοῖς γεγενῆσθαι· ἐπειδὴ γὰρ Θεοῦ ἔργον ὁ ἄνθρωπος, τοῦ δι' ἀγαθότητα τὸ ζῷον τοῦτο παραγαγόντος εἰς γένεσιν, οὐκ ἄν τις εὐλόγως, οὗ ἡ αἰτία τῆς συστάσεως ἀγαθότης ἐστί, τοῦτον ἐν κακοῖς γεγενῆσθαι παρὰ τοῦ πεποιηκότος καθυποπτεύσειεν· ἀλλ' ἕτερόν ἐστιν αἴτιον τοῦ ταῦτά τε νῦν περὶ ἡμᾶς εἶναι καὶ **26** τῶν προτιμοτέρων ἐρημωθῆναι. Ἀρχὴ δὲ πάλιν καὶ πρὸς τοῦτον ἡμῖν τὸν λόγον οὐκ ἔξω τῆς τῶν ἀντιλεγόντων ἐστὶ συγκαταθέσεως. Ὁ γὰρ ἐπὶ μετουσίᾳ τῶν ἰδίων ἀγαθῶν ποιήσας τὸν ἄνθρωπον καὶ πάντων αὐτῷ τῶν καλῶν τὰς ἀφορμὰς[1·α] ἐγκατασκευάσας τῇ φύσει, ὡς ἂν δι' ἑκάστου καταλλήλως πρὸς τὸ ὅμοιον ἡ ὄρεξις φέροιτο, οὐκ ἂν τοῦ καλλίστου τε καὶ τιμιωτάτου τῶν ἀγαθῶν ἀπεστέρησε, λέγω δὴ τῆς κατὰ τὸ ἀδέσποτον καὶ αὐτεξούσιον χάριτος. Εἰ γάρ[β] τις ἀνάγκη τῆς ἀνθρωπίνης ἐπεστάτει ζωῆς, διεψεύσθη ἂν ἡ εἰκὼν κατ' ἐκεῖνο τὸ μέρος, ἀλλοτριωθεῖσα τῷ ἀνομοίῳ πρὸς τὸ ἀρχέτυπον[γ]· τῆς γὰρ βασιλευούσης φύσεως ἡ ἀνάγκαις τισὶν ὑπεζευγμένη τε καὶ δουλεύουσα πῶς ἂν εἰκὼν ὀνομάζοιτο; Οὐκοῦν τὸ διὰ πάντων πρὸς τὸ **27** Θεῖον ὡμοιωμένον ἔδει πάντως ἔχειν ἐν τῇ φύσει τὸ αὐτοκρατὲς καὶ ἀδέσποτον, ὥστε ἆθλον ἀρετῆς εἶναι τὴν τῶν ἀγαθῶν μετουσίαν. Πόθεν οὖν, ἐρεῖς, ὁ διὰ πάντων τοῖς καλλίστοις τετιμημένος τὰ χείρω τῶν ἀγαθῶν ἀντηλλάξατο; Σαφὴς καὶ ὁ περὶ τούτου λόγος. Οὐδεμία κακοῦ γένεσις[δ] ἐκ τοῦ θείου βουλήματος τὴν ἀρχὴν ἔσχεν· ἦ γὰρ ἂν ἔξω μέμψεως ἦν ἡ κακία, Θεὸν ἑαυτῆς ἐπιγραφομένη[ε] ποιητὴν καὶ πατέρα· ἀλλ' ἐμφύεταί πως τὸ κακὸν ἔνδοθεν, τῇ προαιρέσει τότε συνιστάμενον, ὅταν τις ἀπὸ τοῦ καλοῦ γένηται τῆς ψυχῆς ἀναχώρησις[στ]. Καθάπερ γὰρ ἡ ὅρασις φύσεώς ἐστιν ἐνέργεια[ζ], ἡ δὲ πήρω-

---

1. Πρβλ. Ρωμ. 7,8. Β' Κορ. 11,12. Γαλ. 5,13. Α' Τιμ. 5,14.

α. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, κατωτ. σ. 391,21.

β. Πρβλ. Γρηγορίου Νύσσης, Εἰς τοὺς κοιμηθέντας, ΒΕΠ 69,138,30 ἑξ.

γ. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. σ. 382,24. [ἀλλοτρίου...πρὸς].

δ. Πρβλ. Πλάτ., Φαῖδρος, 265Ε. Πολιτεία, ΙΙ 379C. Χ 617Ε. Γρηγορίου Νύσσης, Περὶ παρθενίας, ΒΕΠ 69,41,29 ἑξ. Περὶ ψυχῆς καὶ ἀναστάσεως, ἀνωτ. σ. 350,24 ἑξ. Περὶ τῶν νηπίων, ἀνωτ. σ. 309,1 ἑξ.

ε. Πρβλ. Πλάτ., Τίμαιος 28C.

στ. Πρβλ. Πλωτ., ΙΙΙ,2. Ὠριγένους, Κατὰ Κέλσου, Δ LXV-LXVI, ΒΕΠ 9,280,21-281,30. PG 11,1132D-1136A. Μ. Ἀθανασίου, Κατὰ Ἑλλήνων, ΒΕΠ 30,34,33-37,4. PG 25,12A-16C. Περὶ τῆς ἐνανθρωπήσεως τοῦ Λόγου, ΒΕΠ 30,77,41-78,31. PG 25,104A-C.

ζ. Πρβλ. Ἀριστ., Περὶ ψυχῆς γ, 2. 426α13.

σις[α] στέρησίς ἐστι τῆς φυσικῆς ἐνεργείας, οὕτω καὶ ἡ ἀρετὴ πρὸς τὴν κακίαν **28** ἀντικαθέστηκεν. Οὐ γὰρ ἔστιν ἄλλως κακίας γένεσιν ἐν**[25]**νοῆσαι, ἢ ἀρετῆς ἀπουσίαν. Ὥσπερ γὰρ τοῦ φωτὸς ὑφαιρεθέντος ὁ ζόφος ἐπηκολούθησε, παρόντος δὲ οὐκ ἔστιν, οὕτως, ἕως ἂν παρῇ τὸ ἀγαθὸν ἐν τῇ φύσει, ἀνύπαρκτόν[β] τί ἐστι καθ' ἑαυτὴν ἡ κακία· ἡ δὲ τοῦ κρείττονος ἀναχώρησις τοῦ ἐναντίου γίνεται γένεσις. Ἐπεὶ οὖν τοῦτο τῆς αὐτεξουσιότητός ἐστι τὸ ἰδίωμα, τὸ κατ' ἐξουσίαν αἱρεῖσθαι τὸ καταθύμιον[γ], οὐχ ὁ Θεός σοι τῶν παρόντων ἐστὶν αἴτιος κακῶν, ἀδέσποτόν τε καὶ ἄνετόν σοι κατασκευάσας τὴν φύσιν, ἀλλ' ἡ ἀβουλία[δ] τὸ χεῖρον ἀντὶ τοῦ κρείττονος προελομένη.

6. Ζητεῖς δὲ καὶ τὴν αἰτίαν τυχὸν τῆς κατὰ τὴν βουλὴν διαμαρτίας· εἰς τοῦτο γὰρ ἡ ἀκολουθία τὸν λόγον φέρει. Οὐκοῦν πάλιν ἀρχή[ε] τις ἡμῖν κατὰ τὸ εὔλογον εὑρεθήσεται, ἣ καὶ τοῦτο σαφηνίσει τὸ ζήτημα. Τοιοῦτόν τινα λόγον παρὰ τῶν Πατέρων[στ] διεδεξάμεθα· ἔστι δὲ ὁ λόγος οὐ **29** μυθώδης διήγησις, ἀλλ' ἐξ αὐτῆς τῆς φύσεως ἡμῶν τὸ πιστὸν ἐπαγόμενος. Διπλῆ[ζ] τίς ἐστιν ἐν τοῖς οὖσιν ἡ κατανόησις, εἰς τὸ νοητόν τε καὶ αἰσθητὸν[1]· τῆς θεωρίας διῃρημένης. Καὶ οὐδὲν ἂν παρὰ ταῦτα καταληφθείη ἐν τῇ τῶν ὄντων φύσει τῆς διαιρέσεως ταύτης ἔξω φερόμενον. Διῄρηται δὲ ταῦτα πρὸς ἄλληλα πολλῷ τῷ μέσῳ, ὡς μήτε τὴν αἰσθητὴν ἐν τοῖς νοητοῖς εἶναι γνωρίσμασι, μήτε ἐν τοῖς αἰσθητοῖς ἐκείνην, ἀλλ' ἀπὸ τῶν ἐναντίων ἑκατέραν χαρακτηρίζεσθαι. Ἡ μὲν γὰρ νοητὴ φύσις ἀσώματόν τι χρῆμά ἐστι καὶ ἀναφὲς καὶ ἀνείδεον· ἡ δὲ αἰσθητὴ κατ' αὐτὸ τὸ ὄνομα ἐντός ἐστι τῆς διὰ τῶν αἰσθητηρίων κατανοήσεως. Ἀλλ' ὥσπερ ἐν αὐτῷ τῷ αἰσθητῷ κόσμῳ, πολλῆς πρὸς ἄλληλα τῶν στοιχείων οὔσης ἐναντιώσεως, **30** ἐπινενόηταί τις ἁρμονία διὰ τῶν ἐναντίων ἁρμοζομένη παρὰ τῆς τοῦ παντὸς ἐπιστατούσης σοφίας, καὶ οὕτως πάσης γίνεται πρὸς ἑαυτὴν συμφωνία τῆς κτίσεως, οὐδαμοῦ τῆς φυσικῆς ἐναντιότητος τὸν τῆς συμπνοίας εἱρμὸν διαλυούσης· κατὰ τὸν αὐτὸν τρόπον καὶ τοῦ αἰσθητοῦ πρὸς τὸ νοητὸν γίνεταί τις κατὰ θείαν σοφίαν μίξις τε καὶ ἀνάκρασις[η], ὡς ἂν πάντα τοῦ καλοῦ κατὰ τὸ ἴσον μετέχοι καὶ

---

1. Πρβλ. Α' Θεσ. 5,23.

α. Πρβλ. Πλάτ., Νόμοι XI 925E. Κλήμεντος Ἀλεξανδρέως, Προτρεπτικὸς πρὸς Ἕλληνας, ΒΕΠ 7,70,2. PG 8,220C. Μ. Ἀθανασίου, Πρὸς Σεραπίωνα, ΒΕΠ 33,142,36. PG 26,660A. Γρηγορίου Νύσσης, Ἐπιστολαί, (W. Jaeger), VIII, II, 24,27.

β. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. σ. 380,29. 383,10.

γ. Πρβλ. Γρηγορίου Νύσσης, Εἰς τὸ Ἆσμα τῶν Ἀσμάτων, ΒΕΠ 66,132,9.

δ. Πρβλ. Πλάτ., Ἀλκιβιάδης 125E.

ε. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. σ. 379,3. 385,2.

στ. Πρβλ. Ἰουστίνου, Πρὸς Τρύφωνα Ἰουδαῖον διάλογος, ΒΕΠ 3,309,35 ἑξ. PG 6,729A ἑξ. Ὠριγένους, Περὶ ἀρχῶν III,5. PG 11,253B-256B.

ζ. Πρβλ. Πλάτ., Τίμαιος 82C.

η. Πρβλ. Γρηγορίου Νύσσης, Εἰς τὴν [Κυριακὴν] Προσευχήν, ΒΕΠ 66, 352,27-353,30.

μηδὲν τῶν ὄντων ἀμοιροίη τῆς τοῦ κρείττονος φύσεως. Διὰ τοῦτο τὸ μὲν κατάλληλον τῇ νοητῇ φύσει χωρίον ἡ λεπτὴ καὶ εὐκίνητός ἐστιν οὐσία, κατὰ τὴν ὑπερκόσμιον λῆξιν[α] πολλὴν ἔχουσα τῷ ἰδιάζοντι τῆς φύσεως πρὸς τὸ νοητὸν τὴν συγγένειαν, προμηθείᾳ δὲ κρείττονι πρὸς τὴν αἰσθητὴν κτίσιν γίνεταί τις τοῦ **31** νοητοῦ συνανάκρασις[β], ὡς ἂν μηδὲν ἀπόβλητον[γ] εἴη τῆς κτίσεως[1], καθώς φησιν ὁ Ἀπόστολος, μηδὲ τῆς θείας κοινωνίας ἀπόκληρον. Τούτου χάριν ἐκ νοητοῦ τε καὶ αἰσθητοῦ τὸ κατὰ τὸν ἄνθρωπον μίγμα παρὰ τῆς θείας ἀναδείκνυται φύσεως, καθὼς διδάσκει τῆς κοσμογονίας ὁ λόγος· λαβὼν γὰρ ὁ Θεός, φησίν, χοῦν ἀπὸ τῆς γῆς τὸν **[28]** ἄνθρωπον ἔπλασε καὶ διὰ τῆς ἰδίας ἐμπνεύσεως τῷ πλάσματι τὴν ζωὴν ἐνεφύτευσεν[2,δ], ὡς ἂν συνεπαρθείη τῷ θείῳ τὸ γήινον καὶ μία τις κατὰ τὸ ὁμότιμον διὰ πάσης τῆς κτίσεως ἡ χάρις διήκοι, τῆς κάτω φύσεως πρὸς τὴν ὑπερκόσμιον συγκιρναμένης. Ἐπεὶ οὖν τῆς νοητῆς κτίσεως προϋποστάσης, καὶ ἑκάστη τῶν ἀγγελικῶν δυνάμεων πρὸς **32** τὴν τοῦ παντὸς σύστασιν ἐνεργείας τινὸς παρὰ τῆς τῶν πάντων ἐπιστατούσης ἐξουσίας προσνεμηθείσης[ε], ἦν τις δύναμις καὶ ἡ τὸν περίγειον τόπον[στ] συνέχειν τε καὶ περικρατεῖν τεταγμένη, εἰς αὐτὸ τοῦτο δυναμωθεῖσα παρὰ τῆς τὸ πᾶν οἰκονομούσης δυνάμεως· εἶτα κατεσκευάσθη τὸ γήινον πλάσμα, τῆς ἄνω δυνάμεως ἀπεικόνισμα· τοῦτο δὲ τὸ ζῷον ὁ ἄνθρωπος· καὶ ἦν ἐν αὐτῷ τὸ θεοειδὲς τῆς νοητῆς φύσεως κάλλος, ἀρρήτῳ τινὶ δυνάμει συγκεκραμένον· δεινὸν ποιεῖται καὶ οὐκ ἀνεκτὸν ὁ τὴν περίγειον οἰκονομίαν λαχών, εἰ ἐκ τῆς ὑποχειρίου αὐτῷ φύσεως ἀναδειχθήσεταί τις οὐσία πρὸς τὴν ὑπερέχουσαν ἀξίαν ὡμοιωμένη. Τὸ δ᾽ ὅπως ἐπὶ τὸ πάθος κατερρύη τοῦ φθόνου ὁ ἐπὶ μηδενὶ κακῷ κτισθεὶς παρὰ τοῦ τὸ πᾶν ἐν ἀγαθότητι συστησαμένου, τὸ μὲν δι᾽ ἀκριβείας ἐπεξιέναι **33** οὐ τῆς παρούσης πραγματείας ἐστί, δυνατὸν δ᾽ ἂν εἴη καὶ δι᾽ ὀλίγου τοῖς εὐπειθεστέροις παραθέσθαι τὸν λόγον. Τῆς γὰρ ἀρετῆς καὶ τῆς κακίας οὐχ ὡς δύο τινῶν καθ᾽ ὑπόστασιν φαινομένων ἡ ἀντιδιαστολὴ θεωρεῖται· ἀλλ᾽ ὥσπερ ἀντιδιαιρεῖται τῷ ὄντι τὸ μὴ ὂν καὶ οὐκ ἔστι καθ᾽ ὑπόστασιν εἰπεῖν τὸ μὴ ὂν ἀντιδιαστέλλεσθαι[ζ]

---

1. Πρβλ. Α΄ Τιμ. 4,4. 2. Πρβλ. Γεν. 2,7.

α. Πρβλ. Γρηγορίου Νύσσης, Εἰς τὴν [Κυριακὴν] Προσευχήν, ΒΕΠ 66, 352,27-353,30. Κατὰ Εὐνομίου, Β΄ (ΙΒ΄ Migne), ΒΕΠ 67,195,37. Γ, γ΄ (Ε΄ Migne) 326,24.

β. Πρβλ. Πλωτ., IV 3,20 ἑξ. Γρηγορίου Νύσσης, Περὶ ψυχῆς καὶ ἀναστάσεως, ἀνωτ. σ. 341,12-13.

γ. Πρβλ. Γρηγορίου Νύσσης, Περὶ νηπίων ἀνωτ. σ. 306,5 ἑξ.

δ. Πρβλ. Γρηγορίου Νύσσης, Πρὸς τὰ Ἀπολιναρίου Ἀντιρρητικός, ἀνωτ. σ. 233,7-30.

ε. Πρβλ. Ὠριγένους, Κατὰ Κέλσου V 30-31, ΒΕΠ 10,32,21-33,36. PG 11,1225C-1228D. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. σ. 19,2.

στ. Πρβλ. Μ. Βασιλείου, Ὁμιλία, ΒΕΠ 54,95,39 ἑξ.

ζ. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, κατωτ. σ. 402,30. Εὐσεβίου Καισαρείας, Περὶ τῆς ἐκκλησιαστικῆς Θεολογίας, Β, 19, ΒΕΠ 29, 115,30. PG 24,944B.

πρὸς τὸ ὄν, ἀλλὰ τὴν ἀνυπαρξίαν ἀντιδιαιρεῖσθαι[α] λέγομεν πρὸς τὴν ὕπαρξιν, κατὰ τὸν αὐτὸν τρόπον καὶ ἡ κακία τῷ τῆς ἀρετῆς ἀντικαθέστηκε λόγῳ, οὐ καθ' ἑαυτήν τις οὖσα, ἀλλὰ τῇ ἀπουσίᾳ νοουμένη τοῦ κρείττονος· καὶ ὥσπερ φαμὲν ἀντιδιαιρεῖσθαι τῇ ὁράσει τὴν πήρωσιν, οὐ καθ' ἑαυτὴν οὖσαν τῇ φύσει τὴν πήρωσιν, ἀλλὰ προλαβούσης ἕξεως στέρησιν, οὕτω καὶ τὴν κακίαν ἐν τῇ τοῦ ἀγαθοῦ στερήσει θεωρεῖσθαι λέγομεν, οἷόν τινα σκιὰν τῇ ἀναχωρήσει τῆς ἀκτῖνος ἐπισυμβαίνουσαν. Ἐπειδὴ τοίνυν ἡ **34** ἄκτιστος φύσις[β] τῆς κινήσεως τῆς κατὰ τροπὴν καὶ μεταβολὴν καὶ ἀλλοίωσίν ἐστιν ἀνεπίδεκτος, πᾶν δὲ τὸ διὰ κτίσεως ὑποστὰν συγγενῶς πρὸς τὴν ἀλλοίωσιν ἔχει, διότι καὶ αὐτὴ τῆς κτίσεως ἡ ὑπόστασις ἀπὸ ἀλλοιώσεως ἤρξατο, τοῦ μὴ ὄντος εἰς τὸ εἶναι θείᾳ δυνάμει μετατεθέντος· κτιστὴ δὲ ἦν καὶ ἡ μνημονευθεῖσα δύναμις, αὐτεξουσίῳ κινήματι τὸ δοκοῦν αἱρουμένη· ἐπειδὴ πρὸς τὸ ἀγαθόν τε καὶ ἄφθονον ἐπέμυσεν ὄμμα, ὥσπερ ὁ ἐν ἡλίῳ τοῖς βλεφάροις τὰς ὄψεις ὑποβαλὼν[γ] σκότος ὁρᾷ, οὕτω κἀκεῖνος αὐτῷ τῷ μὴ θελῆσαι τὸ ἀγαθὸν νοῆσαι τὸ ἐναντίον τῷ ἀγαθῷ κατενόησε. Τοῦτο δέ ἐστιν ὁ φθόνος[δ]. Ὁμολογεῖται δὲ παντὸς πράγματος ἀρχὴν τῶν **35** μετ' αὐτὴν κατὰ τὸ ἀκόλουθον ἐπισυμβαινόντων αἰτίαν εἶναι, οἷον τῇ ὑγείᾳ τὸ εὐεκτεῖν, τὸ ἐργάζεσθαι, τὸ καθ' ἡδονὴν βιοτεύειν· τῇ δὲ νόσῳ τὸ ἀσθενεῖν, τὸ ἀνενέργητον εἶναι, τὸ ἐν ἀηδίᾳ τὴν ζωὴν ἔχειν. Οὕτω **[29]** καὶ τὰ ἄλλα πάντα ταῖς οἰκείαις ἀρχαῖς κατὰ τὸ ἀκόλουθον ἕπεται. Ὥσπερ οὖν ἡ ἀπάθεια[ε] τῆς κατ' ἀρετὴν ζωῆς ἀρχὴ καὶ ὑπόθεσις γίνεται, οὕτως ἡ διὰ τοῦ φθόνου γενομένη πρὸς κακίαν ῥοπὴ τῶν μετ' αὐτὴν πάντων ἀναδειχθέντων κακῶν ὁδὸς κατέστη. Ἐπειδὴ γὰρ ἅπαξ πρὸς τὸ κακὸν τὴν ῥοπὴν ἔσχεν ὁ τῇ ἀποστροφῇ τῆς ἀγαθότητος ἐν ἑαυτῷ γεννήσας τὸν φθόνον, ὥσπερ λίθος ἀκρωρείας ἀπορραγεὶς ὑπὸ τοῦ ἰδίου βάρους πρὸς τὸ πρανὲς συνελαύνεται, οὕτω κἀκεῖνος, τῆς πρὸς τὸ ἀγαθὸν συμφυΐας ἀποσπασθεὶς καὶ πρὸς κακίαν βρίσας, αὐτομάτως οἷόν τινι βάρει πρὸς τὸν ἔσχατον τῆς πονηρίας ὅρον συνωσθεὶς ἀπηνέχθη, καὶ τὴν διανοητικὴν δύναμιν[1], ἣν εἰς συνέργειαν τῆς τοῦ κρείττονος μετουσίας ἔσχε παρὰ τοῦ κτίσαντος, ταύτην εἰς εὕρεσιν τῶν κατὰ κακίαν ἐπινοουμένων συνεργὸν ποιησάμενος, **36** εὐμηχάνως περιέρχεται δι'

1. Α' Ἰω. 5,20.

α. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, κατωτ. σ. 402,30.

β. Πρβλ. Ἰουστίνου, Ἔκθεσις τῆς ὀρθῆς ὁμολογίας, ΒΕΠ 4,63,3. PG 6, 1212C. Μ. Ἀθανασίου, Περὶ σαρκώσεως τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, κατὰ Ἀπολλιναρίου, ΒΕΠ 37,268,6. PG 26,1097A. Μ. Βασιλείου, Λόγος περὶ ἀσκήσεως, ΒΕΠ 53,375,29. PG 31,649B. Γρηγορίου Νύσσης, Εἰς τὸ Ἆσμα τῶν Ἀσμάτων, ΒΕΠ 66,188,24. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, κατωτ. σ. 433,11 ἑξ.

γ. Πρβλ. Γρηγορίου Νύσσης, Εἰς τὸν βίον Μωυσέως, W. Jaeger (ἐκδ. H. Musurillo) VII, I, 122,6 ἑξ. PG 44,409C.

δ. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. σ. 386,33.

ἀπάτης τὸν ἄνθρωπον, αὐτὸν ἑαυτοῦ γενέσθαι πείσας φονέα τε καὶ αὐτόχειρα. Ἐπειδὴ γὰρ διὰ τῆς θείας εὐλογίας δυναμωθεὶς ὁ ἄνθρωπος ὑψηλὸς μὲν ἦν τῷ ἀξιώματι· βασιλεύειν γὰρ ἐτάχθη τῆς γῆς τε καὶ τῶν ἐπ' αὐτῆς πάντων[1]· καλὸς δὲ τὸ εἶδος· ἀπεικόνισμα γὰρ τοῦ ἀρχετύπου ἐγεγόνει κάλλους· ἀπαθὴς δὲ τὴν φύσιν· τοῦ γὰρ ἀπαθοῦς μίμημα ἦν· ἀνάπλεως δὲ παρρησίας, αὐτῆς κατὰ πρόσωπον[2] τῆς θείας ἐμφανείας κατατρυφῶν· ταῦτα δὲ τῷ Ἀντικειμένῳ τοῦ κατὰ τὸν φθόνον πάθους ὑπεκκαύματα ἦν· ἰσχύι δέ τινι καὶ βίᾳ δυνάμεως κατεργάσασθαι τὸ κατὰ γνώμην οὐχ οἷός τε ἦν· ὑπερίσχυε γὰρ ἡ τῆς εὐλογίας τοῦ Θεοῦ δύναμις τῆς τούτου βίας· διὰ τοῦτο ἀποστῆσαι τῆς ἐνισχυούσης αὐτὸν δυνάμεως μηχανᾶται, ὡς ἂν εὐάλωτος αὐτῷ πρὸς τὴν ἐπιβουλὴν κατασταίη. Καὶ ὥσπερ ἐπὶ λύχνου τοῦ πυρὸς τῆς θρυαλλίδος περιδεδραγμένου, εἴ τις ἀδυνατῶν τῷ φυσήματι σβέσαι τὴν φλόγα ὕδωρ ἐμμίξειε τῷ ἐλαίῳ **37** διὰ τῆς ἐπινοίας ταύτης ἀμαυρώσει τὴν φλόγα, οὕτως δι' ἀπάτης τῇ προαιρέσει τοῦ ἀνθρώπου τὴν κακίαν ἐμμίξας ὁ Ἀντικείμενος σβέσιν τινὰ καὶ ἀμαύρωσιν τῆς εὐλογίας ἐποίησεν, ἧς ἐπιλειπούσης ἐξ ἀνάγκης τὸ ἀντικείμενον ἀντεισέρχεται. Ἀντίκειται δὲ τῇ ζωῇ μὲν ὁ θάνατος, ἡ ἀσθένεια δὲ τῇ δυνάμει, τῇ εὐλογίᾳ δὲ ἡ κατάρα, τῇ παρρησίᾳ δὲ ἡ αἰσχύνη, καὶ πᾶσι τοῖς ἀγαθοῖς τὰ κατὰ τὸ ἐναντίον νοούμενα. Διὰ τοῦτο ἐν τοῖς παροῦσι κακοῖς ἐστι νῦν τὸ ἀνθρώπινον, τῆς ἀρχῆς ἐκείνης τοῦ τοιούτου τέλους τὰς ἀφορμὰς[α] παρασχούσης.

7. Καὶ μηδεὶς ἐρωτάτω, εἰ προειδὼς τὴν ἀνθρωπίνην συμφορὰν ὁ Θεὸς τὴν ἐκ τῆς ἀβουλίας αὐτῷ συμβησομένην ἦλθεν εἰς τὸ κτίσαι τὸν ἄνθρωπον, ᾧ τὸ μὴ γενέσθαι μᾶλλον ἴσως ἢ τὸ ἐν κακοῖς εἶναι λυσιτελέστερον ἦν. Ταῦτα γὰρ οἱ τοῖς Μανιχαϊκοῖς δόγμασι δι' ἀπάτης παρασυρέντες εἰς σύστασιν τῆς ἑαυτῶν πλάνης προβάλ**38**λουσιν, ὡς διὰ τούτου πονηρὸν εἶναι τὸν τῆς ἀνθρωπίνης φύσεως κτίστην ἀποδει**[32]**κνύοντες. Εἰ γὰρ ἀγνοεῖ μὲν τῶν ὄντων οὐδὲν ὁ Θεός, ἐν κακοῖς δὲ ὁ ἄνθρωπος, οὐκέτ' ἂν ὁ τῆς ἀγαθότητος τοῦ Θεοῦ διασῴζοιτο λόγος, εἴπερ ἐν κακοῖς μέλλοντα τὸν ἄνθρωπον ζήσεσθαι πρὸς τὸν βίον παρήγαγεν. Εἰ γὰρ ἀγαθῆς φύσεως ἡ κατὰ τὸ ἀγαθὸν ἐνέργεια πάντως ἐστίν, ὁ λυπηρὸς οὗτος καὶ ἐπίκηρος βίος οὐκέτ' ἄν, φησίν, εἰς τὴν τοῦ ἀγαθοῦ δημιουργίαν ἀνάγοιτο, ἀλλ' ἕτερον χρὴ τῆς τοιαύτης ζωῆς αἴτιον οἴεσθαι, ᾧ πρὸς πονηρίαν ἡ φύσις ἐπιρρεπῶς ἔχει. Ταῦτα γὰρ πάντα καὶ τὰ τοιαῦτα τοῖς μὲν ἐν βάθει[β] καθάπερ τινὰ δευσοποιὸν[γ] βαφὴν τὴν αἱρετικὴν παραδεδεγμένοις ἀπάτην ἰσχύν τινα διὰ τῆς ἐπιπολαίου πιθανότητος ἔχειν δοκεῖ· τοῖς δὲ διορατικωτέροις τῆς

---

1. Πρβλ. Γεν. 1,28-30. 2. Πρβλ. Ἑβρ. 4,16.

α. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. σ. 387,14.
β. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 395,29.
γ. Πρβλ. Πλάτ., Πολιτεία, 429Ε-430Α.

ἀληθείας σαθρὰ ὄντα καὶ πρόχειρον τὴν τῆς ἀπάτης ἀπόδειξιν ἔχοντα σαφῶς καθορᾶται. Καί μοι δοκεῖ καλῶς ἔχειν τὸν Ἀπόστολον ἐν τούτοις συνήγορον τῆς κατ' αὐτῶν κατηγορίας προστήσασθαι. Διαιρεῖ γὰρ ἐν τῷ πρὸς Κορινθίους λόγῳ τάς τε σαρκώδεις καὶ τὰς πνευματικὰς τῶν ψυχῶν καταστάσεις[1], δεικνύς, οἶμαι, διὰ **39** τῶν λεγομένων, ὅτι οὐ δι' αἰσθήσεως τὸ καλὸν ἢ τὸ κακὸν κρίνειν προσήκει, ἀλλ' ἔξω τῶν κατὰ τὸ σῶμα φαινομένων τὸν νοῦν ἀποστήσαντας, αὐτὴν ἐφ' ἑαυτῆς τοῦ καλοῦ τε καὶ τοῦ ἐναντίου διακρίνειν τὴν φύσιν. Ὁ γὰρ πνευματικός, φησίν, ἀνακρίνει τὰ πάντα[2]. Ταύτην οἶμαι τὴν αἰτίαν τῆς τῶν δογμάτων τούτων μυθοποιίας[α] τοῖς τὰ τοιαῦτα προφέρουσιν ἐγγεγενῆσθαι[β], ὅτι πρὸς τὸ ἡδὺ τῆς σωματικῆς ἀπολαύσεως τὸ ἀγαθὸν ὁριζόμενοι διὰ τὸ πάθεσι καὶ ἀρρωστήμασιν[γ] ὑποκεῖσθαι κατ' ἀνάγκην τὴν τοῦ σώματος φύσιν σύνθετον οὖσαν καὶ εἰς διάλυσιν ῥέουσαν, ἐπακολουθεῖν δέ πως τοῖς τοιούτοις παθήμασιν ἀλγεινήν τινα αἴσθησιν, πονηροῦ Θεοῦ τὴν ἀνθρωποποιίαν ἔργον εἶναι νομίζουσιν. Ὡς εἴγε πρὸς τὸ ὑψηλότερον ἔβλεπεν αὐτοῖς ἡ διάνοια, καὶ τῆς περὶ τὰς ἡδονὰς διαθέσεως τὸν νοῦν ἀποικίσαντες ἀπαθῶς ἐπεσκόπουν **40** τὴν τῶν ὄντων φύσιν, οὐκ ἂν ἄλλο τι κακὸν[δ] εἶναι παρὰ τὴν πονηρίαν ᾠήθησαν. Πονηρία δὲ πᾶσα ἐν τῇ τοῦ ἀγαθοῦ στερήσει χαρακτηρίζεται, οὐ καθ' ἑαυτὴν οὖσα, οὐδὲ καθ' ὑπόστασιν θεωρουμένη· κακὸν γὰρ οὐδὲν ἔξω προαιρέσεως ἐφ' ἑαυτοῦ κεῖται, ἀλλὰ τῷ μὴ εἶναι τὸ ἀγαθὸν οὕτω κατονομάζεται. Τὸ δὲ μὴ ὂν οὐχ ὑφέστηκε, τοῦ δὲ μὴ ὑφεστῶτος δημιουργὸς ὁ τῶν ὑφεστώτων δημιουργὸς οὐκ ἔστιν. Οὐκοῦν ἔξω τῆς τῶν κακῶν αἰτίας ὁ Θεὸς ὁ τῶν ὄντων, οὐχ ὁ τῶν μὴ ὄντων, ποιητὴς ὤν· ὁ τὴν ὅρασιν, οὐ τὴν πήρωσιν δημιουργήσας· ὁ τὴν ἀρετήν, οὐ τὴν στέρησιν αὐτῆς ἀναδείξας· ὁ ἆθλον τῆς προαιρέσεως τὸ τῶν ἀγαθῶν γέρας τοῖς κατ' ἀρετὴν πολιτευομένοις προθείς, οὐκ ἀνάγκῃ τινὶ βιαίᾳ πρὸς τὸ ἑαυτῷ δοκοῦν ὑποζεύξας τὴν ἀνθρωπίνην φύσιν, καθάπερ τι σκεῦος ἄψυχον ἀκουσίως πρὸς τὸ καλὸν ἐφελκόμενος. Εἰ δὲ τοῦ φωτὸς ἐξ αἰθρίας καθαρῶς περιλάμποντος ἑκουσίως τις **41** ὑποβάλοι[ε] τοῖς βλεφάροις τὴν ὅρασιν, ἔξω[στ] τῆς τοῦ μὴ βλέποντος αἰτίας ὁ ἥλιος.

[33] 8. Ἀλλ' ἀγανακτεῖ πάντως ὁ πρὸς τὴν διάλυσιν βλέπων τοῦ σώματος, καὶ χαλεπὸν ποιεῖται τῷ θανάτῳ τὴν ζωὴν ἡμῶν διαλύεσθαι, καὶ τοῦτό φησι τῶν κακῶν ἔσχατον εἶναι, τὸ τὸν βίον ἡμῶν τῇ νεκρότητι σβέννυσθαι. Οὐκοῦν ἐπισκεψάσθω διὰ τοῦ σκυθρωποῦ

---

1. Πρβλ. Α' Κορ. 2,14-15. 2. Πρβλ. Α' Κορ. 2,15.

α. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. σ. 378,20.
β. Πρβλ. Ξενοφῶντος, Ἀπομνημονεύματα Ι, 2,21.
γ. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, κατωτ. σ. 395,8.
δ. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 398,2 ἑξ. 409,29 ἑξ.
ε. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 390,15.
στ. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 396,7.

τούτου τὴν ὑπερβολὴν τῆς θείας εὐεργεσίας· τάχα γὰρ ἂν μᾶλλον διὰ τούτων προσαχθείη θαυμάσαι τὴν χάριν τῆς περὶ τὸν ἄνθρωπον τοῦ Θεοῦ κηδεμονίας. Τὸ ζῆν διὰ τὴν τῶν καταθυμίων[α] **42** ἀπόλαυσιν αἱρετόν ἐστι τοῖς τοῦ βίου μετέχουσιν. Ὡς εἴ γέ τις ἐν ὀδύναις διαβιῴη, παρὰ πολὺ τῷ τοιούτῳ τὸ μὴ εἶναι τοῦ ἀλγεινῶς εἶναι προτιμότερον κρίνεται. Οὐκοῦν ἐξετάσωμεν εἰ ὁ τῆς ζωῆς χορηγὸς πρὸς ἄλλο τι βλέπει, καὶ οὐχ ὅπως ἂν ἐν τοῖς καλλίστοις βιῴημεν. Ἐπειδὴ γὰρ τῷ αὐτεξουσίῳ κινήματι τοῦ κακοῦ τὴν κοινωνίαν ἐπεσπασάμεθα, διά τινος ἡδονῆς οἷόν τι δηλητήριον μέλιτι παραρτυθὲν τῇ φύσει τὸ κακὸν καταμίξαντες, καὶ διὰ τοῦτο τῆς κατὰ τὸ ἀπαθὲς νοουμένης μακαριότητος ἐκπεσόντες, πρὸς τὴν κακίαν μετεμορφώθημεν, τούτου ἕνεκεν οἷόν τι σκεῦος ὀστράκινον[β] πάλιν ὁ ἄνθρωπος εἰς γῆν ἀναλύεται, ὅπως ἂν τῆς νῦν ἐναπειλημμένης αὐτῷ ῥυπαρίας ἀποκριθείσης εἰς τὸ ἐξ ἀρχῆς σχῆμα διὰ τῆς ἀναστάσεως ἀναπλασθείη. Τὸ δὲ τοιοῦτον δόγμα ἱστορικώτερον μὲν **43** καὶ δι' αἰνιγμάτων[1·γ] ὁ Μωσῆς ἡμῖν ἐκτίθεται. Πλὴν ἔκδηλον καὶ τὰ αἰνίγματα τὴν διδασκαλίαν ἔχει. Ἐπειδὴ γάρ, φησίν, ἐν τοῖς ἀπηγορευμένοις ἐγένοντο οἱ πρῶτοι ἄνθρωποι καὶ τῆς μακαριότητος ἐκείνης ἀπεγυμνώθησαν[δ], δερματίνους ἐπιβάλλει χιτῶνας τοῖς πρωτοπλάστοις ὁ Κύριος· οὔ μοι δοκεῖ πρὸς τὰ τοιαῦτα δέρματα τοῦ λόγου τὴν διάνοιαν φέρων· ποίων γὰρ ἀποσφαγέντων τε καὶ δαρέντων ζῴων ἐπινοεῖται αὐτοῖς ἡ περιβολή; Ἀλλ', ἐπειδὴ πᾶν δέρμα χωρισθὲν τοῦ ζῴου νεκρόν ἐστι[ε], πάντως οἶμαι τὴν πρὸς τὸ νεκροῦσθαι δύναμιν, ἣ τῆς ἀλόγου φύσεως ἐξαίρετος ἦν, ἐκ προμηθείας μετὰ ταῦτα τοῖς ἀνθρώποις ἐπιβεβληκέναι τὸν τὴν κακίαν ἡμῶν ἰατρεύοντα, οὐχ ὡς εἰς ἀεὶ παραμένειν[στ]· ὁ γὰρ χιτὼν τῶν ἔξωθεν ἡμῖν ἐπιβαλλομένων ἐστί, πρὸς καιρὸν τὴν ἑαυτοῦ χρῆσιν παρέχων τῷ σώματι, οὐ συμπεφυκὼς τῇ φύσει. Οὐκοῦν ἐκ τῆς τῶν ἀλό-

---

1. Πρβλ. Ἀριθ. 12,8. Α' Κορ. 13,12.

α. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος κατηχητικός, ἀνωτ. σ. 388,8. Εὐσεβίου Καισαρείας, Εὐαγγελικὴ ἀπόδειξις, Γ' VII, ΒΕΠ 27,135,341. PG 22,245C. Γρηγορίου Νύσσης, εἰς τὸ Ἆσμα τῶν Ἀσμάτων, ΒΕΠ 66,132,9.

β. Πρβλ. Εὐσεβίου Καισαρείας, Εὐαγγελικὴ ἀπόδειξις Ζ' II, ΒΕΠ, 27,300, 15. PG 22,248B. Γρηγορίου Νύσσης, Εἰς τὸ Ἆσμα τῶν Ἀσμάτων, ΒΕΠ 66, 204,3.

γ. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. σ. 382,20 (ἀναγωγικῶς). Κλήμεντος Ἀλεξανδρέως, Στρωματεῖς III, 14, ΒΕΠ 8,44,22-45,11. PG 8,1193B-1196B. Ὠριγένους, Κατὰ Κέλσου IV 40, ΒΕΠ 9,189,32-190,12. PG 11,936C-937B.

δ. Πρβλ. Ὠριγένους, Εἰς τὴν Γένεσιν, PG 12,101A. Μ. Ἀθανασίου, Πρὸς Ἀντίοχον ἄρχοντα, ΒΕΠ 35,116,3 ἑξ. PG 28,632B,C.

ε. Πρβλ. Γρηγορίου Νύσσης, Περὶ ψυχῆς καὶ ἀναστάσεως, ἀνωτ. σ. 372,4 ἑξ. Εἰς τοὺς κοιμηθέντας, ΒΕΠ 69,139,2 ἑξ.

στ. Πρβλ. Γρηγορίου Νύσσης, Περὶ κατασκευῆς τοῦ ἀνθρώπου, PG 44, 136B-D. Εἰς τὸν βίον Μωυσέως, W. Jaeger, [ἐκδ. H. Musurillo], VII,I, σ. 107,21 ἑξ. PG 44,397.

γων φύσεως ἡ νεκρότης οἰκονομικῶς[α] περι**44**ετέθη τῇ εἰς ἀθανασίαν κτισθείσῃ φύσει, τὸ ἔξωθεν αὐτῆς περικαλύπτουσα, οὐ τὸ ἔσωθεν, τὸ αἰσθητὸν τοῦ ἀνθρώπου μέρος διαλαμβάνουσα, αὐτῆς δὲ τῆς θείας εἰκόνος οὐ προσαπτομένη. Λύεται δὲ τὸ αἰσθητόν, οὐκ ἀφανίζεται. Ἀφανισμὸς μὲν γάρ ἐστιν ἡ εἰς τὸ μὴ ὂν μεταχώρησις· λύσις δὲ ἡ εἰς τὰ τοῦ κόσμου στοιχεῖα[1] πάλιν, ἀφ' ὧν τὴν σύστασιν ἔσχε, διάχυσις. Τὸ δὲ ἐν τούτοις γενόμενον οὐκ ἀπόλωλε, κἂν ἐκφεύγῃ τὴν κατάληψιν τῆς ἡμετέρας αἰσθήσεως. Ἡ δὲ αἰτία τῆς λύσεως δήλη διὰ τοῦ ῥηθέντος ἡμῖν ὑποδείγματος. Ἐπειδὴ γὰρ ἡ αἴσθησις πρὸς τὸ παχύ τε καὶ **[36]** γήινον οἰκείως ἔχει, κρείττων δὲ καὶ ὑψηλοτέρα τῶν κατ' αἴσθησιν κινημάτων ἡ νοερὰ φύσις, διὰ τοῦτο τῆς περὶ τὸ καλὸν κρίσεως ἐν τῇ δοκιμασίᾳ τῶν αἰσθήσεων ἁμαρτηθείσης, τῆς δὲ τοῦ καλοῦ διαμαρτίας τὴν τῆς ἐναντίας ἕξεως ὑπόστασιν ἐνεργησάσης, τὸ ἀχρειωθὲν ἡμῶν μέρος τῇ παραδοχῇ τοῦ ἐναντίου λύεται. Ὁ δὲ τοῦ ὑποδείγματος λόγος τοιοῦτός ἐστι. Δεδόσθω τι σκεῦος ἐκ πηλοῦ συνεστηκέναι, τοῦτο δὲ πλῆρες ἔκ τινος ἐπιβουλῆς γεγενῆσθαι τετηκότος μολίβδου, τὸν δὲ μόλιβδον **45** ἐγχυθέντα παγῆναι καὶ μένειν ἀπρόχυτον, ἀντιποιεῖσθαι δὲ τοῦ σκεύους τὸν κεκτημένον, ἔχοντα δὲ τοῦ κεραμεύειν τὴν ἐπιστήμην περιθρύψαι τῷ μολίβδῳ τὸ ὄστρακον· εἶθ' οὕτως πάλιν κατὰ τὸ πρότερον σχῆμα πρὸς τὴν ἰδίαν ἑαυτοῦ χρῆσιν ἀναπλάσαι τὸ σκεῦος, κενὸν τῆς ἐμμιχθείσης ὕλης γενόμενον. Οὕτως οὖν καὶ ὁ τοῦ ἡμετέρου σκεύους πλάστης, τῷ αἰσθητικῷ μέρει, τῷ κατὰ τὸ σῶμά φημι, τῆς κακίας καταμιχθείσης, διαλύσας τὴν παραδεξαμένην τὸ κακὸν ὕλην, πάλιν ἀμιγὲς τοῦ ἐναντίου διὰ τῆς ἀναστάσεως ἀναπλάσας, πρὸς τὸ ἐξ ἀρχῆς κάλλος ἀναστοιχειώσει[β] τὸ σκεῦος. Ἐπειδὴ δὲ σύνδεσίς[γ] τις καὶ κοινωνία τῶν κατὰ ἁμαρτίαν παθημάτων γίνεται τῇ τε ψυχῇ καὶ τῷ σώματι, καί τις ἀναλογία τοῦ σωματικοῦ θανάτου πρὸς τὸν ψυχικόν ἐστι θάνατον· ὥσπερ γὰρ ἐν σαρκὶ τὸ τῆς αἰσθητῆς χωρισθῆναι ζωῆς προσαγορεύομεν **46** θάνατον, οὕτως καὶ ἐπὶ τῆς ψυχῆς τὸν τῆς ἀληθοῦς ζωῆς χωρισμὸν θάνατον ὀνομάζομεν[δ]· ἐπεὶ οὖν μία τίς ἐστιν ἡ τοῦ κακοῦ κοινωνία, καθὼς προείρηται, ἐν ψυχῇ τε θεωρουμένη καὶ σώματι· δι' ἀμφοτέρων γὰρ πρόεισιν τὸ πονηρὸν εἰς ἐνέργειαν· διὰ τοῦτο ὁ μὲν τῆς διαλύσεως θάνατος ἐκ τῆς τῶν νεκρῶν δερμάτων ἐπιβολῆς τῆς ψυχῆς οὐχ ἅπτεται. Πῶς γὰρ ἂν διαλυθείη τὸ μὴ συγκείμενον; Ἐπεὶ δὲ χρεία τοῦ κἀκείνης τὰς ἐμφυείσας ἐξ ἁμαρτιῶν κηλῖδας διά τινος ἰατρείας ἐξαι-

---

1. Πρβλ. Κολ. 2,3,20.

α. Πρβλ. Γρηγορίου Νύσσης, Εἰς τὸ ἅγιον Πάσχα, PG 46,649A.

β. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, κατωτ. σ. 432,16 (συναποθεωθῇ τὸ ἀνθρώπινον). Εἰς Πουλχερίαν, ΒΕΠ 69,384,23.

γ. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. σ. 388,31 (ἀνάκρασις). Περὶ κατασκευῆς τοῦ ἀνθρώπου, κεφ. 15. PG 44,176-177.

δ. Πρβλ. Γρηγορίου Νύσσης, Περὶ ψυχῆς καὶ ἀναστάσεως, ἀνωτ. σ. 340,8.

ρεθῆναι, τούτου ἕνεκεν ἐν μὲν τῇ παρούσῃ ζωῇ τὸ τῆς ἀρετῆς φάρμακον[α] εἰς θεραπείαν τῶν τοιούτων προσετέθη τραυμάτων. Εἰ δὲ ἀθεράπευτος μένοι, ἐν τῷ μετὰ ταῦτα βίῳ τεταμίευται ἡ θεραπεία. Ἀλλ' ὥσπερ εἰσί τινες κατὰ τὸ σῶμα τῶν παθημάτων διαφοραί, ὧν αἱ μὲν ῥᾷον, αἱ δὲ δυσκολώτερον τὴν θεραπείαν προσίενται, ἐφ' ὧν καὶ τομαὶ καὶ καυτήρια καὶ **47** πικραὶ φαρμακοποσίαι[β] πρὸς τὴν ἀναίρεσιν τοῦ ἐνσκήψαντος τῷ σώματι πάθους παραλαμβάνονται, τοιοῦτόν τι καὶ ἡ μετὰ ταῦτα κρίσις εἰς θεραπείαν τῶν τῆς ψυχῆς ἀρρωστημάτων[γ] κατεπαγγέλλεται, ὃ τοῖς μὲν χαυνοτέροις[δ] ἀπειλὴ καὶ σκυθρωπῶν[ε] ἐστὶν ἐπανόρθωσις, ὡς ἂν φόβῳ τῆς τῶν ἀλγεινῶν ἀντιδόσεως πρὸς τὴν φυγὴν τῆς κακίας σωφρονισθείημεν· τοῖς δὲ συνετωτέροις ἰατρεία καὶ θεραπεία παρὰ τοῦ Θεοῦ τὸ ἴδιον πλάσμα πρὸς τὴν ἐξ ἀρχῆς ἐπανάγοντος χάριν εἶναι πιστεύεται. Ὡς γὰρ οἱ τοὺς ἥλους τε καὶ τὰς ἀκροχορδόνας[στ] παρὰ φύσιν ἐπιγενομένας τῷ σώματι διὰ τομῆς ἢ καύσεως ἀποξύοντες οὐκ ἀνώδυνον ἐπάγουσι τῷ εὐεργετουμένῳ τὴν ἴασιν, πλὴν οὐκ ἐπὶ βλάβῃ τοῦ ὑπομένοντος τὴν τομὴν ἄγουσιν, οὕτως καὶ ὅσα ταῖς ψυχαῖς ἡμῶν διὰ τῆς τῶν παθημάτων κοινωνίας **48** ἀποσαρκωθείσαις ὑλώδη πε**[37]**ριττώματα ἐπιπωροῦται, ἐν τῷ καιρῷ τῆς κρίσεως[1]· τέμνεταί τε καὶ ἀποξύεται τῇ ἀρρήτῳ ἐκείνῃ σοφίᾳ καὶ δυνάμει τοῦ, καθὼς λέγει τὸ Εὐαγγέλιον, τοὺς κακοὺς ἰατρεύοντος. Οὐ χρείαν γὰρ ἔχουσι, φησίν, οἱ ὑγιαίνοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες[2]. Διὰ δὲ τὸ πολλὴν γεγενῆσθαι τῇ ψυχῇ πρὸς τὸ κακὸν συμφυΐαν[ζ] ὥσπερ ἡ τῆς μυρμηκίας[η] τομὴ δριμύσσει τὴν ἐπιφάνειαν· τὸ γὰρ παρὰ φύσιν ἐμφυὲν τῇ φύσει διά τινος συμπαθείας τῷ ὑποκειμένῳ προσίσχεται, καί τις γίνεται τοῦ ἀλλοτρίου πρὸς τὸ ἡμέτερον παράλογος συνανάκρασις, ὡς λυπεῖσθαι καὶ δάκνεσθαι τοῦ παρὰ φύσιν χωριζομένην τὴν αἴσθησιν· οὕτω καὶ τῆς ψυχῆς ἀπολεπτυνομένης τε καὶ ἐκτηκομένης ἐν τοῖς ὑπὲρ τῆς ἁμαρτίας ἐλεγμοῖς[3], **49** καθώς πού φησιν ἡ προφητεία, διὰ τὴν ἐν βάθει[θ] γενομένην πρὸς τὸ κακὸν οἰκειότητα κατ' ἀνάγκην ἐπακολουθοῦσιν ἄρρητοί τινες καὶ ἀνέκφρα-

---

1. Πρβλ. Α' Κορ. 3,13. 2. Πρβλ. Λουκ. 5,31. Μάρκ. 2,17. Ματθ. 9,12. 3. Πρβλ. Ψαλ. 38,12.

α. Πρβλ. Πλάτ., Γοργίας, 477,8-525. Πρωταγόρας, 324Β. Πολιτεία ΙΙ 380, ΙΧ 591. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, κατωτ. σ. 415,7. 428, 29 (κάθαρσις). Ὠριγένους, Περὶ ἀρχῶν, PG 11,276Α-285C.

β. Πρβλ. Ἀριστ., Προβλήματα, 28,883b39.

γ. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. σ. 392,12.

δ. Πρβλ. Ἀριστ., Φυσιογνωμικά, σ. 810b32. Κλήμεντος Ἀλεξανδρέως, Παιδαγωγὸς Γ, ΧΙ, ΒΕΠ 7,215,19. PG 8,632Β.

ε. Πρβλ. Ὠριγένους, Κατὰ Κέλσου, ΒΕΠ Ζ LXX, 10, 22,19-21. 175,26. PG 11,1204Β. 1520Α.

στ. Πρβλ. Ὠριγένους, Κατὰ Κέλσου V 15, ΒΕΠ 10,22,13-15, PG 11,1204Α.

ζ. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. σ. 390,29.

η. Πρβλ. Γρηγορίου Νύσσης, Περὶ ψυχῆς καὶ ἀναστάσεως, ἀνωτ. σ. 338,3 ἑξ.

θ. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. σ. 391,36.

στοι ἀλγηδόνες, ὧν ἡ διήγησις ἐκ τοῦ ἴσου τὸ ἄφραστον ἔχει τῇ τῶν ἐλπιζομένων ἀγαθῶν φύσει. Οὔτε γὰρ ταῦτα, οὔτε ἐκεῖνα τῇ δυνάμει τῶν λόγων ἢ τῷ στοχασμῷ τῆς διανοίας ὑπάγεται. Οὐκοῦν πρὸς τὸ πέρας τις ἀποσκοπῶν τῆς σοφίας τοῦ τὸ πᾶν οἰκονομοῦντος οὐκέτ' ἂν εὐλόγως κακῶν αἴτιον τὸν τῶν ἀνθρώπων δημιουργὸν ὑπὸ μικροψυχίας[α] κατονομάζοι, ἢ ἀγνοεῖν αὐτὸν τὸ ἐσόμενον λέγων, ἢ εἰδότα καὶ πεποιηκότα μὴ ἔξω[β] τῆς πρὸς τὸ πονηρὸν ὁρμῆς εἶναι. Καὶ γὰρ ᾔδει τὸ ἐσόμενον καὶ τὴν πρὸς τὸ γινόμενον ὁρμὴν οὐκ ἐκώλυσεν· ὅτι γὰρ ἐκτραπήσεται τοῦ ἀγαθοῦ τὸ ἀνθρώπινον, οὐκ ἠγνόησεν ὁ πάντα ἐμπεριкρατῶν τῇ γνωστικῇ δυνάμει καὶ τὸ ἐφεξῆς τῷ παρῳχηκότι κατὰ τὸ ἴσον βλέπων. Ἀλλ' ὥσπερ τὴν παρατροπὴν ἐθεάσατο, οὕτω καὶ τὴν ἀνάκλησιν αὐτοῦ πάλιν τὴν πρὸς τὸ ἀγαθὸν κατενόησε. Τί οὖν ἄμεινον ἦν, καθ' ὅλου μὴ ἀγαγεῖν τὴν φύσιν ἡμῶν εἰς γένεσιν, ἐπειδὴ τοῦ καλοῦ διαμαρτήσεσθαι προεώρα τὸν γενησόμενον, ἢ ἀγαγόντα καὶ νενοσηκότα **50** πάλιν πρὸς τὴν ἐξ ἀρχῆς χάριν διὰ μετανοίας ἀνακαλέσασθαι; Τὸ δὲ διὰ τὰς σωματικὰς ἀλγηδόνας, αἳ τῷ ῥευστῷ τῆς φύσεως κατ' ἀνάγκην ἐπισυμβαίνουσι, κακῶν ποιητὴν τὸν Θεὸν ὀνομάζειν, ἢ μηδὲ ὅλως ἀνθρώπου κτίστην αὐτὸν οἴεσθαι, ὡς ἂν μὴ καὶ τῶν ἀλγυνόντων ἡμᾶς αἴτιος ὑπονοοῖτο, τοῦτο τῆς ἐσχάτης μικροψυχίας ἐστὶ τῶν τῇ αἰσθήσει[γ] τὸ καλὸν καὶ τὸ κακὸν διακρινόντων, οἳ οὐκ ἴσασιν ὅτι ἐκεῖνο τῇ φύσει μόνον ἐστὶν ἀγαθόν, οὗ ἡ αἴσθησις οὐκ ἐφάπτεται, καὶ μόνον ἐκεῖνο κακὸν ἡ τοῦ ἀληθινοῦ ἀγαθοῦ ἀλλοτρίωσις. Πόνοις δὲ καὶ ἡδοναῖς τὸ καλὸν καὶ τὸ μὴ καλὸν κρίνειν τῆς ἀλόγου φύσεως ἴδιόν ἐστιν, ἐφ' ὧν τοῦ ἀληθῶς καλοῦ ἡ κατανόησις διὰ τὸ μὴ μετέχειν αὐτὰ νοῦ καὶ διανοίας χώραν οὐκ ἔχει. Ἀλλ' ὅτι μὲν Θεοῦ ἔργον ὁ ἄνθρωπος, καλόν τε καὶ ἐπὶ καλλίστοις[δ] γενόμενον, οὐ μόνον ἐκ τῶν εἰρημένων δῆλόν ἐστιν, ἀλλὰ καὶ ἐκ μυρίων ἑτέρων, ὧν τὸ πλῆθος διὰ τὴν ἀμετρίαν παραδραμούμεθα. Θεὸν δὲ **[40]** ἀνθρώπου ποιητὴν ὀνομάσαντες οὐκ ἐπιλελήσμεθα τῶν ἐν τῷ προοιμίῳ[ε] πρὸς τοὺς Ἕλληνας ἡμῖν διευκρινηθέντων, ἐν οἷς ἀπεδείκνυτο ὁ τοῦ Θεοῦ Λόγος οὐσιώδης τις καὶ ἐνυπόστατος ὢν αὐτὸς εἶναι καὶ Θεὸς καὶ Λόγος, πᾶσαν δύναμιν ποιητικὴν ἐμπεριειληφώς, μᾶλλον δὲ αὐτοδύναμις ὢν καὶ πρὸς πᾶν ἀγαθὸν τὴν ὁρμὴν ἔχων καὶ πᾶν ὅ τί περ ἂν θελήσῃ κατεργαζόμενος τῷ σύνδρομον ἔχειν τῇ βουλήσει τὴν δύναμιν, οὗ καὶ θέλημα καὶ ἔργον ἐστὶν ἡ τῶν ὄντων ζωή, παρ' οὗ καὶ ὁ **51** ἄνθρωπος εἰς τὸ ζῆν παρήχθη, πᾶσι τοῖς καλλίστοις θεο-

---

α. Πρβλ. Γρηγορίου Νύσσης, κατωτ. σ. 397,30. Μ. Ἀθανασίου, Ἀπολογητικὸς Δεύτερος 70, ΒΕΠ 31,105,20. PG 25,373B. Μ. Βασιλείου, Ἐπιστολαὶ 204, ΒΕΠ 55,238,24.

β. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. σ. 392,24.

γ. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 392,11-12.

δ. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 387,24.

ε. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 380,8-9.

ειδῶς κεκοσμημένος. Ἐπειδὴ δὲ μόνον ἀναλλοίωτόν ἐστι κατὰ τὴν φύσιν τὸ μὴ διὰ κτίσεως ἔχον τὴν γένεσιν, τὰ δ' ὅσα παρὰ τῆς ἀκτίστου φύσεως ἐκ τοῦ μὴ ὄντος ὑπέστη, εὐθὺς ἀπὸ τροπῆς[α] τοῦ εἶναι ἀρξάμενα, πάντοτε δι' ἀλλοιώσεως πρόεισιν, εἰ μὲν κατὰ φύσιν πράττοι, πρὸς τὸ κρεῖττον αὐτοῖς τῆς ἀλλοιώσεως εἰς ἀεὶ γιγνομένης, εἰ δὲ παρατραπείη τῆς εὐθείας, τῆς πρὸς τὸ ἐναντίον αὐτὰ διαδεχομένης κινήσεως· ἐπεὶ οὖν ἐν τούτοις καὶ ὁ ἄνθρωπος ἦν, ᾧ τὸ τρεπτὸν τῆς φύσεως πρὸς τὸ ἐναντίον παρώλισθεν, ἅπαξ δὲ τῆς τῶν ἀγαθῶν ἀναχωρήσεως δι' ἀκολούθου πᾶσαν ἰδέαν κακῶν ἀντεισαγούσης, ὡς τῇ μὲν ἀποστροφῇ τῆς ζωῆς ἀντεισαχθῆναι τὸν θάνατον, τῇ δὲ στερήσει τοῦ φωτὸς ἐπιγενέσθαι τὸ σκότος, τῇ δὲ τῆς ἀρετῆς ἀπουσίᾳ τὴν κακίαν ἀντεισαχθῆναι καὶ πάσῃ τῇ τῶν ἀγαθῶν ἰδέᾳ τὸν τῶν ἐναντίων ἀνταριθμηθῆναι κατάλογον, τὸν ἐν τούτοις καὶ τοῖς τοιούτοις ἐξ ἀβουλίας ἐμπεπτωκότα· οὐδὲ γὰρ ἦν δυνατὸν ἐν φρονήσει[1] εἶναι τὸν ἀπεστραμμένον τὴν φρόνησιν καὶ σοφόν τι βουλεύσασθαι τὸν τῆς σοφίας ἀναχωρήσαντα· διὰ τίνος[β] ἔδει πάλιν πρὸς τὴν ἐξ ἀρχῆς χάριν ἀνακληθῆναι; τίνι διέφερεν ἡ τοῦ πεπτωκότος ἀνόρθωσις, ἡ τοῦ ἀπολωλότος ἀνά**52**κλησις, ἡ τοῦ πεπλανημένου χειραγωγία; τίνι ἄλλῳ ἢ τῷ Κυρίῳ πάντως τῆς φύσεως; Τῷ γὰρ ἐξ ἀρχῆς τὴν ζωὴν δεδωκότι μόνῳ δυνατὸν ἦν καὶ πρέπον ἅμα καὶ ἀπολομένην ἀνακαλέσασθαι. Ὃ παρὰ τοῦ μυστηρίου τῆς ἀληθείας ἀκούομεν, Θεὸν πεποιηκέναι κατ' ἀρχὰς τὸν ἄνθρωπον καὶ σεσωκέναι διαπεπτωκότα μανθάνοντες.

9. Ἀλλὰ μέχρι μὲν τούτων συνθήσεται τυχὸν τῷ λόγῳ ὁ πρὸς τὸ ἀκόλουθον βλέπων διὰ τὸ μὴ δοκεῖν ἔξω τι τῆς θεοπρεποῦς ἐννοίας τῶν εἰρημένων εἶναι· πρὸς δὲ τὰ ἐφεξῆς οὐχ ὁμοίως ἕξει, δι' ὧν μάλιστα τὸ μυστήριον τῆς ἀληθείας κρατύνεται· γένεσις ἀνθρωπίνη καὶ ἡ ἐκ νηπίου πρὸς τελείωσιν αὔξησις, βρῶσίς τε καὶ πόσις, καὶ κόπος, καὶ ὕπνος, καὶ λύπη, καὶ δάκρυον, συκοφαντία τε καὶ δικα**53**στήριον καὶ σταυρὸς καὶ θάνατος καὶ ἡ ἐν μνημείῳ θέσις· ταῦτα γὰρ συμπαραλαμβανόμενα τῷ μυστηρίῳ ἀμβλύνει πως τῶν μικροψυχοτέρων[γ] τὴν πίστιν, ὡς μηδὲ τὸ ἐφεξῆς τῶν λεγομένων διὰ τὰ προειρημένα συμπαραδέχεσθαι. Τὸ γὰρ θεοπρεπὲς τῆς ἐκ νεκρῶν ἀναστάσεως διὰ τὸ περὶ τὸν θάνατον ἀπρεπὲς οὐ προσίενται. Ἐγὼ δὲ πρότερον οἶμαι δεῖν μικρὸν τῆς σαρκικῆς παχύτητος **[41]** τὸν λογισμὸν ἀποστήσαντας[δ], αὐτὸ τὸ καλὸν[ε] ἐφ' ἑαυτοῦ καὶ τὸ μὴ τοιοῦτον κατανοῆσαι, ποίοις γνωρίσμασιν ἑκάτερον τούτων καταλαμβά-

1. Πρβλ. Κολ. 1,9.

α. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. σ. 390,11 (ἀπὸ ἀλλοιώσεως).

β. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 404,9.

γ. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 396,5.

δ. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 392,7.

ε. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 387,29.

νεται. Οὐδένα γὰρ ἀντερεῖν οἶμαι τῶν λελογισμένων, ὅτι ἓν κατὰ φύσιν μόνον τῶν πάντων ἐστὶν αἰσχρὸν τὸ κατὰ κακίαν πάθος, τὸ δὲ κακίας ἐκτὸς παντὸς αἴσχους ἐστὶν ἀλλότριον· ᾧ δὲ μηδὲν αἰσχρὸν καταμέμικται, τοῦτο πάντως ἐν τῇ τοῦ καλοῦ μοίρᾳ[α] καταλαμβάνεται, τὸ δὲ ἀληθῶς καλὸν ἀμιγές ἐστι τοῦ ἐναντίου. Πρέπει δὲ Θεῷ πᾶν ὅ τί περ ἐν τῇ τοῦ καλοῦ θεωρεῖται χώρᾳ. Ἢ τοίνυν δειξάτωσαν κακίαν εἶναι τὴν γέννησιν, τὴν ἀνατροφήν, τὴν αὔξησιν, τὴν πρὸς τὸ τέλειον τῆς **54** φύσεως πρόοδον, τὴν τοῦ θανάτου πεῖραν, τὴν ἐκ τοῦ θανάτου ἐπάνοδον· ἢ εἰ ἔξω κακίας εἶναι τὰ εἰρημένα συντίθενται, οὐδὲν αἰσχρὸν εἶναι τὸ κακίας ἀλλότριον ἐξ ἀνάγκης ὁμολογήσουσι. Καλοῦ δὲ πάντως ἀναδεικνυμένου τοῦ πάσης αἰσχρότητος καὶ κακίας ἀπηλλαγμένου, πῶς οὐκ ἐλεεινοὶ τῆς ἀλογίας οἱ τὸ καλὸν μὴ πρέπειν ἐπὶ Θεοῦ δογματίζοντες;

10. Ἀλλὰ μικρόν, φησί, καὶ εὐπερίγραπτον[β] ἡ ἀνθρωπίνη φύσις, ἄπειρον δὲ ἡ Θεότης, καὶ πῶς ἂν περιελήφθη τῷ ἀτόμῳ τὸ ἄπειρον; Καὶ τίς τοῦτό φησιν, ὅτι τῇ περιγραφῇ τῆς σαρκὸς καθάπερ ἀγγείῳ τινὶ ἡ ἀπειρία τῆς Θεότητος περιελήφθη; Οὐδὲ γὰρ ἐπὶ τῆς ἡμετέρας ζωῆς ἐντὸς[γ] κατακλείεται τῶν τῆς σαρκὸς ὅρων ἡ νοερὰ φύσις. **55** Ἀλλ' ὁ μὲν ὄγκος τοῦ σώματος τοῖς οἰκείοις μέρεσι περιγράφεται, ἡ δὲ ψυχὴ τοῖς τῆς διανοίας κινήμασι πάσῃ κατ' ἐξουσίαν ἐφαπλοῦται[δ] τῇ κτίσει, καὶ μέχρις οὐρανῶν ἀνιοῦσα, καὶ τῶν ἀβύσσων ἐπιβατεύουσα[ε], καὶ τῷ πλάτει τῆς οἰκουμένης ἐπερχομένη, καὶ πρὸς τὰ καταχθόνια διὰ τῆς πολυπραγμοσύνης[στ] εἰσδύνουσα, πολλάκις δὲ καὶ τῶν οὐρανίων θαυμάτων ἐν περινοίᾳ[ζ] γίνεται, οὐδὲν βαρυνομένη τῷ ἐφολκίῳ τοῦ σώματος. Εἰ δὲ ἀνθρώπου ψυχὴ κατὰ τὴν τῆς φύσεως ἀνάγκην συγκεκραμένη τῷ σώματι πανταχοῦ κατ' ἐξουσίαν γίνεται, τίς ἀνάγκη τῇ φύσει τῆς σαρκὸς τὴν Θεότητα λέγειν ἐμπεριείργεσθαι καὶ μὴ διὰ τῶν χωρητῶν ἡμῖν ὑποδειγμάτων στοχασμόν[η] τινα πρέ-
56ποντα περὶ τῆς θείας οἰκονομίας λαβεῖν; Ὡς γὰρ τὸ πῦρ ἐπὶ τῆς λαμπάδος ὁρᾶται τῆς ὑποκειμένης περιδεδραγμένον[θ] ὕλης, καὶ λόγος μὲν διακρίνει τό τε ἐπὶ τῆς ὕλης πῦρ καὶ τὴν τὸ πῦρ ἐξάπτουσαν ὕλην, ἔργῳ δὲ οὐκ ἔστιν ἀπ' ἀλλήλων ταῦτα διατεμόντας, ἐφ' ἑαυτῆς δεῖξαι τὴν φλόγα διεζευγμένην τῆς ὕλης, ἀλλ' ἓν τὰ συναμφότερα γίνεται, οὕτω καὶ ἐπὶ τούτων· καί μοι μηδεὶς τὸ φθαρτικὸν τοῦ πυρὸς συμπα-

---

α. Πρβλ. Πλάτ., Φίληβος, 54C.
β. Πρβλ. Γρηγορίου Νύσσης, Εἰς τὴν ἑξαήμερον, PG 44,64A.
γ. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, κατωτ. σ. 399,11.
δ. Πρβλ. Πλατ., Φαῖδρος 246B.
ε. Πρβλ. Γρηγορίου Νύσσης, Κατὰ Εὐνομίου Α', ΒΕΠ 67, 53,1.
στ. Πρβλ. Ἀριστ., Τοπικὰ β4. 111α10.
ζ. Πρβλ. Γρηγορίου Θεολόγου, Ὁμ. XXVIII. ΒΕΠ 59,222,11.
η. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. σ. 396,3.
θ. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 391,13.

ραλαβανέτω τῷ ὑποδείγματι, ἀλλ' ὅσον εὐπρεπές ἐστι μόνον ἐν τῇ εἰκόνι δεξάμενος, τὸ ἀπεμφαῖνον[α] ἀποποιείσθω[1]· τὸν αὐτὸν οὖν τρόπον, ὡς ὁρῶμεν καὶ ἐξημμένην τοῦ **57** ὑποκειμένου τὴν φλόγα καὶ οὐκ ἐναποκλειομένην τῇ ὕλῃ, τί κωλύει θείας φύσεως ἕνωσίν τινα καὶ προσεγγισμὸν κατανοήσαντας πρὸς τὸ ἀνθρώπινον, τὴν θεοπρεπῆ διάνοιαν καὶ ἐν τῷ προσεγγισμῷ διασώσασθαι, **[44]** πάσης περιγραφῆς ἐκτὸς εἶναι τὸ Θεῖον πιστεύοντας, κἂν ἐν ἀνθρώπῳ ᾖ;

11. Εἰ δὲ ζητεῖς πῶς κατακιρνᾶται θεότης πρὸς τὸ ἀνθρώπινον, ὥρα σοι πρὸ τούτου ζητεῖν τί πρὸς τὴν σάρκα τῆς ψυχῆς ἡ συμφυΐα. Εἰ δὲ τῆς σῆς ἀγνοεῖται ψυχῆς ὁ τρόπος, καθ' ὃν ἑνοῦται τῷ σώματι, μηδὲ ἐκεῖνο πάντως οἴου δεῖν ἐντὸς[β] γενέσθαι τῆς σῆς καταλήψεως· ἀλλ' ὥσπερ ἐνταῦθα καὶ ἕτερον εἶναί τι παρὰ τὸ σῶμα τὴν ψυχὴν πεπιστεύκαμεν ἐκ τοῦ μονωθεῖσαν τῆς ψυχῆς τὴν σάρκα νεκράν τε καὶ ἀνενέργητον γίνεσθαι, καὶ τὸν τῆς ἑνώσεως οὐκ ἐπιγινώσκομεν τρόπον, οὕτω κἀκεῖ διαφέρειν μὲν ἐπὶ τὸ μεγαλοπρεπέστερον τὴν θείαν φύσιν πρὸς τὴν θνητὴν καὶ ἐπίκηρον ὁμολογοῦμεν, τὸν δὲ τῆς ἀνακράσεως[γ] τρόπον τοῦ θείου πρὸς τὸν ἄνθρωπον συνιδεῖν οὐ χωροῦμεν. Ἀλλὰ τὸ μὲν γεγενῆσθαι Θεὸν ἐν ἀνθρώπου φύσει διὰ τῶν ἱστορουμένων θαυμάτων οὐκ ἀμφιβάλλομεν, τὸ δ' ὅπως, ὡς **58** μεῖζον ἢ κατὰ λογισμῶν ἔφοδον[δ], διερευνᾶν παραιτούμεθα. Οὐδὲ γὰρ πᾶσαν τὴν σωματικήν τε καὶ νοητὴν κτίσιν παρὰ τῆς ἀσωμάτου τε καὶ ἀκτίστου φύσεως ὑποστῆναι πιστεύοντες, τὸ πόθεν ἢ τὸ πῶς τῇ περὶ τούτων πίστει συνεξετάζομεν. Ἀλλὰ τὸ γεγενῆσθαι παραδεχόμενοι, ἀπολυπραγμόνητον[ε] τὸν τρόπον τῆς τοῦ παντὸς συστάσεως καταλείπομεν, ὡς ἄρρητον παντάπασιν ὄντα καὶ ἀνερμήνευτον.

12. Τοῦ δὲ Θεὸν ἐν σαρκὶ πεφανερῶσθαι[2] ἡμῖν ὁ τὰς ἀποδείξεις ἐπιζητῶν πρὸς τὰς ἐνεργείας βλεπέτω. Καὶ γὰρ τοῦ ὅλως εἶναι Θεὸν οὐκ ἄν τις ἑτέραν ἀπόδειξιν ἔχοι, πλὴν τῆς δι' αὐτῶν τῶν ἐνεργειῶν μαρτυρίας. Ὥσπερ τοίνυν εἰς τὸ πᾶν ἀφορῶντες, καὶ τὰς κατὰ τὸν κόσμον οἰκονομίας ἐπισκοποῦντες καὶ τὰς εὐεργεσίας τὰς θεόθεν κατὰ τὴν ζωὴν ἡμῶν ἐνεργουμένας, ὑπερκεῖσθαί[στ] τινα δύναμιν ποιητικὴν τῶν γιγνομένων καὶ συντηρητικὴν τῶν ὄντων καταλαμβάνομεν, οὕτως καὶ ἐπὶ τοῦ διὰ σαρκὸς ἡμῖν φανερωθέντος Θεοῦ ἱκανὴν ἀπόδειξιν τῆς ἐπιφανείας τῆς **59** θεότητος τὰ κατὰ τὰς ἐνεργείας θαύματα πεποιήμεθα, πάντα τοῖς ἱστορηθεῖσιν ἔργοις, δι' ὧν ἡ θεία χαρακτη-

---

1. Πρβλ. Ἰὼβ 8,20. 2. Πρβλ. Α' Τιμ. 3,16.

α. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. σ. 381,14.
β. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 398,18.
γ. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 389,1-6.
δ. Πρβλ. Γρηγορίου Θεολόγου, Ὁμιλία ΚΗ', Ζ, ΒΕΠ 59,222,19.
ε. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. σ. 398,23.
στ. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 379,11.

ρίζεται φύσις, κατανοήσαντες. Θεοῦ τὸ ζωοποιεῖν[α] τοὺς ἀνθρώπους[1], Θεοῦ τὸ συντηρεῖν διὰ προνοίας τὰ ὄντα, Θεοῦ τὸ βρῶσιν καὶ πόσιν τοῖς διὰ σαρκὸς τὴν ζωὴν εἰληχόσι χαρίζεσθαι[2], Θεοῦ τὸ εὐεργετεῖν τὸν δεόμενον, Θεοῦ τὸ παρατραπεῖσαν ἐξ ἀσθενείας τὴν φύσιν πάλιν δι' ὑγείας πρὸς ἑαυτὴν ἐπανάγειν, Θεοῦ τὸ πάσης ἐπιστατεῖν ὁμοιοτρόπως τῆς κτίσεως, γῆς, θαλάσσης, ἀέρος, καὶ τῶν ὑπὲρ τὸν ἀέρα τόπων, Θεοῦ τὸ πρὸς πάντα διαρκῆ τὴν δύναμιν ἔχειν καὶ πρό γε πάντων τὸ θανάτου καὶ φθορᾶς εἶναι κρείττονα. Εἰ μὲν οὖν τινος τούτων καὶ τῶν τοιούτων ἐλλιπὴς ἦν ἡ περὶ αὐτὸν ἱστορία, εἰκότως τὸ μυστήριον ἡμῶν οἱ ἔξω τῆς πίστεως παρεγράφοντο· εἰ δὲ δι' ὧν νοεῖται Θεός, πάντα ἐν **[45]** τοῖς περὶ αὐτοῦ διηγήμασι καθορᾶται, τί τὸ ἐμποδίζον τῇ πίστει;

13. Ἀλλά, φησί, γέννησίς τε καὶ θάνατος ἴδιον τῆς **60** σαρκικῆς ἐστὶ φύσεως. Φημὶ κἀγώ. Ἀλλὰ τὸ πρὸ τῆς γεννήσεως καὶ τὸ μετὰ τὸν θάνατον τὴν τῆς φύσεως ἡμῶν ἐκφεύγει κοινότητα. Εἰς γὰρ ἑκάτερα τῆς ἀνθρωπίνης ζωῆς τὰ πέρατα[β] βλέποντες, ἴσμεν καὶ ὅθεν ἀρχόμεθα καὶ εἰς τί καταλήγομεν. Ἐκ πάθους[γ] γὰρ ἀρξάμενος τοῦ εἶναι ὁ ἄνθρωπος πάθει συναπαρτίζεται. Ἐκεῖ δὲ οὔτε ἡ γέννησις ἀπὸ πάθους ἤρξατο, οὔτε ὁ θάνατος εἰς πάθος κατέληξεν· οὔτε γὰρ τῆς γεννήσεως ἡδονὴ καθηγήσατο, οὔτε τὸν θάνατον φθορὰ[3] διεδέξατο. Ἀπιστεῖς τῷ θαύματι; χαίρω σου τῇ ἀπιστίᾳ· ὁμολογεῖς γὰρ πάντως δι' ὧν ὑπὲρ πίστιν ἡγῇ τὸ λεγόμενον, ὑπὲρ τὴν φύσιν εἶναι τὰ θαύματα. Αὐτὸ οὖν τοῦτο τῆς θεότητος ἔστω σοι τοῦ φανέντος ἀπόδειξις[4], τὸ μὴ διὰ τῶν κατὰ φύσιν προϊέναι **61** τὸ κήρυγμα[5]. Εἰ γὰρ ἐντὸς ἦν τῶν τῆς φύσεως ὅρων τὰ περὶ τοῦ Χριστοῦ διηγήματα, ποῦ τὸ θεῖον; Εἰ δὲ ὑπερβαίνει τὴν φύσιν ὁ λόγος, ἐν οἷς ἀπιστεῖς, ἐν τούτοις ἐστὶν ἡ ἀπόδειξις τοῦ Θεὸν εἶναι τὸν κηρυσσόμενον. Ἄνθρωπος μὲν γὰρ ἐκ συνδυασμοῦ τίκτεται καὶ μετὰ θάνατον ἐν διαφθορᾷ γίνεται. Εἰ ταῦτα περιεῖχε τὸ κήρυγμα, οὐκ ἂν Θεὸν εἶναι πάντως ᾠήθης τὸν ἐν τοῖς ἰδιώμασι τῆς φύσεως ἡμῶν μαρτυρούμενον. Ἐπεὶ δὲ γεγενῆσθαι μὲν αὐτὸν ἀκούεις, ἐκβεβηκέναι δὲ τῆς φύσεως ἡμῶν τὴν κοινότητα τῷ τε τῆς γενέσεως[δ] τρόπῳ καὶ τῷ ἀνεπιδέκτῳ τῆς εἰς φθορὰν ἀλλοιώσεως, καλῶς ἂν ἔχοι κατὰ τὸ ἀκόλουθον ἐπὶ τὸ ἕτερον τῇ ἀπιστίᾳ χρήσασθαι, εἰς τὸ μὴ ἄνθρωπον αὐτὸν ἕνα τῶν ἐν τῇ φύσει δεικνυμένων οἴεσθαι. Ἀνάγκη γὰρ πᾶσα τὸν μὴ πιστεύοντα τὸν τοιοῦτον ἄνθρωπον εἶναι εἰς τὴν περὶ τοῦ Θεὸν αὐτὸν εἶναι πίστιν ἐναχθῆναι. Ὁ γὰρ γεγεννῆσθαι αὐτὸν ἱστορήσας καὶ τὸ ἐκ

---

1. Πρβλ. Α' Κορ. 15,22. 2. Πρβλ. Ἐκκλ. 2,24-25. 3. Πρβλ. Ψαλ. 15,10. 4. Πρβλ. Α' Κορ. 2,4. 5. Πρβλ. ἔνθ' ἀν.

α. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, κατωτ. σ. 401,25.
β. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 415,24.
γ. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 403,5.
δ. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 415,30.

παρθένου γεγεννῆσθαι συνδιηγήσατο[1]. Εἰ οὖν πιστόν ἐστι διὰ τῶν εἰρημένων τὸ γεγεννῆσθαι αὐτόν, διὰ τῶν αὐτῶν τούτων πάντως οὐδὲ τὸ οὕτως αὐτὸν γεγεννῆσθαι ἀπίθανον. Ὁ **62** γὰρ τὴν γέννησιν εἰπὼν καὶ τὸ ἐκ παρθενίας[α] προσέθηκεν· καὶ ὁ τοῦ θανάτου μνησθεὶς καὶ τὴν ἀνάστασιν τῷ θανάτῳ προσεμαρτύρησεν. Εἰ οὖν ἀφ' ὧν ἀκούεις καὶ τεθνάναι καὶ γεγεννῆσθαι δίδως, ἐκ τῶν αὐτῶν δώσεις πάντως καὶ τὸ ἔξω πάθους εἶναι καὶ τὴν γέννησιν αὐτοῦ καὶ τὸν θάνατον. Ἀλλὰ μὴν ταῦτα μείζω τῆς φύσεως. Οὐκοῦν οὐδὲ ἐκεῖνος πάντως ἐντὸς τῆς φύσεως ὁ ἐν τοῖς ὑπὲρ τὴν φύσιν γεγενῆσθαι ἀποδεικνύμενος.

14. Τίς οὖν αἰτία, φησί, τοῦ πρὸς τὴν ταπεινότητα ταύτην καταβῆναι τὸ Θεῖον, ὡς ἀμφίβολον εἶναι τὴν πίστιν, εἰ Θεός, τὸ ἀχώρητον καὶ ἀκατανόητον καὶ ἀνεκλάλητον πρᾶγμα, τὸ ὑπὲρ πᾶσαν δόξαν καὶ πᾶσαν μεγαλειότητα, τῷ λύθρῳ[β] τῆς ἀνθρωπίνης φύσεως καταμίγνυται, ὡς καὶ τὰς ὑψηλὰς ἐνερ**[48]**γείας αὐτοῦ τῇ πρὸς τὸ ταπεινὸν ἐπιμιξίᾳ συνευτελίζεσθαι.

63 15. Οὐκ ἀποροῦμεν καὶ πρὸς τοῦτο θεοπρεποῦς ἀποκρίσεως. Ζητεῖς τὴν αἰτίαν τοῦ γενέσθαι Θεὸν ἐν ἀνθρώποις; Ἐὰν ἀφέλῃς τοῦ βίου τὰς θεόθεν γινομένας εὐεργεσίας[γ], ἐκ ποίων[δ] ἐπιγνώσῃ τὸ θεῖον οὐκ ἂν εἰπεῖν ἔχοις. Ἀφ' ὧν γὰρ εὖ πάσχομεν, ἀπὸ τούτων τὸν εὐεργέτην ἐπιγινώσκομεν· πρὸς γὰρ τὰ γινόμενα βλέποντες, διὰ τούτων τὴν τοῦ ἐνεργοῦντος ἀναλογιζόμεθα φύσιν. Εἰ οὖν ἴδιον γνώρισμα τῆς θείας φύσεως ἡ φιλανθρωπία[2,ε], ἔχεις ὃν ἐπεζήτησας λόγον, ἔχεις τὴν αἰτίαν τῆς ἐν ἀνθρώποις τοῦ Θεοῦ παρουσίας. Ἐδεῖτο γὰρ τοῦ ἰατρεύοντος ἡ φύσις ἡμῶν ἀσθενήσασα, ἐδεῖτο τοῦ ἀνορθοῦντος ὁ ἐν τῷ πτώματι ἄνθρωπος, ἐδεῖτο τοῦ ζωοποιοῦντος[στ] ὁ ἀφαμαρτὼν τῆς ζωῆς, ἐδεῖτο τοῦ πρὸς τὸ ἀγαθὸν ἐπανάγοντος ὁ ἀπορρυεὶς τῆς τοῦ ἀγαθοῦ μετουσίας, ἔχρῃζε τῆς τοῦ φωτὸς παρουσίας ὁ καθειργμένος[ζ] τῷ σκότῳ, ἐπεζήτει τὸν λυτρωτὴν ὁ αἰχμάλωτος, τὸν συναγωνιστὴν ὁ δεσμώτης, τὸν ἐλευθερωτὴν ὁ τῷ ζυγῷ τῆς δουλείας κατεχόμενος[3]. Ἆρα μικρὰ **64** ταῦτα καὶ ἀνάξια[η] τὸν Θεὸν δυσωπῆσαι πρὸς ἐπίσκεψιν[4] τῆς ἀνθρωπίνης φύσεως καταβῆναι, οὕτως ἐλεεινῶς

---

1. Πρβλ. Ματθ. κεφ. 1. Λουκ. κεφ. 2. 2. Πρβλ. Τίτ. 3,4. 3. Πρβλ. Γαλ. 5,1. 4. Πρβλ. Λουκ. 1,68. 7,16. Πράξ. 15,14. Ἐξ. 3,8. 4,31.

α. Πρβλ. Γρηγορίου Νύσσης, Κατὰ Εὐνομίου Γ' β' (Δ' Migne), ΒΕΠ 67, 296,14 ἑξ.

β. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. σ. 399,17 (ἀνακράσεως).

γ. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 399,30.

δ. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 407,17.

ε. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 411,22.

στ. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 400,1.

ζ. Πρβλ. Γρηγορίου Νύσσης, Περὶ ψυχῆς καὶ ἀναστάσεως, ἀνωτ. σ. 322,22.

η. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός κατωτ. σ. 429,13-14 (ἴδιον ... σωτηρία).

καὶ ἀθλίως τῆς ἀνθρωπότητος διακειμένης; Ἀλλ' ἐξῆν, φησί, καὶ εὐεργετηθῆναι τὸν ἄνθρωπον καὶ ἐν ἀπαθείᾳ τὸν Θεὸν διαμεῖναι. Ὁ γὰρ τῷ βουλήματι τὸ πᾶν συστησάμενος καὶ τὸ μὴ ὂν ὑποστήσας ἐν μόνῃ τῇ ὁρμῇ τοῦ θελήματος, τί οὐχὶ καὶ τὸν ἄνθρωπον δι' αὐθεντικῆς[α] τινος καὶ θεϊκῆς ἐξουσίας τῆς ἐναντίας δυνάμεως ἀποσπάσας πρὸς τὴν ἐξ ἀρχῆς ἄγει κατάστασιν, εἰ τοῦτο φίλον αὐτῷ· ἀλλὰ μακρὰς περιέρχεται περιόδους[β], σώματος ὑπερχόμενος φύσιν, καὶ διὰ γεννήσεως παριὼν εἰς τὸν βίον, καὶ πᾶσαν ἀκολούθως ἡλικίαν διεξιών, εἶτα θανάτου γευόμενος[1], καὶ οὕτως διὰ τῆς τοῦ ἰδίου σώματος ἀναστάσεως τὸν σκόπον ἀνύων, ὡς οὐκ ἐξὸν αὐτῷ μένοντι ἐπὶ τοῦ ὕψους τῆς θεϊκῆς δόξης, διὰ προστάγματος σῶσαι τὸν ἄνθρωπον, τὰς δὲ τοιαύτας περιόδους χαίρειν ἐᾶσαι; Οὐκοῦν ἀνάγκη καὶ ταῖς τοιαύταις
65 τῶν ἀντιθέσεων ἀντικαταστῆναι παρ' ἡμῶν τὴν ἀλήθειαν, ὡς ἂν διὰ μηδενὸς ἡ πίστις κωλύοιτο τῶν ἐξεταστικῶς ζητούντων τοῦ μυστηρίου τὸν λόγον. Πρῶτον μὲν οὖν, ὅπερ καὶ ἐν τοῖς φθάσασιν[γ] ἤδη μετρίως ἐξήτασται, τί τῇ ἀρετῇ κατὰ τὸ ἐναντίον ἀντικαθέστηκεν, ἐπισκεψώμεθα. Ὡς φωτὶ σκότος καὶ θάνατος τῇ ζωῇ, οὕτω τῇ ἀρετῇ ἡ κακία δῆλον ὅτι, καὶ οὐδὲν παρὰ ταύτην ἕτερον. Καθάπερ γὰρ πολλῶν ὄντων τῶν ἐν τῇ κτίσει θεωρουμένων οὐδὲν ἄλλο πρὸς τὸ φῶς ἢ τὴν ζωὴν τὴν ἀντιδιαίρεσιν ἔχει, οὐ λίθος, οὐ ξύλον, οὐχ ὕδωρ, οὐκ ἄνθρωπος, οὐκ ἄλλο τι τῶν ὄντων οὐδέν, πλὴν ἰδίως τὰ κατὰ τὸ ἐναντίον νοούμενα, οἷον σκότος καὶ θάνατος· οὕτω καὶ ἐπὶ τῆς ἀρετῆς οὐκ ἄν τις κτίσιν τινὰ κατὰ τὸ ἐναντίον αὐτῇ νοεῖσθαι λέγοι, πλὴν τὸ κατὰ κακίαν νόημα. Οὐκοῦν εἰ μὲν ἐν κακίᾳ γεγενῆσθαι τὸ Θεῖον ὁ ἡμέτερος ἐπρέσβευε λόγος, καιρὸν εἶχεν ὁ ἀντιλέγων κατατρέχειν ἡμῶν τῆς πίστεως, ὡς ἀνάρμοστά τε καὶ ἀπεμφαίνοντα[δ] **[49]** περὶ τῆς θείας φύσεως δογματιζόντων· οὐ γὰρ δὴ θεμιτὸν ἦν αὐτοσοφίαν καὶ ἀγαθότητα καὶ ἀφθαρσίαν, καὶ εἴ τι ὑψηλόν ἐστι νόημά τε καὶ ὄνομα, πρὸς **66** τὸ ἐναντίον μεταπεπτωκέναι λέγειν. Εἰ οὖν Θεὸς μὲν ὁ ἀληθὴς ἀρετή, φύσις δέ τις οὐκ ἀντιδιαιρεῖται[ε] τῇ ἀρετῇ, ἀλλὰ κακία, Θεὸς δὲ οὐκ ἐν κακίᾳ, ἀλλ' ἐν ἀνθρώπου γίνεται φύσει, μόνον δὲ ἀπρεπὲς καὶ αἰσχρὸν τὸ κατὰ κακίαν πάθος, ἐν ᾧ οὔτε γέγονεν Θεός, οὔτε γενέσθαι φύσιν ἔχει, τί ἐπαισχύνονται τῇ ὁμολογίᾳ τοῦ Θεὸν ἀνθρωπίνης ἅψασθαι φύσεως, οὐδεμιᾶς ἐναντιότητος ὡς πρὸς τὸν τῆς ἀρετῆς λόγον ἐν τῇ κατασκευῇ τοῦ ἀνθρώπου θεωρουμένης; Οὔτε γὰρ τὸ λογι-

1. Πρβλ. Ἑβρ. 2,9.

α. Πρβλ. Κλήμεντος Ἀλεξανδρέως, Στρωματεῖς Α', VII, ΒΕΠ 7,250,11. PG 8,733B. Ὠριγένους, Κατὰ Κέλσου, IV 3,4, ΒΕΠ 9,234,31-236,14. PG 11, 1032A-1033C.

β. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, κατωτ. σ. 405,10. 415,2.

γ. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 385,9.

δ. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 381,14.

ε. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 389,30.

κόν[α], οὔτε τὸ διανοητικόν, οὔτε τὸ ἐπιστήμης δεκτικόν, οὔτε ἄλλο τι τοιοῦτον, ὃ τῆς ἀνθρωπίνης ἴδιον οὐσίας ἐστί, τῷ λόγῳ τῆς ἀρετῆς ἠναντίωται.

16. Ἀλλ' αὐτή, φησίν, ἡ τροπὴ τοῦ ἡμετέρου σώματος **67** πάθος[β] ἐστίν. Ὁ δὲ ἐν τούτῳ γεγονὼς ἐν πάθει γίνεται· ἀπαθὲς δὲ τὸ Θεῖον. Οὐκοῦν ἀλλοτρία περὶ Θεοῦ ἡ ὑπόληψις, εἴπερ τὸν ἀπαθῆ κατὰ τὴν φύσιν πρὸς κοινωνίαν πάθους ἐλθεῖν διορίζονται. Ἀλλὰ καὶ πρὸς ταῦτα πάλιν τῷ αὐτῷ λόγῳ χρησόμεθα, ὅτι τὸ πάθος τὸ μὲν κυρίως, τὸ δὲ ἐκ καταχρήσεως λέγεται. Τὸ μὲν οὖν προαιρέσεως ἁπτόμενον καὶ πρὸς κακίαν ἀπὸ τῆς ἀρετῆς μεταστρέφον ἀληθῶς πάθος ἐστί, τὸ δ' ὅσον ἐν τῇ φύσει κατὰ τὸν ἴδιον εἱρμὸν πορευομένῃ, διεξοδικῶς θεωρεῖται, τοῦτο κυριώτερον **68** ἔργον ἂν μᾶλλον ἢ πάθος προσαγορεύοιτο, οἷον ἡ γέννησις, ἡ αὔξησις, ἡ διὰ τοῦ ἐπιρρύτου τε καὶ ἀπορρύτου τῆς τροφῆς[γ] τοῦ ὑποκειμένου διαμονή, ἡ τῶν στοιχείων περὶ τὸ σῶμα συνδρομή, ἡ τοῦ συντεθέντος πάλιν διάλυσίς τε καὶ πρὸς τὰ συγγενῆ μεταχώρησις. Τίνος οὖν λέγει τὸ μυστήριον ἡμῶν ἧφθαι τὸ Θεῖον; τοῦ κυρίως λεγομένου πάθους, ὅπερ κακία ἐστίν, ἢ τοῦ κατὰ τὴν φύσιν κινήματος; Εἰ μὲν γὰρ ἐν τοῖς ἀπηγορευμένοις[δ] γεγενῆσθαι τὸ Θεῖον ὁ λόγος διισχυρίζετο, φεύγειν ἔδει τὴν ἀτοπίαν τοῦ δόγματος, ὡς οὐδὲν ὑγιὲς περὶ τῆς θείας φύσεως διεξιόντος· εἰ δὲ τῆς φύσεως ἡμῶν αὐτὸν ἐφῆφθαι λέγει, ἧς καὶ ἡ πρώτη γένεσίς τε καὶ ὑπόστασις παρ' αὐτοῦ τὴν ἀρχὴν ἔσχε, ποῦ τῆς Θεῷ **69** πρεπούσης ἐννοίας διαμαρτάνει τὸ κήρυγμα, μηδεμιᾶς παθητικῆς διαθέσεως ἐν ταῖς περὶ Θεοῦ ὑπολήψεσι τῇ πίστει συνεισιούσης; Οὐδὲ γὰρ τὸν ἰατρὸν[ε] ἐν πάθει γίνεσθαι λέγομεν, ὅταν θεραπεύῃ τὸν ἐν πάθει γινόμενον· ἀλλὰ κἂν προσάψηται τοῦ ἀρρωστήματος, ἔξω πάθους ὁ θεραπευτὴς διαμένει. Εἰ ἡ γένεσις αὐτὴ καθ' ἑαυτὴν πάθος οὐκ ἔστιν, οὐδ' ἂν τὴν ζωήν τις πάθος προσαγορεύσειεν, ἀλλὰ τὸ καθ' ἡδονὴν πάθος τῆς ἀνθρωπίνης καθηγεῖται γενέσεως, καὶ ἡ πρὸς κακίαν τῶν ζώντων ὁρμή, τοῦτο τῆς φύσεως ἡμῶν ἐστιν ἀρρώστημα· ἀλλὰ μὴν ἀμφοτέρων αὐτὸν καθαρεύειν φησὶ τὸ μυστήριον· εἰ οὖν ἡδονῆς μὲν ἡ γένεσις ἠλλοτρίωται, κακίας δὲ ἡ ζωή, ποῖον ὑπολείπεται πάθος, οὗ τὸν Θεὸν κεκοινωνηκέναι φησὶ τὸ τῆς εὐσεβείας μυστήριον[1]; **[52]** Εἰ δὲ τὴν τοῦ σώματος καὶ τῆς ψυχῆς διάζευξιν πάθος προσαγορεύοι, πολὺ πρότερον δίκαιος ἂν εἴη τὴν συνδρομὴν ἀμφοτέρων οὕτω κατονομάσαι. Εἰ γὰρ ὁ χωρισμὸς τῶν συνημμένων πάθος ἐστί, καὶ ἡ συνάφεια τῶν

1. Πρβλ. Α' Τιμ. 3,16.

α. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. σ. 388,17.

β. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 400,17. Κατὰ Εὐνομίου, Γ, δ' (ϛ' Migne), ΒΕΠ 67,349,20 ἑξ.

γ. Πρβλ. Γρηγορίου Νύσσης, Περὶ ψυχῆς καὶ ἀναστάσεως, ἀνωτ. σ. 369,27.

δ. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. σ. 393,17.

ε. Πρβλ. Γρηγορίου Νύσσης, Κατὰ Εὐνομίου, Γ, δ' (ϛ' Migne) ΒΕΠ 67, 350,5 ἑξ.

διεστώτων πάθος ἂν εἴη· κίνησις γάρ τίς **70** ἐστιν ἔν τε τῇ συγκρίσει τῶν διεστώτων καὶ ἐν τῇ διακρίσει τῶν συμπεπλεγμένων ἢ ἡνωμένων. Ὅπερ τοίνυν ἡ τελευταία κίνησις ὀνομάζεται, τοῦτο προσήκει καλεῖσθαι καὶ τὴν προάγουσαν. Εἰ δὲ ἡ πρώτη κίνησις, ἣν γένεσιν ὀνομάζομεν, πάθος οὐκ ἔστιν, οὐδ' ἂν ἡ δευτέρα κίνησις, ἣν θάνατον ὀνομάζομεν, πάθος ἂν κατὰ τὸ ἀκόλουθον λέγοιτο, καθ' ἣν ἡ συνδρομὴ τοῦ σώματος καὶ τῆς ψυχῆς διακρίνεται. Τὸν δὲ Θεόν φαμεν ἐν ἑκατέρᾳ γεγενῆσθαι τῇ τῆς φύσεως ἡμῶν κινήσει, δι' ἧς ἥ τε ψυχὴ πρὸς τὸ σῶμα συντρέχει, τό τε σῶμα τῆς ψυχῆς διακρίνεται· καταμιχθέντα δὲ πρὸς ἑκάτερον τούτων, πρός τε τὸ αἰσθητόν φημι καὶ τὸ νοερὸν τοῦ ἀνθρωπίνου συγκρίματος, διὰ τῆς ἀρρήτου ἐκείνης καὶ ἀνεκφράστου συνανακράσεως[α] τοῦτο οἰκονομήσασθαι, τὸ τῶν ἅπαξ ἑνωθέντων, ψυχῆς λέγω καὶ σώματος, καὶ εἰς ἀεὶ διαμεῖναι τὴν ἕνωσιν. Τῆς γὰρ φύσεως ἡμῶν διὰ τῆς ἰδίας ἀκολουθίας καὶ ἐν ἐκείνῳ πρὸς διάκρισιν τοῦ σώματος καὶ τῆς ψυχῆς κινηθείσης, πάλιν **71** συνῆψε τὰ διακριθέντα, καθάπερ τινὶ κόλλῃ, τῇ θείᾳ λέγω δυνάμει, πρὸς τὴν ἄρρηκτον ἕνωσιν τὸ διασχισθὲν συναρμόσας. Καὶ τοῦτό ἐστιν ἡ ἀνάστασις, ἡ τῶν συνεζευγμένων μετὰ τὴν διάλυσιν ἐπάνοδος εἰς ἀδιάλυτον ἕνωσιν, ἀλλήλοις συμφυομένων, ὡς ἂν ἡ πρώτη περὶ τὸ ἀνθρώπινον χάρις ἀνακληθείη, καὶ πάλιν ἐπὶ τὴν ἀΐδιον ἐπανέλθοιμεν ζωήν, τῆς ἐμμιχθείσης τῇ φύσει κακίας διὰ τῆς διαλύσεως ἡμῶν ἐκρυείσης, οἷον ἐπὶ τοῦ ὑγροῦ συμβαίνει, περιτρυφθέντος αὐτῷ τοῦ ἀγγείου, σκεδαννυμένου τε καὶ ἀφανιζομένου, μηδενὸς ὄντος τοῦ περιστέγοντος. Καθάπερ δὲ ἡ ἀρχὴ τοῦ θανάτου ἐν ἑνὶ γενομένη πάσῃ συνδιεξῆλθε τῇ ἀνθρωπίνῃ φύσει[1], κατὰ τὸν αὐτὸν τρόπον καὶ ἡ ἀρχὴ τῆς ἀναστάσεως δι' ἑνὸς ἐπὶ πᾶσαν διατείνει τὴν ἀνθρωπότητα[β]. Ὁ γὰρ τὴν ἀναληφθεῖσαν παρ' ἑαυτοῦ ψυχὴν πάλιν ἑνώσας τῷ οἰκείῳ σώματι διὰ τῆς δυνάμεως ἑαυτοῦ τῆς ἑκατέρῳ τούτων παρὰ τὴν πρώτην σύστασιν ἐμμιχθείσης οὕτω γενικωτέρῳ **72** τινὶ λόγῳ τὴν νοερὰν οὐσίαν τῇ αἰσθητῇ συγκατέμιξεν, τῆς ἀρχῆς[γ] κατὰ τὸ ἀκόλουθον ἐπὶ τὸ πέρας εὐοδουμένης. Ἐν γὰρ τῷ ἀναληφθέντι παρ' αὐτοῦ ἀνθρώπῳ πάλιν μετὰ τὴν διάλυσιν πρὸς τὸ σῶμα τῆς ψυχῆς ἐπανελθούσης, οἷον[δ] ἀπό τινος ἀρχῆς εἰς πᾶσαν τὴν ἀνθρωπίνην φύσιν τῇ δυνάμει κατὰ τὸ ἴσον ἡ τοῦ διακριθέντος ἕνωσις διαβαίνει. Καὶ τοῦτό ἐστι τὸ μυστήριον τῆς τοῦ Θεοῦ περὶ τὸν θάνατον οἰκονομίας καὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως, τὸ διαλυθῆναι μὲν τῷ θανάτῳ τοῦ σώματος

1. Πρβλ. Ρωμ. 5,15. Α' Κορ. 15,21.

α. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. σ. 399,17.

β. Πρβλ. Κλήμεντος Ἀλεξανδρέως, Παιδαγωγὸς Β, IX, ΒΕΠ 7,165,25-36. PG 8,489A. Γρηγορίου Νύσσης, Πρὸς τὰ Ἀπολιναρίου Ἀντιρρητικός, ΒΕΠ 68,232,26 ἑξ. Εἰς Πουλχερίαν ΒΕΠ 69,384,22 ἑξ.

γ. Πρβλ. Γρηγορίου Θεολόγου, Θεολογικὸς Δ' (Λ'), ΒΕΠ 59,256,39-257,2.

δ. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, κατωτ. σ. 421,32-35.

τὴν ψυχὴν κατὰ τὴν ἀναγκαίαν τῆς φύσεως ἀκολουθίαν μὴ κωλῦσαι, εἰς ἄλληλα δὲ πάλιν ἐπαναγαγεῖν διὰ τῆς ἀναστάσεως, ὡς ἂν αὐτὸς γένοιτο μεθόριον ἀμφοτέρων, θανάτου τε καὶ ζωῆς, ἐν ἑαυτῷ μὲν στήσας διαιρουμένην τῷ θανάτῳ τὴν φύσιν, αὐτὸς δὲ γενόμενος ἀρχὴ τῆς τῶν διῃρημένων ἑνώσεως.

[53] 73 17. Ἀλλ' οὔπω φήσει τις λελύσθαι τὴν ὑπενεχθεῖσαν ἡμῖν ἀντίθεσιν, ἰσχυροποιεῖσθαι δὲ μᾶλλον ἐκ τῶν εἰρημένων τὸ παρὰ τῶν ἀπίστων ἡμῖν προφερόμενον. Εἰ γὰρ τοσαύτη δύναμίς ἐστιν ἐν αὐτῷ, ὅσην ὁ λόγος ἐπέδειξεν, ὡς θανάτου τε καθαίρεσιν καὶ ζωῆς εἴσοδον ἐπ' αὐτῷ εἶναι, τί οὐχὶ θελήματι μόνῳ τὸ κατὰ γνώμην ποιεῖ, ἀλλ' ἐκ περιόδου[α] τὴν σωτηρίαν ἡμῶν κατεργάζεται, τικτόμενός τε καὶ τρεφόμενος, καὶ τῇ τοῦ θανάτου πείρᾳ σῴζων τὸν ἄνθρωπον, ἐξὸν μήτε ἐν τούτοις γενέσθαι καὶ ἡμᾶς περισώσασθαι; Πρὸς δὲ τὸν τοιοῦτον λόγον ἱκανὸν μὲν ἦν πρὸς τοὺς εὐγνώμονας τοσοῦτον εἰπεῖν, ὅτι καὶ τοῖς ἰατροῖς οὐ νομοθετοῦσι τὸν τρόπον τῆς ἐπιμελείας οἱ κάμνοντες, οὐδὲ περὶ τοῦ τῆς θεραπείας εἴδους πρὸς τοὺς εὐεργέτας ἀμφισβητοῦσι, διὰ τί προσήψατο τοῦ πονοῦντος μέρους ὁ θεραπεύων καὶ τόδε τι πρὸς τὴν τοῦ κακοῦ λύσιν ἐπενόησεν, ἕτερον δέον, ἀλλὰ πρὸς τὸ πέρας ὁρῶντες τῆς εὐεργεσίας ἐν εὐχαριστίᾳ τὴν εὐποιίαν ἐδέξαντο. Ἀλλ' ἐπειδή, καθώς φησιν ἡ προφητεία[β], τὸ πλῆθος τῆς χρηστότητος τοῦ Θεοῦ κεκρυμμένην[1] ἔχει τὴν ὠφέλειαν καὶ οὔπω διὰ τοῦ παρόντος βίου τηλαυγῶς **74** καθορᾶται· ἦ γὰρ ἂν περιῄρητο πᾶσα τῶν ἀπίστων ἀντίρρησις, εἰ τὸ προσδοκώμενον ἐν ὀφθαλμοῖς ἦν· νυνὶ δὲ ἀναμένει τοὺς ἐπερχομένους αἰῶνας, ὥστε ἐν αὐτοῖς ἀποκαλυφθῆναι τὰ νῦν διὰ τῆς πίστεως μόνης ὁρώμενα· ἀναγκαῖον ἂν εἴη λογισμοῖς τισὶ κατὰ τὸ ἐγχωροῦν καὶ τῶν ἐπιζητουμένων ἐξευρεῖν τὴν λύσιν τοῖς προλαβοῦσι συμβαίνουσαν.

18. Καί τοι περιττὸν ἴσως ἐστὶ Θεὸν ἐπιδεδημηκέναι τῷ βίῳ πιστεύσαντας διαβάλλειν τὴν παρουσίαν[γ], ὡς οὐκ ἐν σοφίᾳ τινὶ καὶ λόγῳ γενομένην τῷ κρείττονι. Τοῖς γὰρ μὴ λίαν ἀντιμαχομένοις πρὸς τὴν ἀλήθειαν οὐ μικρὰ τῆς θείας ἐπιδημίας ἀπόδειξις ἡ καὶ πρὸ τῆς μελλούσης ζωῆς ἐν τῷ παρόντι βίῳ φανερωθεῖσα, ἡ διὰ τῶν πραγμάτων αὐτῶν **75** φημι μαρτυρία. Τίς γὰρ οὐκ οἶδεν ὅπως πεπλήρωτο κατὰ πᾶν μέρος τῆς οἰκουμένης ἡ τῶν δαιμόνων ἀπάτη, διὰ τῆς εἰδωλομανίας[δ] τῆς ζωῆς τῶν ἀνθρώπων κατακρατήσασα· ὅπως τοῦτο

---

1. Πρβλ. Ψαλ. 30,20.

α. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. σ. 402,12. καὶ κατωτ. σ. 415,2.

β. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 395,29.

γ. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 407,8.

δ. Πρβλ. Μ. Ἀθανασίου, Κατὰ Ἑλλήνων, ΒΕΠ 30,39,37. PG 25,21C. Περὶ ἐνανθρωπήσεως τοῦ Λόγου, ΒΕΠ 30,86,4. PG 25,120D. Μ. Βασιλείου, Ἑρμηνεία εἰς τὸν Ἡσαΐαν, ΒΕΠ 30,53,42. Γρηγορίου Νύσσης, Εἰς τὸν βίον τοῦ ἁγίου Γρηγορίου τοῦ θαυματουργοῦ, ΒΕΠ 69,302,24.

νόμιμον πᾶσι τοῖς κατὰ τὸν κόσμον ἔθνεσιν ἦν, τὸ θεραπεύειν διὰ τῶν εἰδώλων τοὺς δαίμονας ἐν ταῖς ζωοθυσίαις[α] καὶ τοῖς ἐπιβωμίοις μιάσμασιν[1]; Ἀφ᾽ οὗ δέ, καθώς φησιν ὁ Ἀπόστολος, «ἐπεφάνη ἡ χάρις τοῦ Θεοῦ ἡ σωτήριος πᾶσιν ἀνθρώποις»[2], διὰ τῆς ἀνθρωπίνης[β] ἐπιδημήσασα φύσεως, πάντα καπνοῦ δίκην εἰς τὸ μὴ ὂν μετεχώρησεν, ὥστε παύσασθαι μὲν τὰς τῶν χρηστηρίων τε καὶ μαντειῶν μανίας, ἀναιρεθῆναι δὲ τὰς ἐτησίους πομπὰς καὶ τὰ δι᾽ αἱμάτων ἐν ταῖς ἑκατόμβαις μολύσματα, ἐν δὲ τοῖς πολλοῖς τῶν ἐθνῶν ἀφανισθῆναι καθ᾽ ὅλου βωμοὺς καὶ προπύλαια καὶ τεμένη καὶ ἀφιδρύματα καὶ ὅσα ἄλλα τοῖς θεραπευταῖς τῶν δαιμόνων ἐπὶ ἀπάτῃ σφῶν αὐτῶν καὶ τῶν ἐντυγχανόντων ἐπετηδεύετο, ὡς ἐν πολλοῖς τῶν τόπων μηδέ, εἰ γέγονε ταῦτά ποτε, μνημονεύεσθαι, **[56]** ἀντεγερθῆναι δὲ κατὰ πᾶσαν τὴν οἰκουμένην ἐπὶ τῷ τοῦ Χριστοῦ ὀνόματι ναούς τε καὶ θυσιαστήρια καὶ τὴν σεμνήν τε καὶ **76** ἀναίμακτον ἱερωσύνην καὶ τὴν ὑψηλὴν φιλοσοφίαν[γ], ἔργῳ μᾶλλον ἢ λόγῳ κατορθουμένην, καὶ τῆς σωματικῆς ζωῆς τὴν ὑπεροψίαν[δ] καὶ τοῦ θανάτου τὴν καταφρόνησιν, ἣν οἱ μεταστῆναι τῆς πίστεως παρὰ τῶν τυράννων ἀναγκαζόμενοι φανερῶς ἐπεδείξαντο, ἀντ᾽ οὐδενὸς δεξάμενοι τὰς τοῦ σώματος αἰκίας, καὶ τὴν ἐπὶ θανάτῳ ψῆφον, οὐκ ἂν ὑποστάντες δηλαδὴ ταῦτα, μὴ σαφῆ τε καὶ ἀναμφίβολον τῆς θείας ἐπιδημίας ἔχοντες τὴν ἀπόδειξιν. Τὸ δὲ αὐτὸ τοῦτο καὶ πρὸς τοὺς Ἰουδαίους ἱκανόν ἐστι σημεῖον[ε] εἰπεῖν τοῦ παρεῖναι τὸν παρ᾽ αὐτῶν ἀπιστούμενον. Μέχρι μὲν γὰρ τῆς τοῦ Χριστοῦ θεοφανείας λαμπρὰ παρ᾽ αὐτοῖς ἦν τὰ ἐν Ἱεροσολύμοις βασίλεια, ὁ διώνυμος ἐκεῖνος ναός, αἱ νενο**77**μισμέναι δι᾽ ἔτους θυσίαι, πάντα ὅσα παρὰ τοῦ νόμου δι᾽ αἰνιγμάτων[στ] τοῖς μυστικῶς ἐπαΐειν ἐπισταμένοις διήρηται, μέχρι τότε κατὰ τὴν ἐξ ἀρχῆς νομισθεῖσαν αὐτοῖς τῆς εὐσεβείας θρησκείαν ἀκώλυτα ἦν. Ἐπεὶ δὲ εἶδον τὸν προσδοκώμενον, ὃν διὰ τῶν προφητῶν τε καὶ τοῦ νόμου προεδιδάχθησαν, καὶ προτιμοτέραν ἐποιήσαντο τῆς εἰς τὸν φανέντα πίστεως τὴν λοιπὸν ἐσφαλμένην ἐκείνην δεισιδαιμονίαν, ἣν κακῶς ἐκλαβόντες, τὰ τοῦ νόμου ῥήματα διεφύλασσον, συνηθείᾳ μᾶλλον ἢ διανοίᾳ δουλεύοντες,

---

1. Πρβλ. Α' Κορ. 10,20. 2. Τίτ. 2,11.

α. Πρβλ. Μ. Βασιλείου, *Περὶ νηστείας Α'*, ΒΕΠ 54,13,1. *Ἐπιστολαὶ* 258, ΒΕΠ 55,318,22. Γρηγορίου Νύσσης, *Εἰς τὸ Ἆσμα τῶν Ἀσμάτων*, ΒΕΠ 66, 23,1,16. *Λόγος εἰς τὸ ἅγιον Πάσχα*, ΒΕΠ 69,243,2. *Ἐπιστολαί*, W. Jaeger (ἔκδ. G. Pasquali) VIII, II σ. 26,22. PG 46,1024B.

β. Πρβλ. Γρηγορίου Νύσσης, *Λόγος Κατηχητικός*, ἀνωτ. 399,32.

γ. Πρβλ. Γρηγορίου Θεολόγου, *Ὁμιλία ΚΕ'*, ΒΕΠ 59,192,21-23. Γρηγορίου Νύσσης, *Πρὸς τοὺς βραδύνοντας εἰς τὸ Βάπτισμα*, κατωτ. σ. 448,8 ἑξ.

δ. Πρβλ. Μ. Ἀθανασίου, *Περὶ ἐνανθρωπήσεως τοῦ Λόγου* 48, ΒΕΠ 30, 114,23 ἑξ. PG 25,181B ἑξ.

ε. Πρβλ. Ὠριγένους, *Κατὰ Κέλσου* Δ, XXII, ΒΕΠ 9,247,12 ἑξ. PG 11, 1056B-C.

στ. Πρβλ. Γρηγορίου Νύσσης, *Λόγος Κατηχητικός*, ἀνωτ. σ. 393,15.

οὔτε τὴν ἐπιφανεῖσαν ἐδέξαντο χάριν, καὶ τὰ σεμνὰ τῆς παρ' αὐτοῖς θρησκείας ἐν διηγήμασι[1] ψιλοῖς ὑπολείπεται, τοῦ ναοῦ μὲν οὐδὲ ἐξ ἰχνῶν ἔτι γινωσκομένου, τῆς δὲ λαμπρᾶς ἐκείνης πόλεως ἐν ἐρειπίοις ὑπολειφθείσης, μεῖναι δὲ τοῖς Ἰουδαίοις τῶν κατὰ τὸ ἀρχαῖον νενομισμένων μηδέν, ἀλλὰ καὶ αὐτὸν τὸν σεβάσμιον αὐτοῖς ἐν Ἱεροσολύμοις τόπον ἄβατον προστάγματι τῶν δυναστευόντων γενέσθαι.

78 19. Ἀλλ' ὅμως, ἐπειδὴ μήτε τοῖς Ἑλληνίζουσι μήτε τοῖς τῶν ἰουδαϊκῶν προεστῶσι δογμάτων δοκεῖ ταῦτα θείας παρουσίας ποιεῖσθαι τεκμήρια, καλῶς ἂν ἔχοι περὶ τῶν ἀνθυπενεχθέντων ἡμῖν ἰδίᾳ τὸν λόγον διαλαβεῖν, ὅτου χάριν ἡ θεία φύσις πρὸς τὴν ἡμετέραν συμπλέκεται, δι' ἑαυτῆς σῴζουσα τὸ ἀνθρώπινον, οὐ διὰ προστάγματος κατεργαζομένη τὸ κατὰ πρόθεσιν. Τίς οὖν ἂν γένοιτο ἡμῖν ἀρχὴ πρὸς τὸν προκείμενον σκοπὸν ἀκολούθως χειραγωγοῦσα τὸν λόγον; τίς ἄλλη ἢ τὸ τὰς εὐσεβεῖς περὶ τοῦ Θεοῦ ὑπολήψεις ἐπὶ κεφαλαίων διεξελθεῖν;

20. Οὐκοῦν ὁμολογεῖται παρὰ πᾶσι μὴ μόνον δυνατὸν εἶναι δεῖν πιστεύειν τὸ Θεῖον, ἀλλὰ καὶ δίκαιον καὶ ἀγαθὸν καὶ σοφὸν καὶ πᾶν ὅ,τι πρὸς τὸ κρεῖττον τὴν διάνοιαν φέρει. Ἀκόλουθον τοίνυν ἐπὶ τῆς παρούσης οἰκονομίας μὴ τὸ μέν τι βούλεσθαι τῶν τῷ Θεῷ πρεπόντων ἐπιφαίνεσθαι **79** τοῖς γεγενημένοις, τὸ δὲ μὴ παρεῖναι· καθ' ὅλου γὰρ οὐδὲν ἐφ' ἑαυτοῦ τῶν ὑψηλῶν τούτων ὀνομάτων διεζευγμένον τῶν ἄλλων ἀρετὴ κατὰ μόνας ἐστίν· οὔτε τὸ ἀγαθὸν ἀληθῶς ἐστιν ἀγαθόν, μὴ μετὰ τοῦ δικαίου τε καὶ σοφοῦ καὶ τοῦ δυνατοῦ τεταγμένον· τὸ γὰρ ἄδικον ἢ ἄσοφον ἢ **[57]** ἀδύνατον ἀγαθὸν οὐκ ἔστιν· οὔτε ἡ δύναμις τοῦ δικαίου τε καὶ σοφοῦ κεχωρισμένη ἐν ἀρετῇ θεωρεῖται· θηριῶδες γάρ ἐστι τὸ τοιοῦτον καὶ τυραννικὸν τῆς δυνάμεως εἶδος. Ὡσαύτως δὲ καὶ τὰ λοιπά, εἰ ἔξω τοῦ δικαίου τὸ σοφὸν φέροιτο, ἢ τὸ δίκαιον, εἰ μὴ μετὰ τοῦ δυνατοῦ τε καὶ τοῦ ἀγαθοῦ θεωροῖτο, κακίαν ἄν τις μᾶλλον κυρίως τὰ τοιαῦτα κατονομάσειεν· τὸ γὰρ ἐλλιπὲς τοῦ κρείττονος πῶς ἄν τις ἐν ἀγαθοῖς ἀριθμήσειεν; Εἰ δὲ πάντα προσήκει συνδραμεῖν ἐν ταῖς περὶ Θεοῦ δόξαις, σκοπήσωμεν εἴ τινος ἡ κατὰ ἄνθρωπον οἰκονομία[α] λείπεται τῶν θεοπρεπῶν ὑπολήψεων. Ζητοῦμεν πάντως ἐπὶ τοῦ Θεοῦ τῆς ἀγαθότητος τὰ σημεῖα. Καὶ τίς ἂν γένοιτο φανερωτέρα τοῦ ἀγαθοῦ μαρτυρία ἢ τὸ μεταποιηθῆναι αὐτὸν τοῦ πρὸς τὸ ἐναντίον αὐτομολήσαντος; μηδὲ συνδιατεθῆναι τῷ εὐμεταβλήτῳ τῆς ἀνθρωπίνης προαιρέσεως τὴν παγίαν ἐν τῷ ἀγαθῷ καὶ ἀμετάβλητον φύσιν; Οὐ γὰρ ἂν ἦλθεν εἰς τὸ σῶσαι ἡμᾶς, καθώς φησιν ὁ Δαβίδ, **80** μὴ ἀγαθότητος τὴν τοιαύτην πρόθεσιν ἐμποιούσης. Ἀλλ' οὐδὲν ἂν ὤνησε τὸ ἀγαθὸν τῆς προθέσεως, μὴ σοφίας ἐνεργὸν τὴν φιλανθρωπίαν ποιούσης. Καὶ γὰρ ἐπὶ τῶν ἀρρώστως διακειμένων

---

1. Πρβλ. Β' Μακκ. 2,24.

α. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. σ. 384,33.

πολλοὶ μὲν ἴσως οἱ βουλόμενοι μὴ ἐν κακοῖς εἶναι τὸν κείμενον, μόνοι δὲ τὴν ἀγαθὴν ὑπὲρ τῶν καμνόντων προαίρεσιν εἰς πέρας ἄγουσιν, οἷς τεχνική τις δύναμις ἐνεργεῖ πρὸς τὴν τοῦ κάμνοντος ἴασιν. Οὐκοῦν τὴν σοφίαν δεῖ συνεζεῦχθαι πάντως τῇ ἀγαθότητι. Πῶς τοίνυν ἐν τοῖς γεγενημένοις τὸ σοφὸν τῷ ἀγαθῷ συνθεωρεῖται; Ὅτι οὐ γυμνὸν τὸ κατὰ πρόθεσιν ἀγαθὸν ἔστιν ἰδεῖν. Πῶς γὰρ ἂν φανείη ἡ πρόθεσις, μὴ διὰ τῶν γιγνομένων φανερουμένη; Τὰ δὲ πεπραγμένα εἱρμῷ τινι καὶ τάξει δι' ἀκολούθου προϊόντα τὸ σοφόν τε καὶ τεχνικὸν τῆς οἰκονομίας τοῦ Θεοῦ διαδείκνυσιν. Ἐπεὶ δέ, καθὼς ἐν τοῖς φθάσασιν εἴρηται, πάντως τῷ δικαίῳ τὸ σοφὸν συνεζευγμένον ἀρετὴ γίγνεται, εἰ δὲ χωρισθείη, μὴ ἂν ἐφ' ἑαυτοῦ κατὰ μόνας ἀγαθὸν εἶναι, καλῶς ἂν ἔχοι καὶ ἐπὶ τοῦ λόγου **81** τῆς κατὰ ἄνθρωπον οἰκονομίας τὰ δύο μετ' ἀλλήλων κατανοῆσαι, τὸ σοφόν φημι καὶ τὸ δίκαιον.

21. Τίς οὖν ἡ δικαιοσύνη; Μεμνήμεθα πάντως τῶν κατὰ τὸ ἀκόλουθον ἐν τοῖς πρώτοις τοῦ λόγου διηρημένων ὅτι μίμημα τῆς θείας φύσεως κατεσκευάσθη ὁ ἄνθρωπος, τοῖς τε λοιποῖς τῶν ἀγαθῶν καὶ τῷ αὐτεξουσίῳ τῆς προαιρέσεως τὴν πρὸς τὸ Θεῖον διασῴζων ὁμοίωσιν[α], τρεπτῆς δὲ φύσεως ὢν κατ' ἀνάγκην· οὐ γὰρ ἐνεδέχετο τὸν ἐξ ἀλλοιώσεως τὴν ἀρχὴν τοῦ εἶναι σχόντα μὴ τρεπτὸν εἶναι πάντως· ἡ γὰρ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι πάροδος ἀλλοίωσίς τίς ἐστι, τῆς ἀνυπαρξίας κατὰ θείαν δύναμιν εἰς οὐσίαν μεθισταμένης, καὶ ἄλλως δὲ τῆς τροπῆς **82** ἀναγκαίως ἐν τῷ ἀνθρώπῳ θεωρουμένης, ἐπειδὴ μίμημα τῆς θείας φύσεως ὁ ἄνθρωπος ἦν· τὸ δὲ μιμούμενον, εἰ μὴ ἐν ἑτερότητι τύχοι τινί, ταὐτὸν ἂν εἴη πάντως ἐκείνῳ, ᾧ ἀφωμοίωται. Ἐν τούτῳ τοίνυν τῆς ἑτερότητος τοῦ **[60]** κατ' εἰκόνα γενομένου πρὸς τὸ ἀρχέτυπον οὔσης[β], ἐν τῷ τὸ μὲν ἄτρεπτον εἶναι τῇ φύσει, τὸ δὲ μὴ οὕτως ἔχειν, ἀλλὰ δι' ἀλλοιώσεως μὲν ὑποστῆναι κατὰ τὸν ἀποδοθέντα λόγον, ἀλλοιούμενον δὲ μὴ πάντως ἐν τῷ εἶναι μένειν· ἡ δὲ ἀλλοίωσις[γ] κίνησίς τίς ἐστιν εἰς ἕτερον ἀπὸ τοῦ ἐν ᾧ ἐστιν εἰς ἀεὶ προϊοῦσα· δύο δὲ τῆς τοιαύτης εἴδη κινήσεως· τὸ μὲν πρὸς τὸ ἀγαθὸν ἀεὶ γιγνόμενον, ἐν ᾧ ἡ πρόοδος στάσιν οὐκ ἔχει, διότι πέρας οὐδὲν τοῦ διεξο**83**δευομένου καταλαμβάνεται· τὸ δὲ πρὸς τὸ ἐναντίον, οὗ ἡ ὑπόστασις ἐν τῷ μὴ ὑφεστάναι ἐστίν· ἡ γὰρ τοῦ ἀγαθοῦ ἐναντίωσις, καθὼς ἐν τοῖς ἔμπροσθεν εἴρηται, τοιοῦτόν τινα νοῦν κατὰ τὴν ἀντιδιαστολὴν ἔχει, καθάπερ φαμὲν τῷ μὴ ὄντι τὸ ὂν

α. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. σ. 386,21.

β. Πρβλ. Ὠριγένους, Εἰς τὸ κατὰ Ἰωάννην Β,11, ΒΕΠ 11,289,23. PG 14,109B. Μ. Βασιλείου, Κατὰ Εὐνομίου λόγ. Β', ΒΕΠ 52,200,3. PG 29,605A.

γ. Πρβλ. Ὠριγένους, Εἰς τοὺς Ψαλμούς, Ἐκλογαὶ ΟΣΤ', ΒΕΠ 16,74,23. PG 12,1540B. Εὐσεβίου Καισαρείας, Εὐαγγελικὴ προπαρασκευὴ Ζ', ιη', ΒΕΠ 25,267,18. PG 21,564B. Εὐαγγελικὴ ἀπόδειξις Δ, XV, ΒΕΠ 27,164,27-29. PG 22,301B. Ἑρμηνεία εἰς τοὺς Ψαλμοὺς (ΜΔ'), ΒΕΠ 21,190,4 ἑξ. PG 23, 392B.

ἀντιδιαιρεῖσθαι καὶ τῇ ἀνυπαρξίᾳ τὴν ὕπαρξιν· ἐπειδὴ τοίνυν κατὰ τὴν τρεπτήν τε καὶ ἀλλοιωτὴν ὁρμήν τε καὶ κίνησιν οὐκ ἐνδέχεται τὴν φύσιν ἐφ' ἑαυτῆς μένειν ἀκίνητον, ἀλλ' ἐπί τι πάντως ἡ προαίρεσις ἵεται, τῆς πρὸς τὸ καλὸν ἐπιθυμίας αὐτὴν φυσικῶς ἐφελκομένης εἰς κίνησιν· καλὸν δὲ τὸ μέν τι ἀληθῶς κατὰ τὴν φύσιν ἐστί, τὸ δὲ οὐ τοιοῦτον, ἀλλ' ἐπηνθισμένον τινὶ καλοῦ φαντασίᾳ· κριτήριον δὲ τούτων ἐστὶν ὁ νοῦς, ἔνδοθεν ἡμῶν ἐνιδρυμένος, ἐν ᾧ κινδυνεύεται ἢ τὸ ἐπιτυχεῖν τοῦ ὄντως καλοῦ ἢ τὸ παρατραπέντας αὐτοῦ διά τινος τῆς κατὰ τὸ φαινόμενον ἀπάτης ἐπὶ τὸ ἐναντίον ἡμᾶς ἀπορρυῆναι, οἷόν τι παθεῖν ὁ ἔξωθεν μῦθός φησιν ἀπιδοῦσαν ἐν τῷ ὕδατι τὴν κύνα πρὸς τὴν σκιὰν οὗ διὰ στόματος ἔφερε, μεθεῖναι μὲν τὴν ἀληθῆ τροφήν, περιχανοῦσαν δὲ τὸ τῆς τροφῆς εἴδωλον ἐν λιμῷ γενέσθαι· **84** (22) ἐπεὶ οὖν τῆς πρὸς τὸ ὄντως ἀγαθὸν ἐπιθυμίας διαψευσθεὶς ὁ νοῦς πρὸς τὸ μὴ ὂν παρηνέχθη, δι' ἀπάτης τοῦ τῆς κακίας συμβούλου τε καὶ εὑρετοῦ καλὸν ἀναπεισθεὶς εἶναι τὸ τῷ καλῷ ἐναντίον· οὐ γὰρ ἂν ἐνήργησεν ἡ ἀπάτη, μὴ δελέατος δίκην τῷ τῆς κακίας ἀγκίστρῳ τῆς τοῦ καλοῦ φαντασίας περιπλασθείσης· ἐν ταύτῃ τοίνυν γεγονότος ἑκουσίως τῇ συμφορᾷ τοῦ ἀνθρώπου τοῦ ἑαυτὸν δι' ἡδονῆς τῷ ἐχθρῷ τῆς ζωῆς ὑποζεύξαντος, πάντα μοι κατὰ ταὐτὸν ἀναζήτει τὰ ταῖς θείαις ὑπολήψεσι πρέποντα, τὸ ἀγαθόν, τὸ σοφόν, τὸ δίκαιον, τὸ δυνατόν, τὸ ἄφθαρτον καὶ εἴ τι τῆς τοῦ κρείττονος σημασίας ἐστίν. Οὐκοῦν ὡς ἀγαθὸς οἶκτον λαμβάνει τοῦ διαπεπτωκότος, ὡς σοφὸς οὐκ ἀγνοεῖ τὸν τρόπον τῆς ἀνακλήσεως. Σοφίας δ' ἂν εἴη καὶ ἡ τοῦ δικαίου κρίσις· οὐ γὰρ ἄν τις ἀφροσύνῃ τὴν ἀληθῆ δικαιοσύνην προσάψειεν.

22. Τί οὖν ἐν τούτοις τὸ δίκαιον; Τὸ μὴ τυραννικῇ **85** τινι χρήσασθαι κατὰ τοῦ κατέχοντος ἡμᾶς αὐθεντίᾳ, μηδὲ τῷ περιόντι τῆς δυνάμεως ἀποσπάσαντα τοῦ κρατοῦντος καταλιπεῖν τινὰ δικαιολογίας ἀφορμὴν τῷ δι' ἡδονῆς καταδουλωσαμένῳ τὸν ἄνθρωπον. Καθάπερ γὰρ οἱ χρημάτων τὴν ἑαυτῶν ἐλευθερίαν ἀποδόμενοι δοῦλοι τῶν ὠνησαμένων εἰσίν, αὐτοὶ πρατῆρες ἑαυτῶν καταστάντες, καὶ οὔτε αὐτοῖς οὔτε ἄλλῳ τινὶ ὑπὲρ ἐκείνων ἔξεστι τὴν ἐλευθερίαν ἐπιβοήσασθαι[α], κἂν εὐπατρίδαι τινὲς ὦσιν οἱ πρὸς τὴν συμφορὰν ταύτην αὐτομολήσαντες· εἰ δέ τις κηδόμενος τοῦ ἀπεμπολη**[61]**θέντος βίᾳ κατὰ τοῦ ὠνησαμένου χρῷτο, ἄδικος εἶναι δόξει τὸν νόμῳ κτηθέντα τυραννικῶς ἐξαιρούμενος· ἐξωνεῖσθαι δὲ πάλιν εἰ βούλοιτο τὸν τοιοῦτον, οὐδεὶς ὁ κωλύων νόμος ἐστί· (23) κατὰ τὸν αὐτὸν τρόπον ἑκουσίως ἡμῶν ἑαυτοὺς ἀπεμπολησάντων ἔδει παρὰ τοῦ δι' ἀγαθότητα πάλιν ἡμᾶς εἰς ἐλευθερίαν ἐξαιρουμένου μὴ τὸν τυραννικόν, ἀλλὰ τὸν δίκαιον τρόπον ἐπινοηθῆναι τῆς ἀνακλήσεως. Οὗτος δέ ἐστί τις τὸ ἐπὶ

α. Πρβλ. Μ. Βασιλείου, Περὶ τοῦ Ἁγίου Πνεύματος, ΒΕΠ 52,251,16. PG 22,112C.

τῷ κρατοῦντι ποιήσασθαι πᾶν ὅπερ ἂν ἐθέλοι λύτρον ἀντὶ τοῦ κατεχομένου λαβεῖν.

23. Τί τοίνυν εἰκὸς ἦν μᾶλλον τὸν κρατοῦντα λαβεῖν **86** ἑλέσθαι; Δυνατόν ἐστι δι' ἀκολούθου στοχασμόν τινα τῆς ἐπιθυμίας αὐτοῦ λαβεῖν, εἰ τὰ πρόδηλα γένοιτο ἡμῖν τῶν ζητουμένων τεκμήρια. Ὁ τοίνυν κατὰ τὸν ἐν ἀρχῇ τοῦ συγγράμματος προαποδοθέντα λόγον τῷ πρὸς τὸν εὐημεροῦντα φθόνῳ πρὸς μὲν τὸ ἀγαθὸν ἐπιμύσας, τὸν δὲ τῆς κακίας ζόφον ἐν ἑαυτῷ γεννήσας, ἀρχὴν δὲ τῆς πρὸς τὰ χείρω ῥοπῆς καὶ ὑπόθεσιν καὶ οἱονεὶ μητέρα τῆς λοιπῆς κακίας τὴν φιλαρχίαν νοσήσας, τίνος ἂν ἀντηλλάξατο τὸν κατεχόμενον, εἰ μὴ δηλαδὴ τοῦ ὑψηλοτέρου καὶ μείζονος ἀνταλλάγματος, ὡς ἂν μᾶλλον ἑαυτοῦ τὸ κατὰ τὸν τῦφον θρέψειεν πάθος, τὰ μείζω τῶν ἐλαττόνων διαμειβόμενος; Ἀλλὰ μὴν ἐν τοῖς ἀπ' αἰῶνος ἱστορουμένοις, ἐν οὐδενὶ συνεγνώκει τοιοῦτον οὐδέν, οἷα καθεώρα περὶ τὸν τότε φαινόμενον, κυοφορίαν ἀσυνδύαστον[α] καὶ γέννησιν ἄφθορον, καὶ θήλην ἐκ παρθενίας, **87** καὶ ἄνωθεν ἐπιμαρτυρούσας τῷ ὑπερφυεῖ τῆς ἀξίας ἐκ τῶν ἀοράτων φωνάς, καὶ τῶν τῆς φύσεως ἀρρωστημάτων διόρθωσιν ἀπραγμάτευόν τινα καὶ ψιλήν, ἐν ῥήματι μόνῳ καὶ ὁρμῇ τοῦ θελήματος παρ' αὐτοῦ γινομένην, τήν τε τῶν τεθνηκότων ἐπὶ τὸν βίον ἀνάλυσιν[1·β] καὶ τὴν τῶν καταδίκων ἀνάρρυσιν καὶ τὸν κατὰ τῶν δαιμόνων φόβον καὶ τῶν κατὰ τὸν ἀέρα παθῶν[γ] τὴν ἐξουσίαν καὶ τὴν διὰ θαλάσσης πορείαν[2], οὐ διαχωροῦντος ἐφ' ἑκάτερα τοῦ **88** πελάγους καὶ τὸν πυθμένα γυμνοῦντος τοῖς παροδεύουσι κατὰ τὴν ἐπὶ Μωσέως θαυματουργίαν[3], ἀλλ' ἄνω[δ] τῆς ἐπιφανείας τοῦ ὕδατος ὑποχερσουμένης τῇ βάσει καὶ διά τινος ἀσφαλοῦς ἀντιτυπίας ὑπερειδούσης τὸ ἴχνος, τήν τε τῆς τροφῆς ὑπεροψίαν ἐφ' ὅσον βούλοιτο καὶ τὰς ἐν ἐρημίᾳ δαψιλεῖς ἑστιάσεις τῶν ἐν πολλαῖς χιλιάσιν εὐωχουμένων, οἷς οὔτε οὐρανὸς ἐπέρρει τὸ μάννα οὔτε ἡ γῆ κατὰ τὴν ἰδίαν αὐτῆς φύσιν σιτοποιοῦσα τὴν χρείαν ἐπλήρου, ἀλλ' ἐκ τῶν ἀρρήτων ταμείων τῆς θείας δυνάμεως ἡ φιλοτιμία προήει, ἕτοιμος ἄρτος ταῖς χερσὶ τῶν διακονούντων ἐγγεωργούμενος καὶ διὰ τοῦ κόρου[4] τῶν ἐσθιόντων πλείων γιγνόμενος, ἥ τε διὰ τῶν ἰχθύων ὀψοφαγία, οὐ θαλάσσης αὐτοῖς πρὸς τὴν χρείαν συνεισφερούσης, ἀλλὰ τοῦ καὶ τῇ θαλάσσῃ τὸ γένος τῶν ἰχθύων ἐγκατασπείραντος. Καὶ πῶς ἄν τις τὸ καθ' ἕκαστον τῶν εὐαγγελικῶν διεξίοι θαυμάτων; Ταύτην τοίνυν τὴν δύναμιν καθορῶν, ὁ ἐχθρὸς ἐν ἐκείνῳ πλεῖον **89** τοῦ κατεχομένου τὸ προκείμενον εἶδεν ἐν τῷ συναλλάγματι. Τούτου χάριν αὐτὸν αἱρεῖ-

1. Πρβλ. Λουκ. 12,36. 2. Πρβλ. Μάρκ. 6,48-49. Ματθ. 14,25-26. Ἰω. 6,19. 3. Πρβλ. Ἐξ. 14,21. 4. Πρβλ. Ματθ. 14,20. Μάρκ. 6,42-43.

α. Πρβλ. Ἰγνατίου, Πρὸς Ἐφεσίους, XIX, ΒΕΠ 2,291,35 ἑξ. PG 5,660A-B.
β. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, κατωτ. σ. 434,24.
γ. Πρβλ. Γρηγορίου Θεολόγου, Θεολογικὸς Β', ΒΕΠ 59,236,16.
δ. Πρβλ. Γρηγορίου Θεολόγου, Θεολογικὸς Ε', ΒΕΠ 59,282,22-23.

ται[α] λύτρον[1] τῶν ἐν τῇ τοῦ θανάτου φρουρᾷ καθειργμένων γενέσθαι. Ἀλλὰ μὴν[β] ἀμήχανον ἦν αὐτὸν γυμνῇ προσβλέψαι τῇ τοῦ Θεοῦ φαντασίᾳ μὴ σαρκός τινα μοῖραν ἐν αὐτῷ **[64]** θεωρήσαντα, ἣν ἤδη διὰ τῆς ἁμαρτίας κεχείρωτο. Διὰ τοῦτο περικαλύπτεται τῇ σαρκὶ ἡ θεότης, ὡς ἄν, πρὸς τὸ σύντροφόν τε καὶ συγγενὲς αὐτῷ βλέπων, μὴ πτοηθείη τὸν **90** προσεγγισμὸν τῆς ὑπερεχούσης δυνάμεως· καὶ τὴν ἠρέμα διὰ τῶν θαυμάτων ἐπὶ τὸ μεῖζον διαλάμπουσαν δύναμιν κατανοήσας, ἐπιθυμητὸν μᾶλλον ἢ φοβερὸν τὸ φανὲν εἶναι νομίσῃ. Ὁρᾷς ὅπως τὸ ἀγαθὸν τῷ δικαίῳ συνέζευκται καὶ τὸ σοφὸν τούτων οὐκ ἀποκέκριται. Τὸ γὰρ διὰ τῆς τοῦ σώματος περιβολῆς χωρητὴν τὴν θείαν δύναμιν ἐπινοῆσαι γενέσθαι, ὡς ἂν ἡ ὑπὲρ ἡμῶν οἰκονομία μὴ παραποδισθείη τῷ φόβῳ τῆς θεϊκῆς ἐπιφανείας, πάντων κατὰ ταὐτὸν τὴν ἀπόδειξιν ἔχει, τοῦ ἀγαθοῦ, τοῦ σοφοῦ, τοῦ δικαίου. Τὸ μὲν γὰρ ἐλέσθαι σῶσαι τῆς ἀγαθότητός ἐστι μαρτυρία· τὸ δὲ συναλλαγματικὴν ποιήσασθαι τὴν τοῦ κρατουμένου λύτρωσιν τὸ δίκαιον δείκνυσι· τὸ δὲ χωρητὸν δι' ἐπινοίας ποιῆσαι τῷ ἐχθρῷ τὸ ἀχώρητον τῆς ἀνωτάτω σοφίας τὴν ἀπόδειξιν ἔχει.

24. Ἀλλ' ἐπιζητεῖν εἰκὸς τὸν τῇ ἀκολουθίᾳ τῶν εἰρημένων προσέχοντα, ποῦ τὸ δυνατὸν τῆς θεότητος, ποῦ ἡ **91** ἀφθαρσία τῆς θείας δυνάμεως ἐν τοῖς εἰρημένοις ὁρᾶται. Ἵνα τοίνυν καὶ ταῦτα γένηται καταφανῆ, τὰ ἐφεξῆς τοῦ μυστηρίου διασκοπήσωμεν, ἐν οἷς μάλιστα δείκνυται συγκεκραμένη τῇ φιλανθρωπίᾳ ἡ δύναμις. Πρῶτον μὲν οὖν τὸ τὴν παντοδύναμον φύσιν καὶ πρὸς τὸ ταπεινὸν τῆς ἀνθρωπότητος καταβῆναι ἰσχῦσαι πλείονα τῆς δυνάμεως τὴν ἀπόδειξιν ἔχει ἢ τὰ μεγάλα τε καὶ ὑπερφυῆ τῶν θαυμάτων. Τὸ μὲν γὰρ μέγα τι καὶ ὑψηλὸν ἐξεργασθῆναι παρὰ τῆς θείας δυνάμεως κατὰ φύσιν πώς ἐστι καὶ ἀκόλουθον. Καὶ οὐκ ἄν τινα ξενισμὸν ἐπάγοι τῇ ἀκοῇ τὸ λέγειν πᾶσαν τὴν ἐν τῷ κόσμῳ κτίσιν καὶ πᾶν ὅ τί περ ἔξω τῶν φαινομένων καταλαμβάνεται, ἐν τῇ δυνάμει τοῦ Θεοῦ συστῆναι, αὐτοῦ τοῦ θελήματος πρὸς τὸ δοκοῦν οὐσιωθέντος. Ἡ δὲ πρὸς τὸ ταπεινὸν κάθοδος περιουσία[γ] τίς ἐστι τῆς δυνάμεως οὐδὲν ἐν τοῖς **92** παρὰ φύσιν κωλυομένης. Ὡς γὰρ ἴδιόν ἐστι τῆς τοῦ πυρὸς οὐσίας ἡ ἐπὶ τὸ ἄνω φορά, καὶ οὐκ ἄν τις θαύματος ἄξιον ἐπὶ τῆς φλογὸς ἡγήσαιτο τὸ φυσικῶς ἐνεργούμενον· εἰ δὲ ῥέουσαν ἐπὶ τὸ κάτω καθ' ὁμοιότητα τῶν ἐμβριθῶν σωμάτων ἴδοι τὴν φλόγα, τὸ τοιοῦτον ἐν θαύματι ποιεῖται, πῶς τὸ πῦρ καὶ διαμένει πῦρ ὂν καὶ ἐν τῷ τρόπῳ τῆς κινήσεως ἐκβαίνει τὴν φύσιν, ἐπὶ τὸ κάτω φερόμενον· οὕτως καὶ τὴν θείαν τε καὶ ὑπερέχουσαν δύ-

---

1. Πρβλ. Ματθ. 20,28. Μάρκ. 10,45.

α. Πρβλ. Γρηγορίου Θεολόγου, Περὶ φιλοπτωχίας (ΙΔ'), ΒΕΠ 59,73,28 ἑξ.

β. Πρβλ. Ἰγνατίου, Πρὸς Ἐφεσίους, ΒΕΠ 2,291,35 ἑξ. PG 5,660A-B. Γρηγορίου Θεολόγου, Εἰς τὰ ἅγια Φῶτα, ΒΕΠ 60,78,34-38.

γ. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. σ. 403,11.

ναμιν οὐκ οὐρανῶν μεγέθη καὶ φωστήρων αὐγαὶ καὶ ἡ τοῦ παντὸς διακόσμησις καὶ ἡ διηνεκὴς τῶν ὄντων οἰκονομία[α] τοσοῦτον ὅσον ἡ ἐπὶ τὸ ἀσθενὲς τῆς φύσεως ἡμῶν συγκατάβασις δείκνυσι, πῶς τὸ ὑψηλόν, ἐν τῷ ταπεινῷ γενόμενον, καὶ ἐν τῷ ταπεινῷ καθορᾶται καὶ οὐ καταβαίνει τοῦ ὕψους, πῶς θεότης ἀνθρωπίνῃ συμπλακεῖσα φύσει καὶ τοῦτο γίνεται καὶ ἐκεῖνό ἐστιν. Ἐπειδὴ γάρ, καθὼς ἐν τοῖς ἔμπροσθεν εἴρηται, φύσιν οὐκ εἶχεν ἡ ἐναντία δύναμις ἀκράτῳ προσμῖξαι τῇ τοῦ Θεοῦ παρουσίᾳ καὶ γυμνὴν ὑποστῆναι αὐτοῦ τὴν ἐμφάνειαν, ὡς ἂν εὔληπτον γένοιτο τῷ ἐπιζητοῦντι ὑπὲρ ἡμῶν τὸ **93** ἀντάλ**[65]**λαγμα, τῷ προκαλύμματι τῆς φύσεως ἡμῶν ἐνεκρύφθη τὸ Θεῖον, ἵνα κατὰ τοὺς λίχνους τῶν ἰχθύων τῷ δελέατι τῆς σαρκὸς συγκατασπασθῇ τὸ ἄγκιστρον τῆς θεότητος, καὶ οὕτω τῆς ζωῆς τῷ θανάτῳ εἰσοικισθείσης καὶ τῷ σκότῳ τοῦ φωτὸς ἐπιφανέντος ἐξαφανισθῇ τὸ τῷ φωτὶ καὶ τῇ ζωῇ κατὰ τὸ ἐναντίον νοούμενον· οὐ γὰρ ἔχει φύσιν οὔτε σκότος διαμένειν ἐν φωτὸς παρουσίᾳ, οὔτε θάνατον εἶναι ζωῆς ἐνεργούσης. Οὐκοῦν ἐπὶ κεφαλαίων τοῦ μυστηρίου τὴν ἀκολουθίαν ἀναλαβόντες ἐντελῆ ποιησώμεθα τὴν ἀπολογίαν πρὸς τοὺς κατηγοροῦντας τῆς θείας οἰκονομίας, ὅτου χάριν δι' ἑαυτῆς ἡ θεότης τὴν ἀνθρωπίνην κατεργάζεται σωτηρίαν. Δεῖ γὰρ διὰ πάντων[β] τὸ Θεῖον ἐν ταῖς πρεπούσαις ὑπολήψεσιν εἶναι καὶ μὴ τὸ μὲν ὑψηλῶς ἐπ' αὐτοῦ νοεῖσθαι, τὸ δὲ τῆς θεοπρεποῦς ἀξίας ἐκβάλλεσθαι· ἀλλὰ πᾶν ὑψηλόν τε καὶ **94** εὐσεβὲς νόημα δεῖ πάντως ἐπὶ Θεοῦ πιστεύεσθαι, καὶ συνηρτῆσθαι[γ] δι' ἀκολουθίας τῷ ἑτέρῳ τὸ ἕτερον. Δέδεικται τοίνυν τὸ ἀγαθόν, τὸ σοφόν, τὸ δίκαιον, τὸ δυνατόν, τὸ φθορᾶς ἀνεπίδεκτον, πάντα τῷ λόγῳ τῆς καθ' ἡμᾶς οἰκονομίας ἐπιδεικνύμενα. Ἡ ἀγαθότης ἐν τῷ προελέσθαι σῶσαι τὸν ἀπολωλότα[1] καταλαμβάνεται, ἡ σοφία καὶ ἡ δικαιοσύνη ἐν τῷ τρόπῳ τῆς σωτηρίας ἡμῶν διεδείχθη, ἡ δύναμις ἐν τῷ γενέσθαι μὲν αὐτὸν ἐν ὁμοιώματι ἀνθρώπου καὶ σχήματι[2] κατὰ τὸ ταπεινὸν τῆς φύσεως ἡμῶν καὶ ἐλπισθῆναι δύνασθαι αὐτὸν καθ' ὁμοιότητα τῶν ἀνθρώπων τῷ θανάτῳ ἐγκρατηθῆναι, γενόμενον δὲ τὸ οἰκεῖον ἑαυτῷ καὶ κατὰ φύσιν ἐργάσασθαι. Οἰκεῖον δὲ φωτὶ μὲν ὁ ἀφανισμὸς τοῦ σκότους, ζωῇ δὲ ἡ τοῦ θανάτου καθαίρεσις. Ἐπεὶ οὖν τῆς εὐθείας ὁδοῦ παρενεχθέντες τὸ κατ' ἀρχὰς τῆς ζωῆς ἐξετράπημεν καὶ τῷ θανάτῳ ἐγκατηνέχθημεν, τί τοῦ εἰκότος ἔξω παρὰ τοῦ μυστηρίου μανθάνομεν, εἰ ἡ καθαρότης τῶν ἐξ ἁμαρτίας μολυνθέντων ἐφάπτεται, καὶ ἡ ζωὴ τῶν τεθνηκότων, καὶ ἡ ὁδηγία τῶν πεπλανημένων, ὡς ἂν ὅ τε μολυσμὸς καθαρθείη, καὶ ἡ πλάνη θεραπευθείη, καὶ εἰς τὴν ζωὴν τὸ τεθνηκὸς ἐπανέλθοι;

---

1. Πρβλ. Λουκ. 19,10. 2. Πρβλ. Φιλιπ. 2,7.

α. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. σ. 399,30.
β. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 380,34.
γ. Πρβλ. Γρηγορίου Νύσσης ἔνθ' ἀν. σ. 407,18-19.

95 25. Τὸ δὲ ἐν τῇ φύσει γενέσθαι ἡμῶν τὴν θεότητα τοῖς μὴ λίαν μικροψύχως κατανοοῦσι τὰ ὄντα οὐδένα ἂν ἐκ τοῦ εὐλόγου ξενισμὸν ἐπαγάγοι. Τίς γὰρ[α] οὕτω νήπιος τὴν ψυχὴν ὡς εἰς τὸ πᾶν βλέπων μὴ ἐν παντὶ πιστεύειν εἶναι τὸ Θεῖον, καὶ ἐνδυόμενον καὶ ἐμπεριέχον[1] καὶ ἐγκαθήμενον[2]; Τοῦ γὰρ ὄντος[3] ἐξῆπται τὰ ὄντα, καὶ οὐκ ἔνεστιν εἶναί τι μὴ ἐν τῷ ὄντι τὸ εἶναι ἔχον. Εἰ οὖν ἐν αὐτῷ τὰ πάντα καὶ ἐν πᾶσιν ἐκεῖνο, τί ἐπαισχύνονται τῇ οἰκονομίᾳ τοῦ μυστηρίου τοῦ Θεὸν ἐν ἀνθρώπῳ γεγενῆσθαι διδάσκοντος τὸν οὐδὲ νῦν ἔξω τοῦ ἀνθρώπου εἶναι πεπιστευμένον; Εἰ γὰρ καὶ ὁ τρόπος τῆς ἐν ἡμῖν **96** τοῦ Θεοῦ παρουσίας οὐχ ὁ αὐτὸς οὗτος ἐκείνῳ, ἀλλ' οὖν τὸ ἐν ἡμῖν εἶναι καὶ νῦν καὶ τότε κατὰ τὸ ἴσον διωμολόγηται. Νῦν μὲν οὖν ἐγκέκραται ἡμῖν ὡς συνέχων ἐν τῷ εἶναι τὴν φύσιν· τότε δὲ κατεμίχθη πρὸς τὸ ἡμέτερον, ἵνα τὸ ἡμέτερον τῇ πρὸς τὸ Θεῖον ἐπιμιξίᾳ[β] γένηται θεῖον, ἐξαιρεθὲν τοῦ θανάτου καὶ τῆς τοῦ ἀντικειμένου τυραννίδος ἔξω **[68]** γενόμενον· ἡ γὰρ ἐκείνου ἀπὸ τοῦ θανάτου ἐπάνοδος ἀρχὴ τῷ θνητῷ γένει τῆς εἰς τὴν ἀθάνατον ζωὴν ἐπανόδου γίγνεται[4].

26. Ἀλλ' ἴσως τις ἐν τῇ τῆς δικαιοσύνης τε καὶ σοφίας ἐξετάσει τῆς κατὰ τὴν οἰκονομίαν ταύτην θεωρουμένης ἐνάγεται πρὸς τὸ νομίσαι ἀπάτην τινὰ τὴν τοιαύτην μέθοδον ἐπινενοῆσθαι ὑπὲρ ἡμῶν τῷ Θεῷ· τὸ γὰρ μὴ γυμνῇ τῇ θεότητι, ἀλλ' ὑπὸ τῆς ἀνθρωπίνης φύσεως **97** κεκαλυμμένῃ, ἀγνοηθέντα παρὰ τοῦ Ἐχθροῦ, τὸν Θεὸν ἐντὸς τοῦ κρατοῦντος γενέσθαι ἀπάτη τίς ἐστι τρόπον τινὰ καὶ παραλογισμός, ἐπείπερ ἴδιον τῶν ἀπατώντων ἐστὶ τὸ πρὸς ἕτερον τὰς τῶν ἐπιβουλευομένων ἐλπίδας τρέπειν καὶ ἄλλο παρὰ τὸ ἐλπισθὲν κατεργάζεσθαι. Ἀλλ' ὁ πρὸς τὴν ἀλήθειαν βλέπων πάντων μάλιστα καὶ τοῦτο τῆς δικαιοσύνης τε καὶ τῆς σοφίας εἶναι συνθήσεται. Δικαίου μὲν γάρ ἐστι τὸ κατ' ἀξίαν ἑκάστῳ νέμειν, σοφοῦ δὲ τὸ μήτε παρατρέπειν τὸ δίκαιον, μήτε τὸν ἀγαθὸν τῆς φιλανθρωπίας σκοπὸν ἀποχωρίζειν τῆς κατὰ τὸ δίκαιον κρίσεως, ἀλλὰ συνάπτειν ἀλλήλοις εὐμηχάνως ἀμφότερα, τῇ μὲν δικαιοσύνῃ τὸ κατ' ἀξίαν ἀντιδιδόντα, τῇ δὲ ἀγαθότητι τοῦ σκοποῦ τῆς φιλανθρωπίας οὐκ ἐξιστάμενον. Σκοπήσωμεν τοίνυν εἰ μὴ τὰ δύο ταῦτα τοῖς γεγονόσιν ἐνθεωρεῖται. Ἡ μὲν γὰρ τοῦ κατ' ἀξίαν ἀντίδοσις, δι' ἧς ὁ ἀπατεὼν ἀνταπατᾶται, τὸ δίκαιον δείκνυσιν, ὁ δὲ σκοπὸς τοῦ γιγνομένου μαρτυρία τῆς τοῦ ἐνεργοῦντος ἀγαθότητος γίγνεται. Ἴδιον μὲν γὰρ τῆς δικαιοσύνης τὸ ἐκεῖνα νέμειν ἑκάστῳ, ὧν τις τὰς ἀρχὰς καὶ τὰς αἰτίας προκατεβάλετο, ὥσπερ ἡ γῆ κατὰ τὰ γένη τῶν καταβληθέντων σπερμάτων καὶ τοὺς καρποὺς

---

1. Πρβλ. Ψαλ. 103,1,2. 2. Πρβλ. Ψαλ. 138,7. Ἱερ. 23,4. Ἀμὼς 9,2,3. 3. Πρβλ. Ἡσ. 40,22. Ψαλ. 103,3. 4. Πρβλ. Ἐξ. 3,14.

α. Πρβλ. Μ. Ἀθανασίου, Περὶ τῆς ἐνανθρωπήσεως τοῦ Λόγου, ΒΕΠ 30. 108,24-110,9. PG 25,161Β-172Α.

β. Πρβλ. Γρηγορίου Νύσσης, Πρὸς τὰ Ἀπολιναρίου ἀντιρρητικός, ἀνωτ. σ. 268,4.

ἀντιδίδωσιν[1]· σοφίας δὲ τὸ ἐν τῷ τρόπῳ τῆς τῶν **98** ὁμοίων ἀντιδόσεως μὴ ἐκπεσεῖν τοῦ βελτίονος. Ὥσπερ γὰρ τῷ ἐδέσματι ὁμοίως παραμίγνυσι τὸ φάρμακον καὶ ὁ ἐπιβουλεύων καὶ ὁ τὸν ἐπιβουλευθέντα ἰώμενος· ἀλλ' ὁ μὲν τὸ δηλητήριον, ὁ δὲ τοῦ δηλητηρίου ἀλεξητήριον, καὶ οὐδὲν ὁ τρόπος τῆς θεραπείας τὸν σκοπὸν τῆς εὐεργεσίας διελυμήνατο· εἰ γὰρ καὶ παρ' ἀμφοτέρων φαρμάκου μίξις ἐν τροφῇ γίγνεται, ἀλλὰ πρὸς τὸν σκοπὸν ἀποβλέψαντες τὸν μὲν ἐπαινοῦμεν, τῷ δὲ χαλεπαίνομεν· οὕτω καὶ ἐνταῦθα τῷ μὲν κατὰ τὸ δίκαιον λόγῳ ἐκεῖνα ὁ ἀπατεὼν ἀντιλαμβάνει, ὧν τὰ σπέρματα διὰ τῆς ἰδίας προαιρέσεως κατεβάλετο· ἀπατᾶται γὰρ καὶ αὐτὸς τῷ τοῦ ἀνθρώπου προβλήματι[α] ὁ προαπατήσας τὸν ἄνθρωπον τῷ τῆς ἡδονῆς δελεάσματι[β]· ὁ δὲ σκοπὸς τῶν γιγνομένων ἐπὶ τὸ κρεῖττον τὴν παραλλαγὴν ἔχει. Ὁ μὲν γὰρ ἐπὶ διαφθορᾷ τῆς φύσεως τὴν ἀπάτην ἐνήργησεν, ὁ δὲ δίκαιος ἅμα καὶ ἀγαθὸς καὶ σοφὸς ἐπὶ σωτηρίᾳ τοῦ καταφθαρέντος τῇ ἐπινοίᾳ τῆς ἀπάτης ἐχρήσατο, οὐ μόνον τὸν ἀπολωλότα διὰ τούτων εὐεργετῶν, ἀλλὰ καὶ αὐτὸν τὸν τὴν ἀπώλειαν καθ' ἡμῶν ἐνεργήσαντα[γ]. Ἐκ γὰρ **99** τοῦ προσεγγίσαι[δ] τῇ ζωῇ μὲν τὸν θάνατον, τῷ φωτὶ δὲ τὸ σκότος, τῇ ἀφθαρσίᾳ δὲ τὴν φθοράν, ἀφανισμὸς μὲν τοῦ χείρονος γίγνεται καὶ εἰς τὸ μὴ ὂν μεταχώρησις, ὠφέλεια δὲ τοῦ ἀπὸ τούτων καθαιρομένου. Κα**[69]**θάπερ γάρ, ἀτιμοτέρας ὕλης τῷ χρυσῷ καταμιχθείσης, τῇ διὰ τοῦ πυρὸς δαπάνῃ τὸ ἀλλότριόν τε καὶ ἀπόβλητον οἱ θεραπευταὶ τοῦ χρυσίου καταναλώσαντες πάλιν ἐπανάγουσι πρὸς τὴν κατὰ φύσιν λαμπηδόνα τὴν προτιμοτέραν ὕλην· οὐκ ἄπονος μέντοι γίνεται ἡ διάκρισις, χρόνῳ τοῦ πυρὸς τῇ ἀναλωτικῇ δυνάμει τὸ νόθον ἐξαφανίζοντος, πλὴν ἀλλὰ θεραπεία τίς ἐστι τοῦ χρυσίου τὸ ἐκτακῆναι αὐτὸ τὸ ἐπὶ λύμῃ τοῦ κάλλους ἐγκείμενον· κατὰ τὸν αὐτὸν τρόπον, θανάτου καὶ φθορᾶς καὶ σκότους καὶ εἴ τι κακίας ἔκγονον τῷ εὑρετῇ τοῦ κακοῦ περιφυέντων, ὁ προσεγγισμὸς τῆς θείας δυνάμεως πυρὸς δίκην ἀφανισμὸν τοῦ παρὰ φύσιν κατεργασάμενος εὐεργετεῖ τῇ καθάρσει τὴν φύσιν, κἂν ἐπίπονος ἡ διάκρισις ᾖ. Οὐκοῦν οὐδ' ἂν παρ' αὐτοῦ τοῦ ἀντικειμένου μὴ εἶναι δίκαιόν τε καὶ σωτήριον τὸ γεγονὸς ἀμφιβάλλοιτο, εἴπερ εἰς αἴσθησιν τῆς εὐεργεσίας ἔλθοι. Νυνὶ γὰρ[ε] καθάπερ οἱ ἐπὶ θεραπείᾳ τεμνόμενοί τε καὶ καιόμενοι χαλεπαίνουσι τοῖς **100** θεραπεύουσι, τῇ ὀδύνῃ τῆς τομῆς δριμυσσόμενοι, εἰ δὲ τὸ ὑγιαίνειν διὰ τούτων προσγένοιτο καὶ ἡ τῆς καύσεως ἀλγηδὼν παρέλ-

---

1. Πρβλ. Γαλ. 6,7.

α. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. σ. 404,31-32.

β. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 411,15-17.

γ. Πρβλ. Ὠριγένους, Περὶ ἀρχῶν, PG 11,256D-C.

δ. Πρβλ. Ὠριγένους, Κατὰ Κέλσου, VI 44, ΒΕΠ 10,93,11-94,11. PG 11, 1365B-1368B.

ε. Πρβλ. Ὠριγένους, ἔνθ' ἀν. VI 56, ΒΕΠ 10,103,5-26. PG 11,1384C-1385A.

θοι, χάριν εἴσονται τοῖς τὴν θεραπείαν ἐπ' αὐτῶν ἐνεργήσασι· κατὰ τὸν αὐτὸν τρόπον ταῖς μακραῖς περιόδοις[α] ἐξαιρεθέντος τοῦ κακοῦ τῆς φύσεως, τοῦ νῦν αὐτῇ καταμιχθέντος καὶ συμφυέντος, ἐπειδὰν ἡ εἰς τὸ ἀρχαῖον ἀποκατάστασις[1·β] τῶν νῦν ἐν κακίᾳ κειμένων γένηται, ὁμόφωνος[γ] ἡ εὐχαριστία παρὰ πάσης ἔσται τῆς κτίσεως, καὶ τῶν ἐν τῇ καθάρσει κεκολασμένων καὶ τῶν μηδὲ τὴν ἀρχὴν ἐπιδεηθέντων καθάρσεως. Ταῦτα **101** καὶ τὰ τοιαῦτα παραδίδωσι τὸ μέγα μυστήριον τῆς θείας ἐνανθρωπήσεως. Δι' ὧν γὰρ κατεμίχθη τῇ ἀνθρωπότητι, διὰ πάντων τῶν τῆς φύσεως ἰδιωμάτων[δ] γενόμενος, γενέσεώς τε καὶ ἀνατροφῆς καὶ αὐξήσεως, καὶ μέχρι τῆς τοῦ θανάτου πείρας διεξελθών, τὰ προειρημένα πάντα κατείργασται, τόν τε ἄνθρωπον τῆς κακίας ἐλευθερῶν καὶ αὐτὸν τὸν τῆς κακίας εὑρετὴν ἰώμενος. Ἴασις γάρ ἐστιν ἀρρωστίας ἡ τοῦ νοσήματος κάθαρσις, κἂν ἐπίπονος ᾖ.

27. Ἀκόλουθον δὲ πάντως τὸν πρὸς τὴν φύσιν ἡμῶν ἀνακιρνάμενον[ε] διὰ πάντων δέξασθαι τῶν ἰδιωμάτων αὐτῆς τὴν πρὸς ἡμᾶς συνανάκρασιν[στ]. Καθάπερ γὰρ οἱ τὸν ῥύπον τῶν ἱματίων ἐκπλύνοντες οὐ τὰ μὲν ἐῶσι τῶν μολυσμάτων, τὰ δὲ ἀπορρύπτουσιν, ἀλλ' ἀπ' ἀρχῆς ἄχρι τέλους ἐκκαθαίρουσι τῶν κηλίδων ἅπαν τὸ ὕφασμα, ὡς ἂν ὁμότιμον ἑαυτῷ δι' ὅλου τὸ ἱμάτιον γένοιτο, κατὰ τὸ **102** ἴσον λαμπρυνθὲν ἐκ τῆς πλύσεως· οὕτως, μολυνθείσης τῇ ἁμαρτίᾳ τῆς ἀνθρωπίνης ζωῆς ἐν ἀρχῇ τε καὶ τελευτῇ καὶ τοῖς διὰ μέσου πᾶσιν, ἔδει διὰ πάντων γενέσθαι τὴν ἐκπλύνουσαν δύναμιν, καὶ μὴ τὸ μέν τι θεραπεῦσαι τῷ καθαρσίῳ, τὸ δὲ περιιδεῖν ἀθεράπευτον. Τούτου χάριν τῆς ζωῆς ἡμῶν δύο πέρασιν ἑκατέρωθεν διειλημμένης, τὸ κατὰ τὴν ἀρχήν φημι καὶ τὸ τέλος, καθ' ἑκάτερον εὑρίσκεται πέρας ἡ διορθωτικὴ τῆς φύσεως δύναμις, καὶ τῆς ἀρχῆς ἀψαμένη καὶ μέχρι τοῦ τέλους ἑαυτὴν ἐπεκτείνασα καὶ τὰ διὰ μέσου τούτων πάντα διαλαβοῦσα. Μιᾶς δὲ πᾶσιν ἀνθρώποις τῆς εἰς τὴν ζωὴν **[72]** οὔσης παρόδου, πόθεν ἔδει τὸν εἰσιόντα πρὸς ἡμᾶς εἰσοικισθῆναι τῷ βίῳ; Ἐξ οὐρανοῦ, φησὶ τυχὸν ὁ διαπτύων ὡς αἰσχρόν τε καὶ ἄδοξον τὸ εἶδος τῆς ἀνθρωπίνης γενέσεως. Ἀλλ' οὐκ ἦν ἐν οὐρανῷ τὸ ἀνθρώπινον, οὐδέ τις ἐν τῇ ὑπερκοσμίῳ ζωῇ κακίας νόσος ἐπεχωρίαζεν. Ὁ δὲ τῷ ἀνθρώπῳ καταμιγνύμενος τῷ σκοπῷ τῆς ὠφελείας ἐποιεῖτο τὴν συνανάκρασιν. Ἔνθα τοίνυν τὸ κακὸν οὐκ ἦν, οὐδὲ ὁ ἀνθρώπινος ἐπολιτεύετο βίος, πῶς

---

1. Πρβλ. Πράξ. 3,21. Α' Κορ. 15,28.

α. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. σ. 402,7. Περὶ ψυχῆς καὶ ἀναστάσεως, ἀνωτ. σ. 376,17.

β. Πρβλ. Γρηγορίου Νύσσης, Περὶ ψυχῆς καὶ ἀναστάσεως, ἀνωτ. σ. 354, 15 ἑξ. 373,6 ἑξ. 375,25 ἑξ. Εἰς τοὺς κοιμηθέντας, ΒΕΠ 69,139,34 ἑξ. Κατὰ τοκιζόντων, ΒΕΠ 69,169,28 ἑξ.

γ. Πρβλ. Γρηγορίου Νύσσης, Περὶ ψυχῆς καὶ ἀναστάσεως, ἀνωτ. 342,6.

δ. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, κατωτ. σ. 416,12.

ε. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 399,8.

στ. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 404,12.

ἐπιζητεῖ τις ἐκεῖθεν **103** τῷ Θεῷ περιπλακῆναι τὸν ἄνθρωπον, μᾶλλον δὲ οὐχὶ ἄνθρωπον, ἀλλὰ ἀνθρώπου τι εἴδωλον καὶ ὁμοίωμα; Τίς δ' ἂν ἐγένετο τῆς φύσεως ἡμῶν ἡ διόρθωσις, εἰ τοῦ ἐπιγείου ζῴου νενοσηκότος ἕτερόν τι τῶν οὐρανίων τὴν θείαν ἐπιμιξίαν ἐδέξατο; Οὐκ ἔστι γὰρ θεραπευθῆναι τὸν κάμνοντα, μὴ τοῦ πονοῦντος μέρους ἰδιαζόντως δεξαμένου τὴν ἴασιν. Εἰ οὖν τὸ μὲν κάμνον ἐπὶ γῆς ἦν, ἡ δὲ θεία δύναμις τοῦ κάμνοντος μὴ ἐφήψατο, πρὸς τὸ ἑαυτῆς βλέπουσα πρέπον, ἄχρηστος ἦν τῷ ἀνθρώπῳ ἡ περὶ τὰ μηδὲν ἡμῖν ἐπικοινωνοῦντα τῆς θείας δυνάμεως ἀσχολία. Τὸ μὲν γὰρ ἀπρεπὲς ἐπὶ τῆς θεότητος ἴσον, εἴπερ ὅλως θεμιτόν ἐστιν ἄλλο τι παρὰ τὴν κακίαν ἀπρεπὲς ἐννοεῖν. Πλὴν τῷ μικροψύχως ἐν τούτῳ κρίνοντι τὴν θείαν μεγαλειότητα, ἐν τῷ μὴ δέξασθαι τῶν τῆς φύσεως **104** ἡμῶν ἰδιωμάτων τὴν κοινωνίαν, οὐδὲν μᾶλλον παραμυθεῖται τὸ ἄδοξον οὐρανίῳ σώματι ἢ ἐπιγείῳ συσχηματισθῆναι τὸ Θεῖον. Τοῦ γὰρ ὑψίστου καὶ ἀπροσίτου κατὰ τὸ ὕψος τῆς φύσεως ἡ κτίσις πᾶσα κατὰ τὸ ἴσον ἐπὶ τὸ κάτω ἀφέστηκε, καὶ ὁμοτίμως αὐτῷ τὸ πᾶν ὑποβέβηκε. Τὸ γὰρ καθ' ὅλου ἀπρόσιτον οὔ τινι μέν ἐστι προσιτόν, τῷ δὲ ἀπροσπέλαστον, ἀλλ' ἐπ' ἴσης πάντων τῶν ὄντων ὑπερανέστηκεν. Οὔτε οὖν ἡ γῆ πορρωτέρω τῆς ἀξίας ἐστίν, οὔτε ὁ οὐρανὸς πλησιαίτερος, οὔτε τὰ ἐν ἑκατέρῳ τῶν στοιχείων ἐνδιαιτώμενα διαφέρει τι ἀλλήλων ἐν τῷ μέρει τούτῳ, ὡς τὰ μὲν ἐφάπτεσθαι τῆς ἀπροσίτου φύσεως, τὰ δὲ ἀποκρίνεσθαι, ἢ οὕτω γ' ἂν μὴ διὰ πάντων ἐπ' ἴσης διήκειν τὴν τὸ πᾶν ἐπικρατοῦσαν δύναμιν ὑπονοήσαιμεν, ἀλλ' ἔν τισι πλεονάζουσαν, ἐν ἑτέροις ἐνδεεστέραν εἶναι, καὶ τῇ πρὸς τὸ ἔλαττόν τε καὶ πλέον καὶ μᾶλλον καὶ ἧττον διαφορᾷ σύνθετον ἐκ τοῦ ἀκολούθου τὸ Θεῖον ἀναφανήσεται, αὐτὸ πρὸς ἑαυτὸ μὴ συμβαῖνον, εἴπερ ἡμῶν πόρρωθεν ὑπονοοῖτο εἶναι τῷ λόγῳ τῆς φύσεως, ἑτέρῳ δέ τινι γειτνιῶν καὶ εὔληπτον ἐκ τοῦ **105** σύνεγγυς γίγνοιτο. Ἀλλ' ὁ ἀληθὴς λόγος ἐπὶ τῆς ὑψηλῆς ἀξίας οὔτε κάτω βλέπει διὰ συγκρίσεως, οὔτε ἄνω· πάντα γὰρ κατὰ τὸ ἴσον τὴν τοῦ παντὸς ἐπιστατοῦσαν δύναμιν ὑποβέβηκεν, ὥστε, εἰ τὴν ἐπίγειον φύσιν ἀναξίαν τῆς πρὸς τὸ Θεῖον οἰήσονται συμπλοκῆς, οὐδ' ἂν ἄλλη τις εὑρεθείη τὸ ἄξιον ἔχουσα. Εἰ δὲ ἐπ' ἴσης πάντα τῆς ἀξίας ἀπολιμπάνεται, ἓν πρέπον ἐστὶ τῷ Θεῷ, τὸ εὐεργετεῖν τὸν δεόμενον. Ὅπου τοίνυν ἦν ἡ νόσος, ἐκεῖ φοιτῆσαι τὴν ἰωμένην δύναμιν ὁμολογοῦντες, τί ἔξω τῆς θεοπρεποῦς ὑπολήψεως πεπιστεύκαμεν;

[73] 28. Ἀλλὰ κωμῳδοῦσι τὴν φύσιν ἡμῶν, καὶ τὸν τῆς γεννήσεως τρόπον διαθρυλλοῦσι, καὶ οἴονται διὰ τούτων ἐπιγέλαστον ποιεῖν τὸ μυστήριον, ὡς ἀπρεπὲς ὂν Θεῷ διὰ τοιαύτης εἰσόδου τῆς τοῦ ἀνθρωπίνου βίου κοινωνίας ἐφάψασθαι[α]. Ἀλλ' ἤδη περὶ τούτου καὶ ἐν τοῖς ἔμπροσθεν εἴρηται λόγοις, ὅτι μόνον αἰσχρὸν τῇ ἑαυτοῦ φύσει τὸ

α. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. σ. 403,26.

κακόν ἐστι καὶ εἴ τι πρὸς τὴν κακίαν οἰκείως ἔχει. Ἡ δὲ τῆς φύσεως ἀκολουθία[α], θείῳ βουλή**106**ματι καὶ νόμῳ διαταχθεῖσα, πόρρω τῆς κατὰ κακίαν ἐστὶ διαβολῆς, ἢ οὕτω γ' ἂν ἐπὶ τὸν δημιουργὸν[β] ἡ κατηγορία τῆς φύσεως ἐπανίοι, εἴ τι τῶν περὶ αὐτὴν ὡς αἰσχρόν τε καὶ ἀπρεπὲς διαβάλλοιτο. Εἰ οὖν μόνης κακίας τὸ Θεῖον κεχώρισται, φύσις δὲ κακία οὐκ ἔστι, τὸ δὲ μυστήριον ἐν ἀνθρώπῳ γενέσθαι τὸν Θεόν, οὐκ ἐν κακίᾳ λέγει, ἡ δὲ τοῦ ἀνθρώπου ἐπὶ τὸν βίον εἴσοδος μία ἐστί, δι' ἧς παράγεται ἐπὶ τὴν ζωὴν τὸ γεννώμενον, τίνα νομοθετοῦσιν ἕτερον τρόπον τῷ Θεῷ τῆς εἰς τὸν βίον παρόδου οἱ ἐπισκεφθῆναι μὲν παρὰ τῆς θείας δυνάμεως ἀσθενήσασαν ἐν κακίᾳ τὴν φύσιν[γ] εὔλογον κρίνοντες, πρὸς δὲ τὸν τῆς ἐπισκέψεως τρόπον δυσαρεστούμενοι, οὐκ εἰδότες ὅτι πᾶσα πρὸς ἑαυτὴν ἡ κατασκευὴ τοῦ σώματος ὁμοτίμως[δ] ἔχει, καὶ οὐδὲν ἐν ταύτῃ τῶν πρὸς τὴν σύστασιν τῆς ζωῆς συντελούντων ὡς ἄτιμόν τι ἢ πονηρὸν διαβάλλεται; Πρὸς ἕνα γὰρ σκοπὸν ἡ τῶν ὀργανικῶν μελῶν διασκευὴ πᾶσα συντέτακται. Ὁ δὲ σκοπός ἐστι τὸ διαμένειν ἐν τῇ ζωῇ τὸ ἀνθρώπινον. Τὰ μὲν οὖν λοιπὰ τῶν ὀργάνων τὴν παροῦσαν **107** συνέχει τῶν ἀνθρώπων ζωήν, ἄλλα πρὸς ἄλλην ἐνέργειαν μεμερισμένα, δι' ὧν ἡ αἰσθητική τε καὶ ἐνεργητικὴ δύναμις οἰκονομεῖται· τὰ δὲ γεννητικὰ τοῦ μέλλοντος ἔχει τὴν πρόνοιαν, δι' ἑαυτῶν τῇ φύσει τὴν διαδοχὴν ἀντεισάγοντα. Εἰ οὖν πρὸς τὸ χρειῶδες βλέποις, τίνος ἂν εἴη τῶν τιμίων εἶναι νομιζομένων ἐκεῖνα δεύτερα[1]; τίνος δὲ οὐκ ἂν προτιμότερα κατὰ τὸ εὔλογον κρίνοιτο; Οὐ γὰρ ὀφθαλμῷ καὶ ἀκοῇ καὶ γλώσσῃ ἢ ἄλλῳ τινὶ τῶν αἰσθητηρίων πρὸς τὸ διηνεκὲς τὸ γένος ἡμῶν διεξάγεται[ε]· ταῦτα γάρ, καθὼς εἴρηται, τῆς παρούσης ἐστὶν ἀπολαύσεως· ἀλλ' ἐν ἐκείνοις ἡ ἀθανασία συντηρεῖται τῇ ἀνθρωπότητι, ὡς ἀεὶ καθ' ἡμῶν ἐνεργοῦντα τὸν θάνατον ἄπρακτον εἶναι τρόπον τινὰ καὶ ἀνήνυτον, πάντοτε πρὸς τὸ λεῖπον διὰ τῶν ἐπιγινομένων ἑαυτὴν ἀντεισαγούσης τῆς φύσεως. Τί οὖν ἀπρεπὲς περιέχει ἡμῶν τὸ μυστήριον, εἰ διὰ τούτων κατεμίχθη ὁ Θεὸς τῷ ἀνθρωπίνῳ βίῳ, δι' ὧν ἡ φύσις πρὸς τὸν θάνατον μάχεται;

29. Ἀλλὰ μεταβάντες ἀπὸ τούτου δι' ἑτέρων πάλιν **108** κακίζειν ἐπιχειροῦσι τὸν λόγον καί φασιν, εἰ καλὸν καὶ πρέπον τῷ Θεῷ τὸ γενόμενον, τί ἀνεβάλετο[στ] τὴν εὐεργεσίαν; τί δὲ οὐκ ἐν ἀρχαῖς οὔσης τῆς κακίας τὴν ἐπὶ τὸ πλέον αὐτῆς πρόοδον ὑπετέμετο; Πρὸς δὲ τοῦτο σύντομος ὁ παρ' ἡμῶν ἐστι λόγος, ὅτι σοφίᾳ **[76]** γέγονε καὶ

---

1. Πρβλ. Α' Κορ. 12,14-24.

α. Πρβλ. Γρηγορίου Νύσσης, Περὶ παρθενίας, κεφ. ΙΒ', ΒΕΠ 69,41,29 ἑξ.
β. Πρβλ. Πλάτ., Πολιτεία 530Α.
γ. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. σ. 403,17-18.
δ. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 416,16.
ε. Πρβλ. Γρηγορίου Θεολόγου, Θεολογικὸς Β', ΒΕΠ 59,227,14-35.
στ. Πρβλ. Μ. Ἀθανασίου, Κατὰ Ἀρειανῶν ΙΙ 68, ΒΕΠ 30,237,4-36. PG 26,292Α-293Α.

τοῦ λυσιτελοῦντος τῇ φύσει προμηθείᾳ ἡ πρὸς τὴν εὐεργεσίαν ἡμῶν ἀναβολή. Καὶ γὰρ ἐπὶ τῶν σωματικῶν[α] νοσημάτων, ὅταν τις διεφθορὼς χυμὸς ὑφέρπῃ τοὺς πόρους, πρὶν ἅπαν ἐπὶ τὴν ἐπιφάνειαν ἐκκαλυφθῆναι τὸ παρὰ φύσιν ἐγκείμενον, οὐ καταφαρμακεύεται τοῖς πυκνοῦσι τὸ σῶμα παρὰ τῶν τεχνικῶς μεθοδευόντων τὰ πάθη, ἀλλ' ἐναμένουσι τὸ ἐνδομυχοῦν ἅπαν ἔξω γενέσθαι, καὶ οὕτω γυμνῷ τῷ πάθει τὴν ἰατρείαν προσάγουσιν. Ἐπειδὴ τοίνυν ἅπαξ ἐνέσκηψε τῇ φύσει τῆς ἀνθρωπότητος ἡ τῆς κακίας νόσος, ἀνέμεινεν ὁ τοῦ παντὸς θεραπευτὴς μηδὲν ὑπολειφθῆναι τῆς πονηρίας εἶδος ἐγκεκρυμμένον τῇ φύσει. Διὰ τοῦτο οὐκ εὐθὺς μετὰ **109** τὸν φθόνον καὶ τὴν ἀδελφοκτονίαν τοῦ Κάιν προσάγει τῷ ἀνθρώπῳ τὴν θεραπείαν· οὔπω γὰρ τῶν ἐπὶ Νῶε καταφθαρέντων ἡ κακία ἐξέλαμψεν, οὐδὲ τῆς Σοδομιτικῆς παρανομίας ἡ χαλεπὴ νόσος ἀνεκαλύφθη, οὐδὲ ἡ τῶν Αἰγυπτίων θεομαχία[β], οὐδὲ ἡ τῶν Ἀσσυρίων ὑπερηφανία[1,γ], οὐδὲ ἡ τῶν Ἰουδαίων κατὰ τῶν ἁγίων τοῦ Θεοῦ μιαιφονία[δ], οὐδὲ ἡ τοῦ Ἡρῴδου παράνομος παιδοφονία, οὐδὲ τὰ ἄλλα πάντα ὅσα τε μνημονεύεται καὶ ὅσα ἔξω τῆς ἱστορίας ἐν ταῖς καθεξῆς γενεαῖς κατεπράχθη, πολυτρόπως τῆς τοῦ κακοῦ ῥίζης ἐν ταῖς τῶν ἀνθρώπων προαιρέσεσι βλαστανούσης. Ἐπεὶ οὖν πρὸς τὸ ἀκρότατον ἔφθασε μέτρον ἡ κακία, καὶ οὐδὲν ἔτι πονηρίας εἶδος ἐν τοῖς ἀνθρώποις ἀτόλμητον ἦν, ὡς ἂν διὰ πάσης τῆς ἀρρωστίας προχωρήσειεν ἡ θεραπεία, τούτου χάριν οὐκ ἀρχομένην, ἀλλὰ τελειωθεῖσαν θεραπεύει τὴν νόσον.

30. Εἰ δέ τις ἐλέγχειν οἴεται τὸν ἡμέτερον λόγον, ὅτι καὶ μετὰ τὸ προσαχθῆναι τὴν θεραπείαν ἔτι πλημ**110**μελεῖται διὰ τῶν ἁμαρτημάτων ὁ ἀνθρώπινος βίος, ὑποδείγματί τινι τῶν γνωρίμων ὁδηγηθήτω πρὸς τὴν ἀλήθειαν. Ὥσπερ γὰρ[ε] ἐπὶ τοῦ ὄφεως, εἰ κατὰ κεφαλῆς τὴν καιρίαν λάβοι, οὐκ εὐθὺς συννεκροῦται τῇ κεφαλῇ καὶ ὁ κατόπιν ὁλκός, ἀλλ' ἡ μὲν τέθνηκε, τὸ δὲ οὐραῖον ἔτι ἐψύχωται τῷ ἰδίῳ θυμῷ[στ] καὶ τῆς ζωτικῆς κινήσεως οὐκ ἐστέρηται, οὕτως ἔστι καὶ τὴν κακίαν ἰδεῖν τῷ μὲν καιρίῳ πληγεῖσαν, ἐν δὲ τοῖς λειψάνοις ἑαυτῆς ἔτι διοχλοῦσαν τὸν βίον. Ἀλλ' ἀφέντες καὶ τὸ περὶ τούτων τὸν λόγον τοῦ μυστηρίου μέμφεσθαι, τὸ μὴ διὰ πάντων διήκειν τῶν ἀνθρώπων τὴν πίστιν ἐν αἰτίᾳ ποιοῦνται. Καὶ τί δήποτε, φασίν, οὐκ ἐπὶ πάντας ἦλθεν ἡ χάρις[2], ἀλλὰ **111** τινῶν προσθεμένων τῷ λόγῳ[3]

1. Πρβλ. Ἡσ. 37,23-24. Ἀββ. 2,4-5. 2. Πρβλ. Πράξ. 20,24. Β' Κορ. 6,1. 8,9. Κολ. 1,6. 3. Πρβλ. Πράξ. 4,4.

α. Πρβλ. Ὠριγένους, Περὶ ἀρχῶν, III,13. PG 11,273A-B.

β. Πρβλ. Γρηγορίου Νύσσης, Εἰς τὴν Γέννησιν τοῦ Χριστοῦ, ΒΕΠ 69,263,18.

γ. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. ΒΕΠ 69,263,23.

δ. Πρβλ. Ἀριστ., Τέχνη ρητορική, Ρ. 1386b28. Ἠθικὰ Νικομάχεια, Χ. 1177b10.

ε. Πρβλ. Γρηγορίου Νύσσης, Εἰς τὴν θείαν τοῦ Χριστοῦ γέννησιν, ΒΕΠ 69, 264,23 ἑξ.

στ. Πρβλ. Πλάτ., Πολιτεία, 439Ε.

οὐ μικρόν ἐστι τὸ ὑπολειπόμενον μέρος, ἢ μὴ βουληθέντος τοῦ Θεοῦ πᾶσιν ἀφθόνως τὴν εὐεργεσίαν νεῖμαι, ἢ μὴ δυνηθέντος πάντως; Ὧν οὐθέτερον καθαρεύει τῆς μέμψεως. Οὔτε γὰρ ἀβούλητον εἶναι τὸ ἀγαθὸν προσήκει τῷ Θεῷ, οὔτε ἀδύνατον. Εἰ οὖν ἀγαθόν τι ἡ πίστις, διὰ τί, φασίν, οὐκ ἐπὶ πάντας ἡ χάρις; Εἰ μὲν οὖν ταῦτα καὶ παρ' ἡμῶν ἐν τῷ λόγῳ κατεσκευάζετο, τὸ παρὰ τοῦ θείου βουλήματος ἀποκληροῦσθαι[α] τοῖς ἀνθρώποις τὴν πίστιν, τῶν μὲν καλουμένων, τῶν δὲ λοιπῶν ἀμοιρούντων τῆς κλήσεως, καιρὸν εἶχεν τὸ τοιοῦτον ἔγ-**112** κλημα κατὰ τοῦ μυστηρίου προφέρεσθαι· εἰ δὲ ὁμότιμος[β] ἐπὶ πάντας ἡ κλῆσις, οὔτε ἀξίας, οὔτε ἡλικίας, οὔτε τὰς κατὰ **[77]** τὰ ἔθνη διαφορὰς διακρίνουσα· διὰ τοῦτο γὰρ παρὰ τὴν πρώτην ἀρχὴν τοῦ κηρύγματος ὁμόγλωσσοι[1] πᾶσι τοῖς ἔθνεσιν οἱ διακονοῦντες τὸν Λόγον ἐκ θείας ἐπιπνοίας ἀθρόως ἐγένοντο, ὡς ἂν μηδεὶς τῆς διδαχῆς τῶν ἀγαθῶν ἀμοιρήσειεν· πῶς ἂν οὖν τις κατὰ τὸ εὔλογον ἔτι τὸν Θεὸν αἰτιῷτο τοῦ μὴ πάντων ἐπικρατῆσαι τὸν λόγον; Ὁ γὰρ τοῦ παντὸς τὴν ἐξουσίαν ἔχων δι' ὑπερβολὴν τῆς εἰς τὸν ἄνθρωπον τιμῆς ἀφῆκε τι καὶ ὑπὸ τὴν ἡμετέραν ἐξουσίαν εἶναι, οὗ μόνος ἕκαστός ἐστι κύριος. Τοῦτο δέ ἐστιν ἡ προαίρεσις, ἀδούλωτόν[γ] τι χρῆμα καὶ αὐτεξούσιον, ἐν τῇ ἐλευθερίᾳ τῆς διανοίας κείμενον. Οὐκοῦν ἐπὶ τοὺς μὴ προσαχθέντας τῇ πίστει δικαιότερον ἂν τὸ τοιοῦτον ἔγκλημα μετατεθείη, οὐκ ἐπὶ τὸν κεκληκότα πρὸς συγκατάθεσιν[δ]. Οὐδὲ γὰρ ἐπὶ τοῦ Πέτρου κατ' ἀρχὰς τὸν λόγον ἐν πολυανθρώπῳ τῶν Ἰουδαίων ἐκκλησίᾳ[2] κηρύξαντος, τρισχιλίων[3] κατὰ ταὐτὸν παραδεξαμένων τὴν **113** πίστιν, πλείους ὄντες τῶν πεπιστευκότων οἱ ἀπειθήσαντες ἐμέμψαντο τὸν Ἀπόστολον ἐφ' οἷς οὐκ ἐπείσθησαν. Οὐδὲ γὰρ ἦν εἰκός, ἐν κοινῷ προτεθείσης τῆς χάριτος, τὸν ἑκουσίως ἀποφοιτήσαντα μὴ ἑαυτόν, ἀλλ' ἕτερον τῆς δυσκληρίας ἐπαιτιᾶσθαι.

31. Ἀλλ' οὐκ ἀποροῦσιν οὐδὲ πρὸς τὰ τοιαῦτα τῆς ἐριστικῆς ἀντιλογίας[ε]. Λέγουσι γὰρ δύνασθαι τὸν Θεόν, εἴπερ ἐβούλετο, καὶ τοὺς ἀντιτύπως ἔχοντας ἀναγκαστικῶς[στ] ἐφελκύσασθαι πρὸς τὴν παραδοχὴν τοῦ κηρύγματος. Ποῦ τοίνυν ἐν τούτοις τὸ αὐτεξούσιον; ποῦ δὲ ἡ ἀρετή; Ποῦ δὲ τῶν κατορθούντων ὁ ἔπαινος; Μόνων γὰρ τῶν ἀψύχων ἢ τῶν ἀλόγων ἐστὶ τῷ ἀλλοτρίῳ βουλήματι πρὸς τὸ δοκοῦν περιάγεσθαι. Ἡ δὲ λογική τε καὶ νοερὰ φύσις[ζ], ἐὰν τὸ κατ' ἐξουσίαν

1. Πρβλ. Πράξ. 2,8-11. 2. Πρβλ. Πράξ. 19,32. 3. Πρβλ. Πράξ. 2,41.

α. Πρβλ. Ἰουστίνου, Ἀπολογία, ΒΕΠ 3,183,34-38. PG 6,393A.
β. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. σ. 417,12.
γ. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 387,17.
δ. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 387,12.
ε. Πρβλ. Πλάτ., Σοφιστής 225C ἑξ.
στ. Πρβλ. Πλάτ., Νόμοι 930B.
ζ. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. σ. 394,11.

ἀπόθηται, καὶ τὴν χάριν τοῦ νοεροῦ συναπώλεσεν. Εἰς τί γὰρ χρήσεται τῇ διανοίᾳ[α], τῆς τοῦ προαιρεῖσθαί τι τῶν κατὰ γνώμην ἐξουσίας ἐφ' ἑτέρῳ κειμένης; Εἰ δὲ ἄπρακτος ἡ προαίρεσις μείνειεν, ἠφάνισται **114** κατ' ἀνάγκην ἡ ἀρετή, τῇ ἀκινησίᾳ τῆς προαιρέσεως ἐμπεδηθεῖσα· ἀρετῆς δὲ μὴ οὔσης, ὁ βίος[β] ἠτίμωται, ἀφῄρηται τῶν κατορθούντων ὁ ἔπαινος, ἀκίνδυνος ἡ ἁμαρτία, ἄκριτος ἡ κατὰ τὸν βίον διαφορά. Τίς γὰρ ἂν ἔτι κατὰ τὸ εὔλογον ἢ διαβάλλοι τὸν ἀκόλαστον ἢ ἐπαινοίη τὸν σώφρονα; Ταύτης κατὰ τὸ πρόχειρον οὔσης ἑκάστῳ τῆς ἀποκρίσεως, τὸ μηδὲν ἐφ' ἡμῖν τῶν κατὰ γνώμην εἶναι, δυναστείᾳ δὲ κρείττονι τὰς ἀνθρωπίνας προαιρέσεις πρὸς τὸ τῷ κρατοῦντι δοκοῦν περιάγεσθαι. Οὐκοῦν οὐ τῆς ἀγαθότητος τοῦ Θεοῦ τὸ ἔγκλημα, τὸ μὴ πᾶσιν ἐγγενέσθαι τὴν πίστιν, ἀλλὰ τῆς διαθέσεως τῶν δεχομένων τὸ κήρυγμα.

32. Τί πρὸς τούτοις ἔτι παρὰ τῶν ἀντιλεγόντων προφέρεται; Τὸ μάλιστα μὲν μηδὲ ὅλως δεῖν εἰς θανάτου **115** πεῖραν ἐλθεῖν τὴν ὑπερέχουσαν φύσιν, ἀλλὰ καὶ δίχα τούτου τῇ περιουσίᾳ τῆς δυνάμεως δύνασθαι ἂν μετὰ ῥᾳστώνης τὸ δοκοῦν κατεργάσασθαι. Εἰ δὲ καὶ πάν**[80]**τως ἔδει τοῦτο γενέσθαι κατά τινα λόγον ἀπόρρητον, ἀλλ' οὖν τὸ μὴ τῷ ἀτίμῳ τρόπῳ τοῦ θανάτου καθυβρισθῆναι. Τίς γὰρ ἂν γένοιτο, φησί, τοῦ διὰ σταυροῦ θάνατος ἀτιμότερος; τί οὖν καὶ πρὸς ταῦτά φαμεν; Ὅτι τὸν θάνατον[γ] μὲν ἀναγκαῖον ἡ γένεσις ἀπεργάζεται. Τὸν γὰρ ἅπαξ μετασχεῖν ἐγνωκότα τῆς ἀνθρωπότητος διὰ πάντων ἔδει γενέσθαι τῶν ἰδιωμάτων[δ] τῆς φύσεως. Εἰ τοίνυν δύο πέρασι[ε] τῆς ἀνθρωπίνης ζωῆς διειλημμένης ἐν τῷ ἑνὶ γενόμενος τοῦ ἐφεξῆς μὴ προσήψατο, ἡμιτελὴς ἂν ἡ πρόθεσις ἔμεινε τοῦ ἑτέρου τῶν τῆς φύσεως ἡμῶν ἰδιωμάτων οὐχ ἁψαμένου. Τάχα δ' ἄν τις δι' ἀκριβείας καταμαθὼν τὸ μυστήριον εὐλογώτερον εἴποι μὴ διὰ τὴν γένεσιν συμβεβηκέναι τὸν θάνατον, ἀλλὰ τὸ ἔμπαλιν τοῦ θανάτου χάριν παραληφθῆναι τὴν **116** γένεσιν· οὐ γὰρ τοῦ ζῆσαι δεόμενος ὁ ἀεὶ ὢν[στ] τὴν σωματικὴν ὑποδύεται γένεσιν, ἀλλ' ἡμᾶς ἐπὶ τὴν ζωὴν ἐκ τοῦ θανάτου ἀνακαλούμενος. Ἐπεὶ οὖν ὅλης ἔδει γενέσθαι τῆς φύσεως ἡμῶν τὴν ἐκ τοῦ θανάτου πάλιν ἐπάνοδον, οἱονεὶ χεῖρα τῷ κειμένῳ ὀρέγων διὰ τοῦτο πρὸς τὸ ἡμέτερον ἐπικύψας πτῶμα, τοσοῦτον τῷ θανάτῳ προσήγγισεν, ὅσον τῆς νεκρότητος[ζ] ἅψασθαι[η] καὶ ἀρχὴν δοῦναι τῇ φύσει τῆς ἀναστάσεως τῷ ἰδίῳ σώματι, ὅλον τῇ δυνάμει

α. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. σ. 390,31.

β. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 392,36.

γ. Πρβλ. Μ. Ἀθανασίου, Περὶ τῆς ἐνανθρωπήσεως τοῦ Λόγου, 21-25, ΒΕΠ 30, 91,25-95,20. PG 25,132C ἑξ.

δ. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. σ. 415,9,15. 416, 12.

ε. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 415,24.

στ. Πρβλ. Ἰγνατίου, Πρὸς Ρωμαίους, ΒΕΠ 2,275,37-276,5. PG 5,692B-693A.

ζ. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. 392,36.

η. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 402,33.

συναναστήσας τὸν ἄνθρωπον. Ἐπειδὴ γὰρ οὐκ ἄλλοθεν, ἀλλ' ἐκ τοῦ ἡμετέρου φυράματος[1] ὁ θεοδόχος[α] ἄνθρωπος ἦν, ὁ διὰ **117** τῆς ἀναστάσεως συνεπαρθεὶς τῇ θεότητι, ὥσπερ ἐπὶ τοῦ καθ' ἡμᾶς σώματος[2] ἡ τοῦ ἑνὸς τῶν αἰσθητηρίων ἐνέργεια πρὸς ἅπαν τὴν συναίσθησιν ἄγει τὸ ἡνωμένον τῷ μέρει, οὕτως, καθάπερ ἑνός τινος ὄντος[β] ζῴου πάσης τῆς φύσεως, ἡ τοῦ μέρους ἀνάστασις ἐπὶ τὸ πᾶν διεξέρχεται, κατὰ τὸ συνεχές τε καὶ ἡνωμένον τῆς φύσεως ἐκ τοῦ μέρους ἐπὶ τὸ ὅλον συνεκδιδομένη. Τί οὖν ἔξω τοῦ εἰκότος ἐν τῷ μυστηρίῳ μανθάνομεν, εἰ κύπτει πρὸς τὸν πεπτωκότα ὁ ἑστὼς ἐπὶ τὸ ἀνορθῶσαι τὸν κείμενον; Ὁ δὲ σταυρὸς εἰ μέν τινα καὶ ἕτερον περιέχει λόγον βαθύτερον, εἰδεῖεν ἂν οἱ τῶν κρυπτῶν ἐπιίστορες. Ὃ δ' οὖν εἰς ἡμᾶς ἐκ **118** παραδόσεως ἥκει, τοιοῦτόν ἐστιν. Ἐπειδὴ πάντα κατὰ τὸν ὑψηλότερόν τε καὶ θειότερον λόγον ἐν τῷ Εὐαγγελίῳ καὶ εἴρηται καὶ γεγένηται, καὶ οὐκ ἔστιν ὅ τι μὴ τοιοῦτόν ἐστιν, ὃ οὐχὶ πάντως μίξις τις ἐμφαίνεται τοῦ θείου πρὸς τὸ ἀνθρώπινον, τῆς μὲν φωνῆς ἢ τῆς πράξεως ἀνθρωπικῶς διεξαγομένης, τοῦ δὲ κατὰ τὸ κρυπτὸν νοουμένου τὸ Θεῖον ἐμφαίνοντος, ἀκόλουθον ἂν εἴη καὶ ἐν τῷ μέρει τούτῳ μὴ τὸ μὲν βλέπειν, παρορᾶν δὲ τὸ ἕτερον, ἀλλ' ἐν μὲν τῷ θανάτῳ καθορᾶν τὸ ἀνθρώπινον, ἐν δὲ τῷ τρόπῳ πολυπραγμονεῖν[γ] τὸ θειότερον. Ἐπειδὴ γὰρ ἴδιόν ἐστι τῆς θεότητος τὸ διὰ πάντων ἥκειν καὶ τῇ φύσει τῶν ὄντων κατὰ πᾶν μέρος συμπαρεκτείνεσθαι· οὐ γὰρ ἄν τι διαμένοι **119** ἐν τῷ εἶναι, μὴ ἐν τῷ ὄντι μένον· τὸ δὲ κυρίως καὶ πρώτως ὂν ἡ θεία φύσις ἐστίν, ἣν ἐξ ἀνάγκης πιστεύειν ἐν πᾶσιν εἶναι τοῖς οὖσιν ἡ διαμονὴ τῶν ὄντων καταναγκάζει· τοῦτο διὰ τοῦ σταυροῦ[δ] διδασκόμεθα, τετραχῇ τοῦ κατ' αὐτὸν σχήματος διῃρημένου, ὡς ἐκ τοῦ μέσου, καθ' ὃ πρὸς ἑαυτὸν συνάπτεται, τέσσαρας ἀριθμεῖσθαι τὰς προβολάς, ὅτι ὁ ἐπὶ τούτου ἐν τῷ καιρῷ τῆς κατὰ τὸν θάνατον οἰκονομίας[ε] διαταθεὶς ὁ τὸ πᾶν πρὸς ἑαυτὸν συνδέων τε καὶ συναρμόζων ἐστί, τὰς **[81]** διαφόρους τῶν ὄντων φύσεις πρὸς μίαν σύμπνοιάν τε καὶ ἁρμονίαν δι' ἑαυτοῦ συνάγων ἐν γὰρ τοῖς οὖσιν ἢ ἄνω τι νοεῖται ἢ κάτω, ἢ πρὸς τὰ κατὰ τὸ πλάγιον πέρατα διαβαίνει ἡ ἔννοια[στ]. Ἂν

---

1. Πρβλ. Ρωμ. 9,21. 11,16. Α' Κορ. 5,7. Ἀριθ. 15,20. Γεν. 2,7.
2. Πρβλ. Α' Κορ. 12,26,27.

α. Πρβλ. Γρηγορίου Θεολόγου, Θεολογικὸς Γ', 19, ΒΕΠ 59,248,29-249, 17. Θεολογικὸς Δ', 2, ΒΕΠ 59,253,17-254,6.

β. Πρβλ. Πλάτ., Τίμαιος 30,69C.

γ. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. σ. 398,23.

δ. Πρβλ. Μ. Ἀθανασίου, Περὶ τῆς ἐνανθρωπήσεως τοῦ Λόγου 25, ΒΕΠ 30,94,24-95,20. PG 25,137D-140C. Γρηγορίου Νύσσης, Περὶ τῆς ἀναστάσεως τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ΒΕΠ 69,244,16 ἑξ. Κατὰ Εὐνομίου Γ', γ' (Ε' Migne), ΒΕΠ 67,334,16 ἑξ.

ε. Πρβλ. Γρηγορίου Νύσσης, Κατὰ Εὐνομίου, Γ', γ' (Migne), ΒΕΠ 67, 341,17. Λόγος Κατηχητικός, ἀνωτ. σ. 384,33.

στ. Πρβλ. Γρηγορίου Νύσσης, Περὶ τῆς ἀναστάσεως τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, PG 46,624B.

τοίνυν λογίση **120** τῶν ἐπουρανίων ἢ τῶν ὑποχθονίων ἢ τῶν καθ' ἑκάτερον τοῦ παντὸς περάτων τὴν σύστασιν, πανταχοῦ τῷ λογισμῷ σου προαπαντᾷ ἡ θεότης[1], μόνη κατὰ πᾶν μέρος τοῖς οὖσιν ἐνθεωρουμένη καὶ ἐν τῷ εἶναι τὰ πάντα συνέχουσα. Εἴτε δὴ θεότητα τὴν φύσιν ταύτην ὀνομάζεσθαι χρὴ εἴτε λόγον εἴτε δύναμιν εἴτε σοφίαν εἴτε ἄλλο τι τῶν ὑψηλῶν τε καὶ μᾶλλον ἐνδείξασθαι δυναμένων τὸ ὑπερκείμενον[α], οὐδὲν ὁ λόγος ἡμῶν περὶ φωνῆς ἢ ὀνόματος ἢ τύπου ῥημάτων διαφέρεται. Ἐπεὶ οὖν πᾶσα πρὸς αὐτὸν ἡ κτίσις βλέπει, καὶ περὶ αὐτόν ἐστι, καὶ δι' ἐκείνου πρὸς ἑαυτὴν συμφυὴς γίνεται, τῶν ἄνω τοῖς κάτω καὶ τῶν πλαγίων πρὸς ἄλληλα δι' ἐκείνου συμφυομένων, ἔδει μὴ μόνον δι' ἀκοῆς ἡμᾶς πρὸς τὴν τῆς θεότητος κατανόησιν χειραγωγεῖσθαι, ἀλλὰ καὶ τὴν ὄψιν γενέσθαι τῶν ὑψηλοτέρων νοημάτων διδάσκαλον, ὅθεν[β] καὶ ὁ μέγας ὁρμηθεὶς Παῦλος μυσταγωγεῖ[2·γ] τὸν ἐν Ἐφέσῳ λαόν, δύναμιν αὐτοῖς ἐντιθεὶς διὰ τῆς διδασκαλίας πρὸς τὸ γνῶναι τί ἐστι τὸ βάθος καὶ τὸ ὕψος, τό τε πλάτος καὶ τὸ μῆκος[3]. Ἑκάστην γὰρ τοῦ σταυροῦ προβολὴν ἰδίῳ **121** ῥήματι κατονομάζει, ὕψος μὲν τὸ ὑπερέχον, βάθος δὲ τὸ ὑποκείμενον, πλάτος τε καὶ μῆκος τὰς πλαγίας ἐκτάσεις λέγων. Καὶ σαφέστερον ἑτέρωθι τὸ τοιοῦτον νόημα πρὸς Φιλιππησίους, οἶμαι, ποιεῖ οἷς φησιν ὅτι «Ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ πᾶν γόνυ κάμψει ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων»[4]. Ἐνταῦθα τὴν μέσην κεραίαν[δ] μιᾷ προσηγορίᾳ διαλαμβάνει, πᾶν τὸ διὰ μέσου τῶν ἐπουρανίων καὶ ὑποχθονίων ὀνομάσας ἐπίγειον. Τοῦτο μεμαθήκαμεν περὶ τοῦ σταυροῦ τὸ μυστήριον. Τὰ δὲ ἀπὸ τούτου τοιαῦτα κατὰ τὸ ἀκόλουθον περιέχει ὁ λόγος, ὡς ὁμολογεῖσθαι καὶ παρὰ τῶν ἀπίστων μηδὲν ἀλλότριον εἶναι τῆς θεοπρεποῦς[ε] ὑπολήψεως. Τὸ γὰρ μὴ ἐμμεῖναι τῷ θανάτῳ, καὶ τὰς διὰ τοῦ σιδήρου κατὰ τοῦ σώματος γενομένας πληγάς[5] μηδὲν ἐμπόδιον πρὸς τὸ εἶναι ποιήσασθαι, κατ' ἐξουσίαν τε φαίνεσθαι μετὰ τὴν ἀνάστασιν τοῖς μαθηταῖς, ὅτε βούλοιτο παρεῖναί τε αὐτοῖς μὴ ὁρώμενον[6] καὶ ἐν μέσῳ **122** γίγνεσθαι, μηδὲν τῆς εἰσόδου τῆς διὰ τῶν θυρῶν προσδεόμενον[7], ἐνισχύειν τε τοὺς μαθητὰς τῇ προσφυσήσει τοῦ Πνεύματος[8], ἐπαγγέλλεσθαί τε καὶ τὸ μετ' αὐτῶν εἶναι[9], καὶ μηδενὶ μέσῳ

1. Πρβλ. Ψαλ. 138,8-10. 2. Πρβλ. Φιλιπ. 4,12. Α' Κορ. 2,7. 3. Πρβλ. Ἐφ. 3,18. 4. Φιλιπ. 2,10. 5. Πρβλ. Ἰω. 19,34. Ματθ. 27,49. 6. Πρβλ. Λουκ. 24,36. 7. Πρβλ. Ἰω. 20,19. 8. Πρβλ. Ἰω. 20,22. 9. Πρβλ. Ματθ. 28,20.

α. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. σ. 379,11.

β. Πρβλ. Γρηγορίου Νύσσης, Περὶ τῆς ἀναστάσεως τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ PG 46,624.

γ. Πρβλ. Ἰγνατίου, Πρὸς Ἐφεσίους, ΒΕΠ 2,290,8-11. PG 5,745B. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, κατωτ. σ. 423,24.

δ. Πρβλ. Γρηγορίου Νύσσης, Κατὰ Εὐνομίου Γ', γ' (Ε' Migne), ΒΕΠ 67,334,36.

ε. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. σ. 399,5.

διατειχίζεσθαι, καὶ τῷ μὲν φαινομένῳ πρὸς τὸν οὐρανὸν ἀνιέναι[1], τῷ δὲ νοουμένῳ πανταχοῦ εἶναι, καὶ ὅσα τοιαῦτα περιέχει ἡ ἱστορία, οὐδὲν τῆς ἐκ τῶν λογισμῶν συμμαχίας προσδέεται πρὸς τὰ θεῖά τε εἶναι καὶ τῆς ὑψηλῆς καὶ ὑπερεχούσης δυνάμεως. Περὶ ὧν οὐδὲν οἶμαι δεῖν καθ' ἕκαστον διεξιέναι, αὐτόθεν τοῦ λόγου τὸ ὑπὲρ τὴν φύσιν ἐμφαίνοντος. Ἀλλ' ἐπειδὴ μέρος τι τῶν μυστικῶν[α] διδαγμάτων καὶ ἡ κατὰ τὸ λουτρόν[2] ἐστιν οἰ**[84]**κονομία, ὃ εἴτε βάπτισμα εἴτε φώτισμα[β] εἴτε παλιγγενεσίαν[3] βούλοιτό τις ὀνομάζειν, οὐδὲν πρὸς τὴν ὀνομασίαν διαφερόμεθα, καλῶς ἂν ἔχοι καὶ περὶ τούτου βραχέα διεξελθεῖν.

123 33. Ἐπειδὰν γὰρ παρ' ἡμῶν τὸ τοιοῦτον ἀκούσωσιν, ὅτι, τοῦ θνητοῦ πρὸς τὴν ζωὴν μεταβαίνοντος, ἀκόλουθον ἦν τῆς πρώτης γενέσεως ἐπὶ τὸν θνητὸν παραγούσης βίον ἑτέραν γένεσιν ἐξευρεθῆναι, μήτε ἀπὸ φθορᾶς ἀρχομένην, μήτε εἰς φθορὰν καταλήγουσαν, ἀλλ' εἰς ἀθάνατον ζωὴν τὸν γεγεννημένον παράγουσαν, ἵν', ὥσπερ ἐκ θνητῆς γενέσεως θνητὸν ἐξ ἀνάγκης τὸ γεγεννημένον ὑπέστη, οὕτως ἐκ τῆς μὴ παραδεχομένης φθορὰν τὸ γεννώμενον κρεῖττον γένηται τῆς ἐκ τοῦ θανάτου φθορᾶς· ἐπειδὰν οὖν τούτων καὶ τῶν τοιούτων ἀκούσωσιν καὶ προδιδαχθῶσι τὸν τρόπον, ὅτι εὐχὴ πρὸς Θεὸν[γ] καὶ χάριτος οὐρανίας ἐπίκλησις[δ] καὶ **124** ὕδωρ καὶ πίστις ἐστὶ δι' ὧν τὸ τῆς ἀναγεννήσεως πληροῦται μυστήριον[ε], δυσπειθῶς ἔχουσι πρὸς τὸ φαινόμενον βλέποντες, ὡς οὐ συμβαῖνον τῇ ἐπαγγελίᾳ[στ] τὸ σωματικῶς ἐνεργούμενον. Πῶς γάρ, φασίν, εὐχὴ καὶ δυνάμεως θείας ἐπίκλησις ἐπὶ τοῦ ὕδατος γινομένη ζωῆς ἀρχηγὸς τοῖς μυηθεῖσι[ζ] γίνεται; Πρὸς οὕς, εἴπερ μὴ λίαν ἔχοιεν ἀντιτύπως, ἁπλοῦς ἐξαρκεῖ λόγος πρὸς τὴν τοῦ δόγματος ἀγαγεῖν συγκατάθεσιν[η]. Ἀντερωτήσωμεν γάρ, τοῦ τρόπου τῆς κατὰ σάρκα γεννήσεως πᾶσιν ὄντος προδήλου, πῶς ἄνθρωπος ἐκεῖνο γίνεται[θ] τὸ εἰς ἀφορμὴν τῆς συστάσεως τοῦ ζῴου καταβαλλόμενον[4·ι]. Ἀλλὰ μὴν οὐδεὶς ἐπ' ἐκείνου λόγος

1. Πρβλ. Πράξ. 1,9. 2. Πρβλ. Ἐφ. 5,26. Τίτ. 3,5. 3. Πρβλ. Ἑβρ. 6,4. 10,32. 4. Πρβλ. Ἑβρ. 11,11.

α. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. σ. 397,26.
β. Πρβλ. Ἰουστίνου, Ἀπολογία Α, 61, ΒΕΠ 3,195,5-10. PG 6,421B. Κλήμεντος Ἀλεξανδρέως, Παιδαγωγός, Α, VI, ΒΕΠ 7,92,13-14. PG 8,281B.
γ. Πρβλ. Ἰουστίνου, Ἀπολογία, Α, 61, ΒΕΠ 3,194,13 ἑξ. PG 6,420C.
δ. Πρβλ. Γρηγορίου Νύσσης, Πρὸς τοὺς βραδύνοντας εἰς τὸ Βάπτισμα, κατωτ. 449,11 ἑξ. Εἰς τὴν ἡμέραν τῶν Φώτων, ΒΕΠ 69,206,41 ἑξ.
ε. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, κατωτ. σ. 425,17.
στ. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος εἰς τὴν ἡμέραν τῶν Φώτων, ΒΕΠ 69,206,1 ἑξ.
ζ. Πρβλ. Ἰγνατίου, Πρὸς Ἐφεσίους, ΒΕΠ 2,290,8-11. PG 5,745B. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. σ. 422,13.
η. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. σ. 387,12.
θ. Πρβλ. Ἰουστίνου, Ἀπολογία Α, 19, ΒΕΠ 3,171,26 ἑξ. PG 6,356C ἑξ. Γρηγορίου Νύσσης, Λόγος εἰς τὴν ἡμέραν τῶν Φώτων, ΒΕΠ 69,206,41 ἑξ.
ι. Πρβλ. Πλάτ., Θεαίτητος 149.

ἐστὶν ὁ λογισμῷ τινι τὸ πιθανὸν ἐφευρίσκων. Τί γὰρ κοινὸν ἔχει ὅρος ἀνθρώπου πρὸς τὴν ἐν ἐκείνῳ θεωρουμένην **125** ποιότητα συγκρινόμενος; Ἄνθρωπος λογικόν τι χρῆμα καὶ διανοητικόν[α] ἐστι, νοῦ καὶ ἐπιστήμης δεκτικόν· ἐκεῖνο δὲ ὑγρᾷ τινι ἐνθεωρεῖται ποιότητι, καὶ πλεῖον οὐδὲν τοῦ κατ' αἴσθησιν ὁρωμένου καταλαμβάνει ἡ ἔννοια. Ἣν τοίνυν εἰκός ἐστιν ἀπόκρισιν ἡμῖν γενέσθαι παρὰ τῶν ἐρωτηθέντων ὅτι πῶς ἐστι πιστὸν ἐξ ἐκείνου συστῆναι ἄνθρωπον, τοῦτο καὶ περὶ τῆς διὰ τοῦ ὕδατος γινομένης ἀναγεννήσεως ἐρωτηθέντες ἀποκρινούμεθα. Ἐκεῖ τε γὰρ πρόχειρόν ἐστιν ἑκάστῳ τῶν ἠρωτημένων εἰπεῖν ὅτι θείᾳ δυνάμει ἐκεῖνο ἄνθρωπος γίνεται, ἧς μὴ παρούσης ἀκίνητόν ἐστιν ἐκεῖνο καὶ ἀνενέργητον. Εἰ οὖν ἐκεῖ οὐ τὸ ὑποκείμενον ποιεῖ τὸν ἄνθρωπον, ἀλλ' ἡ θεία δύναμις πρὸς ἀνθρώπου φύσιν μεταποιεῖ τὸ φαινόμενον, τῆς ἐσχάτης ἂν εἴη ἀγνωμοσύνης ἐκεῖ τοσαύτην τῷ Θεῷ προσμαρτυροῦντας δύναμιν ἀτονεῖν ἐν τῷ μέρει[1] τούτῳ τὸ Θεῖον οἴεσθαι πρὸς τὴν ἐκπλήρωσιν τοῦ θελήματος. Τί κοινόν, φασίν, ὕδατι καὶ ζωῇ; τί δὲ κοινόν, πρὸς αὐτοὺς ἐροῦμεν, ὑγρότητι καὶ εἰκόνι Θεοῦ; **126** Ἀλλ' οὐδὲν ἐκεῖ τὸ παράδοξον, εἰ Θεοῦ βουλομένου πρὸς τὸ τιμιώτατον ζῷον[β] τὸ ὑγρὸν μεταβαίνει. Τὸ ἴσον καὶ ἐπὶ τούτου φαμὲν μηδὲν εἶναι θαυμαστὸν εἰ θείας δυνάμεως παρουσία πρὸς ἀφθαρσίαν μετασκευάζει τὸ ἐν τῇ φθαρτῇ φύσει γενόμενον.

[85] 34. Ἀλλὰ ζητοῦσιν ἀπόδειξιν τοῦ παρεῖναι τὸ Θεῖον ἐπὶ ἁγιασμῷ τῶν γινομένων καλούμενον. Ὁ δὲ τοῦτο ζητῶν ἀναγνώτω πάλιν τὰ κατόπιν ἐξητασμένα[γ]. Ἡ γὰρ κατασκευὴ τοῦ τὴν διὰ σαρκὸς[δ] ἡμῖν ἐπιφανεῖσαν δύναμιν ἀληθῶς θείαν εἶναι τοῦ παρόντος λόγου συνηγορία γίνεται. Δειχθέντος γὰρ τοῦ Θεὸν εἶναι τὸν ἐν σαρκὶ φανερωθέντα, **127** τοῖς διὰ τῶν γινομένων θαύμασι τὴν φύσιν ἑαυτοῦ δείξαντα, συναπεδείχθη τὸ παρεῖναι τοῖς γινομένοις αὐτὸν κατὰ πάντα καιρὸν ἐπικλήσεως. Ὥσπερ γὰρ ἑκάστου τῶν ὄντων ἔστι τις ἰδιότης ἡ τὴν φύσιν γνωρίζουσα, οὕτως ἴδιον τῆς θείας φύσεώς ἐστιν ἡ ἀλήθεια. Ἀλλὰ μὴν ἀεὶ παρέσεσθαι τοῖς ἐπικαλουμένοις ἐπήγγελται[2], καὶ ἐν μέσῳ τῶν πιστευόντων εἶναι[3], καὶ ἐν πᾶσι μένειν[4] καὶ ἑκάστῳ συνεῖναι[5]. Οὐκέτ' οὖν ἂν ἑτέρας εἰς τὸ παρεῖναι τὸ Θεῖον τοῖς γινομένοις ἀποδείξεως προσδεοίμεθα, τὸ μὲν Θεὸν εἶναι διὰ τῶν θαυμάτων αὐτῶν πεπιστευκότες, ἴδιον δὲ τῆς θεότητος τὸ ἀμίκτως πρὸς τὸ ψεῦδος ἔχειν εἰδότες, ἐν δὲ τῷ ἀψευδεῖ τῆς ὑποσχέσεως παρεῖναι τὸ ἐπηγγελμένον οὐκ ἀμφιβάλλοντες. Τὸ δὲ προηγεῖσθαι τὴν διὰ

---

1. Πρβλ. Κολ. 2,16. 2. Πρβλ. Ματθ. 7,7. Ἰω. 14,13. 15,7,16. 16,23. 3. Πρβλ. Ματθ. 18,20. 4. Πρβλ. Ἰω. 15,4. 5. Πρβλ. Ἰω. 14,23.

α. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. σ. 390,31.
β. Πρβλ. Πλάτ., Νόμος 766Α.
γ. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. σ. 399,8 ἑξ.
δ. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 399,26,34.

128 τῆς εὐχῆς κλῆσιν τῆς θείας οἰκονομίας περιουσία τίς ἐστι τῆς ἀποδείξεως τοῦ κατὰ Θεὸν ἐπιτελεῖσθαι τὸ ἐνεργούμενον. Εἰ γὰρ ἐπὶ τοῦ ἑτέρου τῆς ἀνθρωποποιίας εἴδους αἱ τῶν γεννώντων ὁρμαί, κἂν μὴ ἐπικληθῇ παρ' αὐτῶν δι' εὐχῆς τὸ Θεῖον, τῇ τοῦ Θεοῦ δυνάμει, καθὼς ἐν τοῖς ἔμπροσθεν[α] εἴρηται, διαπλάσσουσι τὸ γεννώμενον, ἧς χωρισθείσης ἄπρακτός ἐστιν ἡ σπουδὴ καὶ ἀνόνητος, πόσῳ μᾶλλον ἐν τῷ πνευματικῷ τῆς γεννήσεως τρόπῳ, καὶ Θεοῦ παρέσεσθαι τοῖς γινομένοις ἐπηγγελμένου καὶ τὴν παρ' ἑαυτοῦ δύναμιν ἐντεθεικότος τῷ ἔργῳ, καθὰ πεπιστεύκαμεν[1], καὶ τῆς ἡμετέρας προαιρέσεως πρὸς τὸ σπουδαζόμενον τὴν ὁρμὴν ἐχούσης, εἰ συμπαραληφθείη καθηκόντως ἡ διὰ τῆς εὐχῆς συμμαχία, μᾶλλον ἐπιτελὲς ἔσται τὸ σπουδαζόμενον; Καθάπερ γὰρ οἱ ἐπιφαῦσαι[2] τὸν ἥλιον αὐτοῖς εὐχόμενοι τῷ Θεῷ οὐδὲν ἀμβλύνουσι τὸ πάντως γινόμενον, οὐδὲ μὴν ἄχρηστον εἶναί τις φήσει τὴν τῶν προσευχομένων σπουδήν, εἰ περὶ τοῦ πάντως ἐσομένου τὸν Θεὸν ἱκετεύουσιν, οὕτως οἱ πεπεισμένοι κατὰ τὴν **129** ἀψευδῆ τοῦ ἐπαγγειλαμένου ὑπόσχεσιν πάντως παρεῖναι τὴν χάριν τοῖς διὰ τῆς μυστικῆς ταύτης οἰκονομίας[β] ἀναγεννωμένοις ἢ προσθήκην τινὰ ποιοῦνται τῆς χάριτος ἢ τὴν οὖσαν οὐκ ἀποστρέφουσιν. Τὸ γὰρ πάντως συνεῖναι διὰ τὸ Θεὸν εἶναι τὸν ἐπαγγειλάμενον πεπίστευται· ἡ δὲ τῆς θεότητος μαρτυρία[γ] διὰ τῶν θαυμάτων ἐστίν. Ὥστε διὰ πάντων τὸ παρεῖναι τὸ Θεῖον οὐδεμίαν ἀμφιβολίαν ἔχει.

35. Ἡ δὲ εἰς τὸ ὕδωρ κάθοδος καὶ τὸ εἰς τρὶς[3] ἐν αὐτῷ γενέσθαι τὸν ἄνθρωπον, ἕτερον ἐμπεριέχει μυστήριον. Ἐπειδὴ γὰρ ὁ τῆς σωτηρίας ἡμῶν τρόπος οὐ τοσοῦτον ἐκ **130** τῆς κατὰ τὴν διδαχὴν[δ] ὑφηγήσεως ἐνεργὸς γέγονεν ὅσον δι' αὐτῶν ὧν ἐποίησεν ὁ τὴν πρὸς τὸν ἄνθρωπον ὑποστὰς[ε] κοινωνίαν, ἔργῳ τὴν ζωὴν ἐνερ**[88]**γήσας, ἵνα διὰ τῆς ἀναληφθείσης παρ' αὐτοῦ καὶ συναποθεωθείσης[4·στ] σαρκὸς ἅπαν συνδιασωθῇ τὸ συγγενὲς αὐτῇ καὶ ὁμόφυλον[ζ] ἀναγκαῖον **131** ἦν ἐπινοηθῆναί τινα τρόπον, ἐν ᾧ τις ἦν συγγένειά τε καὶ ὁμοιότης ἐν τοῖς γινομένοις παρὰ τοῦ ἑπομένου πρὸς τὸν ἡγούμενον. Χρὴ τοίνυν

---

1. Πρβλ. Ἐφ. 5,25-26. 2. Πρβλ. Ἐφ. 5,14. 3. Πρβλ. Πράξ. 10,16. 11,10. 4. Πρβλ. Ψαλ. 81,6. Β' Πέτρ. 1,4. Ἐφ. 4,24.

α. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. κεφ. 33.

β. Πρβλ. Γρηγορίου Νύσσης, Κατὰ Εὐνομίου Γ', θ' (ΙΑ' Migne), ἀνωτ. σ. 423,11 ἑξ. Λόγος εἰς τὴν ἡμέραν τῶν Φώτων, ΒΕΠ 69,206,1 ἑξ.

γ. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. σ. 399,29.

δ. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 384,29.

ε. Πρβλ. Μ. Ἀθανασίου, Περὶ ἐνανθρωπήσεως τοῦ Λόγου, 7,37, ΒΕΠ 30, 80,12 ἑξ. 104,16 ἑξ. PG 25,108C ἑξ. 160Α ἑξ. Κατὰ Ἀρειανῶν Β,7, ΒΕΠ 30, 184,25 ἑξ. PG 26,160Β ἑξ.

στ. Πρβλ. Μ. Ἀθανασίου, Κατὰ Ἀρειανῶν Α, 39. Β, 47. Γ, 39, ΒΕΠ 30, 154,38-155,22. 219,4-32. 282,27-283,17. PG 26,92C-93B. 245C-248C. 405C-408B. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, κατωτ. σ. 432,16.

ζ. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 386,9.

ἰδεῖν ἐν τίσιν ὁ τῆς ζωῆς ἡμῶν καθηγησάμενος ἐθεωρήθη, ἵνα, καθώς φησιν ὁ Ἀπόστολος, κατὰ τὸν ἀρχηγὸν τῆς σωτηρίας[1] ἡμῶν κατορθωθῇ τοῖς ἑπομένοις ἡ μίμησις. Ὥσπερ γὰρ παρὰ τῶν πεπαιδευμένων τὰ τακτικὰ πρὸς τὴν ὁπλιτικὴν ἐμπειρίαν ἀνάγονται οἱ δι' ὧν βλέπουσιν πρὸς τὴν εὔρυθμόν τε καὶ ἐνόπλιον κίνησιν παιδευόμενοι, ὁ δὲ μὴ πράττων τὸ προδεικνύμενον ἀμέτοχος τῆς τοιαύτης ἐμπειρίας μένει, κατὰ τὸν αὐτὸν τρόπον τῷ πρὸς τὴν σωτηρίαν ἡμῶν ἐξηγουμένῳ πάντως οἷς ἴση πρὸς τὸ ἀγαθόν ἐστιν ἡ σπουδὴ ὁμοίως ἐπάναγκες διὰ μιμήσεως ἕπεσθαι, τὸ παρ' αὐτοῦ προδειχθὲν εἰς ἔργον ἄγοντας. Οὐ γὰρ ἔστι πρὸς τὸ ἴσον καταντῆσαι πέρας, μὴ διὰ τῶν ὁμοίων ὁδεύσαντας. Καθάπερ γὰρ οἱ τὰς τῶν λαβυρίνθων πλάνας διεξελθεῖν ἀμηχανοῦντες, εἴ τινος **132** ἐμπείρως ἔχοντος ἐπιτύχοιεν, κατόπιν ἑπόμενοι τὰς ποικίλας τε καὶ ἀπατηλὰς τῶν οἴκων ἀναστροφὰς διεξέρχονται, οὐκ ἂν διεξελθόντες, μὴ κατ' ἴχνος ἑπόμενοι τῷ προάγοντι, οὕτω μοι νόησον καὶ τὸν τοῦ βίου τούτου λαβύρινθον ἀδιεξίτητον εἶναι τῇ ἀνθρωπίνῃ φύσει, εἰ μή τις τῆς αὐτῆς ὁδοῦ λάβοιτο δι' ἧς ὁ ἐν αὐτῷ γενόμενος ἔξω κατέστη τοῦ περιέχοντος. Λαβύρινθον δέ φημι τροπικῶς τὴν ἀδιέξοδον τοῦ θανάτου φρουράν[α], ᾗ τὸ δείλαιον τοῦ ἀνθρώπου γένος περιεσχέθη. Τί οὖν περὶ τὸν ἀρχηγὸν τῆς σωτηρίας ἡμῶν ἐθεασάμεθα; Τριήμερον νέκρωσιν καὶ πάλιν ζωήν. Οὐκοῦν χρή τι τοιοῦτον καὶ ἐν ἡμῖν ἐπινοηθῆναι ὁμοίωμα. Τίς οὖν ἐστιν ἡ ἐπίνοια δι' ἧς καὶ ἐν ἡμῖν πληροῦται τοῦ παρ' ἐκείνου γεγονότος ἡ μίμησις; Ἅπαν τὸ νεκρωθὲν οἰκεῖόν τινα καὶ κατὰ φύσιν ἔχει χῶρον, τὴν γῆν, ἐν ᾗ κλίνεταί τε καὶ κατακρύπτεται. Πολλὴν δὲ πρὸς ἄλληλα τὴν συγγένειαν ἔχει γῆ τε καὶ ὕδωρ, μόνα τῶν στοιχείων βαρέα τε ὄντα καὶ κατωφερῆ, καὶ ἐν ἀλλήλοις μένοντα καὶ δι' ἀλλήλων κρατούμενα. Ἐπεὶ οὖν τοῦ καθηγουμένου τῆς ζωῆς ἡμῶν ὁ θάνατος ὑπόγειος κατὰ τὴν κοινὴν γέγονε φύσιν, ἡ τοῦ θανάτου μίμησις ἡ παρ' ἡμῶν γινομένη ἐν τῷ γείτονι διατυποῦται[β] στοιχείῳ. Καὶ ὡς ἐκεῖνος ὁ ἄνωθεν[2] ἄνθρωπος ἀναλαβὼν τὴν νεκρότητα μετὰ τὴν ὑπόγειον **133** θέσιν τριταῖος ἐπὶ τὴν ζωὴν πάλιν ἀνέδραμεν, οὕτω πᾶς ὁ συνημμένος κατὰ τὴν τοῦ σώματος φύσιν ἐκείνῳ πρὸς τὸ αὐτὸ κατόρθωμα[γ] βλέπων, τὸ κατὰ τὴν ζωὴν λέγω πέρας, ἀντὶ γῆς τὸ ὕδωρ ἐπιχεάμενος καὶ ὑποδὺς τὸ στοιχεῖον ἐν τρισὶ περιόδοις τὴν τριήμερον[δ] τῆς ἀναστάσεως χάριν ἀπεμιμήσατο. Εἴρηται δὲ τὸ τοιοῦτον καὶ ἐν τοῖς φθάσασιν, ὅτι κατ' οἰκονομίαν ἐπῆ-

1. Πρβλ. Ἑβρ. 2,10. 2. Πρβλ. Ἰω. 3,31. Α' Κορ. 15,47.

α. Πρβλ. Πλάτ., *Φαίδων* 62B. Γρηγορίου Νύσσης, *Λόγος Κατηχητικός*, ἀνωτ. σ. 411,1.

β. Πρβλ. Γρηγορίου Νύσσης, *Λόγος εἰς τὴν ἡμέραν τῶν Φώτων*, ΒΕΠ 69, 208,4 ἑξ.

γ. Πρβλ. Γρηγορίου Νύσσης, *Λόγος Κατηχητικός*, κατωτ. σ. 429,10.

δ. Πρβλ. Γρηγορίου Νύσσης, *Λόγος εἰς τὴν ἡμέραν τῶν Φώτων*, ΒΕΠ 69, 208,14 ἑξ.

κται τῇ ἀνθρωπίνῃ φύσει παρὰ τῆς θείας προνοίας ὁ θάνατος, ὥστε τῆς κακίας ἐν τῇ διαλύσει [89] τοῦ σώματος καὶ τῆς ψυχῆς ἐκρυείσης[α] πάλιν διὰ τῆς ἀναστάσεως σῶον καὶ ἀπαθῆ καὶ ἀκέραιον[1] καὶ πάσης τῆς κατὰ κακίαν ἐπιμιξίας ἀλλότριον ἀναστοιχειωθῆναι[β] τὸν ἄνθρωπον. Ἀλλ' ἐπὶ μὲν τοῦ καθηγουμένου τῆς σωτηρίας ἡμῶν τὸ τέλειον ἡ κατὰ τὸν θάνατον ἔσχεν οἰκονομία[γ], κατὰ τὸν ἴδιον **134** σκοπὸν ἐντελῶς πληρωθεῖσα. Διεστάλη τε γὰρ διὰ τοῦ θανάτου τὰ ἡνωμένα καὶ πάλιν συνήχθη τὰ διακεκριμένα, ὡς ἂν καθαρθείσης τῆς φύσεως ἐν τῇ τῶν συμφυῶν[δ] διαλύσει, ψυχῆς τε λέγω καὶ σώματος, πάλιν ἡ τῶν κεχωρισμένων ἐπάνοδος τῆς ἀλλοτρίας ἐπιμιξίας καθαρεύουσα γένοιτο· ἐπὶ δὲ τῶν ἀκολουθούντων τῷ καθηγουμένῳ οὐ χωρεῖ τὴν ἀκριβῆ μίμησιν δι' ὅλων ἡ φύσις, ἀλλ' ὅσον δυνατῶς ἔχει, τοσοῦτον νῦν παραδεξαμένη, τὸ λεῖπον τῷ μετὰ ταῦτα ταμιεύεται[ε] χρόνῳ. Τί οὖν ἔστιν ὃ μιμεῖται; Τὸ τῆς ἐμμιχθείσης κακίας ἐν τῇ τῆς νεκρώσεως εἰκόνι τῇ γενομένῃ διὰ τοῦ ὕδατος τὸν ἀφανισμὸν ἐμποιῆσαι, οὐ μὴν τελείως ἀφανισμόν, ἀλλά τινα διακοπὴν τῆς τοῦ κακοῦ συνεχείας, συνδραμόντων δύο πρὸς τὴν τῆς κακίας ἀναίρεσιν, τῆς τε τοῦ πλημμελήσαντος μεταμελείας καὶ τῆς τοῦ θανάτου μιμήσεως, δι' ὧν ἐκλύεταί πως ὁ ἄνθρωπος τῆς πρὸς τὸ κακὸν συμφυΐας[στ], τῇ μεταμελείᾳ μὲν εἰς μῖσός **135** τε καὶ ἀλλοτρίωσιν τῆς κακίας χωρῶν, τῷ δὲ θανάτῳ τοῦ κακοῦ τὸν ἀφανισμὸν ἐργαζόμενος. Ἀλλ' εἰ μὲν ἦν δυνατὸν ἐν τελείῳ τῷ θανάτῳ γενέσθαι τὸν μιμούμενον, οὐδ' ἂν μίμησις, ἀλλὰ ταυτότης τὸ γινόμενον ἦν, καὶ εἰς τὸ παντελὲς τὸ κακὸν ἐκ τῆς φύσεως ἡμῶν ἠφανίζετο, ὥστε, καθώς φησιν ὁ Ἀπόστολος, ἐφάπαξ ἀποθανεῖν τῇ ἁμαρτίᾳ[2]. Ἐπεὶ δέ, καθὼς εἴρηται, τοσοῦτον μιμούμεθα τῆς ὑπερεχούσης δυνάμεως ὅσον χωρεῖ ἡμῶν ἡ πτωχεία τῆς φύσεως, τὸ ὕδωρ τρὶς ἐπιχεάμενοι καὶ πάλιν ἀναβάντες ἀπὸ τοῦ ὕδατος, τὴν σωτήριον ταφὴν καὶ ἀνάστασιν[3] τὴν ἐν τριημέρῳ γενομένην τῷ χρόνῳ ὑποκρινόμεθα, τοῦτο λαβόντες κατὰ διάνοιαν ὅτι, ὡς ἡμῖν ἐν ἐξουσίᾳ τὸ ὕδωρ ἐστί, καὶ ἐν αὐτῷ γενέσθαι καὶ ἐξ αὐτοῦ πάλιν ἀναδῦναι, κατὰ τὸν αὐτὸν τρόπον ἐπ' ἐξουσίας ἦν ὁ τοῦ παντὸς ἔχων τὴν δεσποτείαν, ὡς ἡμεῖς ἐν τῷ ὕδατι, οὕτως ἐκεῖνος ἐν τῷ θανάτῳ καταδυείς, πάλιν ἐπὶ τὴν ἰδίαν ἀναλύειν[ζ] μακαριότητα. Εἰ οὖν τις πρὸς τὸ εἰκὸς βλέποι καὶ κατὰ τὴν ἐν ἑκατέρῳ δύναμιν τὰ γινόμενα κρίνοι, οὐδεμίαν ἐν τοῖς **136** γινομένοις εὑρήσει διαφοράν, ἑκατέρου κατὰ τὸ τῆς φύ-

1. Πρβλ. Ρωμ. 16,19. 2. Πρβλ. Ρωμ. 6,10. 3. Πρβλ. Ρωμ. 6,3-11.

α. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. σ. 404,21.
β. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 394,25.
γ. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 423,7.
δ. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 404,19.
ε. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 395,3.
στ. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 395,23.
ζ. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 410,20.

σεως μέτρον ἐξεργαζομένου τὰ κατὰ δύναμιν. Ὡς γὰρ ἔστιν ἀνθρώπῳ τὸ ὕδωρ πρὸς τὸ ἀκινδύνως ἐπιθιγγάνειν, εἰ βούλοιτο, ἀπειροπλασίως τῇ θείᾳ δυνάμει κατ' εὐκολίαν[α] ὁ θάνατος πρόκειται, καὶ ἐν αὐτῷ γενέσθαι καὶ μὴ τραπῆναι πρὸς πάθος. Διὰ τοῦτο τοίνυν ἀναγκαῖον ἡμῖν τὸ ἐν τῷ ὕδατι προμελετῆσαι τὴν τῆς ἀναστάσεως χάριν, ὡς ἂν εἰδείημεν ὅτι τὸ ἴσον ἡμῖν εἰς εὐκολίαν ἐστὶν ὕδατί τε βαπτισθῆναι καὶ ἐκ τοῦ θανάτου πάλιν ἀναδῦναι. Ἀλλ' ὥσπερ ἐν τοῖς κατὰ τὸν βίον γινομένοις τινὰ τινῶν ἐστιν ἀρχηγικώτερα, ὧν ἄνευ οὐκ ἂν τὸ γινόμενον κατορ**137**θωθείη, καίτοι, εἰ πρὸς τὸ πέρας ἡ ἀρχὴ κρίνοιτο, **[92]** ἀντ' οὐδενὸς εἶναι δόξει τοῦ πράγματος ἡ ἀρχὴ συγκρινομένη τῷ τέλει· τί γὰρ ἴσον ἄνθρωπος καὶ τὸ πρὸς τὴν σύστασιν τοῦ ζῴου καταβαλλόμενον; Ἀλλ' ὅμως, εἰ μὴ ἐκεῖνο εἴη, οὐδ' ἂν τοῦτο γένοιτο· οὕτως καὶ τὸ κατὰ τὴν μεγάλην ἀνάστασιν, μεῖζον ὂν τῇ φύσει, τὰς ἀρχὰς ἐντεῦθεν καὶ τὰς αἰτίας ἔχει· οὐ γάρ ἐστι δυνατὸν ἐκεῖνο γενέσθαι, εἰ μὴ τοῦτο προκαθηγήσαιτο. Μὴ δύνασθαι δέ φημι δίχα τῆς κατὰ τὸ λουτρὸν[β] ἀναγεννήσεως ἐν ἀναστάσει γενέσθαι τὸν ἄνθρωπον, οὐ πρὸς τὴν τοῦ συγκρίματος[γ] ἡμῶν ἀνάπλασίν τε καὶ ἀναστοιχείωσιν[δ] βλέπων· πρὸς τοῦτο γὰρ δεῖ πάντως πορευθῆναι τὴν φύσιν οἰκείαις ἀνάγκαις κατὰ **138** τὴν τοῦ τάξαντος οἰκονομίαν συνωθουμένην, κἂν προσλάβῃ τὴν ἐκ τοῦ λουτροῦ χάριν, κἂν ἄμοιρος μείνῃ τῆς τοιαύτης μυήσεως[ε]· ἀλλὰ τὴν ἐπὶ τὸ μακάριόν τε καὶ θεῖον καὶ πάσης κατηφείας κεχωρισμένον ἀποκατάστασιν. Οὐ γὰρ ὅσα δι' ἀναστάσεως τὴν ἐπὶ τὸ εἶναι πάλιν ἐπάνοδον δέχεται, πρὸς τὸν αὐτὸν ἐπάνεισι βίον, ἀλλὰ πολὺ τὸ μέσον τῶν τε κεκαθαρμένων καὶ τῶν τοῦ καθαρσίου[στ] προσδεομένων ἐστίν. Ἐφ' ὧν γὰρ κατὰ τὸν βίον τοῦτον ἡ διὰ τοῦ λουτροῦ προκαθηγήσατο κάθαρσις, πρὸς τὸ συγγενὲς[ζ] τούτοις ἡ ἀναχώρησις ἔσται· τῷ δὲ καθαρῷ τὸ ἀπαθὲς προσῳκείωται, ἐν δὲ τῇ ἀπαθείᾳ τὸ μακάριον εἶναι οὐκ ἀμφιβάλλεται. Οἷς δὲ προσεπωρώθη[1] τὰ πάθη καὶ οὐδὲν προσήχθη τῆς κηλῖδος καθάρσιον, οὐχ ὕδωρ μυστικόν[η], οὐκ ἐπίκλησις θείας δυνάμεως, οὐχ ἡ ἐκ μεταμελείας διόρθωσις, ἀνάγκη πᾶσα καὶ τούτους ἐν τῷ καταλλήλῳ γενέσθαι. Κατάλληλον[θ] δὲ τῷ κεκιβδηλευ**139**μένῳ χρυσίῳ τὸ χωνευτήριον[2], ὡς τῆς ἐμμιχθείσης αὐτοῖς κακίας ἀποτακείσης μακροῖς

1. Πρβλ. Ρωμ. 11,7. Β' Κορ. 3,14. 2. Πρβλ. Μαλ. 3,2.

α. Πρβλ. Πλάτ., Νόμοι 942D.
β. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. σ. 423,7.
γ. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 404,11.
δ. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 394,25.
ε. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 423,24.
στ. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 415,23.
ζ. Πρβλ. Γρηγορίου Νύσσης, Περὶ ψυχῆς καὶ ἀναστάσεως, ἀνωτ. σ. 369, 14 ἑξ.
η. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. σ. 425,17.
θ. Πρβλ. Γρηγορίου Νύσσης, Περὶ ψυχῆς καὶ ἀναστάσεως, ἀνωτ. σ. 352, 26 ἑξ. 373,8 ἑξ. 375,26 ἑξ. Λόγος εἰς τοὺς κοιμηθέντας, ΒΕΠ 69,139,10 ἑξ.

ὕστερον αἰῶσι[α] καθαρὰν ἀποσωθῆναι τῷ Θεῷ τὴν φύσιν. Ἐπεὶ οὖν ῥυπτική τίς ἐστι δύναμις ἐν τῷ πυρὶ καὶ τῷ ὕδατι, οἱ διὰ τοῦ ὕδατος τοῦ μυστικοῦ τὸν τῆς κακίας ῥύπον ἀποκλυσάμενοι τοῦ ἑτέρου τῶν καθαρσίων εἴδους οὐκ ἐπιδέονται· οἱ δὲ ταύτης ἀμύητοι τῆς καθάρσεως ἀναγκαίως τῷ πυρὶ καθαρίζονται.

36. Μὴ γὰρ εἶναι δυνατὸν ὅ τε κοινὸς δείκνυσι λόγος καὶ ἡ τῶν Γραφῶν διδασκαλία ἐντὸς τοῦ θείου γενέσθαι χοροῦ τὸν μὴ καθαρῶς πάντας τοὺς ἐκ κακίας σπίλους ἀπορρυψάμενον. Τοῦτό ἐστιν ὃ μικρὸν ὃν καθ' ἑαυτὸ μεγάλων ἀγαθῶν ἀρχή τε καὶ ὑπόθεσις[β] γίνεται. Μικρὸν
140 δέ φημι τῇ εὐκολίᾳ τοῦ κατορθώματος. Τίς γὰρ πάρεστι πόνος τῷ πράγματι, πιστεῦσαι πανταχοῦ τὸν Θεὸν εἶναι, ἐν πᾶσι δὲ ὄντα, παρεῖναι καὶ τοῖς ἐπικαλουμένοις τὴν ζωτικὴν αὐτοῦ δύναμιν, παρόντα δὲ τὸ οἰκεῖον[γ] ποιεῖν; Ἴδιον δὲ τῆς θείας ἐνεργείας ἡ τῶν δεομένων ἐστὶ σωτηρία. Αὕτη δὲ διὰ τῆς ἐν ὕδατι καθάρσεως ἐνεργὸς γίνεται. Ὁ δὲ καθαρθεὶς ἐν μετουσίᾳ τῆς καθαρότητος ἔσται, τὸ δὲ ἀληθῶς καθαρὸν ἡ θεότης ἐστίν. Ὁρᾷς ὅπως μικρόν τι τὸ κατὰ τὴν ἀρχήν ἐστι καὶ εὐκατόρθωτον, πίστις καὶ ὕδωρ, ἡ μὲν ἐντὸς τῆς προαιρέσεως ἡμῶν ἀποκειμένη, τὸ δὲ σύντροφον[δ] τῇ ἀνθρωπίνῃ ζωῇ. Ἀλλὰ τὸ ἐκ τούτων ἀναφυόμενον ἀγαθὸν ὅσον **[93]** καὶ οἷον, ὡς πρὸς αὐτὸ τὸ Θεῖον ἔχειν τὴν οἰκειότητα.

141 37. Ἀλλ' ἐπειδὴ διπλοῦν τὸ ἀνθρώπινον[ε], ψυχῇ τε καὶ σώματι συγκεκραμένον, δι' ἀμφοτέρων ἀνάγκη τοῦ πρὸς τὴν ζωὴν καθηγουμένου τοὺς σῳζομένους ἐφάπτεσθαι. Οὐκοῦν ἡ ψυχὴ μὲν διὰ πίστεως πρὸς αὐτὸν ἀνακραθεῖσα[στ] **142** τὰς ἀφορμὰς ἐντεῦθεν τῆς σωτηρίας ἔχει· ἡ γὰρ πρὸς τὴν ζωὴν ἕνωσις τὴν τῆς ζωῆς κοινωνίαν ἔχει· τὸ δὲ σῶμα[1·ζ] ἕτερον τρόπον ἐν μετουσίᾳ τε καὶ ἀνακράσει τοῦ σῴζοντος γίνεται. Ὥσπερ γὰρ οἱ δηλητήριον[η] δι' ἐπιβουλῆς λαβόντες ἄλλῳ φαρμάκῳ τὴν φθοροποιὸν δύναμιν ἔσβεσαν, χρὴ δὲ καθ' ὁμοιότητα τοῦ ὀλεθρίου καὶ τὸ ἀλεξητήριον ἐντὸς τῶν ἀνθρωπίνων γενέσθαι σπλάγχνων, ὡς ἐὰν δι' ἐκείνων ἐφ' ἅπαν καταμερισθείη τὸ σῶμα ἡ τοῦ βοηθοῦντος δύναμις, οὕτω τοῦ διαλύοντος[θ] τὴν φύσιν

---

1. Πρβλ. Ἰω. 6,54,58.

α. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. σ. 415,2.
β. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 390,23.
γ. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 416,33.
δ. Πρβλ. Γρηγορίου Νύσσης, Εἰς τὴν ἡμέραν τῶν Φώτων, ΒΕΠ 69,206, 13 ἑξ.
ε. Πρβλ. Γρηγορίου Νύσσης, Περὶ τελειότητος, ΒΕΠ 69,83,33 ἑξ. Εἰς τὴν ἡμέραν τῶν Φώτων, ΒΕΠ 69,206,13 ἑξ.
στ. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. σ. 399,17.
ζ. Πρβλ. Ἰγνατίου, Πρὸς Ἐφεσίους, ΒΕΠ 2,293,10-18, PG 5,661A.
η. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. σ. 414,4.
θ. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 394,33. Περὶ κατασκευῆς τοῦ ἀνθρώπου, PG 44,197C ἑξ.

ἡμῶν ἀπογευσάμενοι πάλιν ἀναγκαίως καὶ τοῦ συνάγοντος τὸ διαλελυμένον ἐπεδεήθημεν, ὡς ἂν ἐν ἡμῖν γενόμενον τὸ τοιοῦτον ἀλεξητήριον τὴν προεντεθεῖσαν τῷ σώματι τοῦ δηλητηρίου βλάβην διὰ τῆς οἰκείας ἀντιπαθείας ἀπώσοιτο. Τί οὖν ἐστι τοῦτο; Οὐδὲν ἕτερον ἢ ἐκεῖνο τὸ σῶμα ὃ τοῦ τε **143** θανάτου κρεῖττον ἐδείχθη καὶ τῆς ζωῆς ἡμῖν κατήρξατο. Καθάπερ γὰρ μικρὰ ζύμη, καθώς φησιν ὁ Ἀπόστολος, ὅλον τὸ φύραμα[1] πρὸς ἑαυτὴν ἐξομοιοῖ, οὕτως τὸ ἀθανατισθὲν ὑπὸ τοῦ Θεοῦ σῶμα ἐν τῷ ἡμετέρῳ γενόμενον ὅλον πρὸς ἑαυτὸ μεταποιεῖ καὶ μετατίθησιν. Ὡς γὰρ τῷ φθοροποιῷ πρὸς τὸ ὑγιαῖνον ἀναμιχθέντι ἅπαν τὸ ἀνακραθὲν συνηχρείωται, οὕτως καὶ τὸ ἀθάνατον σῶμα ἐν τῷ ἀναλαβόντι αὐτὸ γενόμενον πρὸς τὴν ἑαυτοῦ φύσιν καὶ τὸ πᾶν μετεποίησεν. Ἀλλὰ μὴν οὐκ ἔστιν ἄλλως ἐντός τι γενέσθαι **144** τοῦ σώματος, μὴ διὰ βρώσεως καὶ πόσεως τοῖς σπλάγχνοις καταμιγνύμενον. Οὐκοῦν ἐπάναγκες κατὰ τὸν δυνατὸν τῇ φύσει τρόπον τὴν ζωοποιὸν δύναμιν τῷ σώματι δέξασθαι. Μόνου δὲ τοῦ Θεοδόχου σώματος ἐκείνου ταύτην δεξαμένου τὴν χάριν, ἄλλως δὲ δειχθέντος μὴ εἶναι δυνατὸν ἐν ἀθανασίᾳ γενέσθαι τὸ ἡμέτερον σῶμα, μὴ διὰ τῆς πρὸς τὸ ἀθάνατον κοινωνίας ἐν μετουσίᾳ τῆς ἀφθαρσίας γινόμενον, σκοπῆσαι προσήκει, πῶς ἐγένετο δυνατὸν τὸ ἓν ἐκεῖνο σῶμα ταῖς τοσαύταις τῶν πιστῶν μυριάσι κατὰ πᾶσαν τὴν οἰκουμένην εἰς ἀεὶ καταμεριζόμενον ὅλον ἑκάστου διὰ τοῦ μέρους γίνεσθαι καὶ αὐτὸ μένειν[α] ἐφ' ἑαυτοῦ ὅλον. Οὐκοῦν ὡς ἂν πρὸς τὸ ἀκόλουθον ἡμῖν ἡ πίστις βλέπουσα **145** μηδεμίαν ἀμφιβολίαν περὶ τοῦ προκειμένου νοήματος ἔχοι, μικρόν τι προσήκει παρασχολῆσαι τὸν λόγον εἰς τὴν φυσιολογίαν[β] τοῦ σώματος. Τίς γὰρ οὐκ οἶδεν ὅτι ἡ τοῦ σώματος ἡμῶν φύσις αὐτὴ καθ' ἑαυτὴν ἐν ἰδίᾳ τινὶ ὑποστάσει ζωὴν οὐκ ἔχει, ἀλλὰ διὰ τῆς ἐπιρρεούσης[γ] αὐτῇ δυνάμεως συνέχει τε ἑαυτὴν καὶ ἐν τῷ εἶναι μένει, ἀπαύστῳ κινήσει τό τε λεῖπον πρὸς ἑαυτὴν ἐφελκομένη καὶ τὸ περιττεῦον ἀπωθουμένη; Καὶ ὥσπερ τις ἀσκὸς ὑγροῦ τινος πλήρης ὤν, εἰ κατὰ τὸν **[96]** πυθμένα τὸ ἐγκείμενον ὑπεξίοι, οὐκ ἂν φυλάσσοι τὸ περὶ τὸν ὄγκον ἑαυτοῦ σχῆμα, μὴ ἀντεισιόντος ἄνωθεν ἑτέρου πρὸς τὸ κενούμενον, ὥστε τὸν ὁρῶντα τὴν ὀγκώδη τοῦ ἀγγείου τούτου περιοχὴν εἰδέναι μὴ ἰδίαν εἶναι τοῦ φαινομένου, ἀλλὰ τὸ εἰσρέον ἐν αὐτῷ γινόμενον σχηματίζειν τὸ περιέχον τὸν ὄγκον· οὕτω καὶ ἡ τοῦ σώματος ἡμῶν κατασκευὴ ἴδιον **146** μὲν πρὸς τὴν ἑαυτῆς σύστασιν οὐδὲν ἡμῖν γνώριμον ἔχει, διὰ δὲ τῆς ἐπεισαγομένης δυνάμεως ἐν τῷ εἶναι μένει. Ἡ δὲ δύναμις αὕτη τροφὴ καὶ ἔστι καὶ λέγεται. Ἔστι δὲ οὐχ ἡ αὐτὴ πᾶσι τοῖς τρεφομένοις σώμασιν, ἀλλά τις ἑκάστῳ

1. Πρβλ. Α' Κορ. 5,6.

α. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, κατωτ. σ. 434,2.

β. Πρβλ. Ἀριστ., Περὶ αἰσθήσεως καὶ αἰσθητῶν, κεφ. 4. Περὶ ψυχῆς ΙΙ 4. Περὶ γενέσεως καὶ φθορᾶς Ι 5. Περὶ ζῴων μορίων ΙΙ 3.

γ. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. σ. 403,13-14.

κατάλληλος[α] παρὰ τοῦ τὴν φύσιν οἰκονομοῦντος ἀποκεκλήρωται. Τὰ μὲν γὰρ τῶν ζῴων ῥιζωρυχοῦντα τρέφεται, ἑτέροις ἐστὶν ἡ πόα τρόφιμος, τινῶν δὲ ἡ τροφὴ σάρκες εἰσίν, ἀνθρώπῳ δὲ κατὰ τὸ προηγούμενον ἄρτος. Καὶ εἰς τὴν τοῦ ὑγροῦ διαμονὴν καὶ συντήρησιν πότον γίνεται οὐκ αὐτὸ μόνον τὸ ὕδωρ, ἀλλ' οἴνῳ πολλάκις ἐφηδυνόμενον, πρὸς τὴν τοῦ θερμοῦ τοῦ ἐν ἡμῖν συμμαχίαν. Οὐκοῦν ὁ πρὸς ταῦτα βλέπων δυνάμει πρὸς τὸν ὄγκον τοῦ ἡμετέρου σώματος βλέπει· ἐν ἐμοὶ γὰρ ἐκεῖνα γενόμενα αἷμα καὶ σῶμα γίνεται, καταλλήλως διὰ τῆς ἀλλοιωτικῆς[β] δυνάμεως πρὸς τὸ τοῦ σώματος εἶδος[γ], τῆς τροφῆς **147** μεθισταμένης[δ]. Τούτων ἡμῖν τοῦτον διευκρινηθέντων τὸν τρόπον ἐπανακτέον πάλιν πρὸς τὰ προκείμενα τὴν διάνοιαν. Ἐζητεῖτο γὰρ πῶς τὸ ἓν ἐκεῖνο σῶμα τοῦ Χριστοῦ πᾶσαν ζωοποιεῖ τὴν τῶν ἀνθρώπων φύσιν, ἐν ὅσοις ἡ πίστις ἐστί, πρὸς πάντας μεριζόμενον καὶ αὐτὸ οὐ μειούμενον. Τάχα τοίνυν ἐγγὺς τοῦ εἰκότος λόγου γινόμεθα. Εἰ γὰρ παντὸς σώματος ἡ ὑπόστασις ἐκ τῆς τροφῆς γίνεται, αὕτη δὲ **148** βρῶσις καὶ πόσις ἐστίν, ἔστι δὲ ἐν τῇ βρώσει ἄρτος, ἐν δὲ τῇ πόσει τὸ ὕδωρ ἐφηδυσμένον τῷ οἴνῳ, ὁ δὲ τοῦ Θεοῦ Λόγος, καθὼς ἐν τοῖς πρώτοις διῄρηται, ὁ καὶ Θεὸς ὢν καὶ Λόγος, τῇ ἀνθρωπίνῃ συνανεκράθη φύσει καὶ ἐν τῷ σώματι τῷ ἡμετέρῳ γενόμενος οὐκ ἄλλην τινὰ παρεκαινοτόμησε τῇ φύσει τὴν σύστασιν, ἀλλὰ διὰ τῶν συνήθων τε καὶ καταλλήλων ἔδωκε τῷ καθ' ἑαυτὸν σώματι τὴν διαμονήν, βρώσει καὶ πόσει περικρατῶν τὴν ὑπόστασιν, ἡ δὲ βρῶσις ἄρτος ἦν· ὥσπερ τοίνυν ἐφ' ἡμῶν, καθὼς ἤδη πολλάκις εἴρηται, ὁ τὸν ἄρτον ἰδὼν τρόπον τινὰ τὸ σῶμα τὸ ἀνθρώπινον βλέπει, ὅτι ἐν τούτῳ ἐκεῖνο γινόμενον τοῦτο γίνεται, οὕτω κἀκεῖ τὸ θεοδόχον σῶμα τὴν τροφὴν τοῦ ἄρτου παραδεξάμενον λόγῳ τινὶ ταὐτὸν ἦν ἐκείνῳ, τῆς τροφῆς, καθὼς εἴρηται, πρὸς τὴν τοῦ σώματος φύσιν μεθισταμένης· τὸ γὰρ πάντων ἴδιον καὶ ἐπ' ἐκείνης τῆς σαρκὸς ὡμολογήθη, ὅτι ἄρτῳ κἀκεῖνο τὸ σῶμα διεκρατεῖτο, **149** τὸ δὲ σῶμα τῇ ἐνοικήσει τοῦ Θεοῦ Λόγου πρὸς τὴν θεϊκὴν[ε] ἀξίαν μετεποιήθη. Καλῶς οὖν καὶ νῦν τὸν τῷ Λόγῳ[στ] τοῦ Θεοῦ[1] ἁγιαζόμενον ἄρτον εἰς σῶμα τοῦ Θεοῦ Λόγου μεταποιεῖσθαι πιστεύομεν. Καὶ γὰρ ἐκεῖνο τὸ σῶμα ἄρτος τῇ δυνάμει ἦν, ἡγιάσθη δὲ τῇ ἐπισκηνώσει τοῦ Λόγου τοῦ σκηνώσαντος ἐν τῇ σαρκί[2]. Οὐκοῦν ὅθεν ὁ ἐν ἐκείνῳ τῷ σώματι μεταποιηθεὶς ἄρτος εἰς θείαν μετέστη δύναμιν, διὰ τοῦ αὐτοῦ καὶ **[97]** νῦν τὸ ἴσον γίνεται.

---

1. Πρβλ. Α' Τιμ. 4,5. 2, Πρβλ. Ἰω. 1,14.

α. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. σ. 386,6.

β. Πρβλ. Ἀριστ., Περὶ γενέσεως καὶ φθορᾶς Ι 4.

γ. Πρβλ. Γρηγορίου Νύσσης, Περὶ κατασκευῆς τοῦ ἀνθρώπου κεφ. 27. PG 44,225Α ἑξ.

δ. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, κατωτ. σ. 434,24. 435,16.

ε. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 425,27.

στ. Πρβλ. Ἰουστίνου, Ἀπολογία, Α 66, ΒΕΠ 3,197,29 ἑξ. PG 6,428Β ἑξ.

Ἐκεῖ τε γὰρ ἡ τοῦ Λόγου χάρις ἅγιον ἐποίει τὸ σῶμα ᾧ ἐκ τοῦ ἄρτου ἡ σύστασις ἦν, καὶ τρόπον τινὰ καὶ αὐτὸ ἄρτος ἦν· ἐνταῦθά τε ὡσαύτως ὁ ἄρτος, καθώς φησιν ὁ Ἀπόστολος, **150** ἁγιάζεται «διὰ Λόγου Θεοῦ καὶ ἐντεύξεως»[1], οὐ διὰ βρώσεως προϊὼν εἰς τὸ σῶμα γενέσθαι τοῦ Λόγου, ἀλλ' εὐθὺς πρὸς τὸ σῶμα διὰ τοῦ λόγου μεταποιούμενος[α], καθὼς εἴρηται **151** ὑπὸ τοῦ Λόγου ὅτι «τοῦτό ἐστι τὸ σῶμά μου»[2]. Πάσης δὲ σαρκὸς καὶ διὰ τοῦ ὑγροῦ[β] τρεφομένης· οὐ γὰρ ἂν δίχα τῆς πρὸς τοῦτο συζυγίας τὸ ἐν ἡμῖν γεῶδες ἐν τῷ ζῆν διαμένοι· ὥσπερ διὰ τῆς στερρᾶς τε καὶ ἀντιτύπου[γ] τροφῆς τὸ στερρὸν τοῦ σώματος ὑποστηρίζομεν, τὸν αὐτὸν τρόπον καὶ τῷ ὑγρῷ τὴν προσθήκην ἐκ τῆς ὁμογενοῦς ποιούμεθα φύσεως, ὅπερ ἐν ἡμῖν γενόμενον διὰ τῆς ἀλλοιωτικῆς δυνάμεως ἐξαιματοῦται[δ] καὶ μάλιστά γε εἰ διὰ τοῦ οἴνου λάβοι τὴν δύναμιν πρὸς τὴν εἰς τὸ θερμὸν μεταποίησιν. Ἐπεὶ οὖν καὶ τοῦτο τὸ μέρος ἡ θεοδόχος ἐκείνη σὰρξ πρὸς τὴν σύστασιν ἑαυτῆς παρεδέξατο, ὁ δὲ φανερωθεὶς Θεὸς διὰ τοῦτο κατέμιξεν ἑαυτὸν τῇ ἐπικήρῳ φύσει[ε], ἵνα τῇ τῆς **152** θεότητος κοινωνίᾳ συναποθεωθῇ τὸ ἀνθρώπινον, τούτου χάριν πᾶσι τοῖς πεπιστευκόσι τῇ οἰκονομίᾳ τῆς χάριτος ἑαυτὸν ἐνσπείρει διὰ τῆς σαρκός, ἧς ἡ σύστασις ἐξ οἴνου τε καὶ ἄρτου ἐστί, τοῖς σώμασι τῶν πεπιστευκότων κατακιρνάμενος, ὡς ἂν τῇ πρὸς τὸ ἀθάνατον ἑνώσει καὶ ὁ ἄνθρωπος τῆς ἀφθαρσίας μέτοχος γένοιτο. Ταῦτα δὲ δίδωσι τῇ τῆς εὐλογίας[3] δυνάμει πρὸς ἐκεῖνο μεταστοιχειώσας[στ] τῶν φαινομένων τὴν φύσιν.

153 38. Οὐδὲν οἶμαι τοῖς εἰρημένοις ἐνδεῖν τῶν περὶ τὸ μυστήριον ζητουμένων, πλὴν τοῦ κατὰ τὴν πίστιν λόγου, ὃν δι' ὀλίγου μὲν καὶ ἐπὶ τῆς παρούσης ἐκθησόμεθα πραγματείας[ζ]. Τοῖς δὲ τὸν τελεώτερον ἐπιζητοῦσι λόγον ἤδη προεξεθέμεθα ἐν ἑτέροις πόνοις, διὰ τῆς δυνατῆς ἡμῖν σπουδῆς ἐν ἀκριβείᾳ τὸν λόγον ἁπλώσαντες, ἐν οἷς πρός τε τοὺς ἐναντίους ἀγωνιστικῶς συνεπλάκημεν καὶ καθ' ἑαυτοὺς περὶ τῶν προσφερομένων ἡμῖν ζητημάτων ἐπεσκεψάμεθα. Τῷ δὲ παρόντι λόγῳ τοσοῦτον εἰπεῖν περὶ τῆς πίστεως καλῶς ἔχειν ᾠήθημεν ὅσον ἡ τοῦ Εὐαγγελίου περιέχει φωνή, τὸ τὸν γεννώμενον[4] κατὰ τὴν πνευματικὴν ἀναγέννησιν εἰδέναι παρὰ τίνος γεννᾶται καὶ ποῖον

---

1. Α' Τιμ. 4,5. 2. Μάρκ. 14,22. Ματθ. 26,26. Λουκ. 22,19. 3. Πρβλ. Μάρκ. 14,22. Ματθ. 26,26, Α' Κορ. 10,16. 4. Πρβλ. Ἰω. 1,13. 3,6-7.

α. Πρβλ. Γρηγορίου Νύσσης, εἰς τὴν ἡμέραν τῶν Φώτων, ΒΕΠ 69,206,5 ἑξ.
β. Πρβλ. Ἀριστ., Περὶ ζῴων γενέσεως III, 2. 753b25.
γ. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. σ. 410,25.
δ. Πρβλ. Ἀριστ., Περὶ ὕπνου καὶ ἐγρηγόρσεως, κεφ. 3.
ε. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. σ. 380,29.
στ. Πρβλ. Γρηγορίου Νύσσης, Εἰς τὸ Ἆσμα τῶν Ἀσμάτων, ΒΕΠ 66,120, 13. Εἰς τὸν βίον Μωυσέως, W. Jaeger (Ἐκδ. H. Musurillo) VII,I 41,22 ἑξ. PG 46,336. Ἐπιστολὴ Κανονική, πρὸς Λητόϊον, κατωτ. σ. 438,10-11.
ζ. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. σ. 389,27.

γίνεται **154** ζῷον· μόνον γὰρ τοῦτο τὸ τῆς γεννήσεως εἶδος κατ' ἐξουσίαν ἔχει, ὅ τί περ ἂν ἔληται, τοῦτο γενέσθαι.

39. Τὰ μὲν γὰρ λοιπὰ τῶν τικτομένων τῇ ὁρμῇ τῶν ἀπογεννώντων ὑφίσταται, ὁ δὲ πνευματικὸς τόκος τῆς ἐξουσίας ἤρτηται τοῦ τικτομένου. Ἐπειδὴ τοίνυν ἐν τούτῳ ἐστὶν ὁ κίνδυνος, ἐν τῷ μὴ διαμαρτεῖν τοῦ συμφέροντος, κατ' ἐξουσίαν προκειμένης παντὶ τῆς αἱρέσεως, καλῶς ἔχειν φημὶ τὸν πρὸς τὴν γέννησιν τὴν ἰδίαν ὁρμῶντα προδιαγνῶναι τῷ λογισμῷ, τίς αὐτῷ λυσιτελήσει πατὴρ καὶ ἐκ τίνος ἄμεινον αὐτῷ συστῆναι τὴν φύσιν· εἴρηται γὰρ ὅτι κατ' ἐξουσίαν **[100]** τοὺς γεννήτορας ὁ τοιοῦτος αἱρεῖται τόκος. Διχῇ τοίνυν τῶν ὄντων μεμερισμένων εἰς τὸ κτιστὸν **155** καὶ τὸ ἄκτιστον, καὶ τῆς μὲν ἀκτίστου φύσεως τὸ ἄτρεπτόν[1·α] τε καὶ ἀμετάθετον ἐν ἑαυτῇ κεκτημένης, τῆς δὲ κτίσεως πρὸς τροπὴν[β] ἀλλοιουμένης, ὁ κατὰ λογισμὸν τὸ λυσιτελοῦν προαιρούμενος τίνος αἱρήσεται μᾶλλον γενέσθαι τέκνον, τῆς ἐν τροπῇ θεωρουμένης ἢ τῆς ἀμετάστατόν τε καὶ παγίαν καὶ ἀεὶ ὡσαύτως ἔχουσαν ἐν τῷ ἀγαθῷ κεκτημένης τὴν φύσιν; Ἐπεὶ οὖν ἐν τῷ Εὐαγγελίῳ τὰ τρία παραδέδοται πρόσωπά τε καὶ ὀνόματα δι' ὧν ἡ γέννησις τοῖς πιστεύουσι γίνεται, γεννᾶται δὲ κατὰ τὸ ἴσον ὁ ἐν τῇ Τριάδι γεννώμενος παρὰ Πατρός τε καὶ Υἱοῦ καὶ Πνεύματος Ἁγίου[2]· οὕτω γάρ φησι περὶ τοῦ Πνεύματος τὸ Εὐαγγέλιον ὅτι «Τὸ γεγεννημένον ἐκ τοῦ Πνεύματος πνεῦμά ἐστι»[3], καὶ ὁ Παῦλος ἐν Χριστῷ γεννᾷ[4], καὶ ὁ Πατὴρ πάντων ἐστὶ πατήρ· ἐνταῦθά μοι νηφέτω τοῦ ἀκροατοῦ ἡ διάνοια[5], **156** μὴ τῆς ἀστατούσης φύσεως ἑαυτὴν ἔκγονον ποιήσῃ, ἐξὸν τὴν ἄτρεπτόν τε καὶ ἀναλλοίωτον ἀρχηγὸν[γ] ποιήσασθαι τῆς ἰδίας ζωῆς. Κατὰ γὰρ τὴν διάθεσιν τῆς καρδίας[6] τοῦ προσιόντος τῇ οἰκονομίᾳ[δ] καὶ τὸ γινόμενον τὴν δύναμιν ἔχει, ὥστε τὸν μὲν ἄκτιστον ὁμολογοῦντα τὴν Ἁγίαν Τριάδα εἰς τὴν ἄτρεπτόν τε καὶ ἀναλλοίωτον εἰσελθεῖν ζωήν, τὸν δὲ τὴν κτιστὴν φύσιν ἐν τῇ Τριάδι διὰ τῆς ἠπατημένης ὑπολήψεως βλέποντα, ἔπειτα ἐν αὐτῇ βαπτιζόμενον, πάλιν τῷ τρεπτῷ τε καὶ ἀλλοιουμένῳ ἐγγεννηθῆναι[ε] βίῳ· τῇ γὰρ τῶν γεννώντων φύσει κατ' ἀνάγκην ὁμογενές ἐστι καὶ τὸ τικτόμενον. Τί οὖν ἂν εἴη λυσιτελέστερον, εἰς τὴν ἄτρεπτον ζωὴν εἰσελθεῖν ἢ πάλιν τῷ ἀστατοῦντι καὶ ἀλλοιουμένῳ ἐγκυματοῦσθαι βίῳ; Ἐπεὶ οὖν παντὶ δῆλόν ἐστι τῷ καὶ ὁπωσοῦν διανοίας μετέχοντι, ὅτι τὸ ἑστὼς τοῦ μὴ ἑστῶτος παρὰ πολὺ τιμιώτερον, καὶ τοῦ ἐλλιποῦς τὸ τέλειον, καὶ τοῦ

---

1. Πρβλ. Μαλ. 3,6. 2. Πρβλ. Ματθ. 28,19. Α' Κορ. 4,15. 3. Ἰω. 3,6. 4. Πρβλ. Α' Κορ. 4,15. 5. Πρβλ. Α' Πέτρ. 1,13. 6. Πρβλ. Ψαλ. 72,7.

α. Πρβλ. Πλάτ., Πολιτεία II, 381C. Ἀριστ., Περὶ οὐρανοῦ 279α30.
β. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. σ. 408,22.
γ. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 423,24.
δ. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 425,17.
ε. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 392,35-36.

δεομένου τὸ μὴ δεόμενον, καὶ τοῦ διὰ προκοπῆς[α] ἀνιόντος τὸ μὴ ἔχον εἰς ὅ τι προέλθῃ, ἀλλ' ἐπὶ τῆς τελειότητος τοῦ ἀγαθοῦ μένον[β] ἀεί, ἐπάναγκες ἂν εἴη **157** ἓν ἐξ ἀμφοτέρων αἱρεῖσθαι πάντως τόν γε νοῦν ἔχοντα, ἢ τῆς ἀκτίστου φύσεως εἶναι πιστεύειν τὴν Ἁγίαν Τριάδα καὶ οὕτως ἀρχηγὸν διὰ τῆς πνευματικῆς γεννήσεως ποιεῖσθαι τῆς ἰδίας ζωῆς ἤ, εἰ ἔξω τῆς τοῦ πρώτου[γ] καὶ ἀληθινοῦ καὶ ἀγαθοῦ Θεοῦ φύσεως, τῆς τοῦ Πατρὸς λέγω, νομίζοι εἶναι τὸν Υἱὸν ἢ τὸ Πνεῦμα τὸ Ἅγιον, μὴ συμπαραλαμβάνειν τὴν εἰς ταῦτα πίστιν ἐν τῷ καιρῷ τῆς γεννήσεως, μήποτε λάθῃ τῇ ἐλλιπεῖ φύσει καὶ δεομένῃ τοῦ ἀγαθύνοντος[1] ἑαυτὸν εἰσποιῶν καὶ τρόπον τινὰ πάλιν εἰς τὸ ὁμογενὲς ἑαυτὸν εἰσαγάγῃ, τῆς ὑπερεχούσης φύσεως ἀποστήσας τὴν πίστιν. Ὁ γάρ τινι τῶν κτιστῶν ἑαυτὸν ὑποζεύξας λέληθεν εἰς αὐτὸ καὶ οὐκ εἰς τὸ Θεῖον τὴν **158** ἐλπίδα τῆς σωτηρίας ἔχων. Πᾶσα γὰρ ἡ κτίσις τῷ κατὰ τὸ ἴσον ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι προήκειν οἰκείως πρὸς ἑαυτὴν ἔχει· καὶ ὥσπερ ἐπὶ τῆς τῶν σωμάτων κατασκευῆς[δ] πάντα τὰ μέλη πρὸς ἑαυτὰ συμφυῶς ἔχει, κἂν τὰ μὲν ὑποβεβηκότα, τὰ δὲ ὑπερανεστῶτα τύχῃ, οὕτως ἡ κτιστὴ φύσις ἥνωται πρὸς ἑαυτὴν κατὰ τὸν λό**[101]**γον τῆς κτίσεως καὶ οὐδὲν ἡ κατὰ τὸ ὑπερέχον καὶ ἐνδέον ἐν ἡμῖν διαφορὰ διίστησιν αὐτὴν τῆς πρὸς ἑαυτὴν συμφυΐας· ὧν γὰρ ἐπ' ἴσης προεπινοεῖται ἡ ἀνυπαρξία, κἂν ἐν τοῖς ἄλλοις τὸ διάφορον ᾖ, οὐδεμίαν κατὰ τὸ μέρος τοῦτο τῆς φύσεως παραλλαγὴν ἐξευρίσκομεν. Εἰ οὖν κτιστὸς μὲν ὁ ἄνθρωπος, κτιστὸν δὲ καὶ τὸ Πνεῦμα καὶ τὸν μονογενῆ Θεὸν εἶναι νομίζοι, μάταιος ἂν εἴη ἐν ἐλπίδι τῆς ἐπὶ τὸ κρεῖττον μεταστάσεως[ε], πρὸς ἑαυτὸν ἀναλύων[στ]. Ὅμοιον γὰρ ταῖς τοῦ Νικοδήμου[2] ὑπολήψεσίν ἐστι τὸ γινόμενον, ὃς περὶ τοῦ δεῖν ἄνωθεν γεννηθῆναι παρὰ τοῦ Κυρίου μαθὼν διὰ τὸ μήπω χωρῆσαι τοῦ μυστηρίου τὸν λόγον ἐπὶ τὸν **159** μητρῷον κόλπον τοῖς λογισμοῖς κατεσύρετο. Ὥστε εἰ μὴ πρὸς τὴν ἄκτιστον φύσιν, ἀλλὰ πρὸς τὴν συγγενῆ καὶ ὁμόδουλον κτίσιν[3] ἑαυτὸν ἀπάγοι, τῆς κάτωθεν, οὐ τῆς ἄνωθέν ἐστι γεννήσεως[4]. Φησὶ δὲ τὸ Εὐαγγέλιον ἄνωθεν εἶναι τῶν σῳζομένων τὴν γέννησιν.

40. Ἀλλ' οὔ μοι δοκεῖ μέχρι τῶν εἰρημένων[ζ] αὐτάρκη τὴν διδασκαλίαν ἡ κατήχησις ἔχειν. Δεῖ γάρ, οἶμαι, καὶ τὸ μετὰ τοῦτο σκοπεῖν, ὃ πολλοὶ τῶν προσιόντων τῇ τοῦ βαπτίσματος χάριτι παρο-

---

1. Πρβλ. Γ' Βασ. 1,47. Ψαλ. 50,20. 124,4. Ἱερ. 51,27. 2. Πρβλ. Ἰω. 3,4. 3. Πρβλ. Ρωμ. 8,21. 4. Πρβλ. Ἰω. 3,3.

α. Πρβλ. Μ. Ἀθανασίου, ΒΕΠ 31,311,38. PG 26,729C.
β. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. σ. 430,22.
γ. Πρβλ. Γρηγορίου Νύσσης, Κατὰ Εὐνομίου Α, ΒΕΠ 67,55,40 ἑξ. 70,6.
δ. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. σ. 417,12.
ε. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 435,6-7.
στ. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 410,20.
ζ. Πρβλ. Γρηγορίου Θεολόγου, Θεολογικὸς Β', ΒΕΠ 59,223,30-31.

ρῶσι, δι' ἀπάτης[α] ἑαυτοὺς παράγοντες, καὶ τῷ δοκεῖν μόνον, οὐχὶ τῷ ὄντι γεννώμενοι. Ἡ γὰρ διὰ τῆς ἀναγεννήσεως γινομένη τῆς ζωῆς ἡμῶν μεταποίησις οὐκ ἂν εἴη μεταποίησις, εἰ ἐν ᾧ ἐσμεν διαμένοιμεν. Τὸν γὰρ ἐν τοῖς αὐτοῖς ὄντα οὐκ οἶδα πῶς ἔστιν ἄλλον τινὰ γεγεννῆσθαι νομίσαι, ἐφ' οὗ μηδὲν τῶν γνωρισμάτων μετεποιήθη. Τὸ γὰρ ἐπὶ ἀνακαινισμῷ καὶ μεταβολῇ τῆς φύσεως ἡμῶν τὴν σωτήριον παραλαμβάνεσθαι γέννησιν παντὶ δῆλόν ἐστιν. Ἀλλὰ μὴν ἡ ἀνθρωπότης αὐτὴ καθ' **160** ἑαυτὴν μεταβολὴν ἐκ τοῦ βαπτίσματος οὐ προσίεται, οὔτε τὸ λογικὸν οὔτε τὸ διανοητικὸν οὔτε τὸ ἐπιστήμης δεκτικὸν οὐδὲ ἄλλο τι τῶν χαρακτηριζόντων ἰδίως τὴν ἀνθρωπίνην φύσιν ἐν μεταποιήσει γίνεται. Ἦ γὰρ ἂν πρὸς τὸ χεῖρον ἡ μεταποίησις εἴη, εἴ τι τούτων ὑπαμειφθείη τῶν ἰδίων τῆς φύσεως. Εἰ οὖν ἡ ἄνωθεν γέννησις ἀναστοιχείωσίς τις τοῦ ἀνθρώπου γίνεται, ταῦτα δὲ τὴν μεταβολὴν οὐ προσίεται, σκεπτέον τίνος μεταποιηθέντος ἐντελὴς τῆς ἀναγεννήσεως ἡ χάρις ἐστί. Δῆλον ὅτι τῶν πονηρῶν γνωρισμάτων ἐξαλειφθέντων τῆς φύσεως ἡμῶν ἡ πρὸς τὸ κρεῖττον μετάστασις γίνεται. Οὐκοῦν εἰ, καθώς φησιν ὁ προφήτης, λουσάμενοι τῷ μυστικῷ τούτῳ λουτρῷ καθαροὶ τὰς προαιρέσεις γενοίμεθα, τὰς πονηρίας τῶν ψυχῶν ἀποκλύσαντες[1], κρείττους γεγόναμεν καὶ πρὸς τὸ κρεῖττον μετεποιήθημεν[β]. Εἰ δὲ τὸ μὲν λουτρὸν ἐπαχθείη τῷ σώματι, ἡ δὲ ψυχὴ τὰς ἐμπαθεῖς κηλῖδας μὴ ἀπορρύψαιτο, ἀλλ' ὁ μετὰ τὴν μύησιν[γ] βίος συμβαίνοι τῷ ἀμυήτῳ βίῳ, κἂν τολμηρὸν εἰπεῖν ᾖ, λέξω καὶ οὐκ ἀποτραπήσομαι, ὅτι ἐπὶ τούτων τὸ ὕδωρ ὕδωρ ἐστίν, οὐδαμοῦ τῆς δωρεᾶς **161** τοῦ Ἁγίου Πνεύματος ἐπιφανείσης τῷ γιγνομένῳ, ὅταν μὴ μόνον τὸ κατὰ τὸν θυμὸν αἶσχος[δ] ὑβρίζῃ τὴν θείαν **[104]** μορφὴν ἢ τὸ κατὰ πλεονεξίαν πάθος καὶ ἡ ἀκόλαστος καὶ ἀσχήμων διάνοια καὶ τῦφος καὶ φθόνος καὶ ὑπερηφανία, ἀλλὰ καὶ τὰ ἐξ ἀδικίας κέρδη παραμένῃ αὐτῷ καὶ ἡ ἐκ μοιχείας αὐτῷ κτηθεῖσα γυνὴ ταῖς ἡδοναῖς αὐτοῦ καὶ μετὰ τοῦτο ὑπηρετῆται. Ἐὰν ταῦτα καὶ τὰ τοιαῦτα ὁμοίως πρότερόν τε καὶ μετὰ ταῦτα περὶ τὸν βίον τοῦ βαπτισθέντος ᾖ, τί μεταπεποίηται ἰδεῖν οὐκ ἔχω, τὸν αὐτὸν βλέπων ὅνπερ καὶ πρότερον. Ὁ ἠδικημένος, ὁ σεσυκοφαντημένος[ε], ὁ τῶν ἰδίων ἀπωσθεὶς οὐδεμίαν ὁρῶσιν ἐφ' ἑαυτῶν τὴν τοῦ λελουμένου μεταβολήν. Οὐκ ἤκουσαν καὶ παρὰ τούτου τὴν τοῦ Ζακχαίου φωνὴν ὅτι εἴ τινά τι ἐσυκοφάντησα, ἀποδίδωμι τετραπλασίονα[2]. Ἃ πρὸ τοῦ βαπτίσματος ἔλεγον, τὰ αὐτὰ καὶ νῦν περὶ αὐτοῦ διεξέρχονται, ἐκ τῶν αὐτῶν ὀνο-

---

1. Πρβλ. Ἡσ. 1,16. 2. Πρβλ. Λουκ. 19,8.

α. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. σ. 392,1.
β. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 429,28 (ἔσβεσαν).
γ. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 428,21.
δ. Πρβλ. Πλάτ., Συμπόσιον, 201A.
ε. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. σ. 397,28.

μάτων κατονομάζουσι πλεονέκτην, τῶν ἀλλοτρίων ἐπιθυμητήν, ἀπὸ συμφορῶν ἀνθρωπίνων τρυφῶντα. Ὁ τοίνυν ἐν τοῖς αὐτοῖς ὤν, ἔπειτα ἐπιθρυλῶν[α] ἑαυτῷ διὰ **162** τοῦ βαπτίσματος τὴν πρὸς τὸ κρεῖττον μεταβολήν, ἀκουσάτω τῆς Παύλου φωνῆς ὅτι «εἴ τις δοκεῖ εἶναί τι, μηδὲν ὤν, φρεναπατᾷ ἑαυτόν»[1]. Ὃ γὰρ μὴ γέγονας, οὐκ εἶ. «Ὅσοι ἔλαβον αὐτόν», φησὶ περὶ τῶν ἀναγεννηθέντων τὸ Εὐαγγέλιον, «ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι»[2]. Τὸ τέκνον γενόμενόν τινος ὁμογενὲς πάντως ἐστὶ τῷ γεννήσαντι. Εἰ οὖν ἔλαβες τὸν Θεὸν καὶ τέκνον ἐγένου Θεοῦ, δεῖξον διὰ τῆς προαιρέσεως καὶ τὸν ἐν σοὶ ὄντα Θεόν, δεῖξον ἐν σεαυτῷ τὸν γεννήσαντα. Ἐξ ὧν τὸν Θεὸν γνωρίζομεν, δι' ἐκείνων προσήκει δειχθῆναι τοῦ γενομένου υἱοῦ Θεοῦ τὴν πρὸς τὸν Θεὸν οἰκειότητα. Ἐκεῖνος ἀνοίγει τὴν χεῖρα καὶ ἐμπιπλᾷ πᾶν ζῷον εὐδοκίας[3], ὑπερβαίνει ἀνομίας[4], μετανοεῖ ἐπὶ κακίας[5], χρηστὸς Κύριος τοῖς σύμπασι[6], «μὴ ὀργὴν ἐπάγων καθ' ἑκάστην ἡμέραν»[7]· «εὐθὴς Κύριος ὁ Θεός, καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ»[8], καὶ ὅσα τοιαῦτα σποράδην παρὰ τῆς Γραφῆς διδασκόμεθα. Ἐὰν ἐν τούτοις ᾖς, ἀληθῶς ἐγένου τέκνον Θεοῦ· εἰ δὲ τοῖς τῆς κακίας ἐπιμένεις γνωρίσμασι, μάτην ἐπιθρυλεῖς σεαυτῷ τὴν ἄνωθεν γέννησιν. Ἐρεῖ πρὸς σὲ ἡ προφητεία ὅτι Υἱὸς ἀνθρώπου εἶ[9], οὐχὶ υἱὸς Ὑψίστου[10]· ἀγαπᾷς ματαιότητα, ζητεῖς ψεῦδος[11]. Οὐκ ἔγνως πῶς θαυμαστοῦται ἄνθρωπος, ὅτι οὐκ ἄλλως, εἰ μὴ ὅσιος **163** γένηται. Ἀναγκαῖον ἂν εἴη τούτοις προσθεῖναι καὶ τὸ λειπόμενον, ὅτι οὔτε τὰ ἀγαθὰ τὰ ἐν ἐπαγγελίαις τοῖς εὖ βεβιωκόσι προκείμενα τοιαῦτά ἐστιν ὡς εἰς ὑπογραφὴν λόγου ἐλθεῖν. Πῶς γὰρ ἃ οὔτε ὀφθαλμὸς εἶδεν, οὔτε οὖς ἤκουσεν, οὔτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη[12]; Οὔτε μὴν ἡ ἀλγεινὴ τῶν πεπλημμεληκότων ζωὴ πρός τι τῶν τῇδε λυπούντων τὴν αἴσθησιν ὁμοτίμως[β] ἔχει. Ἀλλὰ κἂν ἐπονομασθῇ τι τῶν ἐκεῖ κολαστηρίων τοῖς ὧδε γνωριζομένοις ὀνόμασιν, οὐκ ἐν ὀλίγῳ τὴν παραλλαγὴν ἔχει. Πῦρ γὰρ ἀκούων ἄλλο τι παρὰ τοῦτο νοεῖν ἐδιδάχθης ἐκ τοῦ προσκεῖσθαί τι τῷ πυρὶ ἐκείνῳ **[105]** ὃ ἐν τούτῳ οὐκ ἔστι· τὸ μὲν γὰρ οὐ σβέννυται[13], τούτου δὲ πολλὰ παρὰ τῆς πείρας ἐξεύρηται τὰ σβεστήρια, πολλὴ δὲ τοῦ σβεννυμένου πρὸς τὸ μὴ παραδεχόμενον σβέσιν ἡ διαφορά. Οὐκοῦν ἄλλο τι, καὶ οὐχὶ τοῦτό ἐστι. Πάλιν σκώληκά τις ἀκούσας μὴ διὰ τῆς ὁμωνυμίας πρὸς τὸ ἐπίγειον τοῦτο θηρίον ἀποφερέσθω τῇ διανοίᾳ· ἡ γὰρ προσθήκη τοῦ ἀτελεύτητον εἶναι ἄλλην τινὰ φύσιν παρὰ τὴν γινωσκομένην νοεῖν ὑποτίθεται. Ἐπεὶ οὖν ταῦτα πρόκειται τῇ ἐλπίδι τοῦ

---

1. Γαλ. 6,3. 2. Ἰω. 1,12. 3. Πρβλ. Ψαλ. 144,16. 4. Πρβλ. Μιχ. 7,18. 5. Πρβλ. Ἰωὴλ 2,13. 6. Πρβλ. Ψαλ. 144,9. 7. Ψαλ. 7,12. 8. Ψαλ. 91,16. 9. Πρβλ. Ψαλ. 4,3. 10. Πρβλ. Ψαλ. 81,6. 11. Πρβλ. Ψαλ. 4,3. 12. Πρβλ. Α' Κορ. 2,9. Ἡσ. 64,3. 13. Πρβλ. Ἡσ. 66,24. Μάρκ. 9,48. Ματθ. 3,10. Λουκ. 3,9.

α. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος Κατηχητικός, ἀνωτ. σ. 416,38.
β. Πρβλ. Γρηγορίου Νύσσης, ἔνθ' ἀν. σ. 417,12.

μετὰ ταῦτα βίου, καταλλήλως ἐκ τῆς ἑκάστου προαιρέσεως **164** κατὰ τὴν δικαίαν τοῦ Θεοῦ κρίσιν ἀναφυόμενα τῷ βίῳ, σωφρονούντων ἂν εἴη μὴ πρὸς τὸ παρὸν ἀλλὰ πρὸς τὸ μετὰ τοῦτο βλέπειν, καὶ τῆς ἀφράστου μακαριότητος ἐν τῇ ὀλίγῃ ταύτῃ καὶ προσκαίρῳ ζωῇ τὰς ἀφορμὰς καταβάλλεσθαι καὶ τῆς τῶν κακῶν πείρας δι' ἀγαθῆς προαιρέσεως ἀλλοτριοῦσθαι, νῦν μὲν κατὰ τὸν βίον, μετὰ ταῦτα δὲ κατὰ τὴν αἰωνίαν ἀντίδοσιν.

ΕΠΙΣΤΟΛΗ ΚΑΝΟΝΙΚΗ *

ΠΡΟΣ ΤΟΝ ΕΝ ΑΓΙΟΙΣ ΛΗΤΟΪΟΝ ΕΠΙΣΚΟΠΟΝ ΜΕΛΙΤΙΝΗΣ

[221] Ἓν καὶ τοῦτο τῶν εἰς τὴν ἁγίαν ἑορτὴν συντελούντων ἐστί, τὸ κατανοῆσαι ἡμᾶς τὴν ἔννομόν τε καὶ κανονικὴν ἐπὶ τῶν πεπλημμεληκότων οἰκονομίαν· ὅπως ἂν θεραπευθείη πᾶν ἀρρώστημα ψυχικόν, τὸ διά τινος ἁμαρτίας ἐπιγινόμενον. Ἐπειδὴ γὰρ ἡ καθολικὴ καὶ αὕτη τῆς κτίσεως ἑορτὴ κατὰ τὴν τεταγμένην περίοδον τοῦ ἐνιαυσιαίου κύκλου καθ' ἕκαστον ἔτος, ἐν παντὶ πληρουμένη τῷ κόσμῳ, ἐπὶ τῇ ἀναστάσει τοῦ πεπτωκότος ἐπιτελεῖται· πτῶσις δέ ἐστιν ἡ ἁμαρτία[α]· ἀνάστασις δὲ ἡ ἐκ τοῦ πτώματος τῆς ἁμαρτίας ἀνόρθωσις[β]· καλῶς ἂν ἔχοι κατὰ τὴν ἡμέραν ταύτην, οὐ μόνον τοὺς ἐκ παλιγγενεσίας μεταστοιχειουμένους διὰ τῆς τοῦ λουτροῦ[γ] χάριτος τῷ Θεῷ προσάγειν, ἀλλὰ καὶ τοὺς διὰ τῆς μετανοίας τε καὶ ἐπιστροφῆς ἀπὸ τῶν νεκρῶν ἔργων[1] εἰς τὴν ζῶσαν ὁδὸν πάλιν ἐπανιόντας, καὶ τούτους χειραγωγεῖν πρὸς τὴν σῴζουσαν ἐλπίδα, ἧς διὰ τῆς ἁμαρτίας ἀπεξενώθησαν. Ἔστι δὲ οὐ μικρὸν ἔργον τὸ τοὺς περὶ τούτων λόγους οἰκονομῆσαι ἐν τῇ ὀρθῇ καὶ δεδοκιμασμένῃ κρίσει, κατὰ τὸ παράγγελμα τοῦ προφήτου, τὸ κελεῦον δεῖν οἰκονομεῖν τοὺς λόγους ἐν κρίσει, ἵνα, καθὼς ἔχει τὸ λόγιον, μήτε σαλευθῇ εἰς τὸν αἰῶνα, καὶ εἰς μνημόσυνον αἰώνιον γένηται δίκαιος[2]. **[224]** Ὥσπερ γὰρ καὶ ἐπὶ τῆς σωματικῆς θεραπείας, ὁ μὲν σκοπὸς τῆς ἰατρικῆς εἷς ἐστι, τὸ ὑγιᾶναι τὸν κάμνοντα· τὸ δὲ εἶδος τῆς ἐπιμελείας διάφορον· κατὰ γὰρ τὴν ποικιλίαν τῶν ἀρρωστημάτων καταλλήλως καὶ ἡ θεραπευτικὴ μέθοδος ἑκάστῳ τῶν νοσημάτων προσάγεται· οὕτω πολλῆς οὔσης καὶ ἐν τῇ ψυχικῇ νόσῳ τῆς τῶν παθῶν ποικιλίας, ἀναγκαίως πολυειδὴς γενήσεται ἡ θεραπευτικὴ ἐπιμέλεια, πρὸς λόγον τοῦ πάθους ἐνεργοῦσα τὴν ἴασιν. Ὡς δ' ἂν γένοιτό τις τεχνικὴ μέθοδος περὶ τοῦ προκειμένου προβλήματος, οὕτω τὸν λόγον διαληψόμεθα.

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ J.-P. Migne, Patrologiae Cursus Completus, Series Graeca, τ. 45, στ. 221-236, (Ῥάλλη-Ποτλῆ, Σύνταγμα ..., τ. 4, σσ. 295-333).

1. Πρβλ. Ἑβρ. 6,1. 2. Πρβλ. Ψαλ. 111,5-6.

α. Πρβλ. Πέτρου Ἀλεξανδρείας, Ἐπιστολὴ Κανονική, ΒΕΠ 18,229,11. PG 18,468A. Μ. Βασιλείου, Ἐπιστολαὶ 261, ΒΕΠ 55,323,23-25.

β. Πρβλ. Γρηγορίου Νύσσης, Εἰς τὸν Ἐκκλησιαστήν, W. Jaeger (ἐκδ. Paulus Alexander) V, 296,17-18. PG 44,633C. Περὶ ψυχῆς καὶ ἀναστάσεως, ἀνωτ. σ. 371, σημ. α. Ἐπιτάφιος λόγος εἰς Πλακίλλαν Βασίλισσαν, ΒΕΠ 69,385,15 ἑξ.

γ. Πρβλ. Γρηγορίου Νύσσης, Πρὸς τοὺς βραδύνοντας εἰς τὸ Βάπτισμα, κατωτ. σ. 453, σημ. α.

Τρία ἐστὶ τὰ περὶ τὴν ψυχὴν ἡμῶν θεωρούμενα κατὰ τὴν πρώτην διαίρεσιν· τό τε λογικὸν καὶ τὸ ἐπιθυμητικὸν καὶ τὸ θυμοειδές[α]. Ἐν τούτοις ἐστὶ καὶ τὰ κατορθώματα τῶν κατ' ἀρετὴν βιούντων καὶ τὰ πτώματα τῶν εἰς κακίαν ἀπορρεόντων. Διὸ προσήκει τὸν μέλλοντα τὴν κατάλληλον θεραπείαν προσάγειν τῷ νενοσηκότι τῆς ψυχῆς μέρει, πρότερον μὲν ἐπισκέπτεσθαι ἐν τίνι συνέστη τὸ πάθος· εἶθ' οὕτω πεπονθότι προσάγειν ἁρμοδίως τὴν θεραπείαν· ὥστε μὴ δι' ἀπειρίαν τῆς θεραπευτικῆς μεθόδου, ἄλλο μὲν ᾖ τὸ νοσῆσαν μέρος, ἕτερον δὲ τὸ τὴν θεραπείαν δεχόμενον· ὥσπερ ἀμέλει βλέπομεν πολλοὺς τῶν ἰατρῶν ἐν ἀπειρίᾳ τοῦ πρωτοπαθοῦντος μέρους προσεπιτρίβοντας τὴν νόσον δι' ὧν θεραπεύουσι. Τῆς γὰρ ἀρρωστίας οὔσης πολλάκις κατὰ θερμοῦ ἐπικράτησιν, ἐπειδὴ τοῖς κατὰ πλεονασμὸν τοῦ ψυχροῦ κεκακωμένοις χρήσιμον τὸ θερμαῖνόν τε καὶ ἀναθάλπον ἐστί, τὸ τούτοις κατὰ λόγον συνενεγκόν, ἀπερισκέπτως τὸ αὐτὸ τοῖς ἐν ἀμετρίᾳ θερμότητος ἐκκαιομένοις ἐπαγαγόντες, δυσίατον τὸ πάθος ἐποίησαν. Ὥσπερ τοίνυν ἀναγκαιοτάτη τοῖς ἰατροῖς ἐνομίσθη ἡ κατανόησις τῆς τῶν στοιχείων ἰδιότητος, ὅπως ἂν ἑκάστου τῶν εὖ ἢ κακῶς διακειμένων γένοιτο τοῦ παρὰ φύσιν διατεθέντος ἡ ἐπανόρθωσις· οὕτω καὶ ἡμεῖς ἐπὶ ταύτην ἀναδραμόντες τὴν διαίρεσιν τῶν ἐν τῇ ψυχῇ θεωρουμένων, ἀρχὴν καὶ ὑπόθεσιν τῆς καταλλήλου τῶν παθῶν θεραπείας ποιησώμεθα τὴν γενικὴν θεωρίαν. Οὐκοῦν τριχῇ, καθὼς ἔφαμεν, διῃρημένης τῆς ἰδιότητος τῶν τῆς ψυχῆς κινημάτων, εἰς τὸ λογιστικόν τε καὶ ἐπιθυμητικὸν καὶ θυμοειδές· κατόρθωμα μὲν τοῦ λογιστικοῦ μέρους τῆς ψυχῆς ἐστιν ἡ εὐσεβὴς περὶ τὸ Θεῖον ὑπόληψις καὶ ἡ τοῦ καλοῦ τε καὶ κακοῦ διακριτικὴ ἐπιστήμη καὶ ἡ τρανήν τε καὶ ἀσύγχυτον ἔχουσα περὶ τῆς φύσεως τῶν ὑποκειμένων τὴν δόξαν· τί μέν ἐστιν αἱρετὸν ἐν τοῖς οὖσι· τί δὲ βδελυκτὸν καὶ ἀπόβλητον. Καὶ πάλιν ἐκ τοῦ ἐναντίου πάντως ἡ ἐν τῷ μέρει τούτῳ κακία θεωρηθήσεται, ὅταν ἀσέβεια μὲν ᾖ περὶ τὸ Θεῖον, ἀκρισία δὲ περὶ τὸ ὄντως καλόν· ἐνηλλαγμένη δὲ καὶ ἐσφαλμένη ἡ περὶ τὴν τῶν πραγμάτων φύσιν ὑπόληψις, ὥστε τιθέναι τὸ φῶς σκόπος καὶ τὸ σκότος φῶς[1], καθώς φησιν ἡ Γραφή. Τοῦ δὲ ἐπιθυμητικοῦ μέρους ἡ μὲν ἐνάρετός ἐστι κίνησις τὸ πρὸς τὸ ὄντως ἐπιθυμητικὸν καὶ ἀληθῶς καλὸν ἀνάγεσθαι τὸν πόθον· καὶ εἴ τις ἐν ἡμῖν ἐρωτικὴ δύναμίς τε καὶ διάθεσις, ἐκεῖ κατασχολεῖσθαι πᾶσαν, ἐν τῷ πεπεῖσθαι μηδὲν **[225]** ὀρεκτὸν εἶναι τῇ ἑαυτοῦ φύσει ἄλλο, πλὴν τῆς ἀρετῆς καὶ τῆς τὴν ἀρετὴν πηγαζούσης φύσεως. Παρατροπὴ δὲ καὶ ἁμαρτία τοῦ τοιούτου μέρους ἐστίν, ὅταν τις μεταγάγῃ τὴν ἐπιθυμίαν πρὸς τὴν ἀνυπόστατον κενοδοξίαν· ἢ πρὸς τὸ ἐπικεχρωσμένον τοῖς σώμασιν ἄνθος· ὅθεν γίνεται ἡ φιλοχρηματία καὶ ἡ

---

1. Πρβλ. Ἡσ. 5,20.

α. Πρβλ. Γρηγορίου Νύσσης, Περὶ ψυχῆς καὶ ἀναστάσεως, ἀνωτ. σ. 334, σημ. α.

φιλοδοξία καὶ ἡ φιληδονία καὶ πάντα τὰ τοιαῦτα, ὅσα τοῦ τοιούτου ἤρτηται τῆς κακίας γένους. Πάλιν δὲ τῆς θυμώδους διαθέσεως κατόρθωμα μέν ἐστιν ἡ πρὸς τὸ κακὸν ἀπέχθεια καὶ ὁ πρὸς τὰ πάθη πόλεμος καὶ τὸ πρὸς ἀνδρείαν ἐστομῶσθαι τὴν ψυχήν, ἐν τῷ μὴ καταπτήσσειν τὰ τοῖς πολλοῖς φοβερὰ νομιζόμενα, ἀλλὰ μέχρις αἵματος πρὸς τὴν ἁμαρτίαν ἀντικαθίστασθαι· καταφρονεῖν δὲ θανατικῆς ἀπειλῆς καὶ ἀλγεινῶν κολαστηρίων καὶ τῆς τῶν ἡδίστων διαζεύξεως καὶ πάντων ἅπαξ τῶν διά τινος συνηθείας καὶ προλήψεως ἐν ἡδονῇ τοὺς πολλοὺς κατεχόντων κρείττονα γενέσθαι, τῆς τε πίστεως καὶ τῆς ἀρετῆς προμαχόμενον. Τὰ δὲ ἀποπτώματα τοῦ τοιούτου μέρους ἐστὶν ἅπασι πρόδηλα, ὁ φθόνος, τὸ μῖσος, ἡ μῆνις, αἱ λοιδορίαι, αἱ συμπλοκαί, αἱ ἐμφιλόνεικοί τε καὶ ἀμυντικαὶ διαθέσεις, αἱ μέχρι πολλοῦ παρατείνουσαι τὴν μνησικακίαν καὶ πολλοὺς εἰς φόνους καὶ αἵματα καταθήγουσαι. Μὴ γὰρ εὑρὼν ὁ ἀπαίδευτος λογισμὸς ὅπου χρήσηται λυσιτελῶς τῷ ὅπλῳ, ἐφ᾽ ἑαυτὸν τρέπει τὴν τοῦ σιδήρου ἀκμήν· καὶ γίνεται τὸ ἐκ Θεοῦ δοθὲν ἡμῖν ἀμυντήριον ὅπλον τῷ κακῶς κεχρημένῳ ὀλέθριον.

Τούτον τοίνυν κατὰ τὸν εἰρημένον διακρινηθέντων τρόπον, ὅσα μὲν ἁμαρτήματα τοῦ λογιστικοῦ τῆς ψυχῆς ἅπτεται μέρους, χαλεπώτερα παρὰ τῶν Πατέρων ἐκρίθη καὶ μείζονος καὶ διαρκεστέρας καὶ ἐπιπονωτέρας τῆς ἐπιστροφῆς ἄξια· οἷον εἴ τις ἠρνήσατο τὴν εἰς Χριστὸν πίστιν, ἢ πρὸς Ἰουδαϊσμὸν ἢ πρὸς εἰδωλολατρίαν ἢ πρὸς Μανιχαϊσμὸν ἢ πρὸς ἄλλο τι τοιοῦτον ἀθεΐας εἶδος αὐτομολήσας ἐφάνη, ὁ μὲν ἑκουσίως ἐπὶ τὸ τοιοῦτον ὁρμήσας κακόν, εἶτα καταγνοὺς ἑαυτοῦ, χρόνον τὸν τῆς μετανοίας ἔχει ὅλον τὸν τῆς ζωῆς αὐτοῦ. Οὐδέποτε γὰρ μυστικῆς ἐπιτελουμένης εὐχῆς μετὰ τοῦ λαοῦ προσκυνῆσαι τὸν Θεὸν καταξιοῦται, ἀλλὰ καταμόνας μὲν εὔξεται· τῆς δὲ κοινωνίας τῶν ἁγιασμάτων καθόλου ἀλλότριος ἔσται· ἐν δὲ τῇ ὥρᾳ τῆς ἐξόδου αὐτοῦ, τότε τῆς τοῦ ἁγιάσματος μερίδος ἀξιωθήσεται. Εἰ δὲ συμβαίη παρ᾽ ἐλπίδας ζῆσαι αὐτόν, πάλιν ἐν τῷ αὐτῷ κρίματι διαβιώσεται, ἀμέτοχος τῶν μυστικῶν ἁγιασμάτων μέχρι τῆς ἐξόδου γινόμενος. Οἱ δὲ βασάνοις καὶ τιμωρίαις χαλεπαῖς αἰκισθέντες, ἐν ῥητῷ χρόνῳ ἐπετιμήθησαν, οὕτω τῶν ἁγίων Πατέρων φιλανθρωπίᾳ ἐπ᾽ αὐτῶν χρησαμένων, ὡς οὐχὶ ψυχῆς γεγενημένης ἐν πτώματι, ἀλλὰ τῆς σωματικῆς ἀσθενείας πρὸς τὰς αἰκίας οὐκ ἀντισχούσης. Διὸ τῷ μέτρῳ τῶν ἐν πορνείᾳ πλημμελησάντων καὶ ἡ βεβιασμένη τε καὶ ἐπώδυνος παράβασις ἐν τῇ ἐπιστροφῇ συνεμετρήθη.

Οἱ δὲ πρὸς γόητας ἀπιόντες ἢ μάντεις ἢ τοὺς διὰ δαιμόνων καθάρσιά τινα καὶ ἀποτροπιασμοὺς ἐνεργεῖν ὑπισχνουμένους, οὗτοι ἐρωτῶνται δι᾽ ἀκριβείας καὶ ἀνακρίνονται, πότερον ἐπιμένοντες τῇ εἰς [228] Χριστὸν πίστει, ὑπ᾽ ἀνάγκης τινὸς συνηνέχθησαν ἐκείνῃ τῇ ἁμαρτίᾳ, κακώσεώς τινος ἢ ἀφορήτου ζημίας ταύτην αὐτοῖς τὴν ὁρμὴν ἐμποιησάσης· ἢ καθόλου καταφρονήσαντες τοῦ πεπιστευμένου παρ᾽ ἡμῶν μαρτυρίου, τῇ τῶν δαιμόνων συμμαχίᾳ προσέδραμον. Εἰ

μὲν γὰρ ἀθετήσει τῆς πίστεως καὶ πρὸς τὸ μὴ πιστεύειν εἶναι Θεὸν τὸν παρὰ τῶν χριστιανῶν προσκυνούμενον, ἐκεῖνο ἐποίησαν, δηλαδὴ τῷ κρίματι τῶν παραβάντων ὑπαχθήσονται. Εἰ δέ τις ἀβάστακτος ἀνάγκη κατακρατήσασα τῆς μικροψυχίας αὐτῶν, εἰς τοῦτο προσήγαγε διά τινος ἠπατημένης ἐλπίδος παρακρουσθέντας, ὡσαύτως ἔσται καὶ ἐπ' αὐτῶν ἡ φιλανθρωπία, καθ' ὁμοιότητα τῶν πρὸς τὰς βασάνους ἐν τῷ καιρῷ τῆς ὁμολογίας ἀντισχεῖν μὴ δυνηθέντων.

Τῶν δὲ δι' ἐπιθυμίαν τε καὶ ἡδονὴν γινομένων ἁμαρτημάτων τοιαύτη ἐστὶν ἡ διαίρεσις· τὸ μὲν γὰρ καλεῖται μοιχεία, τὸ δὲ πορνεία. Τισὶ μὲν οὖν τῶν ἀκριβεστέρων ἤρεσε καὶ τὸ κατὰ πορνείαν πλημμέλημα μοιχείαν εἶναι νομίζειν, διότι μία ἐστὶν ἡ νόμιμος συζυγία, καὶ γυναικὶ πρὸς ἄνδρα καὶ ἀνδρὶ πρὸς γυναῖκα[α]. Πᾶν οὖν τὸ μὴ νόμιμον παράνομον πάντως, καὶ ὁ μὴ τὸ ἴδιον ἔχων, δηλαδὴ τὸ ἀλλότριον ἔχει· τῷ γὰρ ἀνθρώπῳ μία δέδοται παρὰ τοῦ Θεοῦ βοηθός[1], καὶ τῇ γυναικὶ μία ἐφήρμοσται κεφαλή[2]. Οὐκοῦν εἰ μέν τις τὸ ἴδιον αὐτοῦ σκεῦος, καθὼς ὀνομάζει ὁ θεῖος Ἀπόστολος, ἑαυτῷ κτήσαιτο[3], συγχωρεῖ ὁ νόμος τῆς φύσεως τὴν δικαίαν χρῆσιν. Εἰ δέ τις ἔξω τοῦ ἰδίου τραπείη, ἐν ἀλλοτρίῳ πάντως γενήσεται· ἀλλότριον δὲ ἑκάστῳ πᾶν τὸ μὴ ἴδιον, κἂν μὴ ὁμολογούμενον ἔχει τὸν κυριεύοντα. Οὔκουν πόρρω τοῦ κατὰ τὴν μοιχείαν πλημμελήματος καὶ ἡ πορνεία τοῖς τὸν ἀκριβέστερον ἐξετάζουσι λόγον ἐδείχθη, λεγούσης καὶ τῆς θείας Γραφῆς· ὅτι «Μὴ πολὺς ἴσθι πρὸς ἀλλοτρίαν»[4]· πλὴν ἀλλ' ἐπειδὴ τοῖς ἀσθενεστέροις ἐγένετό τις παρὰ τῶν Πατέρων συμπεριφορά, διεκρίθη τὸ πλημμέλημα τῇ γενικῇ διαιρέσει ταύτῃ, ὡς πορνείαν μὲν εἶναι καὶ λέγεσθαι τὴν χωρὶς ἀδικίας ἑτέρου γινομένην τισὶ τῆς ἐπιθυμίας ἐκπλήρωσιν· μοιχείαν δὲ τὴν ἐπιβουλήν τε καὶ τὴν ἀδικίαν τοῦ ἀλλοτρίου. Ἐν ταύτῃ δὲ καὶ τὴν ζωοφθορίαν καὶ τὴν παιδεραστίαν εἶναι λογίζονται· διότι καὶ ταῦτα φύσεώς ἐστι μοιχεία. Εἰς γὰρ τὸ ἀλλότριόν τε καὶ παρὰ φύσιν γίνεται ἡ ἀδικία. Ταύτης τοίνυν τῆς διαιρέσεως καὶ ἐν τούτῳ τῷ εἴδει τῆς ἁμαρτίας γεγενημένης, καθολικὴ μέν ἐστι θεραπεία, τὸ τῆς ἐμπαθοῦς λύσσης, τῆς περὶ τὰς τοιαύτας ἡδονάς, καθαρὸν ἐκ μεταμελείας γενέσθαι τὸν ἄνθρωπον· ἐπὶ δὲ τῶν ἐν πορνείᾳ μολυνθέντων ἀδικία τις τῇ ἁμαρτίᾳ ταύτῃ οὐ καταμέμικται· διὰ τοῦτο διπλάσιον ὡρίσθη τῆς ἐπιστροφῆς ὁ χρόνος τοῖς ἐν μοιχείᾳ μιανθεῖσι καὶ ἐν τοῖς ἄλλοις τοῖς ἀπηγορευμένοις κακοῖς, ζωοφθορίᾳ τε καὶ τῇ κατὰ τοὺς ἄρρενας λύσσῃ· διπλασιάζεται γάρ, ὡς εἶπον, ἐπὶ τῶν τοι-

---

1. Πρβλ. Γεν. 2,18. 2. Πρβλ. Ἐφ. 5,23. 3. Πρβλ. Α' Θεσ. 4,4. 4. Παρμ. 5,20.

α. Πρβλ. Ἀθηναγόρου, Πρεσβεία περὶ Χριστιανῶν 33, ΒΕΠ 4,308,21 ἑξ. PG 6,968A. Ἰουστίνου, Πρὸς Τρύφωνα Ἰουδαῖον, διάλογος 78, ΒΕΠ 3,282, 20 ἑξ. PG 6,657C. Κλήμεντος Ἀλεξανδρέως, Στρωματεῖς Γ' XIII,I ΒΕΠ 8,43, 1 ἑξ. PG 8,1189B. Στρωματεῖς Β, XXIII, ΒΕΠ 7,361,8 ἑξ. PG 8,1096B. Μ. Βασιλείου, Ἐπιστολαί, 188. 199, ΒΕΠ 55,204,40 ἑξ. 227,9 ἑξ.

ούτων ἡ ἁμαρτία. Μία μὲν ἡ κατὰ τὴν τοῦ ἀλλοτρίου ἀδικίαν συνισταμένη. Διαφορὰ δέ τίς ἐστιν ἐν τῷ λόγῳ τῆς μετανοίας καὶ ἐπὶ τῶν κατὰ ἡδονὴν πλημμελούντων [229] τοιαύτη. Ὁ μὲν γὰρ ἀφ' ἑαυτοῦ πρὸς τὴν ἐξαγόρευσιν τῆς ἁμαρτίας ὁρμήσας, αὐτῷ τῷ καταδέξασθαι δι' οἰκείας ὁρμῆς γενέσθαι τῶν κρυφίων κατήγορος· ὡς ἤδη τῆς θεραπείας τοῦ πάθους ἀρξάμενος καὶ σημεῖον τῆς πρὸς τὸ κρεῖττον μεταβολῆς ἐπιδειξάμενος, ἐν φιλανθρωποτέροις γίνεται τοῖς ἐπιτιμίοις. Ὁ δὲ φωραθεὶς ἐπὶ τῷ κακῷ, ἢ διά τινος ὑποψίας ἢ κατηγορίας ἀκουσίως ἀπελεγχθείς, ἐν ἐπιτεταμένῃ γίνεται τῇ ἐπιστροφῇ· ὥστε καθαρισθέντα δι' ἀκριβείας αὐτόν, οὕτως ἐπὶ τὴν τῶν ἁγιασμάτων κοινωνίαν παραδεχθῆναι. Ἔστι τοίνυν ὁ κανὼν τοιοῦτος, ὥστε τοὺς ἐν πορνείᾳ μολυνθέντας, ἐν τρισὶ μὲν ἔτεσι καθόλου τῆς εὐχῆς ἀποβλήτους εἶναι· ἐν τρισὶ δὲ τῆς ἀκροάσεως μετέχειν μόνης, ἐν ἄλλοις δὲ τρισὶν ἔτεσι μετὰ τῶν ἐν τῇ ἐπιστροφῇ ὑποπιπτόντων προσεύχεσθαι καὶ τότε μετέχειν τῶν ἁγιασμάτων. Ἐπὶ δὲ τῶν σπουδαιότερον κεχρημένων τῇ ἐπιστροφῇ καὶ τῷ βίῳ δεικνύντων τὴν πρὸς τὸ ἀγαθὸν ἐπάνοδον, ἔξεστι τῷ οἰκονομοῦντι πρὸς τὸ συμφέρον τὴν ἐκκλησιαστικὴν οἰκονομίαν συντεμεῖν τὸν χρόνον τῆς ἀκροάσεως καὶ τάχιον εἰς ἐπιστροφὴν ἀγαγεῖν καὶ πάλιν καὶ τοῦτον συντεμεῖν τὸν χρόνον καὶ τάχιον ἀποδοῦναι τὴν κοινωνίαν, ὅπως ἂν τῇ ἑαυτοῦ δοκιμασίᾳ ἐκκρίνῃ τὴν τοῦ θεραπευομένου κατάστασιν. Ὥσπερ γὰρ τὸ τοῖς χοίροις ῥίπτειν τὸν μαργαρίτην ἀπείρηται[1], οὕτω τὸ ἀποστερεῖν τοῦ τιμίου μαργαρίτου τὸν ἤδη ἄνθρωπον διὰ τῆς καθαρότητός τε καὶ ἀπαθείας γενόμενον, τῶν ἀτόπων ἐστίν. Ἡ δὲ κατὰ μοιχείαν ἤτοι καὶ τὰ λοιπὰ εἴδη τῆς ἀκαθαρσίας γενομένη παρανομία, καθὼς προείρηται, κατὰ πάντα ἐν τῷ αὐτῷ κρίματι θεραπευθήσεται, ἐν ᾧ καὶ τὸ τῆς πορνείας ἄγος· τῷ δὲ χρόνῳ διπλασιάζεται. Παρατηρηθήσεται δὲ καὶ ἐπ' αὐτῷ ἡ τοῦ θεραπευομένου διάθεσις, ὃν τρόπον καὶ ἐπὶ τῶν τῷ μολυσμῷ τῆς πορνείας συνενεχθέντων, ὥστε ἢ θᾶττον ἢ βραδύτερον γενέσθαι αὐτοῖς τὴν τοῦ ἀγαθοῦ μετουσίαν.

Λείπεται πρὸς τούτοις τὸ θυμοειδὲς τῆς ψυχῆς προθεῖναι εἰς ἐξέτασιν, ὅταν παρασφαλεῖσα τῆς ἀγαθῆς τοῦ θυμοῦ χρήσεως, εἰς ἁμαρτίαν ἐκπέσῃ. Πολλῶν τε ὄντων κατὰ θυμὸν εἰς ἁμαρτίαν ἐνεργουμένων, καὶ πάντων κακῶν, ἤρεσέ πως τοῖς Πατράσιν ἡμῶν, ἐν τοῖς ἄλλοις μὴ λίαν ἀκριβολογεῖσθαι μηδὲ πολλῆς ἄξιον ἡγεῖσθαι σπουδῆς, τὸ θεραπεύειν πάντα τὰ ἐκ θυμοῦ παραπτώματα· καί τοί γε τῆς Γραφῆς οὐ μόνον τὴν ψυχὴν ἀπαγορευούσης πληγήν, ἀλλὰ καὶ πᾶσαν λοιδορίαν ἢ βλασφημίαν καὶ εἴ τι ἄλλο τοιοῦτον ὁ θυμὸς ἀπεργάζεται· μόνον δὲ τοῦ κατὰ τὸν φόνον ἄγους τὴν παραφυλακὴν ἐποιήσαντο διὰ τῶν ἐπιτιμίων. Διῄρηται δὲ τὸ τοιοῦτον κακὸν τῇ διαφορᾷ τοῦ ἑκουσίου τε καὶ ἀκουσίου, ἐν οἷς ἑκούσιος μέν ἐστι

1. Πρβλ. Ματθ. 7,6.

φόνος. Πρῶτον μὲν ὁ ἐκ παρασκευῆς τετολμημένος τοῦ εἰς αὐτὸ τοῦτο εὐτρεπισαμένου, ὅπως ἂν τὸ ἄγος ἐργάσηται. Ἔπειτα δὲ κἀκεῖνος ἐν τοῖς ἑκουσίοις ἐνομίσθη, ὅταν τις ἐν συμπλοκῇ καὶ μάχῃ, τύπτων τε καὶ τυπτόμενος, ἐνέγκῃ κατά τινος καιρίου τὴν διὰ τῆς χειρὸς πληγήν. Ὁ γὰρ ἅπαξ τῷ θυμῷ κρατηθεὶς καὶ τῇ ὁρμῇ τῆς ὀργῆς χαριζόμενος, οὐδὲν ἂν παρὰ τὸν καιρὸν τοῦ πάθους τῶν ἀνακόψαι τὸ κακὸν δυναμένων **[232]** ἐπὶ νοῦν λάβοι. Ὥστε καὶ τὸ ἐκ τῆς συμπλοκῆς ἀποτέλεσμα τοῦ φόνου, εἰς ἔργον προαιρέσεως καὶ οὐκ εἰς ἀποτυχίαν ἀνάγεται. Οἱ δὲ ἀκούσιοι φανερὰ ἔχουσι τὰ γνωρίσματα· ὅταν τις πρὸς ἕτερόν τι τὴν σπουδὴν ἔχων, ἐξ ἀποτυχίας τι τῶν ἀνηκέστων δράσῃ. Ἐπὶ τούτων τοίνυν ὁ μὲν φόνος εἰς τριπλασίονα χρόνον παρατείνεται, τοῖς δι' ἐπιστροφῆς θεραπευομένοις τὸ ἑκούσιον ἄγος. Τρισεννέα γάρ εἰσιν ἐνιαυτοί, καθ' ἕκαστον βαθμὸν τῆς ἐννάδος τῶν ἐτῶν ὁρισθείσης, ὥστε ἐν μὲν τῷ παντελεῖ ἀφορισμῷ, ἐνναετῆ χρόνον διαγενέσθαι ἀπειργόμενον τῆς Ἐκκλησίας· ἄλλα δὲ τοσαῦτα ἔτη ἐν τῇ ἀκροάσει παραμεῖναι, μόνης τῶν διδασκάλων καὶ τῆς τῶν Γραφῶν ἀκροάσεως, καὶ μετὰ τῆς τοῦ λαοῦ συστάσεως ἀξιούμενον, ἐν δὲ τρίτῃ ἐννάδι, μετὰ τῶν ὑποπιπτόντων ἐν τῇ ἐπιστροφῇ προσευχόμενον, οὕτως ἐλθεῖν ἐπὶ τὴν μετουσίαν τοῦ ἁγιάσματος· δηλαδὴ καὶ ἐπὶ τοῦ τοιούτου ἡ αὐτὴ προστήρησις ἔσται παρὰ τοῦ οἰκονομοῦντος τὴν Ἐκκλησίαν, καὶ πρὸς λόγον τῆς ἐπιστροφῆς συντμηθήσεται αὐτῷ καὶ ἡ τοῦ ἐπιτιμίου παράτασις, ὥστε ἀντὶ ἐννέα ἐτῶν, ἐφ' ἑκάστῳ βαθμῷ ὀκτὼ ἢ ἑπτὰ ἢ ἕξ, ἢ καὶ πέντε μόνα γενέσθαι· εἴπερ τὸ μέγεθος τῆς ἐπιστροφῆς νικοίη τὸν χρόνον καὶ ὑπερβάλλοιτο τῇ σπουδῇ τῆς διορθώσεως τοὺς ἐν τῇ μακρᾷ προθεσμίᾳ ῥαθυμότερόν πως ἑαυτοὺς ἀπὸ τῆς κηλῖδος καθαίροντας. Τὸ δὲ ἀκούσιον, συγγνωστὸν μέν, οὐ μὴν ἐπαινετὸν ἐκρίθη. Τοῦτο δὲ εἶπον, ὥστε δῆλον γενέσθαι ὅτι κἂν ἀκουσίως τις γένηται ἐν τῷ τοῦ φόνου μιάσματι, ὡς ἤδη βέβηλον αὐτὸν ἀπὸ τοῦ ἄγους γενόμενον, ἀπόβλητον ἱερατικῆς χάριτος ὁ κανὼν ἀπεφήνατο· ὅσος δέ ἐστιν ἐπὶ τῇ ψιλῇ πορνείᾳ τοῦ καθαρσίου ὁ χρόνος, τοσοῦτος καὶ ἐπὶ τῶν ἀκουσίως πεφονευκότων ἐδοκιμάσθη καλὸν ἔχειν, δηλαδὴ καὶ ἐν τούτῳ τῆς προαιρέσεως τοῦ μετανοοῦντος δοκιμαζομένης· ὥστε εἰ ἀξιόπιστος γένοιτο ἡ ἐπιστροφή, μὴ πάντως παραφυλαχθῆναι τὸν ἀριθμὸν τῶν ἐτῶν, ἀλλὰ διὰ συντομίας ἀγαγεῖν αὐτὸν εἰς τὴν τῆς Ἐκκλησίας ἀποκατάστασιν καὶ εἰς τὴν τοῦ ἀγαθοῦ μετουσίαν. Εἰ δέ τις μὴ πληρώσας τὸν χρόνον τὸν ἐκ τῶν κανόνων ἀφωρισμένον, ἐξοδεύοι τοῦ βίου· κελεύει ἡ τῶν Πατέρων φιλανθρωπία μετασχόντα τῶν ἁγιασμάτων, μὴ κενὸν τοῦ ἐφοδίου πρὸς τὴν ἐσχάτην ἐκείνην καὶ μακρὰν ἀποδημίαν ἐκπεμφθῆναι. Εἰ δὲ μετασχὼν τοῦ ἁγιάσματος, πάλιν εἰς τὴν ζωὴν ἐπανέλθοι, ἀναμένειν τὸν τεταγμένον χρόνον, ἐν ἐκείνῳ τῷ βαθμῷ γενόμενον, ἐν ᾧ ἦν πρὸ τῆς κατὰ ἀνάγκην αὐτῷ δοθείσης κοινωνίας.

Τὸ δὲ εἶδος τῆς εἰδωλολατρίας· οὕτω γὰρ ὀνομάζει τὴν πλεονε-

ξίαν ὁ θεῖος Ἀπόστολος[1]· οὐκ οἶδα ὅπως ἀθεράπευτον ὑπὸ τῶν Πατέρων ἡμῶν περιώφθη. Καί τοί γε δοκεῖ τὸ τοιοῦτον κακὸν τῆς τρίτης ἐν τῇ ψυχῇ καταστάσεως πάθος εἶναι. Καὶ γὰρ λογισμὸς τῆς τοῦ καλοῦ κρίσεως ἁμαρτάνων, ἐν τῇ ὕλῃ τὸ καλὸν εἶναι φαντάζεται, οὐ πρὸς τὸ ἄυλον ἀναβλέπων κάλλος, καὶ ἡ ἐπιθυμία πρὸς τὰ κάτω ῥεῖ, τοῦ ἀληθοῦς ὀρεκτοῦ ἀπορρέουσα. Καὶ ἡ φιλόνεικός τε καὶ θυμώδης διάθεσις πολλὰς ἐκ τῆς τοιαύτης ἁμαρτίας τὰς ἀφορμὰς λαμ**[233]**βάνει. Καὶ τὸ ὅλον εἰπεῖν, συμφωνεῖ ἡ τοιαύτη νόσος τῷ ἀποστολικῷ τῆς πλεονεξίας ὅρῳ. Ὁ γὰρ θεῖος Ἀπόστολος οὐ μόνον αὐτὴν εἰδωλολατρίαν, ἀλλὰ καὶ ῥίζαν πάντων τῶν κακῶν[2] ἀπεφήνατο· καὶ ὅμως τὸ τοιοῦτον εἶδος παρώφθη τῆς νόσου ἀνεπίσκεπτόν τε καὶ ἀτημέλητον· διὸ καὶ πλεονάζει κατὰ τὰς Ἐκκλησίας τὸ τοιοῦτον ἀρρώστημα καὶ οὐδεὶς τοὺς ἐπὶ τὸν κλῆρον ἀγομένους περιεργάζεται, μήπως τῷ τοιούτῳ εἴδει τῆς εἰδωλολατρίας κατεμιάνθησαν. Ἀλλὰ περὶ μὲν τούτων, διὰ τὸ παρεῖσθαι τοῖς Πατράσιν ἡμῶν, ἀρκεῖν ἡγούμεθα τῷ δημοσίῳ τῆς διδασκαλίας λόγῳ, ὅπως ἂν οἷόν τε ᾖ, θεραπεύειν, ὥσπερ τινὰ πάθη πληθωρικά, τὰς πλεονεκτικὰς ἀρρωστίας διὰ τοῦ λόγου καθαίροντας. Μόνην δὲ τὴν κλοπὴν καὶ τὴν τυμβωρυχίαν καὶ τὴν ἱεροσυλίαν πάθη νομίζομεν, διὰ τὸ οὕτως ἐκ τῆς τῶν Πατέρων ἀκολουθίας τὴν παράδοσιν ἡμῖν περὶ τούτου γενέσθαι. Καί τοί γε παρὰ τῇ θείᾳ Γραφῇ καὶ ὁ πλεονασμὸς καὶ ὁ τόκος[3] τῶν ἀπειρημένων ἐστί, καὶ τὸ ἐκ δυναστείας τινὸς τῇ ἰδίᾳ κτήσει προσαγαγεῖν τὰ ἀλλότρια, κἂν ἐν προσχήματι πραγματείας τὸ τοιοῦτον τύχῃ γινόμενον. Ἐπειδὴ τοίνυν τὸ καθ' ἡμᾶς, εἰς ἐξουσίαν κανὼν ἀξιόπιστος, τὴν ἐπὶ τῶν ὁμολογουμένως ἀπηγορευμένων κανονικὴν κρίσιν ἤδη τοῖς εἰρημένοις προσθήσομεν. Διήρηται οὖν ἡ κλοπὴ εἴς τε λῃστείαν καὶ εἰς τοιχωρυχίαν· καὶ εἷς μὲν ἐπ' ἀμφοτέρων σκοπός, ἡ τῶν ἀλλοτρίων ἀφαίρεσις· πολλὴ δὲ κατὰ τὴν γνώμην αὐτῶν ἡ πρὸς ἀλλήλους ἐστὶ διαφορά. Ὁ μὲν γὰρ λῃστὴς καὶ τὴν μιαιφονίαν εἰς συμμαχίαν τοῦ σπουδαζομένου παραλαμβάνει, πρὸς αὐτὸ τοῦτο παρασκευαζόμενος καὶ ὅπλοις καὶ πολυχειρίᾳ καὶ τοῖς ἐπικαίροις τῶν τόπων, ὥστε τὸν τοιοῦτον τῷ κρίματι τῶν ἀνδροφόνων ὑπάγεσθαι, εἰ διὰ μεταμελείας ἑαυτὸν πρὸς τὴν Ἐκκλησίαν τοῦ Θεοῦ ἐπανάγοι. Ὁ δὲ δι' ὑφαιρέσεως λανθανούσης σφετεριζόμενος τὸ ἀλλότριον, εἶτα δι' ἐξαγορεύσεως τὸ πλημμέλημα αὐτοῦ τῷ ἱερεῖ φανερώσας, τῇ περὶ τὸ ἐναντίον τοῦ πάθους σπουδῇ θεραπεύσει τὴν ἀρρωστίαν· λέγω δὲ διὰ τοῦ τὰ προσόντα παρέχειν τοῖς πένησιν, ἵνα τῷ προέσθαι ἃ ἔχει, φανερὸς γένηται καθαρεύων τῆς κατὰ πλεονεξίαν νόσου. Εἰ δὲ μηδὲν ἔχοι, μόνον δὲ τὸ σῶμα ἔχοι, κελεύει ὁ Ἀπόστολος διὰ τοῦ σωματικοῦ κόπου τὸ τοιοῦτον ἐξιλάσασθαι πάθος. Ἔχει δὲ ἡ λέξις οὕτως· «Ὁ κλέπτων, μη-

---

1. Πρβλ. Ἐφ. 5,5. 2. Πρβλ. Α' Τιμ. 6,10. 3. Πρβλ. Ἰεζ. 28,8.

κέτι κλεπτέτω· μᾶλλον δὲ κοπιάτω ἐργαζόμενος τὸ ἀγαθόν, ἵνα ἔχῃ μεταδιδόναι τῷ χρείαν ἔχοντι»[1].

Ἡ δὲ τυμβωρυχία[α] καὶ αὐτὴ διῄρηται εἰς τὸ συγγνωστόν τε καὶ ἀσύγγνωστον. Εἰ μὲν γάρ τις τῆς οὐσίας φειδόμενος καὶ ἄσυλον ἀφεὶς τὸ κεκρυμμένον σῶμα, ὡς μὴ ἀναδειχθῆναι ἡλίῳ τὴν ἀσχημοσύνην τῆς φύσεως, λίθοις τισὶ τῶν ἐν τῷ τάφῳ προβεβλημένων συγχρήσαιτο εἰς ἔργου τινὸς κατασκευήν, ἐπαινετὸν μὲν οὐδὲ τοῦτό ἐστι· πλὴν ἀλλὰ συγγνωστὸν ἐποίησεν ἡ συνήθεια, ὅταν εἰς προτιμότερόν τι καὶ κοινωφελέστερον ἡ τῆς ὕλης μετάθεσις γίνηται. Τὸ δὲ διερευνᾶσθαι τὴν κόνιν ἀπὸ τῆς γεωθείσης σαρκὸς καὶ ἀνακινεῖν τὰ ὀστᾶ, ἐλπίδι τὸν κόσμον τινὰ τῶν συγκατ[236]ορυχθέντων κερδᾶναι, τοῦτο τῷ αὐτῷ κρίματι κατεδικάσθη, ᾧ καὶ ἡ ψιλὴ πορνεία, καθὼς καὶ ἐν τῷ προλαβόντι διῄρηται λόγῳ· ἐπισκοποῦντος δηλαδὴ τοῦ οἰκονόμου ἐξ αὐτοῦ τοῦ βίου τὴν ἰατρείαν τοῦ θεραπευομένου, ὥστε συντεμεῖν τὴν ἐκ τῶν κανόνων ὁρισθεῖσαν τοῦ ἐπιτιμίου προθεσμίαν.

Ἡ δὲ ἱεροσυλία[β], παρὰ μὲν τῇ ἀρχαίᾳ Γραφῇ οὐδὲ ἐνομίσθη τῆς φονικῆς κατακρίσεως ἀνεκτοτέρα. Ὁμοίως γὰρ ὅ τε ἐπὶ φόνῳ ἁλοὺς καὶ ὁ τὰ ἀνατεθέντα τῷ Θεῷ ὑφελόμενος, τὴν διὰ τῶν λίθων τιμωρίαν ὑπέσχον. Ἐπὶ δὲ τῆς ἐκκλησιαστικῆς συνηθείας οὐκ οἶδα πῶς συγκατάβασίς τις ἐγένετο καὶ συμπεριφορά, ὥστε ἀνεκτότερον νομισθῆναι τὸ τῆς τοιαύτης νόσου καθάρσιον· ἐν ἐλάττονι γὰρ χρόνῳ παρὰ τὴν μοιχείαν, τοῖς τοιούτοις τὸ ἐπιτίμιον διετάξατο ἡ τῶν Πατέρων παράδοσις. Πανταχοῦ καὶ ἐν πλημμελήματος εἴδει τοῦτο καθορᾶν προσήκει πρὸ πάντων, οἵα ἐστὶ τοῦ θεραπευομένου διάθεσις, μὴ τὸν χρόνον οἴεσθαι πρὸς θεραπείαν ἀρκεῖν· τίς γὰρ ἂν ἐκ τοῦ χρόνου ἴασις γένοιτο; ἀλλὰ τὴν προαίρεσιν τοῦ ἑαυτὸν δι᾽ ἐπιστροφῆς ἰατρεύοντος. Ταῦτά σοι, ὦ ἄνθρωπε τοῦ Θεοῦ, κατὰ πολλὴν σπουδὴν ἐκ τῶν προχείρων συνθέντες, διὰ τὸ δεῖν τοῖς τῶν ἀδελφῶν ἐπιτάγμασι πείθεσθαι, κατὰ σπουδὴν ἀπεστείλαμεν. Σὺ δὲ τὰς συνήθεις ὑπὲρ ἡμῶν εὐχὰς τῷ Θεῷ προσάγων μὴ διαλείπῃς. Χρεωστεῖς γὰρ ὡς εὐγνώμων υἱὸς τῷ κατὰ Θεόν σε γεννήσαντι τὴν διὰ τῶν προσευχῶν γηροκομίαν, κατὰ τὴν ἐντολὴν τὴν κελεύουσαν τιμᾶν τοὺς γονέας, ἵνα εὖ σοι γένηται, καὶ ἔσῃ μακροχρόνιος ἐπὶ τῆς γῆς[2]. Δῆλον δὲ ὅτι ὡς σύμβολον ἱερατικὸν δέξῃ τὸ γράμμα καὶ οὐκ ἀτιμάσεις τὸ ξένιον, κἂν τι μικρότερον τῆς σῆς μεγαλοφυΐας εἴη.

---

1. Ἐφ. 4,28. 2. Πρβλ. Ἐξ. 20,12. Δευτ. 5,16. Ματθ. 15,4.

α. Πρβλ. Κλήμεντος Ἀλεξανδρέως, Στρωματεῖς Β XV, ΒΕΠ 7,330,38. PG 8,1000C.

β. Πρβλ. Μ. Βασιλείου, Ἑρμηνεία εἰς τὸν προφήτην Ἠσαΐαν, ΒΕΠ 56, 137,32. Ἐπιστολαὶ 199, ΒΕΠ 55,227,36.

ΠΡΟΣ ΤΟΥΣ ΒΡΑΔΥΝΟΝΤΑΣ ΕΙΣ ΤΟ ΒΑΠΤΙΣΜΑ*

[416] Οἱ τῆς οἰκουμένης ταύτης βασιλεῖς, ἡνίκα ἂν νόμους συγγράψωσι τοὺς τῶν ἀνθρώπων βίους καλῶς κανονίζοντας, τοῖς ἄρχουσιν αὐτοὺς ἐγχειρίζοντες δι' ἐκείνων κελεύουσι τοῖς ὑπηκόοις δημοσιεύεσθαι, ἵν' οὕτως ἀπαράβατα τὰ προστεταγμένα φυλάττοιτο. Ἔδωκε δὲ ὁ μέγας Θεὸς νόμους τοῖς τῶν Ἐκκλησιῶν ἡγεμόσιν, οὓς καθ' ἕκαστον ἐνιαυτὸν ἐν τοῖς καθήκουσι χρόνοις προφέροντες, ὑπαναγινώσκομεν ὑμῖν καὶ τηρεῖν εἰς δύναμιν τὰ γεγραμμένα κελεύομεν. Ἰδοὺ τοίνυν ὁ τῶν ὅλων ἀγαθὸς οἰκονόμος[α], ὁ τοὺς ἐνιαυτοὺς ἀνακυκλῶν καὶ κυβερνῶν τὴν τῶν χρόνων περίοδον, ἤγαγεν ἡμέραν σωτήριον, καθ' ἣν σύνηθες ἡμῖν καλεῖν εἰς υἱοθεσίαν τοὺς ξένους, εἰς χάριτος μετουσίαν τοὺς πενομένους, εἰς κάθαρσιν ἁμαρτιῶν τοὺς ἐρρυπωμένους τοῖς πλημμελήμασι. Καὶ τοῦτό ἐστι τὸ ἀρχαῖον ἐκεῖνο κήρυγμα τὸ προλαβὸν ὀλίγον τοῦ Σωτῆρος τὴν ἐπιφάνειαν· «Φωνὴ βοῶντος **[417]** ἐν τῇ ἐρήμῳ· ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ»[1]. Εἰ δὲ μήτε Ἰωάννης, μήτε Δαβὶδ ἐγώ, ἀλλὰ ἡ ταπεινότης τοῦ ὑπηρέτου μὴ βλαπτέτω τοῦ δεσποτικοῦ νόμου τὴν δύναμιν. Οὔτε γὰρ τοὺς γραμματέας τῶν νόμων αἰδούμενοι τοῖς διηγορευμένοις πειθόμεθα· ἀλλὰ δεδοικότες τοῦ Νομοθέτου τὴν ἐξουσίαν, ὑποκύπτομεν τοῖς προστάγμασιν. Ἦλθε χάρις βασιλικὴ δυσὶ τάγμασι θλιβομένοις χαριζομένη τὴν ἄνεσιν· τοῖς δεσμώταις λύσιν, τοῖς ὀφειλέταις συγχώρησιν[2]. Καὶ διὰ τοῦτο κἀγὼ ἀμφοτέροις τοῖς τάγμασιν τὰ κατάλληλα ἰατρεῖα ἀνοίγω· καὶ μετὰ πολλῆς πεποιθήσεως ὑπισχνοῦμαι τὴν ἐκ τῆς ἐπιμελείας βοήθειαν.

Ἵνα δὲ μὴ νομίσῃ τις πολυδάπανον τὴν θεραπείαν, αὐτὰ προλέγω τὰ φάρμακα, οἷς ἐξιῶμαι τοὺς κάμνοντας. Τοῖς μὲν γὰρ δι' ὕδατος καὶ λουτροῦ ἐγγυῶμαι τὴν ὑγιείαν, τῶν δὲ δι' ὀλίγων δακρύων ἐξαλείφω τὴν νόσον. Ἁπλῆ γὰρ ἡ μεταχείρησις καὶ θεόπεμπτος ἡ δωρεὰ καὶ μεγάλη ἀληθῶς ἡ ἐπιτυχία, χωρὶς καύσεως ἢ τομῆς χρονίων ἀπαλλαγῆναι τραυμάτων, ἃ κακῶς ἐπάθομεν ἐκ τῶν δηγμάτων τοῦ ὄφεως. Ἔλθετε οὖν, οἱ κεκακωμένοι, πρὸς τὴν ἑαυτῶν ἐπιμέ-

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ J.-P. Migne, Patrologiae Cursus Completus, Series Graeca, τ. 46, στ. 416-432.

1. Ἡσ. 40,3. Ματθ. 3,3. Μάρκ. 1,3. Ἰω. 1,23. 2. Πρβλ. Ματθ. 6,12.

α. Πρβλ. Μ. Ἀθανασίου, Ἐπιστολὴ περὶ τῶν γενομένων ἐν τῇ Ἀριμίνῳ τῆς Ἰταλίας καὶ ἐν Σελευκείᾳ τῆς Ἰσαυρίας συνόδων, ΒΕΠ 31, 302,17. PG 26,709A. Διδύμου Ἀλεξανδρέως, Κείμενα, ΒΕΠ 44,89,11.

λειαν καὶ μὴ ῥαθυμίᾳ δότε τὸ πρᾶγμα. Νόσος γὰρ παλαιωθεῖσα καὶ ἐγχρονίσασα, τέχνης θεραπείας γίνεται κρείττων. Οἱ πένητες καὶ ἐνδεεῖς, σπεύσατε πρὸς τὴν διανομὴν τῶν βασιλικῶν χαρισμάτων· τὰ πρόβατα, πρὸς τὴν σφραγῖδα καὶ τὸ σημεῖον τοῦ σταυροῦ τὸ τῶν κακῶν ἀλεξητήριον. Δότε μοι τὰ ὀνόματα, ἵνα ἐγὼ μὲν αὐτὰ ταῖς αἰσθηταῖς ἐγχαράξω βίβλοις, καὶ γράψω τῷ μέλανι[1]· Θεὸς δὲ ταῖς ἀφθάρτοις πλαξὶν ἐνσημήνηται, δακτύλῳ γράψας ἰδίῳ, ὥς ποτε τοῖς Ἑβραίοις τὸν νόμον.

«Προσέλθετε πρὸς αὐτὸν καὶ φωτίσθητε, καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ»[2]. Λούσασθε, ἀφέλεσθε τὰς ἁμαρτίας ὑμῶν[3]. Ταῦτα ἐγράφη πρὸ πολλοῦ· οὐκ ἐπαλαιώθη δὲ τῶν γραμμάτων ἡ δύναμις, ἀλλ' ἀκμάζει καὶ καθ' ἡμέραν ἰσχύει. Ἐξέλθετε τοῦ δεσμωτηρίου, παρακαλῶ. Μισήσατε τὰ τῆς ἁμαρτίας σκοτεινὰ οἰκητήρια. Φεύγετε τὸν διάβολον ὡς πικρὸν δεσμοφύλακα, ἐκ τῆς συμφορᾶς τῶν ἁμαρτωλῶν τρεφόμενον καὶ κερδαίνοντα. Ὡς γὰρ Θεὸς εὐφραίνεται ταῖς δικαιοσύναις ἡμῶν, οὕτως ἐφήδεται τοῖς παραπτώμασιν ὁ τῆς ἁμαρτίας αἴτιος. Ἔξω τοῦ παραδείσου τυγχάνεις ὁ κατηχούμενος, κοινωνῶν τῆς ἐξορίας τῷ Ἀδὰμ τῷ προπάτορι. Νῦν δέ σοι τῆς θύρας ὑπανοιγομένης, εἴσελθε ὅθεν ἐξῆλθες καὶ μὴ βραδύνης, μήπου θάνατος παρεμπεσὼν ἀποφράξῃ τὴν εἴσοδον. Ἡ κεφαλὴ λοιπὸν λευκαίνεται, τοῦ βίου τὸ θέρος ἐγγύς, τάχα ἀκονᾶται καθ' ἡμῶν ἡ δρεπάνη, καὶ δέδοικα, μὴ καθευδόντων ἡμῶν καὶ ἐνασχολουμένων ταῖς ματαίαις ματαιότησιν, ἀθρόον ἐπιστῇ φοβερὸς ὁ τέμνων. Ἀλλ' ἐρεῖς ὁ νέος· Οὐδέπω γεγήρακα. Μὴ τοίνυν ἀπατηθήσῃ· θάνατος γὰρ προθεσμίαις ἡλικιῶν οὐχ ὁρίζεται οὐδὲ φοβεῖται τοὺς ἐν ἀκμῇ, κατὰ δὲ γερόντων μόνον ἔχει τὸ κράτος. Καὶ τούτου μάθε τὴν καθημερινὴν πεῖραν διδάσκαλον. Ὁρᾷς γὰρ τὴν κλίνην τῆς ἐκφορᾶς, ὅπως ἀνω-**[420]**μάλως καὶ ὡς ἔτυχε πᾶσαν ἡλικίαν ἐξάγει, σήμερον τὸν πρεσβύτην, αὔριον τὸ ἀνθοῦν καὶ χαρίεν μειράκιον, μετ' ὀλίγον τὸν αὐξανόμενον τοῦ ἰούλου, πάλιν τὸν ῥωμαλέον καὶ ἀκμάζοντα, αὖθις τὴν γραῦν, ὁμοῦ τὴν κόρην. Ταῦτα ὁρῶντες, τὴν ἀδηλίαν ἀσφαλισώμεθα. Οὐ γάρ ἐστιν ἐργῶδες, ἵνα ἀσκὸς κενωθῇ τοῦ πνεύματος, μικρὸν ὑπανοιγέντος τοῦ στόματος, οὐδὲ δύσκολον ἄνθρωπον ἐν ἀκαρεῖ τὴν ψυχὴν προέσθαι.

Ὁρῶ ὅταν ποτὲ σεισμὸς ἐπιγένηται τῷ βίῳ ἢ λιμὸς ἢ πολεμίων καταδρομή, πάντας ἐπειγμένως ἐπὶ τὸ βαπτιστήριον σπεύδοντας, ἵνα μὴ κενοὶ τῆς χάριτος ἐξ ἀνθρώπων ἀπέλθωσιν. Τί οὖν; τὰ ἄλλα τὰ ποικίλα πάθη καὶ ἀπροσδόκητα οὐκ ἰσοδυναμεῖ τοῖς κακοῖς ἐκείνοις; Ἀποπληξίαι, παρακοπαί, πνίξεις ἀδόκητοι, πνευμάτων ἐνστάσεις καὶ τὰ τούτων ἀκόλουθα; Οὐ βλέπομεν τοὺς ἐν τῷ τρέχειν πίπτοντας, ἐσθίοντας καὶ τελείως τῆς τροφῆς παυομένους, καθεύδοντας καὶ λαν-

1. Πρβλ. Β' Κορ. 3,3. 2. Ψαλ. 33,6. 3. Πρβλ. Ἠσ. 1,16.

θανόντως τῷ ἀδελφῷ τοῦ ὕπνου τῷ θανάτῳ προσαγομένους; Ἀσφάλισαι τὸ ἀστάθμητον καὶ ἄδηλον τοῦ βίου. Μὴ ἐμπορεύου τὴν χάριν[α], ἵνα μὴ ἐκπέσῃς τῆς δωρεᾶς. Τοσαῦτα χρεώστησον, ὅσα δυνατὸν καὶ συγχωρηθῆναι, ὅσα καὶ τὴν φιλανθρωπίαν τοῦ βασιλέως οὐκ ἀποκλείσει. Καὶ γὰρ οἱ τῆς γῆς ἄρχοντες, ὅταν τινὰ λάβωσιν ὑπεράγαν σπαθήσαντα τὰ δημόσια καὶ τῶν βασιλικῶν χρημάτων ὑπὲρ κόρον κατατρυφήσαντα, τῆς μὲν ἀποδόσεως ἀπογινώσκουσι· κολάζουσι δὲ πικρῶς, ἀντὶ τῶν χρημάτων ταῖς τιμωρίαις ἀρκούμενοι. Πολλοὺς χρόνους ἐχαρίσω τῇ ἡδονῇ· δὸς καὶ τῇ φιλοσοφίᾳ σχολήν. Ἀπόδυσαι τὸν παλαιὸν ἄνθρωπον[1·β] ὡς ἱμάτιον ῥυπαρόν, τὸ αἰσχρόν, τὸ γέμον αἰσχύνης, τὸ ἐκ τοῦ πλήθους τῶν ἁμαρτιῶν πολυκόλλητον[γ], τοῖς οἰκτροῖς ῥακίοις περικεκεντημένον τῆς ἀνομίας. Δέξαι δὲ τὸ τῆς ἀφθαρσίας ἔνδυμα[2·δ], ὅπερ ὁ Χριστός σοι διαπλώσας προτείνεται, καὶ μὴ ἀπώσῃ τὴν δωρεάν, ἵνα μὴ ὑβρίσῃς τὸν δωρησάμενον. Ἐπὶ μακρὸν ἐνεκυλίσω τῷ βορβόρῳ· σπεῦσον, ἄνθρωπε, ἐπὶ τὸν ἐμὸν Ἰορδάνην, οὐκ Ἰωάννου καλοῦντος, ἀλλὰ Χριστοῦ προτρέποντος. Ὁ γὰρ τῆς χάριτος ποταμὸς ῥεῖ πανταχοῦ, οὐκ ἐν τῇ Παλαιστίνῃ τὰς πηγὰς ἔχων καὶ εἰς τὴν γείτονα καλυπτόμενος θάλασσαν, ἀλλὰ πᾶσαν τὴν οἰκουμένην κυκλῶν καὶ εἰσβάλλων εἰς τὸν παράδεισον· ἀντιπρόσωπος ῥέων τῶν τεσσάρων τῶν ἐκεῖθεν ἀπορρεόντων, καὶ πολὺ τιμιώτερα εἰσάγων εἰς τὸν παράδεισον τῶν ἐκεῖθεν ἐκφερομένων. Οἱ μὲν γὰρ φέρουσιν ἀρώματα, γεωργίαν καὶ βλάστημα γῆς. Ὁ δὲ ἀνθρώπους εἰσφέρει γεννήματα πνεύματος. Ὅπου δ' ἂν ἑλκύσῃς, ἐκεῖ μεταρρεῖ, πρὸς πᾶσαν τὴν οἰκουμένην ἐξοχετεύεται καὶ οὐ δαπανᾷ ἐν τοῖς μεριζομένοις τὸ ῥεῖθρον. Πηγὴν γὰρ ἔχει πλουσίαν τὸν Χριστὸν καὶ ἀπ' ἐκείνου ῥέων, σύμπαντα πελαγίζει τὸν κόσμον. Γλυκὺς οὗτος καὶ πότιμος, οὐδὲν τῆς ἀηδοῦς ἅλμης ἐπισυρόμενος. Ἡδύνεται γὰρ τῇ ἐπιφοιτήσει τοῦ Πνεύματος ὡς ἡ Μερρὰ[3] πηγὴ τῇ θήξει τοῦ ξύλου, διαβατὸς τοῖς εὐσεβέσι, τοῖς δὲ βεβήλοις ἀγχιβαθὴς καὶ ἀπρόσιτος. Μίμησαι τὸν Ἰησοῦν τὸν Ναυή. Βά**[421]**στασον τὸ Εὐαγγέλιον, ὡς ἐκεῖνος τὴν κιβωτόν· ἄφες τὴν ἔρημον, τὴν ἁμαρτίαν· περαιώθητι τὸν Ἰορδάνην·

1. Πρβλ. Ἐφ. 4,22. Κολ. 3,9. 2. Πρβλ. Α' Κορ. 15,54. 3. Πρβλ. Ἐξ. 15,23.

α. Πρβλ. Μ. Βασιλείου, Ὁμιλία προτρεπτικὴ εἰς τὸ ἅγιον Βάπτισμα, ΒΕΠ 54,138,24-25. Γρηγορίου Νύσσης, Εἰς τὸ Ἆσμα τῶν Ἀσμάτων, ΒΕΠ 66,232, 13. [Γρηγορίου Νύσσης], Ἐγκώμιον εἰς τὸν ὅσιον Ἐφραίμ, PG 46,829A.

β. Πρβλ. Ἰουστίνου, Πρὸς Τρύφωνα Ἰουδαῖον, διάλογος, ΒΕΠ 3,315, 33 ἑξ. PG 6,744B. Μ. Βασιλείου, Ἑρμηνεία εἰς τὸν προφήτην Ἡσαΐαν, ΒΕΠ 56,49,17. Διδύμου Ἀλεξανδρέως, Περὶ τοῦ Ἁγίου Πνεύματος, ΒΕΠ 44,35,18.

γ. Πρβλ. Γρηγορίου Νύσσης, Λόγος εἰς τὴν ἡμέραν τῶν Φώτων, ΒΕΠ 69,212,29.

δ. Πρβλ. Ὠριγένους, Κατὰ Κέλσου Ζ, XXXII, ΒΕΠ 10,147,18 ἑξ. PG 11,1465D. Εἰς τὸ κατὰ Ἰωάννην, ΛΒ VIII, ΒΕΠ 12,296,18 ἑξ. PG 14, 760A.

σπεῦσον εἰς τὴν κατὰ Χριστὸν πολιτείαν[1·α], εἰς τὴν γῆν τὴν γόνιμον τῶν εὐφραινόντων καρπῶν, τὴν ῥέουσαν, κατὰ τὴν ἐπαγγελίαν, μέλι καὶ γάλα[2]· κατάλυσον τὴν Ἱεριχώ[3], τὴν παλαιὰν συνήθειαν, μὴ ἀφῇς αὐτῆς ὀχύρωμα· ἐκ θεμελίων λῦσον τῶν ἁμαρτωλῶν λογισμῶν τὴν μητέρα· ποίησον τοὺς δολεροὺς Γαβαωνίτας[4] οἰκέτας τοῦ Ἰσραήλ, τουτέστι δούλους τοὺς πονηροὺς λογισμοὺς τοῦ κατὰ τὸ Εὐαγγέλιον βίου· λιθοβολείσθω ὁ σοφιστὴς καὶ πλεονέκτης Ἄχαρ[5], ὁ τὴν γλῶσσαν τὴν χρυσῆν ὑφελόμενος. Οὗτος δέ ἐστιν ἐκεῖνος ὁ τῆς τιμίας ἐντολῆς ἀφανίσας τὴν τήρησιν. Πάντα ἐκεῖνα τύπος ἡμέτερος, πάντα προμηνύματα τῶν νῦν φαινομένων πραγμάτων.

Ἀπόλυσον λοιπὸν τοῦ βίου σου τὸν γαστρίμαργον κόρακα[6]· δὸς τῇ περιστερᾷ καιρὸν ἐπιπτῆναί σοι· ἣν πρῶτος Ἰησοῦς τυπικῶς ἐξ οὐρανοῦ κατήγαγε[7], τὴν ἄδολον, τὴν πραϋτάτην, τὴν πολύγονον· ἥτις ἐπειδὰν εὕρῃ ἄνδρα κεκαθαρμένον ὡς πύριον καλῶς ἠσκημένον, εἰσοικίζεται, καὶ ἐπωάζουσα πυροῖ τὴν ψυχήν, καὶ πολλὰ τίκτει καὶ εὐχαρῆ τὰ ἑαυτῆς τέκνα. Ταῦτα δέ εἰσιν ἀγαθαὶ πράξεις καὶ λόγοι σεμνοί, πίστις, εὐσέβεια, δικαιοσύνη, σωφροσύνη, ἁγνεία, καθαρότης. Ταῦτα τέκνα τοῦ πνεύματος, κτήματα δὲ ἡμέτερα. Μέχρι πότε μαθητὴς τῶν πρώτων στοιχείων; Ἄνοιξόν σου τὴν ψυχὴν ὡς δέλτον καὶ συγχώρησον ἡμῖν ἐγχαράξαι μάθημα τέλειον· μὴ ἀεὶ μετὰ τῶν παίδων ψελλίζου· μὴ νηπιώδης τὴν φρένα. Ἐρυθριῶ ὑπὲρ σοῦ, ὅτι γηράσας λοιπὸν μετὰ τῶν κατηχουμένων ἐκβάλλῃ, ὡς παιδάριον ἄνουν καὶ οὐκ ἐχέμυθον, μέλλοντος μυστηρίου λαλεῖσθαι. Ἑνώθητι τῷ μυστικῷ λαῷ καὶ μάθε λόγους ἀπορρήτους. Φθέγξαι μεθ' ἡμῶν ἐκεῖνα, ἃ καὶ τὰ ἑξαπτέρυγα Σεραφὶμ μετὰ τῶν τελείων χριστιανῶν ὑμνοῦντα λέγει. Ἐπιθύμησον τροφῆς ἐνδυναμούσης ψυχήν· γεῦσαι πόματος καρδίαν εὐφραίνοντος[8]· ἐράσθητι μυστηρίου εἰς νεότητα τοὺς παλαιοὺς ἀοράτως ἀμείβοντος. Μίμησαι τὸν Αἰθίοπα τὸν εὐνοῦχον[9] τῆς ζεούσης ἐπιθυμίας. Καὶ γὰρ ἐκεῖνος ἐπειδὴ τὸν Φίλιππον προσαχθέντα παρὰ τοῦ Πνεύματος σύνεδρον ἐπὶ τοῦ ἅρματος ἔλαβεν, ὁδοῦ δὲ πάρεργον ἔμαθε μὴ ἀναγινώσκειν μόνον, ἀλλὰ καὶ γινώσκειν τὸν σοφὸν Ἡσαΐαν· ἐγεύσατο δὲ διὰ τῆς ἑρμηνείας ὡς ἀγαθὸς σκύλαξ τοῦ αἵματος καὶ τοῦ σφαγέντος ἀμνοῦ· σφοδρῶς τοῦ Φιλίππου καθυλάκτησεν, μέχρις οὗ πρὸς τὴν τελείαν αὐτὸν θήραν τῆς ἐν χερσὶ προφητείας ὡδήγησεν· αὐτοσχέδιον δὲ τὸ βάπτισμα ζητήσας ἔλαβεν, οὔτε καταγωγίαν ἀναμείνας οὔτε πόλιν ἢ κώμην ἢ τὸν τόπον ἁγιάσματος

1. Πρβλ. Φιλιπ. 1,27. 2. Πρβλ. Ἐξ. 3,8,17. 3. Πρβλ. Ἰησ. Ν. κεφ. 6. 4. Πρβλ. Α' Παρλ. 2,7. 5. Πρβλ. Ἰησ. Ν. 7,1 ἑξ. 22,20. Α' Παρλ. 2,7. 6. Πρβλ. Γεν. 8,6-7. 7. Πρβλ. Ματθ. 3,16. Μάρκ. 1,10. 8. Πρβλ. Ψαλ. 103,15. 9. Πρβλ. Πράξ. 8,27 ἑξ.

α. Πρβλ. Κλήμεντος Ἀλεξανδρέως, Στρωματεῖς Δ' XVIII, ΒΕΠ 8,88,14. PG 8,1321Β. Μ. Ἀθανασίου, Ἐπιστολὴ ἐγκύκλιος, ΒΕΠ 31,195,38. PG 25, 225Β. Μακαρίου τοῦ Αἰγυπτίου, Ἐπιστολὴ Μεγάλη, PG 34,416C.

ἐκδεξάμενος, λογισάμενος δὲ σωφρόνως, ὅτι πᾶς τόπος τοῦ κοινοῦ Δεσπότου καὶ πᾶν ὕδωρ ἐπιτήδειον εἰς τὴν τοῦ βαπτίσματος χρείαν, μόνον ἐὰν εὕρῃ πίστιν τοῦ λαμβάνοντος καὶ εὐλογίαν τοῦ ἁγιάζοντος ἱερέως. Μὴ παροξύνῃς τὸν βαπτιστὴν βραδύνων, μηδὲ παροργίσῃς αὐτὸν ἡμέραν ἐξ ἡμέρας ἀναβαλλόμενος καὶ δαπανῶν ἐν ὑποσχέ-**[424]**σεσι τὸν ῥέοντα χρόνον, μήποτέ σου ταῖς ὁμοίαις φωναῖς Ἰωάννου καθίκηται, γέννημά σε ὀνομάζων ἐχίδνης[1] ἢ ἀσπίδα κωφήν, πρὸς τὴν φωνὴν τοῦ ἐπᾴδοντος ἀγριαίνουσαν[2], ἢ τὴν ἀξίνην σοι δείξῃ τεθηγμένην καὶ στίλβουσαν, παρακειμένην τῷ δένδρῳ καὶ τὴν τομὴν ἀπειλοῦσαν[3]. Αἱρετώτερον ἐν κακῶν ἐκλογῇ ἀξιωθέντα τινὰ τοῦ σωτηρίου λουτροῦ, γενέσθαι πάλιν ἐν ἁμαρτήματι, ἢ τῆς χάριτος ἀμέτοχον τελευτῆσαι τὸν βίον. Τὸ μὲν γὰρ πλημμέλημα τυχὸν καὶ συγγνώμης ἢ φιλανθρωπίας ἀξιωθήσεται, ἧς πολλὴ παρὰ τῶν ἀγαθῶν ἐλπίς· τὸ δὲ παντάπασιν ἀπηγορευμένην ἔχειν τὴν σωτηρίαν ἐξ ἀποφάσεως ὡρισμένης· ὅταν γὰρ ἀκούσω τῆς ἀψευδοῦς φωνῆς λεγούσης, «ἀμήν, ἀμὴν λέγω σοι· ἐὰν μή τις γεννηθῇ ἄνωθεν, οὐ δύναται ἰδεῖν τὴν βασιλείαν τοῦ Θεοῦ»[4], οὐδὲν δύναμαι τοῖς ἀμυήτοις προσδοκῆσαι χρηστόν. Τίνος γὰρ ὄντως συγγνώμης δίκαιον τοῖς τοιούτοις μεταδιδόναι, οἳ τὴν βασιλικὴν χάριν ἐνύβρισαν, μὴ δεξάμενοι τὰς ἀποκοπὰς τῶν χρεῶν, μηδὲ προσκυνήσαντες τὴν ἐλευθερίαν καὶ ἀσπασάμενοι, αὐτεπάγγελτον πρὸς αὐτοὺς ἐλθοῦσαν ἐξ οὐρανῶν· διὰ δὲ τῆς καταφρονήσεως τοῦ δώρου, τὸν δωρησάμενον ἀτιμάσαντες; Ψυχὴν ἀφώτιστον[α] καὶ τῇ χάριτι τῆς παλιγγενεσίας μὴ κοσμηθεῖσαν[β], οὐκ οἶδα οὐδὲ εἰ ἄγγελοι μετὰ τὸν χωρισμὸν τοῦ σώματος ὑποδέχονται. Πῶς γὰρ τὴν ἀσφράγιστον, τὴν μηδὲν τῆς δεσποτείας ἐπίσημον φέρουσαν; Ἢ εἰκὸς ἐμφέρεσθαι τῷ ἀέρι πλανωμένην καὶ ἀλητεύουσαν καὶ ἀζήτητον, ὡς ἀδέσποτον· ἐπιθυμοῦσαν ἀναπαύσεως καὶ μονῆς καὶ μὴ εὑρίσκουσαν ὀδυρομένην ἀνόνητα καὶ μεταμελομένην ἄπρακτα· ὁμοίαν τῷ πλουσίῳ, ὃν πορφύρα καὶ βύσσος ἠμφίαζεν[5], τρυφὴ δὲ παντοία καὶ ἀπόλαυσις ἀβροδίαιτος ἔτρεφεν, ὕλην τοῦ ἀσβέστου πυρός.

Ἐθέλω δὲ ὑμῖν εἰπεῖν τινα καὶ λόγον ἀνδρὸς ἀθλίου, ἀποτυχόντος τῆς μεγάλης ἐλπίδος καὶ ζητοῦντος ὕδωρ ἐν ἀνύδρῳ καιρῷ. Πρώην γὰρ ἡνίκα ἡ καταδρομὴ τῶν νομάδων Σκυθῶν, πολλὴν σὺν τοῖς οἰκοῦσι χώραν ἠφάνισεν, ἐπὶ τῆς Κομαναίων πόλεως ταύτης ἀστυγείτονος τὰ προάστεια τῶν βαρβάρων ληιζομένων, ἀνήρ τις νέος τῶν εὐπατριδῶν, Ἀρχίας τοὔνομα, ὃν καὶ αὐτὸς ἀκριβῶς ἠπι-

---

1. Πρβλ. Ματθ. 3,7. 2. Πρβλ. Ψαλ. 57,5. 3. Πρβλ. Λουκ. 3,9. 4. Ἰω. 3,3. 5. Πρβλ. Λουκ. 16,19.

α. Πρβλ. Μ. Βασιλείου, Κατὰ Εὐνομίου Β΄, ΒΕΠ 52,199,33.

β. Πρβλ. Κλήμεντος Ἀλεξανδρέως, Λόγος προτρεπτικὸς πρὸς Ἕλληνας, IX, ΒΕΠ 7,62,25. PG 8,200B. Ὠριγένους, Εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον, PG 13,1320B. Γρηγορίου Νύσσης, κατωτ. σ. 451,28.

στάμην περιαλγεῖν τοῖς τε ἰδίοις καὶ κοινοῖς τῆς πατρίδος κακοῖς ἐξῆλθε τῆς πόλεως καὶ τοῦ φρουρίου, ὡς κατοπτεῦσαι ἀκριβῶς, πόσοι μὲν οἱ λῃοῦντες βάρβαροι, τίνα δὲ τὰ συμβαίνοντα πάθη· καὶ περιπεσὼν τοῖς πολεμίοις κατετοξεύθη. Πεσὼν δὲ καὶ πρὸς τὸν θάνατον ἐπειγόμενος, ὡς εἶχε δυνάμεως, ἀνεβόα (καὶ γὰρ ἦν τῶν ἀμυήτων). Ὄρη καὶ νάπαι, βαπτίσατε· δένδρα καὶ πέτραι καὶ πηγαί, δότε τὴν χάριν. Καὶ ταῖς οἰκτραῖς φωναῖς ταύταις ἐπετελεύτησεν. Ἃς καὶ ἡ πόλις μαθοῦσα, πλέον τῆς συμφορᾶς τῆς κατὰ τὸν πόλεμον ἐπεθρήνησεν. Παραπλήσιοι δὲ τούτῳ καὶ οἱ παρὰ τῶν νόσων ἀθρόως πιεζόμενοι. Ὅταν γὰρ ὁ χθὲς ὑγιαίνων καὶ μακροὺς ἑαυτῷ τοὺς χρόνους τῆς **[425]** ζωῆς διαγράφων πάθῃ τὸ τοῦ παλαιοῦ ματαιόφρονος καὶ λεχθῇ πρὸς αὐτὸν ἐκ τῆς ἀπογνώσεως, ὅτι ταύτῃ τῇ νυκτὶ ἡ ψυχή σου τοῦ σώματος λύεται[1], τότε θόρυβος καὶ κραυγή· καὶ πάντα ἐν ῥοπῇ καιροῦ ὀξέως ζητεῖται, τὰ σκεύη, τὸ ὕδωρ, ὁ ἱερεύς, ὁ λόγος ὁ πρὸς τὴν χάριν προευτρεπίζων, ὃν ἀπαιτεῖ μὲν ἡ χρεία, ἐπισκοπεῖ δὲ ἡ νόσος, σφοδρὸν καὶ ἀνένδοτον ἐργαζομένη τὸ ἆσθμα. Καὶ ποιεῖ τὸν θόρυβον τῆς κατὰ πόλεμον συνοχῆς οὐκ ἐλάττονα· πάντες δὲ οἱ κατὰ τὴν οἰκίαν ἀλλήλοις ἀπαντῶντες ἐκρήγνυνται· καὶ ὠθισμός ἐστι καὶ ταραχὴ καὶ θρόος γοώδης καὶ ἄσημος, ὥσπερ ἐν νυκτομαχίᾳ ἀλλήλοις ἐμπλεκομένων, δούλων, συγγενῶν, φίλων, τῶν παίδων, τῆς γαμετῆς. Ὡς ἔτι τοίνυν καιρὸς εἰρήνης, τὰ καθ' ἑαυτοὺς σωφρόνως διαθώμεθα. Ἐν σχολῇ καὶ γαλήνῃ τοῦ βίου δέξασθε τὴν τοῦ Χριστοῦ δωρεάν, ὅτε καὶ ὁ λαμβάνων τὴν ὑψηλὴν καὶ ἀσύγκριτον εὐεργεσίαν μεθ' ἡδονῆς τῷ καταλόγῳ τῶν υἱοθετουμένων συναριθμεῖται, καὶ οἱ γνώριμοι πάντες τὴν ἐκείνου πρὸς τὸ κρεῖττον μεταποίησιν ἐξαίρετον χαρὰν καὶ εὐφροσύνην ποιοῦνται.

Ἀλλὰ δέδοικα, φησί, τὸ τῆς φύσεως ἡμῶν εἰς ἁμαρτίαν εὔκολον καὶ διὰ τοῦτο πρὸς τὴν χάριν τῆς παλιγγενεσίας βραδύνω. Εὐπρόσωπον μέν σου τῆς δειλίας τὸ πρόσχημα, καὶ καλῶς σαυτὸν κατασχηματίζεις τῷ τῆς εὐλαβείας πλάσματι· ἀλλά σοι σύντομος ἐρώτησις προσαχθεῖσα ἀρκέσει προγυμνῶσαι τὴν σκηνὴν εὐκόλως. Ἐπεὶ γὰρ ὁ δεδοικέναι λέγων τὴν ἁμαρτίαν κατηχούμενος ὑπάρχεις, τίνα ἄρα ζῇς βίον ἀκατηγόρητον ἢ τὸν ἀναμάρτητον ἢ τὸν ἐν ἁμαρτίαις; Εἰ μὲν γὰρ τὸν ἀναμάρτητον, τί δειλιᾷς τὸ βάπτισμα καὶ πρὸ ἐκείνου τηρῶν τὴν νομοθετημένην ἀκρίβειαν; Εἰ δέ σοι ἀκάθαρτος καὶ ἀφύλακτος ἡ ζωὴ βραδύνων ἐν ἀνομίαις καὶ τῇ μακρᾷ συνηθείᾳ ἕξιν κτώμενος τοῦ κακοῦ, πρόδηλον ὅτι τὴν ἐσχάτην ἀναμένεις ἀναπνοήν· ἵνα τῷ βαπτίσματι παραληφθέντι κατὰ τὴν τελευταίαν ὥραν συντελεσθῇ ἡ ζωή. Τοῦτο δέ ἐστι καινὴ καὶ παράδοξος ἐμπορία, οὐ χρυσοῦ καὶ ἐσθῆτος, ἀλλὰ πλήθους ἀνομιῶν καπηλεία περίεργος τῆς κατὰ ψυχὴν καθάρσεως. Καὶ καθάπερ οἱ χοῖροι πηλὸν ἐκ πηλοῦ μετέρχον-

---

1. Πρβλ. Λουκ. 12,20.

ται καὶ τὸν βόρβορον ἔχουσιν αὐτοῖς ἐνδιαίτημα· οὕτως οἱ ταῖς ἀκαθαρσίαις συζῶντες συνάπτουσιν ἐπαλλήλους τὰς ἀνομίας. Ἢ γὰρ τῇ πορνείᾳ μολύνονται ἢ τὴν δυσώνυμον μοιχείαν τεχνάζουσιν ἢ τὴν μέθην ἀσκοῦσι τὸ τῶν πονηρῶν ἐπιθυμιῶν ὑπέκκαυμα ἢ τὰς ἀδελφὰς τούτων καὶ συγγενεῖς ἁμαρτίας ἐπιτηδεύουσι. Φοβοῦνται δὲ τὸ βάπτισμα, ὡς τῶν ἡδονῶν κώλυμα καὶ τῶν μιαρῶν ἀπολαύσεων ἀποχήν. Ὅταν οὖν λέγει ὁ προφασιζόμενος προφάσεις ἐν ἁμαρτίαις[1], ὅτι Φοβοῦμαι, πρόδηλός ἐστιν οὐ τὴν ἁμαρτίαν εὐλαβούμενος, ἀλλὰ μακρὰν αὐτῷ γενέσθαι βουλόμενος τὴν ἐν ταῖς ἁμαρτίαις ἀναστροφήν. Οἱ δὲ ταύτην ἔχοντες ἐν τῷ βάθει τὴν πονηρὰν γνώμην, πρῶτον μὲν οὐδὲ ἀξιοῦνται τῆς χάριτος· ἀλλὰ ταῖς κεναῖς ἐλπίσιν ἑαυτοὺς **[428]** ἀποβουκολοῦντες ἀδοκήτως ἀπάγονται, ἀψοφητὶ καὶ ἀθρόον ὡς ἐπιβούλου κλέπτου τοῦ θανάτου καταλαμβάνοντος. Ἀλλὰ καὶ πλεονάσας ὁ Θεὸς τὴν οἰκείαν μακροθυμίαν καὶ ἀγαθότητα, καταξιώσας τῶν μυστηρίων τὸν φιλαμάρτητον ἐπὶ τῆς ἐσχάτης ἡμέρας, οὐκ ἔστιν αὐτοῖς τοσοῦτον τῆς πραγματείας τὸ κέρδος, ὅσον νομίζουσιν. Οἴονται γὰρ εὐθὺς μὲν ὑπανοιχθήσεσθαι τὴν βασιλείαν αὐτοῖς· λήψεσθαι δέ τινα χῶρον ἀγαθῶν γέμοντα θαυμαστῶν, καὶ τῶν ἴσων ἀξιωθήσεσθαι τοῖς δικαίοις τιμῶν. Τὸ δὲ κενή τίς ἐστιν ἐλπίς, δόξῃ ψευδεῖ τὴν ψυχὴν γοητεύουσα. Ὡς γὰρ ἐμοὶ φαίνεται, τριχῇ τὰ τῶν ἀνθρώπων διαιρεθήσεται ἐπὶ τῆς προσδοκωμένης ζωῆς, ὡς γενικώτερον τέως χωρὶς ὑπομερισμῶν διελθεῖν. Καὶ τὸ μὲν πρῶτόν ἐστι τάγμα τῶν ἐπαινετῶν καὶ δικαίων· δεύτερον, τῶν οὔτε τιμωμένων οὔτε κολαζομένων· τρίτον τῶν διδόντων δίκας ὑπὲρ ὧν ἐπλημμέλησαν. Ποῦ τοίνυν τάξομεν τοὺς ἐντάφιον λαβόντας τοῦ λουτροῦ τὴν εὐεργεσίαν; Ἢ πρόδηλον, ὡς ἐν τοῖς δευτέροις, καὶ τοῦτο μετὰ συγγνώμης, ἵνα κατὰ τὴν οἰκείαν τοῦ Θεοῦ φιλανθρωπίαν κληροδοτήσωμεν. Ὁ γὰρ ὄκνῳ προδοὺς τὰ τῆς ἀρετῆς κατορθώματα, οὐκ ἐλεύθερος ζημίας καὶ καταγνώσεως, εἴ γε τὸ ἐθελοκακεῖν ὑπὸ κατηγορίαν ἄγεται καὶ τὸ μισεῖν τὰ καλὰ πρόδηλον ἔχει τῆς πονηρίας τὸν ἔλεγχον. Τί τοίνυν μέγα κερδανεῖς ἔξω πίπτων τῆς βασιλείας καὶ τῶν ἐπαγγελιῶν ἐκείνων, ἃς ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσεν;[2] Οὐ κολάζομαι, φησίν, οὐδὲ φοβοῦμαι τὰς ἀπειλάς· ἀρκοῦμαι δὲ τῷ μὴ παθεῖν τι δεινόν, μήτε ὡς κατορθώσας τι γενναῖον ἀποδειχθῆναι. Ἀνδραπόδου πονηροῦ ἡ προαίρεσις· μύλωνος ἀξίου καὶ δεσμοῦ καὶ μαστίγων, ἐκδῦναι μόνον τὰς τιμωρίας σπουδάζοντος· ἐλευθερίου δὲ δόξης καὶ τῶν ἐκ λαμπρότητος τιμῶν, οὐδὲ κατὰ μικρὸν ἀντιποιουμένου. Ἐχθρὰ πάντων αὕτη τῶν ἁγίων φωνή, ἐναντία τῶν ἀπ' αἰῶνος ὁσίων. Ἐκεῖνοι γὰρ ἅπαντες τοὺς ὑπὲρ παρρησίας κινδύνους ἠγάπησαν καὶ παρεῖχον τοῖς βουλομένοις τέμνειν καὶ φονεύειν ποικίλως τὸ σῶμα καὶ πρὸς οὐδένα ὠδινόντων ἐμαλακίσθησαν ἆθλον, τοῦ αἵματος καὶ τῶν ἀνδραγαθημάτων, τὴν ἐν τῇ βασιλείᾳ τῶν

1. Πρβλ. Ψαλ. 140,4. 2. Πρβλ. Α' Κορ. 2,9.

οὐρανῶν προσδοκῶντες τιμήν. Δι' ἐκείνων Ἀβραὰμ τὸν υἱὸν προσταχθεὶς ἔθυσε· καὶ Μωυσῆς ἐνεμόχθει τοῖς δεινοῖς τῆς ἐρήμου· καὶ Ἠλίας τὸν ἔρημον ἔζη βίον καὶ ἀθεράπευτον· καὶ πάντες προφῆται διῆγον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, θλιβόμενοι, κακουχούμενοι[1]. Ὑπὲρ ἐκείνης εὐαγγελισταὶ τὰ ὑπὲρ τοῦ Εὐαγγελίου ἔπασχον στίγματα, καὶ μάρτυρες ταῖς κολάσεσι ταῖς παρὰ τῶν τυράννων ἐνηγωνίσαντο, καὶ πᾶς, εἴ τις ἀληθῶς λογικὸς καὶ εἰκὼν τοῦ Θεοῦ καὶ συγγένειαν ἔχων πρὸς τὰ ὑψηλὰ καὶ οὐράνια, οὐδὲ εἶναι βούλεται οὐδὲ συνεγερθῆναι τοῖς ἀναβιωσομένοις ἀνθρώποις· εἰ μὴ μέλλοι ἐπαινεῖσθαι παρὰ τοῦ Θεοῦ ὡς ἀγαθὸς δοῦλος, καί τινων ἀξιοῦσθαι γερῶν. Ἐπὶ ταύτῃ τῇ προαιρέσει καὶ ὁ Δαβὶδ τῆς ἐλάφου τὴν δίψαν[2] οἰκεῖον ὑπόδειγμα ποιεῖται τῆς ἑαυτοῦ πρὸς Θεὸν ἐπιθυμίας· καὶ ἰδεῖν εὔχεται τὸ πρόσωπον τοῦ Θεοῦ[3], ἵνα ταῖς **[429]** νοηταῖς ἐνευφρανθῇ δεξιώσεσι. Καὶ Παῦλος εὔχεται ἐκδυσάμενος τὴν σάρκα ὡς καὶ βαρὺ καὶ φορτικὸν ἱμάτιον, ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι[4] πάντως ἀμφότεροι φανταζόμενοι τὴν μακαρίαν εὐφροσύνην καὶ ἀμετάβλητον. Εἰ δὲ ἐκείνης ἔρως οὐδείς, πάντα ἀληθῶς τὰ ἄλλα, κατὰ τὸν Ἐκκλησιαστήν, ματαιότης ματαιοτήτων[5].

Φεύγετε τοίνυν, ἄνδρες χριστιανοί, κλήσεως ἐπουρανίου μέτοχοι, πᾶσαν ἔννοιαν τοιαύτην λῃστῶν καὶ κακούργων ἀξίαν, μηδὲ τοῦτο μακαριστὸν ἡγήσησθε τὸ φεύγειν τιμωρίαν, ἀλλ' ἐράσθητε δωρεῶν καὶ στεφάνων, οὓς ὁ Θεὸς τοῖς ἀθληταῖς τῆς δικαιοσύνης ηὐτρέπισεν· ἐπιθυμήσατε βαπτίσματος ἀδόλως· λάβετε τὸ τάλαντον καὶ πρόσθετε τὴν ἐργασίαν· οὕτως γὰρ κατὰ τὴν παραβολὴν ἡγεμόνες δέκα γενήσεσθε πόλεων[6]. Ὁ δὲ συνταφεὶς τῷ βαπτίσματι[7], ἔκρυψεν εἰς γῆν τάλαντον[8], καὶ πάντως ἐκείνων ἀκούσει τῶν πρὸς τὸν δοῦλον ἀργὸν λεχθέντων καὶ ῥάθυμον. Καλῶς ὁ νεοφώτιστος ἂν τῇ πίστει συνάψῃ τὴν ἐντολήν, ἐπὶ πλεῖον οὐδὲν ἔχει τοῦ ἀνεγκλήτου. Δεσμώτης ἐτύγχανεν μυρίοις ἐγκλήμασιν ὑπεύθυνος, δεδοικὼς τὸ κριτήριον, τρέμων τῶν εὐθυνῶν τὸν καιρόν. Ἦλθεν ἀθρόον βασιλέως φιλανθρωπία, ἤνοιξε τὸ δεσμωτήριον, ἀφῆκε τοὺς πονηρούς. Ὁ μὲν δοὺς τὴν χάριν, ὑμνείσθω καὶ προσκυνείσθω, ὡς ἀγαθότητος περιουσίᾳ σώσας τοὺς τὴν ζωὴν οὐκ ἐλπίζοντας· ὁ δὲ γνωριζέτω ἑαυτόν, ἐν ταπεινότητι διαγέτω· μὴ ὡς κατορθώσας τι διακείσθω, ἐπειδὴ τῶν δεσμῶν ἐλύθη. Ἄφεσις γὰρ ἐγκλημάτων τὸν ἔλεον προσμαρτυρεῖ τῷ συγχωρήσαντι, οὐ μὴν εὐδοκιμήσειν τῷ ἀφεθέντι. Ὁ λαβὼν τὸ τῆς παλιγγενεσίας λουτρόν[α], ὅμοιος στρατιώτῃ νέῳ ὑπόγυιον ἐναριθμηθέντι τοῖς ὁπλι-

---

1. Πρβλ. Ἑβρ. 11,17 ἑξ. 2. Πρβλ. Ψαλ. 41,2. 3. Πρβλ. Ψαλ. 41,3. 4. Πρβλ. Φιλιπ. 1,23. 5. Πρβλ. Ἐκκλ. 1,2. 6. Πρβλ. Λουκ. 19,16-17. 7. Πρβλ. Κολ. 2,12. 8. Πρβλ. Ματθ. 25,24 ἑξ.

α. Πρβλ. Ὠριγένους, Εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον, PG 13,1320C. Μεθοδίου, Συμπόσιον Γ', ΒΕΠ 18,32,23. PG 18,73B. Μ. Βασιλείου, Ἑρμηνεία εἰς τὸν προφήτην Ἡσαΐαν, ΒΕΠ 56,17-18. Περὶ τοῦ Ἁγ. Πνεύματος, ΒΕΠ,

τικοῖς καταλόγοις, μηδέπω δὲ μηδὲν ἐπιδεδειγμένῳ στρατιωτικὸν ἢ γενναῖον. Ὥσπερ οὖν ἐκεῖνος ἀνελόμενος τὴν ζώνην καὶ τὴν χλανίδα ἐμπορπησάμενος, οὐκ εὐθὺς ἑαυτὸν ἀριστέα νομίζει, οὐδὲ προσιὼν μετὰ παρρησίας τῷ βασιλεῖ ὡς γνώριμος διαλέγεται, οὐδὲ χάριτας αἰτεῖ τὰς τῶν καμόντων καὶ πονεσάντων· οὕτως μηδὲ σὺ τυχὼν τῆς χάριτος, οἴου τοῖς δικαίοις συζήσεσθαι καὶ πρὸς τὸν ἐκείνων ἀχθήσεσθαι κλῆρον, ἂν μὴ πολλοὺς ὑπομείνῃς ὑπὲρ εὐσεβείας κινδύνους καὶ πολεμήσῃς τῇ σαρκί, καὶ μετ' ἐκείνης τῷ διαβόλῳ, καὶ γενναίως ἀντισχῇς πρὸς πάντα τὰ τῶν πονηρῶν πνευμάτων τοξεύματα. Μᾶλλον δὲ εἰ δοκεῖ αὐτὴν τὴν τοῦ Κυρίου φωνὴν τὴν μέλλουσαν ἐπὶ τῆς κοινῆς ἐκφέρεσθαι κρίσεως λάβωμεν τοῦ προκειμένου διδάσκαλον. Τί γάρ φησι; «Δεῦτε, οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν»[1]. Διὰ τί; Οὐχ ὅτι τὸ ἱμάτιον ἐνεδύσασθε τῆς ἀφθαρσίας, οὐδὲ ὅτι τὰς ἁμαρτίας ὑμῶν ἀπελούσασθε, ἀλλ' ἐπειδὴ κατωρθώσατε τὴν ἀγάπην. Καὶ εὐθὺς ὁ κατάλογος ὑποτέτακται τῶν τραφέντων, τῶν ποτισθέντων, τῶν ἐνδυθέντων. Καὶ εἰκότως ὁ ἀπαραλόγιστος κριτὴς οὕτως δικάζει. Ἡ χάρις μὲν γὰρ τοῦ Δεσπότου δῶρον· ἡ δὲ πολιτεία, τοῦ τιμηθέντος κατόρθωμα. Χάριτος **[432]** δὲ ἧς ἔλαβεν οὐδεὶς μισθὸν ἀπαιτεῖ, ἀλλὰ τὸ ἐναντίον ὀφείλει. Καὶ διὰ τοῦτο, ὅταν τῷ βαπτίσματι φωτισθῶμεν, χρεωστοῦμεν τῷ εὐεργέτῃ τὴν εὔνοιαν. Εὔνοια δὲ ἡμετέρα πρὸς Θεὸν ἡ περὶ τοὺς ὁμοδούλους εὐγνωμοσύνη, ἡ σωτηρία ἡμῶν αὐτῶν καὶ ἡ τῆς ἀρετῆς ἐπιμέλεια. Ἀπόθεσθε τοίνυν τὴν ματαίαν γνώμην, οἱ ἐντάφιον τηροῦντες τὸ βάπτισμα, εἰδότες, ὡς ἡ πίστις τὴν ἀδελφὴν ἑαυτῆς, τὴν ἀγαθὴν πολιτείαν ἐπιζητεῖ· ἧς ἀξιωθείημεν ἀγαθῇ προαιρέσει καὶ βοηθείᾳ Θεοῦ, ᾧ πρέπει προσκύνησις νῦν καὶ εἰς τοὺς αἰῶνας. Ἀμήν.

1. Ματθ. 25,34.

52,259,17. Φίλωνος, Ἐπισκόπου Καρπαθίου, Ἑρμηνεία εἰς τὸ Ἆσμα τῶν Ἀσμάτων, PG 40,117B. Γρηγορίου Νύσσης, Κατὰ Εὐνομίου Γ', β (Δ' Migne), ΒΕΠ 67,301,25. Γ', θ' (ΙΑ' Migne), ΒΕΠ, 68,75,33.

ΠΙΝΑΞ

ΤΩΝ ΧΩΡΙΩΝ ΤΗΣ ΑΓΙΑΣ ΓΡΑΦΗΣ*

* Τὰ χωρία τῆς Παλαιᾶς Διαθήκης καταριθμοῦνται κατὰ τὸ κείμενον τῶν Ο'.

ΠΙΝΑΞ
ΕΞΩΒΙΒΛΙΚΩΝ ΧΩΡΙΩΝ

Α'. Ἀρχαῖοι συγγραφεῖς

Β'. Χριστιανοὶ συγγραφεῖς

ΠΙΝΑΞ

ΘΕΜΑΤΩΝ, ΟΝΟΜΑΤΩΝ, ΠΡΑΓΜΑΤΩΝ

(Συνταχθεὶς ὑπὸ τοῦ Σεβ. Μητροπολίτου Ζακύνθου κ. Παντελεήμονος Μπεζενίτη)

α) Οἱ πρῶτοι ἀριθμοὶ ἀναφέρονται εἰς τὴν σελίδα, οἱ δὲ μετὰ τὸ κόμμα εἰς τοὺς στίχους τῆς σελίδος.— β) Ὅταν εὑρίσκηται πρὸ τοῦ ἀριθμοῦ τῆς σελίδος τὸ σημεῖον σελ., τὸ ὄνομα ἢ πρᾶγμα ἀπαντᾶται περισσότερον ἢ δὶς εἰς τὴν αὐτὴν σελίδα.

Εἰς τὸν καταρτισμὸν τῶν Πινάκων μετὰ τοῦ Σεβ. Μητροπολίτου Ζακύνθου κ. Παντελεήμονος Μπεζενίτη συνειργάσθη καὶ ὁ κ. Παναγιώτης Γ. Νικολόπουλος, Διδάκτωρ Φιλοσοφίας. Εἰς τὴν ἁγιογραφικὴν ἐνημέρωσιν καὶ τὰς διορθώσεις ἐβοήθησεν ἡ κ. Πολυτίμη Τζέρπου, Θεολόγος.

Σημειωτέον, ὅτι οἱ ἐντὸς ἀγκυλῶν κατὰ τὴν παράθεσιν τοῦ κειμένου σημειούμενοι ἀριθμοὶ παραπέμπουσιν εἰς τὰς σελίδας τῆς ἐκδόσεως τοῦ J.-P. Migne, οἱ δὲ ἄνευ ἀγκυλῶν εἰς τὰς σελίδας τῆς ἐξ ἧς ἐλήφθησαν κριτικῆς ἐκδόσεως.